


1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
CIRCUMSPICE


THE GIFT OF
Mr. H. C. Hoskier


UNIVERSITY OF MICHIGAN

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ



ἐκδοθεῖσα μὲν ἀναλώμασι τοῦ


ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

συνταχθεῖσα δὲ ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

ΤΟΜΟΣ Β'

I



ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

1894

ΕΚΔΟΣΕΙΣ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ.

'Ορθόδοξος Παλαιστινὴ Συναγωγή:			Τιμή. Ρ.	Κ.
1-ον	τεῦχος.	Ἡ ὀρθοδοξία ἐν τῇ ἁγίᾳ Γῇ ὑπὸ Β. Ν. Χιτροβοῦ	2	—
2-ον	»	Ὁδοιπορικὸν Βορδιγάλλων ἔτει 333, ῥωσσιστὶ μεταφρασθὲν καὶ σχολιασθὲν ὑπὸ Β. Ν. Χιτροβοῦ	1	—
3-ον	»	Βίος καὶ ὁδοιπορικὸν τοῦ Ῥώσσου ἡγουμένου Δανιὴλ (1106-1107), ἐκδ. ὑπὸ Μ. Α. Βενοβιτίνοβ. Μέρος Ι.	2	50
4-ον	»	Ὁδοιπορία εἰς Σινὰ ἔτει 1881 ὑπὸ Α. Β. Ἐλισσαίεβ	2	—
5-ον	»	Περίοδος τοῦ ἁγίου Σάβα ἀρχιεπισκόπου Σερβίας (1225-1237), ἐκδιδ. ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου	1	—
6-ον	»	Περιήγησις τοῦ ἐμπόρου Βασιλείου (1465-1466) ἐκδοθεῖσα ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου	—	30
	»	Ἀνασκαφαὶ ἐν τῷ ῥωσσικῷ χώρῳ τῷ παρὰ τὸν ναὸν τῆς Ἀναστάσεως ἐν Ἱεροσολύμοις (1883) μετὰ εἰκόνων χαρτῶν καὶ δύο παραρτημάτων, ὑπὸ Ἀντωνίνου ἀρχιμανδρίτου	6	50
8-ον	»	Διήγησις Δανιὴλ μητροπολίτου Ἐφέσου καὶ περίοδος τῶν Ἁγίων Τόπων, ἐκδ. ὑπὸ Γαβριὴλ Σ. Δεστούνη.	1	60
9-ον	»	Βίος καὶ ὁδοιπορικὸν τοῦ ἡγουμένου Δανιήλ. Μέρος ΙΙ μετ' εἰκόνων καὶ σχεδίων. Ἐξηντλήθη.	5	50
10-ον	»	Παλαιὰ Γεωργιανὰ μνημεῖα ἐν Παλαιστίνῃ καὶ Σινᾷ, μετὰ πινάκων καὶ εἰκόνων ὑπὸ Α. Τζαγαρέλη	4	50
11-ον	»	Διήγησις Ἐπιφανίου περὶ τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐν αὐτῇ τόπων: σύγγραμμα ἑλληνικὸν τῆς θ' ἑκατ. ἐκδοθέν, ῥωσσιστὶ μεταφρασθὲν καὶ διερμηνευθὲν ὑπὸ Βασιλείου Βασίλιεβσκη	6	50
12-ον	»	Περιήγησις Ἰγνατίου τοῦ ἐκ Σμόλνης (1389-1405), ἐκδ. ὑπὸ Σ. Β. Ἀρσένιεβ	1	—
13-ον	»	Τὸ ἐν Ἱερουσαλὴμ Ἱερὸν τῆς Παλαιᾶς Διαθήκης μετὰ εἰκόνων καὶ πινάκων ὑπὸ Α. Α. Ὀλεσνίτζκη.	16	—
14-ον	»	Σερβικὴ περιγραφὴ τῶν Ἁγίων Τόπων περὶ τὸ μέσον τῆς ιζ' ἑκατ., ἐκδ. ὑπὸ Α. Β. Στογιάνοβιτζ.	—	50
15-ον	»	Διήγησις Ἐπιφανίου μοναχοῦ περὶ τῆς πρὸς Ἱεροσόλυμα ὁδοιπορίας αὐτοῦ (1415-1417), ἐκδ. ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου.	—	25
16-ον	»	Τρεῖς συμβολαὶ εἰς τὰς περὶ Παλαιστίνης ῥωσσικὰς γνώσεις, ἐκδ. ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου.	1	—
17-ον	»	Νικολάου ἐπισκόπου Μεθώνης καὶ Θεοδώρου τοῦ Προδρόμου, συγγραφέως τῆς ιβ' ἑκατ., βίοι Μελετίου τοῦ νέου ἐκδιδ. τὸ πρῶτον ὑπὸ Βασιλείου Βασίλιεβσκη μετὰ προλόγου καὶ ῥωσσικῆς μεταφράσεως	4	—
18-ον	»	Ὁδοιπορικὸν τοῦ ἐμπόρου Βασιλείου Παζνιακόβου (1558-1561), ἐκδ. Χρ. Λόπαρεβ	2	—
19-ον	»	Οἱ Ἀνσάριοι ὑπὸ Κ. Δ. Πέτκοβιτζ	—	75
20-ον	»	**Peregrinatio ad Loca Sancta saeculi IV exeuntis edita rossice versa, notis illustrata ab Joh. Pomialowsky**	5	—
21-ον	»	Προσκυνητάριον Ἀρσενίου Σουχάνοβ (1649-1653) μετὰ εἰκόνων καὶ σχεδιογραφιῶν, ἐκδ. ὑπὸ Μ. Ἰβανόβσκη	6	50
22-ον	»	Ἐκδρομαὶ κατὰ τὴν Παλαιστίνην μετὰ τῶν μαθητῶν τοῦ ἐν Ναζαρὲτ οἰκοτροφείου τῶν ἀρρένων, ὑπὸ Α. Ι. Γιακούποβιτζ.	2	—
23-ον	»	Ἰωάννου τοῦ Φωκᾶ ἔκφρασις ἐν συνόψει τῶν ἀπ' Ἀντιοχείας μέχρις Ἱεροσολύμων κάστρων καὶ χωρῶν Συρίας Φοινίκης καὶ τῶν κατὰ Παλαιστίνην ἁγίων τόπων. Σύγγραμμα ἑλληνικὸν τῆς ιβ' ἑκατ. ἐκδοθὲ[illegible]αι ῥωσσιστὶ μεταφρασθὲν ὑπὸ Ἰωάννου Τρόϊτσκι	1	25
24-ον	»	Περιήγησις Ζωσιμᾶ μοναχοῦ (1419-1422) ἐκδ. ὑπ[illegible] Χρ. Μ. Λόπαρεβ	1	25
25-ον	»	Οἱ ἐν Παλαιστίνῃ ἑλώδεις πυρετοὶ ὑπὸ Δ. Θ. Ῥε[illegible]τίλλου	3	—
26-ον	»	Ἀνωνύμου περιγραφὴ τῶν Ἁγίων Τόπων περὶ τ[illegible]ικη τῆς ιδ' ἑκατ., ἐκδιδομένη νῦν τὸ πρῶτον μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσικὴ μετάφρασις ὑπὸ Γ. Σ. Δεστούνη	—	75
27-ον	»	Περιήγησις Τρύφωνος Καραβέϊνικοβ (1593-1596), ἐκδ. ὑπὸ Χρ. Μ. Λόπαρεβ.	3	—
28-ον	»	**Theodosius. De situ Terrae Sanctae liber saeculo VI ineunde conscriptus. Recensionem J. Gildemeisteri repetivit, versionem rossicam notasque adiecit J. Pomialowsky**	2	—
29-ον	»	Ἔκφρασις διὰ στίχων πρωτονοταρίου τῆς Ἐφέσου, τοῦ Περδίκου, περὶ τῶν ἐν Ἱεροσολύμοις Κυριακῶν θαυμάτων καὶ θεαμάτων. Ποιημάτιον τῆς ιδ' ἑκατ., ἐκδ. μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσιστὶ ὑπὸ Γ. Σ. Δεστούνη	—	75

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ

τοῦ ἁγιωτάτου ἀποστολικοῦ τε καὶ καθολικοῦ ὀρθοδόξου πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης ἀποκειμένων

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ ΚΑΙ ΦΩΤΟΤΥΠΙΚΟΙΣ ΚΟΣΜΗΘΕΙΣΑ ΠΙΝΑΞΙΝ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

τύποις δ' ἐκδοθεῖσα ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ
Ἐκ τοῦ τυπογραφείου Β. Κιρσπάουμ.
1894



ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ
ΑΠΟΣΤΟΛΙΚΟΥ ΤΕ ΚΑΙ ΚΑΘΟΛΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ
ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΘΡΟΝΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΑΠΟΚΕΙΜΕΝΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΠΡΟΛΟΓΟΣ.

Τῷ μὲν οὖν πρώτῳ τόμῳ τῆς ἐν χειρὶ ταυτησὶ βίβλου πεφανέρωται τὸ ποῖα καὶ ὅσα τῶν γραπτῶν βιβλίων ἀποτελεῖ τὸ καθ' αὐτὸ παλαιὸν ἢ πατριαρχικὸν τμῆμα τῆς κεντρικῆς, ὡς ὠνόμασα, βιβλιοθήκης τοῦ πατριαρχείου τῶν Ἱεροσολύμων· αὐτῷ δὲ τούτῳ τῷ τόμῳ, δευτέρῳ τὸν ἀριθμόν, περιγράφεται τὰ τεύχη, ἃ τμῆμά ταύτης ἕτερον ἀπαρτίζει, τὸ Σάβα τοῦ ἡγιασμένου· ὃ δέ, καθάπερ εἴρηται (τ. I, σ. δ'-ε'), προϋπῆρχεν ἐν αὐτῇ τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, μακρὰν ἐν ἐρήμῳ τόπῳ τῆς Ἱερουσαλὴμ ἱδρυμένῃ. Ὅτε μὲν οὖν ἐκεῖ τοῦτο κατέκειτο, τὸ πάλαι τιμιώτερόν τε καὶ πλουσιώτερον ἦν· ἠρίθμει γὰρ ἔξοχά τινα τεύχη, ἃ τανῦν ἀποξενωθέντα ἢ κερματισθέντα παντάπασι λείπει, καθὰ τὰ σποράδην εἰρημένα τῷ τόμῳ δείκνυσι, μάλιστα δὲ τῶν παραρτημάτων αὐτοῦ τὸ δέκατον καὶ τὸ πρὸ τούτου· κατήντησε δ' εἰς ὅπερ ὁ παρὼν ἐκδηλοῖ κατάλογος ἀπειρίᾳ τῶν ἐν αὐτῇ τῇ λαύρᾳ φυλάκων· πολλοὶ γὰρ ἀμελείᾳ τούτων ἢ ἀφελείᾳ κώδικες ἀπώλλυντο (πρβλ. σ. 703-724), ἄλλους δέ τινας οὐκ ὀλίγους μῦς τε καὶ σῆτες ἔφθειρον, κόνις τε πυκνὴ καὶ γραμμάτων ἄμοιροι βιβλιοδέται· διέφθειρε δὲ καὶ γραμμάτων εὔμοιρος ἱερεὺς τεύχη πάνυ πολλά (σ. 701)· δι' ὃ Κύριλλος ὁ δεύτερος, τῶν Ἱεροσολύμων πατριάρχης, τῷ βεβουλεῦσθαι δὶς ὑποστεῖλαι ὃ κακῇ μοίρᾳ τοῖς ἐν τῇ λαύρᾳ λοιποῖς ἐγίγνετο κώδιξι, πρῶτος ἐκλεξάμενος ἱκανοὺς αὐτῶν προδιέσωσε (1857 καὶ 1864)· μετεκομίσατο γὰρ τοὺς ἐκλελεγμένους εἰς τὴν βιβλιοθήκην, ἣν αὐτὸς ἐν τῇ μονῇ καθίδρυσε τοῦ Σταυροῦ· οὐ μὴν ἀλλὰ καὶ μετὰ τοιαύτας ἐκλογὰς ἀπώλειαι τῇ λαύρᾳ συνεχεῖς ἐκ βιβλίων ἐγίγνοντο μέχρις ἔτους 1887-ου· τότε δ' ὅμως Νικόδημος ὁ πα-

R. H.

τριάρχης, ὡς εἴρηται, διαμπὰξ ἔτεμε τοῦ τοιούτου μοιραίου κακοῦ τὴν ῥίζαν, ἀπὸ τῆς λαύρας αὐτῆς ἀνεξαιρέτως ἅπαντα τὰ τεύχη μετενεγκὼν εἰς Ἱεροσόλυμα, ταῦτα δὴ τὰ νῦν ἐν τῷ τόμῳ τούτῳ περιγεγραμμένα· τούτων δ' αὖ ἡ περιγραφὴ κοπιώδης μὲν ἀνιαρά τε καὶ δυσεκτέλεστος ἦν, ὥσπερ καὶ τῶν ἐν τῷ πρώτῳ τόμῳ κατηριθμημένων, ἀλλὰ τῇ θεοῦ βοηθείᾳ τετέλεσται· καὶ ὡς ἐξ ἀρχῆς ἐγράφη, οὕτω καὶ τύποις ἐξεδόθη· τῇ ταχυτῆτι μέντοι τῆς ἐκτυπώσεως ἐμπεριέλαβεν, ὡς εἰκός, ὁ τόμος οὗτος ἁμαρτήματα, μάλιστα δὲ περὶ τὰ πρῶτα τετράδια· πλὴν ἀλλά, τῆς ἐκτυπώσεως περαιουμένης, ἃ τῶν ἁμαρτημάτων ἄξια διορθώσεως ἐκρίθη, πρὸς τὸ τέλος ἐμηνύθη (σ. 731 - 733 καὶ 892)· ἃ δὲ τοιαύτης ἀνάξια, σιγῇ κατεδικάσθη, τοῦ περιγραφέως ἐλπίσαντος ἐκ τῶν ἀναγνωστῶν συγγνώμης ἴσως ἐν τούτῳ τυχεῖν. Τὰ μέντοι τῶν καλλιγράφων ἁμαρτήματα καὶ τῶν ἐκ παλαιοῦ κυρίων ἢ ἀναγνωστῶν τῶν χειρογράφων, ἅπερ ἐν τοῖς ὑπομνήμασιν αὐτῶν ὑπάρχει τοῖς ἐν τοῖς κώδιξιν, ἐτηρήθη πιστῶς ἐν τούτῳ τῷ τόμῳ· ὅς, ἔξω τῆς ἰδίᾳ περιγραφῆς, καὶ ἀπεικάσματα γραφῶν ἐμπεριέλαβε τέσσαρα καὶ δέκα φωτοτυπικά, καὶ παραρτήματά τινα χρήσιμα (σ. 662-754), τὴν ἱστορίαν καὶ τὴν τύχην ἑρμηνεύοντα τῆς βιβλιοθήκης Σάβα τοῦ ἡγιασμένου, ἔτι δὲ καὶ πίνακα τῶν ἐν αὐτῷ τῷ τόμῳ μνημονευμένων πραγμάτων.

Ἐν Πετρουπόλει, τῇ ιβ' μηνὸς Ἰανουαρίου ἔτους ,αωϟδ'.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ - ΚΕΡΑΜΕΥΣ.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΚΑΤΑΛΟΓΟΣ

κωδίκων ἐκ τῆς λαύρας μετενεχθέντων Σάβα τοῦ ἡγιασμένου καὶ νῦν ἐν τῇ πατριαρχικῇ τῶν Ἱεροσολύμων βιβλιοθήκῃ κατακειμένων, ἐν τόπῳ κεχωρισμένῳ.

1. Τεῦχος μεμβράνινον ἀμφὶ τὴν δεκάτην ἑκατονταετηρίδα γραφέν, ἐκ δὲ φύλλων συγκείμενον 193· ὅπερ ἐστὶ βεβλαμμένον ἐνιαχοῦ ὑφ' ὕδατος οὕτως, ὥστε τὰ ἐν αὐτῷ γεγραμμένα ἢ μάλα νῦν δυσανάγνωστα εἶναι κατὰ σελίδας τινάς, ἢ παντελῶς ἐξίτηλα· ἀριθμοὺς δὲ τὰ φύλλα φέρει ἀπὸ τοῦ α' μέχρι τοῦ ϡϟε', οὓς χεὶρ ἐπέγραψεν ἑκκαιδεκάτου πιθανῶς αἰῶνος· τούτων ὅμως ἐλλείπουσι δύο, ὁ ρλζ' καὶ ὁ ρλη', οἳ νῦν εὕρηνται ἐν τῇ Πετρουπόλεως αὐτοκρατορικῇ βιβλιοθήκῃ, ἐν τῇ πλουσίᾳ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 344. Отчетъ за 1883 г., σ. 133). Ἀλλὰ καὶ τὸ τεῦχος αὐτὸ πρὸ τοῦ συμπηχθῆναι παραλελυμένον ἦν καὶ διεσπασμένον· δι' ὅπερ ὁ βιβλιοδέτης τὰ σῳζόμενα συγκολλῶν καὶ συρράπτων τετράδια, ἠναγκάσθη, ἄλλοις ἄλλων μεμβρανίνων βιβλίων χρησάμενος φύλλοις, ταῦτα μὲν εἰς τεμάχη διατεμεῖν, ἐκεῖνα δὲ τούτοις συγκολλήσειν. Ὀνόματα δὲ ἀναγνωστῶν ἢ παλαιῶν τοῦ τεύχους κτητόρων ἐν αὐτῷ φέρεται τάδε· α') «Νικόλαος ταπεινότ(α)τ(ος) μητροπολίτης Νικαίας... ὑπέγραψα», φ. ρμη'· β') «Ὁ μητροπολίτης Βιδήνης Ἰωσήφ», φ. ροα'. Τὸ τεῦχος τοίνυν μήκους μέν ἐστι 45 ἑκατοστῶν μέτρου γαλλικοῦ, πλάτους δὲ 235 χιλιοστῶν· τὸ δὲ κείμενον αὐτὸ δίστηλον ὂν καὶ τεσσαράκοντα κατὰ πᾶσαν στήλην γραμμὰς ἀριθμοῦν, ἐπιφάνειαν ἔχει μήκους μὲν 0,323, πλάτους δὲ 0,203· περιέχεται δ' ἐν τῷ βιβλίῳ πανηγυρικὸν τῶν τε δεσποτικῶν καὶ τῶν θεομητορικῶν

καλουμένων ἑορτῶν, ἀκέφαλον ὅμως καὶ ἀτελές, οὗ τὰ σωζόμενα κείμενα ἀπὸ τοῦ δευτέρου νῦν ἄρχεται λόγου.

1. Λόγος ἀκέφαλος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, οὗ αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· «---στεῖραι· πάλιν διὰ τῶν ἁγίων γυναικῶν πρῶτον τὸ χαῖρε ἡμῖν εὐαγγελίζεται», φ. 1.

2. Ἀνδρέου τοῦ ἀρχιεπισκόπου Κρήτης «λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς παναγίας δεσποίνης ἡμῶν Θεοτόκου», οὗ ἡ ἀρχή· «Ἐπέστη σήμερον ἡ πάντων χαρά», φ. 5β. Migne, Patrol. Graec. τ. 97, σ. 881.

3. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου», οὗ ἡ ἀρχή· «Ἀγαπητοί, βασιλικῶν μυστηρίων», φ. 10. Migne τ. 60, σ. 755.

4. «Τοῦ αὐτοῦ εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου». Ἀρχ. «Προαπέστειλεν ὁ Θεός», φύλ. 12β. Ἱεροσολυμιτικῆς Βιβλιοθήκης τ. I, σ. 226.

5. «Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας Πόντου εἰς τὸν εὐαγγελισμὸν τῆς ἁγίας Θεοτόκου». Ἀρχ. «Σήμερον ἀγγελικῇ παρατάξει», φ. 14β. Migne τ. 10, σ. 1145.

6. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως εἰς τὸν εὐαγγελισμὸν τῆς ἁγίας Θεοτόκου». Ἀρχ. «Ἀγαπητοί, οὕτως ἐστὶν τὸ μυστήριον», φ. 17. Ἱεροσολυμιτ. Βιβλιοθ. τ. I, σ. 226.

7. Ἰωάννου τοῦ Χρυσοστόμου «εἰς τὸν εὐαγγελισμὸν τῆς παναγίας Θεοτόκου». Ἀρχ. «Σήμερον ἀγαπητοὶ ὑπανοῖξαι», φ. 21. Ἱεροσολυμ. Βιβλιοθ. τ. I, σ. 227.

8. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Ἀγαπητοί, ὥσπερ μήτηρ φιλόστοργος», φ. 24. Migne τ. 62, σ. 775.

9. «Τοῦ αὐτοῦ λόγος εἰς τὸν τετραήμερον Λάζαρον, οὗ ἡ ἀρχή· «Σήμερον ἐκ νεκρῶν», φ. 25β. Migne τ. 48, σ. 779.

10. «Τοῦ αὐτοῦ λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Ἦν τις φησὶν Λάζαρος», φ. 28. Migne τ. 64, σ. 1357: spuria et omissa.

11. Ἀνδρέου τοῦ Κρήτης ἀρχιεπισκόπου λόγος εἰς τὸν Λάζαρον, οὗ ἡ ἀρχή· «Λάζαρος τὸν παρόντα», φύλ. 29^{β}. Migne τ. 97, σ. 960.

12. «Τοῦ αὐτοῦ λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Τὴν ἐκκλησίαν θέατρον», φ. 37^{β}. Ἱεροσολυμιτ. Βιβλιοθήκης τ. I, σ. 228.

13. Τοῦ αὐτοῦ «λόγος εἰς τὰ βαΐα», οὗ ἡ ἀρχή· «Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου», φ. 40. Migne τ. 97, σ. 985.

14. Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας «λόγος εἰς τὰ βαΐα», οὗ ἡ ἀρχή· «Φρικτὸν ἀγαπητοὶ μυστήριον», φ. 48^{β}. Migne τ. 26, σ. 1309.

15. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὰ βαΐα», οὗ ἡ ἀρχή· «Ἤδη τῆς πνευματικῆς πανηγύρεως», φ. 49^{β}. Migne τ. 61, σ. 715.

16. Τοῦ αὐτοῦ λόγος εἰς τὰ βαΐα, οὗ ἡ ἀρχή· «Ἐκ θαυμάτων ἐπὶ τὰ θαύματα», φ. 52^{β}. Migne τ. 59, σ. 703.

17. «Τοῦ Χρυσοστόμου λόγος εἰς τὰ βαΐα», οὗ ἡ ἀρχή· «Ὅτε ἤγγισεν ὁ Κύριος εἰς Ἱεροσόλυμα», φ. 56. Ἔστι δὲ ἀσημείωτος ἐν τοῖς πίναξι τῶν ἄχρι τοῦ νῦν γνωσθέντων τοῦ Χρυσοστόμου λόγων.

18. Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως «λόγος εἰς τὰ βαΐα», οὗ ἡ ἀρχή· «Σπουδαιότερος ὁ παρών», φ. 58. Migne τ. 65, σ. 772.

19. «Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας εἰς τὸ Πορεύεσθε εἰς τὴν κατέναντι κώμην» κτλ. Ἀρχ. «Πάλιν ἡμᾶς εὐεργετῶν», φ. 59. Migne τ. 28, σ. 1024.

20. «Τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου, εἰς τὸ Πορεύεσθε εἰς τὴν κατέναντι κώμην» κτλ. Ἀρχ. «Οἱ τὰ ἐπίγεια φρονήσαντες», φ. 62. Fabricii, Biblioth. Graeca τ. VIII, σ. 203.

21. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος «εἰς τὴν ἁγίαν δευτέραν τῆς μεγάλης ἑβδομάδος», οὗ ἡ ἀρχή· «Διηνύσαμεν τῆς νηστείας τὸν πλοῦν», φ. 65^{β}. Migne τ. 55, σ. 519.

*

22. «Τοῦ αὐτοῦ εἰς τὴν ξηρανθεῖσαν συκῆν» λόγος, οὗ ἡ ἀρχή· «Ὀφθαλμὸς μὲν ὁρῶν», φ. 71. Migne τ. 59, σ. 585.

23. Τοῦ αὐτοῦ εἰς τὸ «Συνήγαγον οἱ Ἰουδαῖοι συνέδριον καὶ ἔλεγον τί ποιήσομεν· τῇ ἁγίᾳ μεγάλῃ δευτέρᾳ» λόγος, οὗ ἡ ἀρχή· «Οἱ μὲν ἀθληταὶ καθ' ἑκάστην», φ. 74. Migne τ. 64, σ. 15.

24. «Τοῦ αὐτοῦ εἰς τὰς δέκα παρθένους, τῇ μεγάλῃ τρίτῃ» λόγος, οὗ ἡ ἀρχή· «Ὅταν τὸ εὐδαπάνητον», φ. 75β. Migne τ. 59, σ. 527.

25. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ εὐαγγελικὸν ῥητόν: Ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατὰ τοῦ Ἰησοῦ». Ἀρχ. «Ὅσοι τοῦ Ἠλία μαθηταί», φ. 78β. Migne τ. 61, σ. 705.

26. «Τοῦ αὐτοῦ εἰς τὴν πόρνην καὶ τὸν Φαρισαῖον». Ἀρχ. «Πάντοτε μὲν ὁ Θεός», φ. 81β. Migne τ. 59, σ. 531.

27. «Τοῦ αὐτοῦ λόγος εἰς τὸ Συνήγαγον οἱ Ἰουδαῖοι συνέδριον», οὗ ἡ ἀρχή· «Ἐοίκασιν οἱ τῆς ἐκκλησίας φίλτατοι», φ. 84. Migne τ. 59, σ. 525.

28. Τοῦ αὐτοῦ λόγος εἰς τὸν Φαρισαῖον καὶ εἰς τὴν πόρνην, οὗ ἡ ἀρχή· «Σήμερον ὁ Φαρισαῖος», φ. 86. Migne τ. 61, σ. 709.

29. «Τοῦ αὐτοῦ λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα», οὗ ἡ ἀρχή· «Εἰκότως ἀγωνιῶ», φ. 87. Ἱεροσολυμιτικῆς Βιβλιοθήκης τ. Ι, σ. 228.

30. «Τοῦ αὐτοῦ λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα καὶ εἰς τὸ πάσχα καὶ εἰς τὴν παράδοσιν τῶν μυστηρίων, καὶ περὶ τοῦ μὴ μνησικακεῖν». Ἀρχ. «Ὀλίγα ἀνάγκη σήμερον», φ. 88. Migne τ. 49, σ. 373.

31. «Θεοφίλου Ἀλεξανδρείας λόγος εἰς τὸν μυστικὸν δεῖπνον καὶ εἰς τὸν νιπτῆρα», οὗ ἡ ἀρχή· «Τί τερπνότερον ἢ τί ἡδύτερον», φ. 94. Εὕρηται δ' ἐπ' ὀνόματι Κυρίλλου τοῦ Ἀλεξανδρείας παρὰ Migne τ. 77, σ. 1016.

32. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν νιπτῆρα τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ», οὗ ἡ ἀρχή· «Ἔλεον Θεοῦ», φ. 98. Ἱεροσολυμ. Βιβλιοθ. τ. Ι, σ. 102 καὶ 243.

33. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα καὶ εἰς

τὸ πάθος τοῦ Κυρίου τῇ μεγάλῃ πέμπτῃ». Ἀρχ. «Στυγνὴν τὴν ἐκκλησίαν ὁρῶ», φ. 100. Migne τ. 61, σ. 687.

34. «Τοῦ αὐτοῦ Χρυσοστόμου λόγος εἰς τὸν λῃστὴν καὶ εἰς τὴν προδοσίαν τοῦ Ἰούδα τῇ μεγάλῃ πέμπτῃ». Ἀρχ. «Ὦ πόση δύναμις τῆς ἡμετέρας πίστεως», φ. 101β. Migne τ. 59. σ. 719.

35. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν προδοσίαν Ἰούδα καὶ εἰς τὸ πάσχα καὶ εἰς τὴν μυστηρίων παράδοσιν καὶ περὶ το(ῦ μὴ) μνησικακεῖν ἀλλήλους». Ἀρχ. «Ἐβουλόμην ἀγαπητοὶ τῆς κατὰ τὸν πατριάρχην», φύλ. 103. Ὅρα περὶ τοῦ λόγου τούτου τὴν παρὰ Migne σημείωσιν τ. 64, σ. 1339.

36. «Τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ τοῦ αὐτοῦ εἰς τὸν εὐλογημένον καὶ εἰς τὸ Πάτερ εἰ δυνατὸν παρελθεῖν τὸ ποτήριον». Ἀρχ. «Οὐδὲν ἀπεοίκασιν», φ. 109. Migne τ. 61, σ. 751.

37. «Τοῦ αὐτοῦ εἰς τὸν σταυρὸν καὶ εἰς τὸν λῃστὴν καὶ κατὰ Ἰουδαίων». Ἀρχ. «Ἀπαρξώμεθα τῇ ἡμέρᾳ τοῦ σταυροῦ», φ. 112β. Migne τ. 64, σ. 1331: spuria et praetermissa.

38. «Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως λόγος εἰς τὴν ἁγίαν παρασκευήν», οὗ ἡ ἀρχή· «Φοβερὰ τῆς σημερινῆς παρατάξεως», φ. 114. Migne τ. 65, σ. 781.

39. «Τοῦ Χρυσοστόμου εἰς τὴν ἁγίαν παρασκευὴν» ὁμιλία, ἧς ἡ ἀρχή· «Ἐπέστη τῶν ἱερῶν μυστηρίων ἡ πανήγυρις», φ. 115β. Migne τ. 64, σ. 1351: «in cod. Ottobon. dicitur esse Procli, nec est Chrysostomi».

40. Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου κτλ., οὗ ἡ ἀρχή· «Τί τοῦτο σήμερον», φ. 116. Migne τ. 43, σ. 440.

41. «Γρηγορίου πρεσβυτέρου Ἀντιοχείας τῷ μεγάλῳ σαββάτῳ καὶ εἰς τὴν ἀνάστασιν τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν» λόγος, οὗ ἡ ἀρχή· «Ἐπαινετὸς καὶ οὗτος τῆς ἐκκλησίας», φ. 125. Migne τ. 88, σ. 1848.

42. «Τοῦ Χρυσοστόμου λόγος εἰς τὸ πάθος τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ». Ἀρχ. «Ὅταν τὸ μέγεθος τοῦ δεσπότου», φ. 130β. Καὶ οὗτος ὁ λόγος

ἀσημείωτός ἐστιν ἐν τοῖς πίναξι τῶν τοῦ θείου Χρυσοστόμου συνταγμάτων.

43. Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὸ πάσχα καὶ εἰς τὴν βραδυτῆτα, οὗ ἡ ἀρχή· «Ἀναστάσεως ἡμέρα», φ. 131. Migne τ. 35, σ. 396.

44. Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας λόγος εἰς τὸ ἅγιον πάσχα, οὗ ἡ ἀρχή· «Εἰ ταῖς τῶν ἀγγέλων», φ. 132β. Migne τ. 28, σ. 1073.

45. Γρηγορίου ἐπισκόπου Νύσσης «λόγος εἰς τὸ ἅγιον πάσχα· ἐλέχθη δὲ τῇ κυριακῇ». Ἀρχ. «Οἱ πένητες τῶν ἀνθρώπων», φ. 135. Τέλος· «ἡ τῶν χαλαθίσκων πρὸς τὸν ἀέρα καὶ τὸ φῶς ἐξιπτάμενον, ἀθροῦν ὁμοῦ καὶ», φ. 136β. Migne τ. 46, σ. 652 κἑ.

46. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸ ἅγιον πάσχα, οὗ ἡ ἀρχή· «Σφόδρα μοι καὶ νῦν ὡς ἀεί», φ. 144. Migne τ. 62, σ. 753.

47. Γρηγορίου τοῦ ἐπισκόπου Νύσσης λόγος «εἰς τὸ πάσχα καὶ εἰς τὴν τριήμερον ἀνάστασιν τοῦ Κυρίου». Ἀρχ. «Εἴ τις πατριαρχῶν», φ. 145β. Migne τ. 46, σ. 600.

48. (Γρηγορίου τοῦ Θεολόγου) «ἕτερος λόγος εἰς τὸ ἅγιον πάσχα», οὗ ἡ ἀρχή· «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι», φ. 154. Migne τ. 36, σ. 624.

49. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὴν ἀνάστασιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Λαμπρὰ τῆς δεσποτικῆς», φ. 163β. Ἔστι δὲ καὶ οὗτος ἀμνημόνευτος ἐν τοῖς πίναξι τῶν τοῦ θείου τούτου πατρὸς συνταγμάτων.

50. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἅγιον πάσχα», ἧς ἡ ἀρχή· «Εἴ τις εὐσεβής», φ. 164β. Migne τ. 59, σ. 721.

51. Τοῦ αὐτοῦ λόγος εἰς τὴν ἁγίαν ἀνάστασιν», οὗ ἡ ἀρχή· «Πᾶσα μὲν ἡμέρα φαιδρά», φ. 165. Migne τ. 63, σ. 933.

52. «Βασιλείου ἐπισκόπου Σελευκείας λόγος εἰς τὸ ἅγιον πάσχα», οὗ ἡ ἀρχή· «Ἄφατος εἰς ἡμᾶς», φ. 166β. Λόγος ἀνέκδοτος, οὗ ἀπόγραφον καὶ ἐν Βιέννῃ ὑπάρχει. Fabricii, Bibl. Gr. τ IX, σ. 91, ἐν τῇ ὑποσημειώσει Harles.

53. «Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων τοῦ θεολόγου περὶ τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι κατὰ μηδὲν ἀλλήλοις ἐναντιωθέντες οἱ εὐαγγελισταὶ διαφόρως τὰ συμβεβηκότα περὶ τῆς ἀναστάσεως τοῦ Ἐμμανουὴλ ἱστόρησαν». Ἀρχ. «Πάντες μὲν ἀγαπητοὶ ὡς εἰπεῖν», φ. 167$^{\beta}$. Ἐπ' ὀνόματι Γρηγορίου τοῦ Νύσσης παρὰ Migne τ. 46, σ. 628. Πρβλ. καὶ σημείωσιν Harles ἐν Bibl. Gr. τ. X, σ. 251. Δύο δὲ τεμάχη, τῷ ὀνόματι ἐπιγεγραμμένα τοῦ Ἡσυχίου, Χριστιανὸς ἐξέδοτο ὁ Matthaei, Anecdota graeca (Mosquae 1775), τ. II, σ. 69-70.

54. Γρηγορίου τοῦ Θεολόγου «λόγος εἰς τὴν καινὴν κυριακὴν καὶ εἰς Μάμαντα τὸν μάρτυρα», οὗ ἡ ἀρχή· «Ἐγκαίνια τιμᾶσθαι», φ. 175. Migne τ. 36, σ. 608.

55. Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας «λόγος εἰς τὴν καινὴν κυριακήν», οὗ ἡ ἀρχή· «Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν», φ. 178. Migne τ. 28, σ. 1081.

56. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀπιστίαν τοῦ Θωμᾶ καὶ εἰς τὴν πίστιν αὐτοῦ», οὗ ἡ ἀρχή· «Ἦχω τὸ χρέος», φ. 181. Migne τ. 59, σ. 681.

57. «Τῇ μεσοπεντηκοστῇ· τοῦ αὐτοῦ εἰς τὸ λέγειν τοὺς Ἰουδαίους "δαιμόνιον ἔχεις" καὶ εἰς τὸ "μὴ κρίνετε κατ' ὄψιν». Ἀρχ. «Ὥσπερ ἡ φαεσφόρος σελήνη», φ. 184$^{\beta}$. Migne, Patrol. τ. 61, σ. 777.

58. «Τοῦ αὐτοῦ εἰς τὴν μεσοπεντηκοστήν». Ἀρχ. «Ὅπου δ' ἂν ὁ δεσπότης», φ. 186$^{\beta}$. Migne τ. 61, σ. 741.

59. Τοῦ αὐτοῦ «λόγος λεχθεὶς εἰς τὸν ἅγιον Θωμᾶν τὸν ἀπόστολον καὶ κατὰ Ἀρειανῶν καὶ εἰς τὸν ἐν Θράκῃ τυραννήσαντα καὶ ἀναιρεθέντα καὶ αὐτὸν ὄντα Ἀρειανόν». Ἀρχ. «Τῷ μὲν νόμῳ τῆς ἐκκλησίας», φ. 188. Migne τ. 59. σ. 497.

60. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν μεσοπεντηκοστήν», οὗ ἡ ἀρχή· «Ὁ τῆς ἀναστασίμου ἑορτῆς αἴτιος», φ. 189$^{\beta}$. Migne τ. 64, σ. 1383: spuria et omissa.

61. Τοῦ αὐτοῦ «λόγος εἰς τὸ "μεσούσης τῆς ἑορτῆς" καὶ εἰς τὸ "ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκεν" καὶ εἰς τὸν

Μελχισεδέκ». Ἀρχ. «Ῥόα καὶ μῆλον καὶ φοῖνιξ», φ. 190. Migne τ. 61, σ. 739.

62. «Λόγος εἰς τὴν αὐτὴν ἑορτήν», οὗ ἡ ἀρχή· «Ὑπερμεγέθης ἡ τοῦ δεσπότου», φ. 192β. Migne τ. 64, σ. 1417: spuria et omissa.

63. «Λόγος εἰς τὴν αὐτὴν ἑορτήν», οὗ ἡ ἀρχή· «Ἐγὼ φιλόχριστοι τὴν ἐνεστῶσαν», φ. 194β. Migne τ. 64, σ. 1339: spuria et praetermissa.

64. «Βασιλείου ἐπισκόπου Σελευκείας λόγος εἰς τὸν καθαρισθέντα λεπρόν», οὗ ἡ ἀρχή· «Πάντα μὲν θαυμαστὰ τοῦ δεσπότου», φ. 195. Τέλος· «ταῖς ἡδοναῖς ἐσπίλωσεν κατέβην ἀπό....».

2. Τεῦχος μεμβράνινον τῆς ἐνάτης ἑκατονταετηρίδος, ἐν ᾧ ὁμιλίαι μὲν Ἰωάννου σῴζονται τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ἀτάκτως δ' ὅμως προσδεδεμέναι· εἰσὶ δὲ αἵδε· ια', ιδ', ιε', ις', ιζ', ιη', ιθ', κ' καὶ κα'. Τὸ μὲν κείμενον δίστηλον ὂν χῶρον κατὰ πᾶσαν σελίδα πλάτους μὲν κατέχει 0,19, ὕψους δὲ 0,298· αὐτὸ δὲ τὸ τεῦχος ὕψους μέν ἐστι 0,41, πλάτους δὲ 0,295. Ἐν μιᾷ δ' ἑκάστῃ τῶν στηλῶν τριάκοντα καὶ ἓξ ἀριθμοῦνται γραμμαί, καὶ αἱ μὲν τῶν ὁμιλιῶν ἐπιγραφαὶ διὰ κινναβάρεως εἰσι γεγραμμέναι, προτεταγμένον ταινιοειδὲς ἔχουσαι καὶ κεχρωματισμένον κόσμημα· τὸ δὲ πρῶτον γράμμα μιᾶς ἑκάστης τῶν ὁμιλιῶν κεφαλαιῶδές ἐστι, μέγιστόν τε καὶ χρώμασιν ἐγκεκοσμημένον. Αὐτὸ δ' αὖ τὸ τεῦχος ὀγκωδέστερον καὶ παχύτερον ὂν πρότερον ὀγδοήκοντα καὶ τρία νῦν σῴζει φύλλα, ἀριθμοὺς μὲν παλαιᾶς ἐπιφέροντα ἀριθμήσεως, ἣ κατὰ τὴν πεντεκαιδεκάτην ἐγένετο ἑκατονταετηρίδα (ξς'—οα', πθ', ϟ'—ϟη', ρ'—ρια', ριγ'—ριε', ρκ', ρκη'—ρξζ', ρο'—ρογ') [1], λίαν δὲ συγκεχυμένως ὑπὸ μεταγενεστέρου προσδεδεμένα βιβλιοπηγοῦ, ὃς ἓν ἕκαστον ἐκείνων συγκολλῶν ἄλλοις ἄλλων τινῶν φύλλοις μεμβρανίνων ἐχρήσατο βιβλίων· τούτων δὲ τῶν φύλλων τεμάχη ἐν αὐτῷ τούτῳ τῷ τεύχει τάδ' ἀνεγνώρισα·

[1] Φύλλα δὲ μᾶλλόν ἐστιν 82· ἑνὸς γὰρ τούτων, ὃ τὸν ϟθ' ἀριθμὸν ἔφερεν, λῶρός τις μόνον νῦν σῴζεται.

α') Τεμάχη είλητοῦ βιβλίου τῆς ιγ' ἑκατ., ἐν ᾧ ἡ θεία ἐγέγραπτο λειτουργία Βασιλείου τοῦ μεγάλου (ὅρα τὰ φύλλα ρλα'—ρλγ', ρλε', ρλς', ρκγ', ρκδ', ρκη', ριε', ρκ', πθ', ρδ', ρς', ρια', ριγ').

β') Τεμάχη ἑτέρου είλητοῦ τῆς ιβ' ἑκατ., ἐν ᾧ ἡ θεία ἐγέγραπτο λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου· συνδεῖ δὲ ταῦτα τὰ φύλλα τάδε· ρλγ', ρλδ', ρκβ', ρκδ'—ρκζ', ριδ', ρκα', ρς', ϟη', ρβ', ρλ', ρλη', ρμε', ρμη', ρνα' καὶ ρθ'.

γ') Τέμαχος ἐκκλησιαστικοῦ τινος τυπικοῦ τῆς ιγ' ἑκατ., ὃ βουλγαριστὶ ἐγέγραπτο. Ὅρα τὰ φύλλα ρη'—ρθ'.

δ') Τεμάχη βουλγαρικοῦ στιχηραρίου τῆς ιγ' ἑκατ., προσκεκολλημένα τοῖς φύλλοις τοῖσδε· ξη', ξζ', ξθ', ο', οα', ϟ', ρμζ', ρνβ'.

ε') Τεμάχη ἑλληνικοῦ μὲν λειτουργικοῦ δ' εὐαγγελίου τῆς θ' ἑκατ., ὃ διὰ κεφαλαιωδῶν ἐγέγραπτο γραμμάτων, τόνους μὲν μουσικοὺς ἐνέχοντα καὶ κατὰ πᾶσαν σελίδα εἴκοσιν ἀριθμοῦντα στίχους· ἦν δὲ ὕψους μὲν 0,223, πλάτους δὲ 0,145. Ὅρα δὲ λείψανα αὐτοῦ κατὰ τὰ φύλλα τάδε· ξη', ξθ', ϟα', ϟβ', ϟζ', ρι' καὶ ϟγ'.

ς') Τέμαχος ἰταλικοῦ τινος ἐγγράφου ἐπὶ μεμβράνης, τῷ ρο' προσκεκολλημένον φύλλῳ.

3. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος, ἀκέφαλον μὲν ἐλλιπὲς δ' ὂν καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῷ τέλει· οὗ τὸ κείμενον δίστηλον ὑπάρχει, στίχους μὲν 38 κατὰ πᾶσαν ἀριθμοῦν στήλην, χῶρον δὲ καταλαμβάνον 0,28 ἐπὶ 0,20· αὐτὸ δὲ τὸ τεῦχος ὕψους μέν ἐστι 0,393, πλάτους δὲ 0,305. Κοσμεῖται δὲ τὸ βιβλίον μελαμβαφέσι καὶ ταινιοειδέσι τισὶ κοσμήμασιν, ἃ τῶν ἐπιγραφῶν ὑπέρκειται. Εἰσὶ δ' ἐν τῷ τεύχει

Ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου ἑκκαίδεκα, παρ' αὐτοῦ τοῦ καλλιγράφου ἠριθμημέναι ἀπὸ τοῦ λ' μέχρι τοῦ νγ' ἀριθμοῦ. Ἐλλείπουσιν οὖν ὁμιλίαι κη', ἔτι δὲ ὁμιλίαι, αἳ τούσδε εἶχον τοὺς ἀριθμούς: λς'—λη', μ'—μα' καὶ μη'—ν'. Αἱ δὲ σῳζόμεναι ὁμιλίαι κατὰ τὴν ἐφεξῆς κεῖνται τάξιν.

1. Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλία ἀκέφαλος, ἧς ἡ μὲν ἀρχὴ « . . . . μυίας ἐκάλεσα τοὺς κατηγόρους καὶ τοῦ παραδείγματος», τὸ δὲ τέλος· «καὶ οὕτω δυνησόμεθα τῆς ὄντως ἀπαλ-

λαγῆναι κακίας καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ» καὶ τὰ ἑξῆς.

2. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὴν προφητικὴν ῥῆσιν τὴν λέγουσαν· Ἐγὼ κύριος ὁ Θεὸς ἐποίησα φῶς καὶ σκότος, ποιῶν εἰρήνην καὶ κτίζων κακά». Ἀρχ. «Ὀλίγα μὲν τὰ εἰρημένα», φ. 8. Migne τ. 56, σ. 141.

3. «Τοῦ αὐτοῦ ὁμιλία περὶ προσευχῆς καὶ ἀπόδειξις ὅτι πολλὴ ἡ ταύτης δύναμις, καὶ ὅτι κἂν ἁμαρτημάτων γέμοντας λάβωσιν αἱ προσευχαί, ταχέως ἀποκαθαίρουσι τούτους· ἀλλὰ καὶ κινδύνους ἀποκρούονται μεγάλους, καθὼς καὶ ὁ βασιλεὺς Ἐζεκίας διὰ προσευχῆς περιεγένετο τῶν Περσῶν». Ἀρχ. «Ἀμφοτέρων ἕνεκα προσήκει», φ. 13. Migne τ. 50, σ. 775.

4. «Τοῦ αὐτοῦ ὁμιλία περὶ προσευχῆς», ἧς ἡ ἀρχή· «Ὅτι μὲν παντὸς ἀγαθοῦ», φ. 15β. Migne τ. 50, σ. 779.

5. «Τοῦ αὐτοῦ ὁμιλία περὶ τοῦ μὴ δημοσιεύειν τὰ ἁμαρτήματα τῶν ἀδελφῶν μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν». Ἀρχ. «Μακαρίζω τῆς σπουδῆς», φ. 19. Migne τ. 51, σ. 353.

6. «Τοῦ αὐτοῦ ὁμιλία περὶ τοῦ μὴ ἀπογινώσκειν τινὰς ἑαυτῶν μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν, μηδὲ ἀπαγορεύειν ἐν τῷ μὴ λαμβάνειν αἰτοῦντας καὶ πρὸς ἄνδρας περὶ τῆς πρὸς τὰς γυναῖκας εἰρήνης». Ἀρχ. «Πολλὰς ὑμῖν ἔχω χάριτας», φ. 25β. Migne τ. 53, σ. 282.

7. «Τοῦ αὐτοῦ ὁμιλία ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν, καὶ ὅτι χρήσιμον καὶ δικαιοσύνη μεγίστη τὸ κατηγορεῖν τῶν οἰκείων ἁμαρτημάτων». Ἀρχ. «Ἱκανῶς ὑμῶν οἶμαι καθηψάμεθα», φ. 29β. Migne τ. 50, σελ. 653.

8. «Τοῦ αὐτοῦ λόγος εἰς νεωτέραν χηρεύσασαν», οὗ ἡ ἀρχή· «Ὅτι μὲν χαλεπὴν ἔλαβες», φ. 32. Migne τ. 48, σ. 599.

9. «Τοῦ αὐτοῦ ὁμιλία ὅτε ἐθεράπευσεν ὁ Σωτὴρ τὸν ἐν τῇ ὁδῷ τυφλόν, καὶ εἰς τὸν Ζακχαῖον καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης». Ἀρχ. «Πολλαὶ καὶ διάφοροι τῶν ἁγίων γραφῶν», φ. 38. Migne τ. 59, σ. 599.

10. «Τοῦ αὐτοῦ· πρώην ὁμιλήσας εἰς τὸν Φαρισαῖον, νῦν πρὸς τοὺς οὐκ εἰς δέον χρωμένους τῷ ἀποστολικῷ ῥητῷ τῷ λέγοντι "εἴτε προφάσει εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται", καὶ περὶ ταπεινοφροσύνης». Ἀρχ. «Τοῦ Φαρισαίου καὶ τοῦ τελώνου», φ. $45^{β}$. Migne τ. 51, σ. 311.

11. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον· Δεῖ δὲ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται». Ἀρχ. «Ἱκανῶς πρώην ἡμῖν διεθερμάνθη», φ. $51^{β}$. Migne τ. 51, σ. 251.

12. «Τοῦ αὐτοῦ πρὸς τοὺς διαπιστοῦντας τῇ ἀναγκάσει καὶ ὅτι ὁ μὴ προσδοκῶν ἀναστήσεσθαι μηδὲ ὑποστήσεσθαι κόλασιν, οὐδέποτ' ἀρετῆς ἐπιμελήσεται καὶ κακίας ἀφέξεται· καὶ εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον· Ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, ἔχομεν οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς». Ἀρχ. «Περὶ δογμάτων ὑμῖν ἔμπροσθεν», φ. $59^{β}$. Migne τ. 50, σ. 417 ter.

13. «Τοῦ αὐτοῦ περὶ ἐλεημοσύνης λόγος ἐκφωνηθεὶς ἐν τῷ παριέναι αὐτὸν χειμῶνος ὥρᾳ καὶ ἰδεῖν τοὺς πένητας καὶ πτωχοὺς ἀνεπιμελήτως ἐρριμμένους κατὰ τὴν ἀγοράν». Ἀρχ. «Πρεσβείαν τινὰ δικαίαν καὶ λυσιτελῆ», φ. 69. Migne τ. 51, σ. 261.

14. «Τοῦ αὐτοῦ εἰς τὸν προφήτην Ἠλίαν» λόγος, οὗ ἡ ἀρχή· «Πρότερον μὲν τῶν Ἰουδαίων ὁ δῆμος τῇ τῶν προφητῶν ἐκαλλωπίζετο κτήσει», φ. 76. Migne τ. 56, σ. 583.

15. «Τοῦ αὐτοῦ πρὸς Ἕλληνας ἀπόδειξις ὅτι Θεός ἐστιν ὁ Χριστός». Ἀρχ. «Ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων», φ. $79^{β}$. Migne τ. 48, σ. 813.

16. «Τοῦ αὐτοῦ εἰς Ἰουβεντῖνον καὶ Μάξιμον». Ἀρχ. «Ὁ μακάριος Βαβυλᾶς πρώην», φ. 95. Migne τ. 50, σ. 571.

17. «Τοῦ αὐτοῦ περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν ζῶντας ἢ τεθνεῶτας». Ἀρχ. «Πρώην μὲν οὖν περὶ ἀκαταλήπτου», φ. $98^{β}$. Migne τ. 48, σ. 945. Λήγει δὲ νῦν ὁ λόγος ἐν τῷ κώδικι εἰς τὰς λέξεις τάσδε· «θεωρῶ γὰρ ἄνδρας προϊὼν μήτε λογισμὸν πεπαι....»

4. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων μὲν συγκείμενον 299, βεβλαμμένον δὲ πολλαχοῦ ὑφ' ὕδατος. Ἐνέχει δὲ κείμενον κατὰ δύο γεγραμμένον στήλας, ὧν μία ἑκάστη 35 γραμμὰς ἀριθμεῖ· ὕψους δὲ τὸ μὲν τεῦχος 0,39 ἑκατοστῶν ἐστιν ἐπὶ πλάτους 0,305, τὸ δὲ κείμενον 0,27 ἐπὶ 0,185. Αὐτὸ μὲν οὖν τὸ τεῦχος ὁμιλίας Ἰωάννου περιέχει τοῦ Χρυσοστόμου, αἳ καὶ τὰς ἐπιγραφὰς καὶ τὰ διαχωρίζοντα ἐκείνας ταινιοειδῆ κοσμήματα καὶ τὰ ἐν ἀρχῇ ἑκάστης τῶν ὁμιλιῶν κεφαλαιώδη γράμματα ὁλοκόκκινα ἔχουσιν· αὐταὶ δ' αἱ ὁμιλίαι κατὰ τὴν ἐφεξῆς συναρμόζονται τάξιν·

1. Ἰωάννου τοῦ Χρυσοστόμου οἱ περὶ ἱερωσύνης ἓξ λόγοι, ὧν ἡ πρώτη σελὶς ὕδατος ἐπηρείᾳ τῇ ἔμπροσθεν προσκεκόλληται πινακίδι· διήκουσι δὲ μέχρι τοῦ 54^{ου} φύλλου τοῦ κώδικος.

2. Τοῦ αὐτοῦ «περὶ ἀκαταλήπτου, ἀπόντος τοῦ ἐπισκόπου, λόγος α'», οὗ ἡ ἀρχή· «Τί τοῦτο; ὁ ποιμὴν οὐ πάρεστι», φ. 54^{β}. Migne τ. 48, σ. 701.

3. Τοῦ αὐτοῦ «πρὸ πολλῶν ἡμερῶν πρὸς Ἀνομοίους εἰπόντος, εἶτα πρὸς Ἰουδαίους, εἶτα σιγήσαντος διὰ παρουσίαν ἐπισκόπων καὶ μαρτύρων μνήμας πολλῶν γενομένων, νῦν πάλιν πρὸς Ἀνομοίους περὶ ἀκαταλήπτου λόγος β'», οὗ ἡ ἀρχή· «Φέρε δὴ σήμερον», φ. 60^{β}. Migne τ. 48, σ. 709.

4. Τοῦ αὐτοῦ «περὶ ἀκαταλήπτου καὶ ὅτι οὐδὲ ἡ συγκατάβασις τοῦ Θεοῦ φορητὴ τοῖς Σεραφίμ· λόγος γ'», οὗ ἡ ἀρχή· «Οἱ φιλόπονοι τῶν γεωργῶν», φ. 68^{β}. Migne τ. 48, σ. 719.

5. Τοῦ αὐτοῦ «περὶ ἀκαταλήπτου λόγος δ'», οὗ ἡ ἀρχή· «Ἤρκει μὲν οὖν δείξαντα», φ. 75^{β}. Migne τ. 48, σ. 727.

6. «Τοῦ αὐτοῦ περὶ ἀκαταλήπτου λόγος ε'», οὗ ἡ ἀρχή· «Ἐπειδὰν μέλλῃ τις», φ. 83. Migne τ. 48, σ. 735.

7. «Τοῦ αὐτοῦ περὶ ἀκαταλήπτου πρὸς Ἀνομοίους λόγος ἕκτος», οὗ ἡ ἀρχή· «Μίαν ὑμῖν διελέχθην ἡμέραν», φ. 91. Migne τ. 48, σ. 795.

8. «Τοῦ αὐτοῦ πρὸς τοὺς ἀπολειφθέντας τῆς συνάξεως καὶ τοῦ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ ἀπόδειξις, καὶ ὅτι τὰ ταπεινῶς εἰρημένα καὶ γεγενημένα παρ' αὐτοῦ οὐ δι' ἀσθένειαν δυνάμεως

ἐγίνετο, ἀλλὰ δι' οἰκονομίας διαφόρους· περὶ ἀκαταλήπτου λόγος ἕβδομος», οὗ ἡ ἀρχή· «Πάλιν ἱπποδρομίαι καὶ πάλιν ὁ σύλλογος», φ. 96. Migne τ. 48, σ. 755.

9. «Τοῦ αὐτοῦ κατὰ αἱρετικῶν καὶ εἰς τὴν αἴτησιν τῶν υἱῶν Ζεβεδαίου λόγος», οὗ ἡ ἀρχή· «Ἐκ πολέμου χθὲς ἐπανήλθομεν», φ. 105. Migne τ. 48, σ. 767.

10. «Τοῦ αὐτοῦ πρὸς τοὺς σκανδαλισθέντας ἐπὶ ταῖς δυσημερίαις ταῖς γενομέναις καὶ τῇ τοῦ λαοῦ καὶ πολλῶν ἱερέων διαστροφῇ, καὶ περὶ ἀκαταλήπτου καὶ κατὰ Ἰουδαίων λόγος θ'», οὗ ἡ ἀρχή· «Ἰατρῶν μὲν παῖδες ὅταν πυρέττοντας», φ. $112^{β}$. Migne τ. 52, σ. 479.

11. Τοῦ αὐτοῦ «κατὰ Ἰουδαίων· ἐλέχθη δὲ πρὸς τοὺς ἰουδαΐζοντας καὶ μετ' ἐκείνων νηστεύοντας· λόγος πρῶτος», οὗ ἡ ἀρχή· «Ἐβουλόμην ὑμῖν ἀποδοῦναι τὰ λείψανα σήμερον τῆς ὑποθέσεως», φ. $147^{β}$. Migne τ. 48, σ. 843.

12. «Τοῦ αὐτοῦ κατὰ Ἰουδαίων λόγος δεύτερος», οὗ ἡ ἀρχή· «Πάλιν οἱ δείλαιοι», φ. $157^{β}$. Migne τ. 48, σ. 871. Ἀναμεταξὺ δὲ φύλλων δύο, τοῦ τε 157-ου καὶ τοῦ 158-ου, φαίνεται ὅτι φύλλον ἓν ἀπεκόπη.

13. «Τοῦ αὐτοῦ πρὸς Ἰουδαίους λόγος τρίτος», οὗ ἡ ἀρχή «Πόθεν ἡμῖν ἄρα πλείων», φ. 164. Migne τ. 48, σ. 883.

14. «Τοῦ αὐτοῦ ὅτι τῇ προτεραίᾳ μακρὰν ὁμιλίαν εἰπὼν κατὰ Ἰουδαίων καὶ βράγχῳ κατασχεθεὶς ἀπὸ τοῦ μήκους τῶν εἰρημένων, ταύτην εἶπεν· λόγος δ'», οὗ ἡ ἀρχή· «Τὰ θηρία ἕως μὲν τὰς ὕλας», φ. 179. Mgne τ. 48, σ. 903.

15. «Τοῦ αὐτοῦ κατὰ Ἰουδαίων λόγος ε'», οὗ ἡ ἀρχή· «Ἆρα κόρον ἐλάβετε», φ. 187. Migne τ. 48, σ. 915.

16. «Τοῦ αὐτοῦ κατὰ Ἰουδαίων λόγος ς'», οὗ ἡ ἀρχή· «Παρῆλθεν ἡ νηστεία τῶν Ἰουδαίων, μᾶλλον δὲ ἡ μέθη τῶν Ἰουδαίων, φ. 195. Migne τ. 48, σ. 927.

17. «Τοῦ αὐτοῦ εἰς τὰς καλάνδας, μὴ προελθόντος τοῦ ἐπισκόπου Φλαβιανοῦ· ἐλέχθη κατὰ τῶν παρατηρούντων τὰς νεομηνίας καὶ κατὰ τῶν τὴν πόλιν χορείας ποιούντων, καὶ εἰς τὸ ῥη-

τὸν τοῦ ἀποστόλου: πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Ἀρχ. «Καθάπερ χορὸς τὸν κορυφαῖον ἐπιζητεῖ», φ. 205β. Migne τ. 48, σ. 953.

18. «Τοῦ αὐτοῦ εἰς τὰς καλάνδας τῇ ἑξῆς κατὰ μεθυόντων καὶ περὶ τῶν εἰς καπηλεῖα εἰσιόντων· ὅτι τὸν διδάσκαλον οὐ χρὴ ἀπογινώσκειν τῶν μαθητῶν, κἂν μὴ πρὸς τὸ παρὸν πείθωνται, καὶ εἰς τὸν πτωχὸν Λάζαρον». Ἀρχ. «Τὴν χθὲς ἡμέραν ἑορτὴν οὖσαν», φ. 212. Migne τ. 48, σ. 963.

19. «Τοῦ αὐτοῦ πρὸς τοὺς τὰς ἱπποδρομίας ἀναβαίνοντας καὶ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου "εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς"· καὶ εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον λόγος α'», οὗ ἡ ἀρχή· «Βούλομαι τῆς συνήθους πάλιν», φ. 225. Migne τ. 48, σ. 1043.

20. «Τοῦ αὐτοῦ εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον λόγος β', καὶ ὅτι αἱ ψυχαὶ τῶν βιοθανῶν οὐ γίνονται δαίμονες, καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης». Ἀρχ. «Ἐθαύμασα τὴν ἀγάπην ὑμῶν», φ. 232β. Migne τ. 48, σ. 981.

21. «Τοῦ αὐτοῦ εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον λόγος τρίτος, καὶ τίνος ἕνεκεν οὐκ εἶπεν "ἔλαβες τὰ ἀγαθά σου", ἀλλ' "ἀπέλαβες", καὶ διατί οἱ μὲν δίκαιοι κινδύνοις περιπίπτουσι πολλάκις, οἱ δὲ ἁμαρτωλοὶ τούτοις διαφεύγουσιν». Ἀρχ. «Οὐ τὰ τυχόντα ἡμᾶς ὤνησεν», φ. 240. Migne τ. 48, σ. 991.

22. «Τοῦ αὐτοῦ εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον λόγος δ', καὶ ὅτι συνειδὸς εἴωθεν ἡμᾶς ἀναμιμνήσκειν παλαιὰ ἁμαρτήματα, καὶ εἰς τὸν Ἰωσήφ». Ἀρχ. «Τῆς τοῦ Λαζάρου παραβολῆς», φ. 251β. Migne τ. 48, σ. 1005.

23. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου: οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Ἀρχ. «Ἡμέρας τέσσαρας ἀνηλώσαμεν», φ. 259β. Migne τ. 48, σ. 1017.

24. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον: Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρ-

μένου». Ἀρχ. «Χαίρω συντρέχοντας ὑμᾶς ὁρῶν», φ. 266^{β}. Migne τ. 56, σ. 107.

25. Τοῦ αὐτοῦ «εἰς τὴν πρώτην τῶν Παραλειπομένων τὴν λέγουσαν "ὑψώθη ἡ καρδία Ὀζίου", καὶ περὶ ταπεινοφροσύνης καὶ ὅτι χρὴ μὴ θαρρεῖν τὸν ἐνάρετον καὶ ὅσον κακὸν ἡ ἀπόνοια· λόγος β'», οὗ ἡ ἀρχή· «Εὐλογητὸς ὁ Θεός», φ. 270^{β}. Migne τ. 56, σ. 112.

26. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον "Ἐγένετο τοῦ ἐνιαυτοῦ" κτλ., καὶ ἔπαινος τῆς πόλεως Ἀντιοχείας καὶ κατὰ τῶν κωλυόντων τὸν γάμον ἔνθεος ἀπόδειξις». Ἀρχ. «Λαμπρὸν ὑμῖν σήμερον», φ. 276. Migne τ. 56, σ. 119.


27. «Τοῦ αὐτοῦ ἔπαινος τῶν ἀπαντησάντων ἐν τῇ ἐκκλησίᾳ καὶ περὶ εὐταξίας τῆς ἐν ταῖς δοξολογίαις, καὶ εἰς τὸ Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου». Ἀρχ. «Πολλὴν ὁρῶ τὴν σπουδήν», φ. 283. Migne σ. 56, σ. 97.

28. «Τοῦ αὐτοῦ εἰς τὰ ὑπόλοιπα τοῦ Ὀζίου λόγος ε'», οὗ ἡ ἀρχή· «Φέρε δὴ σήμερον τοῖς κατὰ τὸν Ὀζίαν», φ. 290^{β}. Migne τ. 56, σ. 129.

29. «Τοῦ αὐτοῦ εἰς τὰ Σεραφὶμ λόγος ϛ'», οὗ ἡ ἀρχή· «Μόλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν», φ. 295 (Migne τ. 56, σ. 135)· πρὸς δὲ τῷ τέλει τοῦ λόγου ἐγράφη κατὰ τὴν ιγ' ἑκατονταετηρίδα τὸ «Πέτρος μ(οινα)χ(ὸς) ὑπ(έρπυρα) ε'».

5. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὃ ὕψους μέν ἐστι 0,39, πλάτους δὲ 0,275· σύγκειται δ' ἐκ φύλλων 237, ὧν τὸ κείμενον χῶρον ἐν μιᾷ ἑκάστῃ καταλαμβάνει σελίδι ὕψους μὲν 0,28, πλάτους δὲ 0,195· αὐτὸ δὲ τὸ κείμενον δίστηλόν ἐστι, τριάκοντα καὶ τέσσαρας κατὰ στήλην γραμμὰς ἀριθμοῦν. Σημειώματα δέ τινα σποράδην κείμενα παλαιοὺς τοῦ τεύχους δηλοῖ κτήτορας, οἷον ἐν μὲν τῇ κάτω ᾤᾳ τοῦ 64-ου φύλλου σημείωσιν τοῦ τεσσαρεσκαιδεκάτου ἀνέγνων αἰῶνος, ἣ ὡς ἐν τῷ κώδικι ἔχει, οὕτως κἀνταῦθα παρατίθεται· «✝ Ἡ βῆλος (-βίβλος) αὕτη ἔχει ἀγορὰν ὑπέρπιρον ᾱ (ὑπ.) ἀπο (-ἀπὸ) τοῦ Ῥάλι(-η) τὸν ἄνον (-ἄνθρωπον) εἴστο (-εἰς τὸ) κοῦρσον τῶν Κατομέρων, καὶ ἡγόρασα (-ἠγόρασα)

ταύτην: ἤστον (-εἰς τὸν) Φόρον κατενόπιον (-κατενώπιον) τοῦ κυροῦ Θεοδώρου σε(βαστοῦ) τοῦ Σγουρωμάλη καὶ ἱερέως τοῦ παπὰ εὐθημήου (-Εὐθυμίου) καὶ ἴερέως Νικολάου τοῦ Βύζη και ἑτέρων πολῶν (-πολλῶν):—✝ Ὁ πρωτοπαπὰς Λακεδαιμονίας Δημήτριος Πανάρετος [ὁ Μαλ]ωταράς» (ἅπασα δὲ ἡ ὑπογραφὴ αὕτη διὰ μονοκονδυλίας ἐν τῷ κώδικι γέγραπται). Καὶ πάλιν ἐν τῇ κάτω ᾤᾳ τοῦ 218-ου φύλλου· «Ἡ βήβλος (-βίβλος) αὕτη ἔστην (-ἐστιν) Δημητρίου ἱερέως ἐκδίκου καὶ πρωτ(οπα)πὰ Λακεδαιμονίας Παναρέτου, τοῦ Μαλωταρά ✝». Καὶ πάλιν ἐν τῇ κάτω ᾤᾳ τοῦ 174-ου φύλλου· «✝ Ἀφήερω^θ (-ἀφιερώθη) ἡ παροῦσα βήβλος (-βίβλος) ἐν τῇ μονῇ τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν θεόδωσίου (-Θεοδοσίου) τοῦ κοινοβιάρχ(ου) ἐνιερωσολύμοις (-ἐν Ἱεροσολύμοις) παρ' ἐμοὶ (-ἐμοῦ) τοῦ ταπεινοῦ επισκόπ(ου) μεθῶνης (-Μεθώνης) Δημητρίου, καὶ οἱ ἀναγινό(-ώ)σκοντες εὔχαισθαι (-εὔχεσθε) διὰ τὸν Κ(ύριο)ν — [Παρέπεται εἰς φ. 175 ὑπογραφή τις διὰ μονοκονδυλίας γεγραμμένη, ἣν ἀνέγνων ὧδε]· ✝ Ὁ ταπεινὸς ἐπίσκοπος Μεθώνης Δημήτριος Πανάρετος ὁ Μαλωταράς —» [1]. Ἐν δὲ τῇ ἐπάνω ᾤᾳ τοῦ 214-ου φύλλου γεγραμμένον ἐστὶ τὸ σημείωμα τόδε· «✝ Κουροπαλάτης ἠγαπημένος αυθέντης καὶ συμπέθερος κῦρ Πέτρ(ου) Μελεντ . . διὄχλου (δι' ὄχλου) καὶ πάλιν ἡμῖν γέγονεν οὐ μακροῦ· παρὼν κῦρ Δημήτριος Ξυλινός». Καὶ εἰς φ. 205^β «Sanctus consul sanctus dominus» καὶ «Credo ave Maria». Καὶ εἰς φ. 115 ἀραβική τις ὑπάρχει σημείωσις. Καὶ τοιαῦτα μὲν δὴ σημειώματα ἐν ταῖς ᾤαις τοῦ κώδικος ἀναγινώσκεται, αὐτὸς δὲ ὁ κῶδιξ βεβλαμμένος ἐστὶ πολλαχοῦ καὶ ὑφ' ὕδατος καὶ ὑπὸ χρήσεως μεγάλης, ὥστε [illegible] τούτ[illegible] λα[illegible]ντελεῖ νῦν εἶναι σήψει καὶ φθορᾷ [illegible] χε[illegible]ννου τοῦ Χρυσοστόμου περὶ τῆς [illegible]λείπουσι νῦν ἥ τε ἀρχὴ καὶ τὸ [illegible]ς ἀπὸ



[1] Καὶ Νικόλαος ἱερεὺς κα[illegible] Μα-
λωταρᾶς, ἔγραψεν ἔτει 1311 [illegible]
Κορινθίους ἐπιστολῶν Παύλο[illegible]
grecs de la bibliothèque de l'Escur[illegible]
Κερνίτζης (ἔτει 1316) Μαλωταρᾶς [illegible]

τῶν λέξεων τῶνδε τῆς τρίτης ὁμιλίας· «περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν»· λήγει δὲ εἰς τὰς λέξεις τάσδε τῆς εἰκοστῆς καὶ ἐνάτης ὁμιλίας· «καὶ αἰσχύνονται, οἱ δὲ ἐχθροὶ ἐφήδονται κακά». Τῶν δὲ ὁμιλιῶν πάλιν αἵ τε ἐπιγραφαὶ τὰ ταινιοειδῆ τε κοσμήματα καὶ τὰ πρῶτα μιᾶς ἑκάστης ἐκείνων κεφαλαιώδη στοιχεῖα γεγραμμένα ἐστὶ διὰ κινναβάρεως.

6. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἢ τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ὃ ἐκ τριάκοντα καὶ ἑπτὰ σύγκειται τετραδίων· σώζει δὲ νῦν φύλλα 294, ὧν τὸ πρῶτον, εἰ καὶ χαρτῷον, κατὰ τὸν ἑπτακαιδέκατον προσετέθη αἰῶνα ἀναπληρώσεως ἕνεκα τῆς προαπολεσθείσης τοῦ κειμένου ἀρχῆς. Τὸ μὲν οὖν τεῦχος ὕψους μέν ἐστι 0, 372, πλάτους δὲ 0, 28, τὸ δὲ κείμενον δίστηλον ὑπάρχον τριάκοντα καὶ τέσσαρας κατὰ στήλην γραμμὰς ἀριθμεῖ· τοῦτο δ' αὖ χῶρον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ὕψους μὲν κατέχει 0, 26, πλάτους δὲ 0, 198. Εἰσὶ δὲ τὸ τελευταῖον ἐν τῷ κώδικι ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, αἳ ἀριθμοὺς ἔχουσιν ἀπὸ τοῦ με' ἄχρι τοῦ ϟ' ἀριθμοῦ· τούτων δ' ἡ ἐσχάτη ἐλλιπὴς κατὰ δύο ἐστὶ φύλλα.

7. Τεῦχος μεμβράνινον τῆς ἐνάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συγκείμενον 427, ὧν τὸ μὲν 47-ον, εἰ καὶ ἐκ χάρτου ἐστί, κατὰ τὸν τέταρτον καὶ δέκατον προσετέθη αἰῶνα, τὰ δὲ ἑπτὰ τελευταῖα φύλλα κατὰ τὴν ἑνδεκάτην ἐγράφη ἑκατονταετηρίδα, ἀποσπασθέντα ἴσως ἀπὸ τοῦ προπεριγραφέντος πέμπτου κώδικος, οὗ νῦν τὸ ἥμισυ σχεδὸν σώζεται. Περιέχονται δ' ἐν πᾶσι τοῖς εἰρημένοις φύλλοις, ἔξω τῶν ἐσχάτων, αἱ πρῶται τεσσαράκοντα ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ὧν ἡ μὲν πρώτη τὴν ἀρχὴν νῦν ποιεῖται ἀπὸ τῶν λέξεων τῶνδε· «ἀνοιγόμενον καθορᾶν ἠφανισμένην ἁμαρτίαν»· ἡ δὲ τελευταία εἰς τὰς λέξεις τελευτᾷ τάσδε· «ὅσαι γε ἐξουσίαι, πολλὰ τῶν τῷ Θεῷ». Αὐτὸ δὲ τὸ τεῦχος ὕψους μέν ἐστι 0, 38 ἐπὶ πλάτους 0, 265, κείμενον δὲ δίστηλον ἐνέχει ἐκ τριάκοντα κατὰ στήλην γραμμῶν, ὃ χῶρον κατὰ πᾶσαν περιλαμβάνει σελίδα ὕψους μὲν 0, 28, πλάτους δὲ 0, 163. Ἔστι δὲ καὶ βεβλαμμένον ὑπό τε ὕδατος καὶ ὑπὸ βιβλιοπηγοῦ,

ταύτην: ἤστον (-εἰς τὸν) Φόρον κατενόπιον (-κατενώπιον) τοῦ κυροῦ Θεοδώρου σε(βαστοῦ) τοῦ Σγουρωμάλη καὶ ἱερέως τοῦ παπὰ εὐθημήου (-Εὐθυμίου) καὶ ϊερέως Νικολάου τοῦ Βϋζή και ἑτέρων πολῶν (-πολλῶν):—† Ὁ πρωτοπαπὰς Λακεδαιμονίας Δημήτριος Πανάρετος [ὁ Μαλ]ωταράς» (ἅπασα δὲ ἡ ὑπογραφὴ αὕτη διὰ μονοκονδυλίας ἐν τῷ κώδικι γέγραπται). Καὶ πάλιν ἐν τῇ κάτω ᾤᾳ τοῦ 218-ου φύλλου· «Ἡ βήβλος (-βίβλος) αὔτη ἔστην (-ἔστιν) Δημητρίου ἱερέως ἐκδίκου καὶ πρωτ(οπα)πὰ Λακεδαιμονίας Παναρέτου, τοῦ Μαλωταρά †». Καὶ πάλιν ἐν τῇ κάτω ᾤα τοῦ 174-ου φύλλου· «† Ἀφήερω^θ (-ἀφιερώθη) ἡ παροῦσα βήβλος (-βίβλος) ἐν τῇ μονῇ τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν θεόδωσίου (-Θεοδοσίου) τοῦ κοινοβίάρχ(ου) ἐνιερωσολύμοις (-ἐν Ἱεροσολύμοις) παρ' ἐμοὶ (-ἐμοῦ) τοῦ ταπεινοῦ επισκόπ(ου) μεθῶνης (-Μεθώνης) Δημητρίου, καὶ οἱ ἀναγινό(-ώ)σκοντες εὔχαισθαι (-εὔχεσθε) διὰ τὸν Κ(ύριο)ν — [Παρέπεται εἰς φ. 175 ὑπογραφή τις διὰ μονοκονδυλίας γεγραμμένη, ἣν ἀνέγνων ὧδε]· † Ὁ ταπεινὸς ἐπίσκοπος Μεθώνης Δημήτριος Πανάρετος ὁ Μαλωταράς —» [1]. Ἐν δὲ τῇ ἐπάνω ᾤᾳ τοῦ 214-ου φύλλου γεγραμμένον ἐστὶ τὸ σημείωμα τόδε· «† Κουροπαλάτης ἠγαπημένος αυθέντης καὶ συμπέθερος κῦρ Πέτρ(ου) Μελεντ . . διὄχλου (δι' ὄχλου) καὶ πάλιν ἡμῖν γέγονεν οὐ μικροῦ· παρὼν κῦρ Δημήτριος Ξυλινός». Καὶ εἰς φ. 205^β «Sanctus consul sanctus dominus» καὶ «Credo ave Maria». Καὶ εἰς φ. 115 ἀραβική τις ὑπάρχει σημείωσις. Καὶ τοιαῦτα μὲν δὴ σημειώματα ἐν ταῖς ᾤαις τοῦ κώδικος ἀναγινώσκεται, αὐτὸς δὲ ὁ κῶδιξ βεβλαμμένος ἐστὶ πολλαχοῦ καὶ ὑφ' ὕδατος καὶ ὑπὸ χρήσεως μεγάλης, ὥστε πολλὰ τούτου φύλλα ἐν παντελεῖ νῦν εἶναι σήψει καὶ φθορᾷ· ἐμπεριέχει δὲ ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ὧν ἐλλείπουσι νῦν ἥ τε ἀρχὴ καὶ τὸ τέλος. Ἄρχεται μὲν οὖν τὸ τεῦχος ἀπὸ

[1] Καὶ Νικόλαος ἱερεὺς καὶ πρωτέκδικος τῆς μητροπόλεως Λακεδαιμονίας, ὁ Μαλωταρᾶς, ἔγραψεν ἔτει 1311 βιβλίον τι ὁμιλίας τοῦ Χρυσοστόμου περιέχον περὶ τῶν πρὸς Κορινθίους ἐπιστολῶν Παύλου τοῦ ἀποστόλου (ἰδὲ Miller, Catalogue des manuscrits grecs de la bibliothèque de l' Escurial. Paris 1848, σ. 461). Καί τις ἐπίσκοπος Κερνίτζης (ἔτει 1316) Μαλωταρᾶς ὡσαύτως ὠνομάζετο. Acta Patriarch. τ. I, σ. 52.

τῶν λέξεων τῶνδε τῆς τρίτης ὁμιλίας· «περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν»· λήγει δὲ εἰς τὰς λέξεις τάσδε τῆς εἰκοστῆς καὶ ἐνάτης ὁμιλίας· «καὶ αἰσχύνονται, οἱ δὲ ἐχθροὶ ἐφήδονται κακά». Τῶν δὲ ὁμιλιῶν πάλιν αἵ τε ἐπιγραφαὶ τὰ ταινιοειδῆ τε κοσμήματα καὶ τὰ πρῶτα μιᾶς ἑκάστης ἐκείνων κεφαλαιώδη στοιχεῖα γεγραμμένα ἐστὶ διὰ κινναβάρεως.

6. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἢ τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ὃ ἐκ τριάκοντα καὶ ἑπτὰ σύγκειται τετραδίων· σῴζει δὲ νῦν φύλλα 294, ὧν τὸ πρῶτον, εἰ καὶ χαρτῷον, κατὰ τὸν ἑπτακαιδέκατον προσετέθη αἰῶνα ἀναπληρώσεως ἕνεκα τῆς προαπολεσθείσης τοῦ κειμένου ἀρχῆς. Τὸ μὲν οὖν τεῦχος ὕψους μέν ἐστι 0, 372, πλάτους δὲ 0, 28, τὸ δὲ κείμενον δίστηλον ὑπάρχον τριάκοντα καὶ τέσσαρας κατὰ στήλην γραμμὰς ἀριθμεῖ· τοῦτο δ' αὖ χῶρον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ὕψους μὲν κατέχει 0, 26, πλάτους δὲ 0, 198. Εἰσὶ δὲ τὸ τελευταῖον ἐν τῷ κώδικι ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, αἳ ἀριθμοὺς ἔχουσιν ἀπὸ τοῦ με' ἄχρι τοῦ ϟ' ἀριθμοῦ· τούτων δ' ἡ ἐσχάτη ἐλλιπὴς κατὰ δύο ἐστὶ φύλλα.

7. Τεῦχος μεμβράνινον τῆς ἐνάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συγκείμενον 427, ὧν τὸ μὲν 47-ον, εἰ καὶ ἐκ χάρτου ἐστί, κατὰ τὸν τέταρτον καὶ δέκατον προσετέθη αἰῶνα, τὰ δὲ ἑπτὰ τελευταῖα φύλλα κατὰ τὴν ἑνδεκάτην ἐγράφη ἑκατονταετηρίδα, ἀποσπασθέντα ἴσως ἀπὸ τοῦ προπεριγραφέντος πέμπτου κώδικος, οὗ νῦν τὸ ἥμισυ σχεδὸν σῴζεται. Περιέχονται δ' ἐν πᾶσι τοῖς εἰρημένοις φύλλοις, ἔξω τῶν ἐσχάτων, αἱ πρῶται τεσσαράκοντα ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ὧν ἡ μὲν πρώτη τὴν ἀρχὴν νῦν ποιεῖται ἀπὸ τῶν λέξεων τῶνδε· «ἀνοιγόμενον καθορᾶν ἠφανισμένην ἁμαρτίαν»· ἡ δὲ τελευταία εἰς τὰς λέξεις τελευτᾷ τάσδε· «ὅσαι γε ἐξουσίαι, πολλὰ τῶν τῷ Θεῷ». Αὐτὸ δὲ τὸ τεῦχος ὕψους μέν ἐστι 0, 38 ἐπὶ πλάτους 0, 265, κείμενον δὲ δίστηλον ἐνέχει ἐκ τριάκοντα κατὰ στήλην γραμμῶν, ὃ χῶρον κατὰ πᾶσαν περιλαμβάνει σελίδα ὕψους μὲν 0, 28, πλάτους δὲ 0, 163. Ἔστι δὲ καὶ βεβλαμμένον ὑπό τε ὕδατος καὶ ὑπὸ βιβλιοπηγοῦ,

ὃς τὸ μὲν ἥμισυ τοῦ 421-ου φύλλου καθέτως ἀπέκοψεν, ἄλλων δὲ πολλῶν φύλλων τὰς ᾤας ἀφείλετο διακόψας. Κοσμεῖται δὲ ὁ κῶδιξ καὶ μεγάλοις τισὶ κεφαλαιώδεσι στοιχείοις, ἃ διαγεγραμμένα ἐστὶ μελαίναις γραμμαῖς, καὶ ταινιοειδέσι τισὶν ἀχρωματίστοις κοσμήμασιν· αἱ δ' αὖ τῶν ὁμιλιῶν ἐπιγραφαὶ μέλαιναι ὡσαύτως εἰσί. Σημειωτέον δ' ἔτι, ὅτι Σωφρόνιος ὁ πατριάρχης Ἱεροσολύμων ὑπόμνημά τι (ἐν φύλλῳ 269^{α}) ἐνέγραψεν ἀρχομένου τοῦ ἑκκαιδεκάτου αἰῶνος, ἐν ᾧ μετὰ φρικτῆς λέγει ἀρᾶς, ὅτι «τὸ παρὸν βιβλίον ὑπάρχει τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, τοῦ περιφήμου καὶ περιβοήτου ναοῦ» τῆς ἁγίας Ἀναστάσεως.

8. Τεῦχος μεμβράνινον γραφὲν μὲν ὑπὸ δύο καλλιγράφων ἢ περὶ τὸ τέλος τῆς ἐνάτης ἢ ἐν τῇ ἀρχῇ τῆς δεκάτης ἑκατονταετηρίδος, συνιστάμενον δ' ἐκ φύλλων 220, ὧν τὸ πρῶτον τὴν ἐπιγραφὴν ἔχει τήνδε· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου ὁμιλία εἰς τὸ Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυίδ, υἱοῦ Ἀβραάμ», ἧς ἡ ἀρχή· «Ἆρα μέμνησθε τῆς παραγγελίας» κτλ. Μετὰ δὲ ταύτην εἴκοσιν ἕτεραι καὶ πέντε ὑπάρχουσιν ὁμιλίαι περὶ τοῦ αὐτοῦ εὐαγγελίου, ὧν ἡ ἐσχάτη φύλλων τινῶν ἀπολομένων λήγει νῦν ὧδε· «λέγει αὐτῷ σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Αὗται δ' αὖ αἱ ὁμιλίαι πρὸς ἄλλο τι παλαιόθεν ἀντεβλήθησαν ἀπόγραφον, ὡς τὰ σεσημασμένα που κατὰ τὰς ᾤας διάφορα δηλοῖ ἀναγνώσματα. Τὸ τεῦχος μὲν οὖν ὕψους μέν ἐστι 0,375, πλάτους δὲ 0,265· τὸ δὲ κείμενον δίστηλον κατὰ σελίδα πᾶσαν ὑπάρχον, χῶρον μὲν περιλαμβάνει 0,27 ἐπὶ 0,19, γραμμὰς δὲ κατὰ στήλην ἢ 33 ἢ 35. Καὶ ἡ μὲν γραφὴ ὑπόξανθός ἐστιν, αἱ δὲ τῶν ὁμιλιῶν ἐπιγραφαί, τά τε διαχωρίζοντα ταύτας ταινιοειδῆ κοσμήματα καὶ τὰ κεφαλαιώδη που στοιχεῖα ἀχρωμάτιστά ἐστιν. Ὑπάρχουσι δέ που ἐν ταῖς ᾤαις καὶ ὑπογραφαὶ μονοκόνδυλοι μὲν δυσανάγνωστοι δὲ (οἷον ἐν φ. 6^{β}-7, 30^{β}-31, 115^{β}), ἔτι δὲ ὑπομνήσεις δύο τοῦ πατριάρχου Θεοφάνους, ὅτι «τὸ παρὸν βιβλίον ὑπάρχει τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου» (φ. 2 καὶ 11), καὶ τούτων ἄλλη τις παλαιοτάτη, ἴσως τοῦ δυοκαι-

δεκάτου αἰῶνος, ὅτι τὸ βιβλίον κτῆμα ἦν τῆς λαύρας «Θεοδοσίου τοῦ κοινοβιάρχου» (φ. 3), οὗ τὸ ὄνομα διὰ τοῦδε ἐσημάνθη τοῦ μονογράμματος .

9. Τεῦχος μεμβράνινον ἀκέφαλόν τε καὶ ἀτελές, γεγραμμένον μὲν ἀρχομένης τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ὑπὸ δύο ὡς εἰκάσαι καλλιγράφων, φύλλα δὲ σῷζον 273, ἃ τριάκοντα καὶ πέντε ἠριθμημένα συμπληροῖ τετράδια, τοῦ πρώτου ὡς εἰκὸς ἐλλείποντος· ἦν δὲ τοῦτο ἀπὸ τοῦ τετάρτου καὶ δεκάτου αἰῶνος κτῆμα τῆς τοῦ ὁσίου Σάβα γεραρᾶς λαύρας καὶ τοῦ ἐν Ἱεροσολύμοις μετοχίου ἐκείνης, ὃ τῷ ἀρχαγγέλῳ ἀνατέθειται Μιχαὴλ (ὅρα φύλλ. 2). Ἔστι δὲ τὸ τεῦχος ἐφθαρμένον τε πολλαχοῦ καὶ σεσηπὸς δι' ὕδατος εἰσβολήν, ἀλλὰ βιβλιοπηγός τις τὰ ἐφθαρμένα τῶν φύλλων ἄκρα συνεπλήρωσε τὸ πάλαι τεμαχίοις τισὶ μεμβρανίνων φύλλων, ἀπὸ βιβλίων τῆς δεκάτης καὶ τῆς δωδεκάτης ἀποσπασθέντων ἑκατονταετηρίδος. Καὶ ὕψους μέν ἐστι τὸ τεῦχος 0,365, πλάτους δὲ 0,255· τὸ δ' ἐν αὐτῷ κείμενον δίστηλον κατὰ πᾶσαν ὑπάρχον σελίδα, χῶρον περιλαμβάνει 0,28 ἐπὶ 0,18· μία δ' ἑκάστη τῶν στηλῶν γραμμὰς ἀριθμεῖ ἢ 33 ἢ 34. Περιέχεται μὲν οὖν ἐν τῷ κώδικι τῷδε τὸ δεύτερον τμῆμα τῶν περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου ὁμιλιῶν Ἰωάννου τοῦ Χρυσοστόμου· αὐτὸ δὲ τὸ τμῆμα ἄρχεται μὲν ἀπὸ τῶν λέξεων τῶνδε τῆς μη' ὁμιλίας «ἐννόησον γοῦν τὴν πόρνην ἐκείνην πῶς ἀπὸ τραπέζης ἐποίησεν ἥμερον», λήγει δὲ εἰς τάσδε τὰς λέξεις τῆς ἐνενηκοστῆς ὁμιλίας· «πῶς δυνατὸν μὴ πλουτοῦντά φησι τούτων ἐπιτυχεῖν». Τῶν δὲ ὁμιλιῶν αὖ αἱ μὲν ἐπιγραφαὶ πορφυραῖ εἰσι, τὰ δὲ ταύτας διαχωρίζοντα ταινιοειδῆ κοσμήματα καὶ τὰ ἐν ἀρχῇ ἑκάστης ἐκείνων μεγάλα καὶ κεφαλαιώδη στοιχεῖα κεχρυσωμένα τε καὶ κεχρωματισμένα ὑπάρχει.

10. Τεῦχος μεμβράνινον τῆς δωδεκάτης ἑκατονταετηρίδος, ὃ ὕψους μέν ἐστι 0,36, πλάτους δὲ 0,266· σύγκειται δ' ἐκ φύλλων 104, ὧν τὸ κείμενον δίστηλον ὑπάρχον χῶρον καθ' ἑκάστην περιλαμβάνει στήλην 0, 247 ἐπὶ 0, 20· ἐν πάσῃ δὲ στήλῃ γραμμαὶ ἀριθμοῦνται ἢ 54 ἢ 60. Περιέχονται οὖν ἐν τῷ

βιβλίῳ ᾀσματικαὶ τριῶν μηνῶν ἀκολουθίαι καὶ τὰ συναξάρια τῶν κατὰ τούτους ἑορταζομένων ἁγίων ἀνδρῶν τε καὶ γυναικῶν, μαρτύρων τε καὶ ὁσίων καὶ προφητῶν.

1. Μηναῖον τοῦ μηνὸς Σεπτεμβρίου, οὗ ἐν ἀρχῇ ταινιοειδὲς ὑπάρχει ἐρυθρὸν καὶ πλατὺ κόσμημα. Διαφοραὶ δὲ ἑορτῶν αἱ ἐφεξῆς ἐν τῷ μηναίῳ τούτῳ διακρίνονται. Τῇ μὲν ε′ ἡμέρᾳ τοῦ μηνὸς σεπτεμβρίου πλὴν τοῦ προφήτου Ζαχαρίου καὶ ἡ ἄθλησις τῶν μαρτύρων ἑορτάζεται Θουθαὴλ καὶ Βεβαίας, καὶ ἡ «ἄθλησις τῆς ἁγίας Ἡραΐδος, ἥτις ὑπάρχουσα ἐτῶν δώδεκα τὸν μονήρη βίον ὑπῆλθεν· αὕτη διαβληθεῖσα Κουλκιανῷ [sic] τῷ ὑπάρχῳ ἐν Ἀλεξανδρείᾳ σὺν ἑτέραις παρθένοις τὴν κεφαλὴν ἀπετμήθη». — Τῇ δ' ς′ ἡμέρᾳ τοῦ αὐτοῦ μηνὸς ἡ μνήμη τῆς ἀθλήσεως ἐτελεῖτο Οὐρβανοῦ τε καὶ Μεδίμνου τῶν ἁγίων καὶ τῶν σὺν αὐτοῖς ὀγδοήκοντα ἱερέων καὶ λευιτῶν. Ἄλλαι δὲ διαφοραί τινες εἰσὶν αἵδε· ὅτι τῇ μὲν ζ′ ἡ μνήμη ἐτελεῖτο τῆς ἀθλήσεως Στεφάνου τοῦ ἐπισκόπου Ῥώμης, τῇ δὲ ιζ′ ἡ τῶν μαρτύρων Ἐλπιδίου καὶ Ἀγαπίου καὶ τῆς μητρὸς αὐτῶν Σοφίας σὺν τῇ τῆς ὁσίας Σωσάννης· αὐτὴ δ' αὖ ἡ Σωσάννα καὶ τῇ ιθ′ ἑωρτάζετο. Τῇ δὲ ιη′ Συμεὼν ἑωρτάζετο ὁ μετὰ Ἰάκωβον τὸν ἀδελφόθεον ἐπίσκοπος γεγονὼς Ἱεροσολύμων, καὶ τῇ κα′ σὺν τῷ ἐπισκόπῳ Κοδράτῳ ἡ ἄθλησις ἐπανηγυρίζετο τοῦ ἁγίου Θεοδοσίου (γρ. Θεοδώρου) τοῦ ἐκ Πέργης τῆς Παμφυλίας, ὃς κατὰ τὸ ἐν τῷ μηναίῳ τῷδε συναξάριον ἐπὶ ἡγεμόνος ἐμαρτύρησε Θεοδότου, Ἀντωνίου τοῦ αὐτοκράτορος βασιλεύοντος. Σημειωτέον δ' ἔτι, ὅτι τῇ κβ′ σεπτεμβρίου καὶ ἡ μνήμη πάλαι ἐτελεῖτο τοῦ τε προφήτου Ἰωνᾶ καὶ «Ἰωάννου πρεσβυτέρου τοῦ Σαβαΐτου, τοῦ πατρὸς τῶν ἁγίων Θεοφάνους καὶ Θεοδώρου τῶν ποιητῶν καὶ γραπτῶν».

2. Μηναῖον τοῦ μηνὸς Ὀκτωβρίου, φ. $41^{β}$—72. Τῇ κγ′ τοῦ μηνὸς τούτου ἡμέρᾳ ἐτελεῖτο κατὰ τὸ μηναῖον τόδε ἡ τῆς ἁγίας μάρτυρος Θεοδότης ἱερὰ μνήμη.

3. Μηναῖον τοῦ μηνὸς Νοεμβρίου, φ. 73—104. Τῇ μὲν α′ τοῦ μηνὸς τούτου ἡμέρᾳ, πλὴν τῶν ἁγίων ἀναργύρων Κοσμᾶ τε καὶ Δαμιανοῦ, καὶ ἡ ἄθλησις ἑωρτάζετο Καισαρίου τε καὶ Δα-

σίου καὶ Σαβινιανοῦ καὶ Ἀγρίππα καὶ Ἀδριανοῦ καὶ Θωμᾶ τοῦ νηπίου, τῶν ἐν Δαμασκῷ διαφόροις δοκιμασθέντων βασάνοις κἀκεῖ τελειωθέντων, καὶ τῶν ἁγίων Δομνίνας καὶ Δόμνας καὶ Κυριακοῦ τοῦ μάρτυρος. Τῇ δὲ κδ' τοῦ αὐτοῦ μηνὸς ἡ πανήγυρις ἐτελεῖτο τῶν ἁγίων μαρτύρων Αἰκατερίνης καὶ Μερκουρίου, τῇ δ' ἐφεξῆς ἡμέρᾳ ἡ τῶν ἁγίων ἐπισκόπων Κλήμεντος Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας, καὶ τῇ κζ' σὺν Ἰακώβῳ τῷ Πέρσῃ ὁ ὅσιος ἑωρτάζετο Ἀκάκιος ὁ ἐν τῇ Κλίμακι μνημονευόμενος. Ἐν τέλει δὲ τοῦ τεύχους ἀναγιγνώσκεται τὸ «Εἴληφε τέλος ὁ νοέμβριος μήν· ἀρχὴ δὲ πάλιν ὁ δεκέμβριος οὗτος». Ἐν δὲ τῷ 91-ῳ φύλλῳ, ἔνθα ἡ τῆς ιζ' νοεμβρίου ᾀσματικὴ ὑπάρχει ἀκολουθία, χειρὶ ἄλλου τινὸς γέγραπται ἐν τῇ ᾤᾳ τὸ σημείωμα τόδε· «† μηνὶ τῷ αὐτῷ εἰς τ(ὴν) ιζ' τὰ τέλη τοῦ βίου ἐχρήσατο ὁ κυρὸς Βασίλ(ειος), ὁ Μαννιώτ(ης), ἔτους ‚ςψμ' (1231), ἰνδικτιῶνι ε' ἡμέρᾳ γ'».

11. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατ., μετὰ καλῆς τε καὶ ἀραιᾶς γραφῆς, ὃ φύλλα νῦν σῴζει 385· τούτων δὲ τρισκαίδεκά ἐστι χαρτῷα, ἃ κατὰ τὴν ιζ' προσετέθη ἑκατονταετηρίδα ἀναπληρώσεως ἕνεκα ἰσαρίθμων φύλλων οὐ τότε σῳζομένων ἐν τῷ κώδικι. Τὸ τεῦχος μὲν οὖν ὕψους μέν ἐστι 0, 362, πλάτους δὲ 0, 267· τὸ δ' ἐν αὐτῷ κείμενον, χῶρον κατὰ σελίδα περιλαμβάνον 0,23 ἐπὶ 0,18, δίστηλόν ἐστι, καὶ πᾶσα μὲν στήλη δέκα καὶ ἐννέα ἀριθμεῖ γραμμάς, ἐν δὲ τῇ ἀρχῇ τοῦ κώδικος φύλλα χαρτῷα ὑπάρχει δύο, ὧν τὸ μὲν τὸν πίνακα τῶν περιεχομένων ἐνέχει, τὸ δὲ ὑπόμνημά τι ἀνορθόγραφον τοῦ ἑκκαιδεκάτου αἰῶνος, ὃ τάδε δηλοῖ· «† αὕτη ἡ θεία καὶ ἱερὰ βίβλος ὑπάρχει τῆς σεβασμίας μονῆς τοῦ ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ» κτλ. Αὐτὸ δὲ τὸ τεῦχος τοὺς ἐφεξῆς ἐγκλείει λόγους Γρηγορίου τοῦ Θεολόγου, οἳ κεκοσμημένοι εἰσὶ μετὰ κεφαλαιωδῶν τινων ἐγκοσμήτων στοιχείων.

1. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὸ πάσχα καὶ εἰς τὴν βραδυτῆτα», οὗ ἡ ἀρχή· «Ἀναστάσεως ἡμέρα», φ. 1. Ἡ δὲ τοῦ λόγου ἐπιγραφὴ χρυσογραφὴς οὖσα, ὑπὸ καλὸν καὶ ὡραῖον εὑρίσκεται πλατὺ κόμημα, ὃ παρεμφερές ἐστι τῷ Π στοιχείῳ.

2. Τοῦ αὐτοῦ λόγος εἰς τὴν νέαν κυριακήν, οὗ ἡ ἀρχή· «Ἐγκαίνια τιμᾶσθαι», φ. 33. Migne, τ. 36, σ. 608.

3. Τοῦ αὐτοῦ εἰς τὴν πεντηκοστήν. Ἀρχ. «Περὶ τῆς ἑορτῆς βραχέα», φ. 43. Migne τ. 36, σ. 428.

4. Εἰς Ἀθανάσιον ἐπίσκοπον Ἀλεξανδρείας. Ἀρχ. «Ἀθανάσιον ἐπαινῶν», φ. 58. Migne τ. 35, σ. 1081.

5. Εἰς τοὺς Μακκαβαίους. Ἀρχ. «Τί δαὶ οἱ Μακκαβαῖοι», φ. 90. Migne τ. 35, σ. 912.

6. Εἰς Κυπριανὸν τὸν μάρτυρα. Ἀρχ. «Μικροῦ Κυπριανὸς διέφυγεν», φ. 104. Migne τ. 35, σ. 1169.

7. «Εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν»· ἐπιγραφὴ χρυσογραφὴς ὑπὸ κόσμημά τι γεγραμμένη, ὃ ὅμοιόν ἐστιν τῷ Π στοιχείῳ. Ἀρχ. «Τίς ἡ τυραννίς», φ. 122. Migne τ. 35, σ. 1044.

8. Εἰς τὸν μέγαν Βασίλειον ἐπιτάφιος, οὗ ἡ ἀρχή· «Ἔμελλεν ἄρα», φ. 152. Migne τ. 36, σ. 493.

9. Εἰς τὸ ἅγιον βάπτισμα. Ἀρχ. «Χθὲς τῇ λαμπρᾷ», φ. 243. Migne τ. 36, σ. 360.

10. Εἰς Γρηγόριον τὸν ἀδελφὸν κτλ. Ἀρχ. «Φίλου πιστοῦ», φ. 293. Migne τ. 35, σ. 832.

11. Συντακτήριος εἰς τὴν τῶν ρν' ἐπισκόπων παρουσίαν, οὗ ἡ ἀρχή· «Πῶς ὑμῖν τὰ ἡμέτερα», φ. 300. Migne τ. 36, σ. 457.

12. Εἰς τὸν πατέρα σιωπῶντα. Ἀρχ. «Τί λύετε τάξιν», φ. 326. Migne τ. 35, σ. 933.

13. Περὶ φιλοπτωχίας. Ἀρχ. «Ἄνδρες ἀδελφοὶ καὶ συμπένητες», φ. 347. Migne τ. 35, σ. 857.

14. Εἰς τὰ φῶτα. Ἀρχ. «Πάλιν Ἰησοῦς ὁ ἐμός», φ. 370. Migne τ. 36, σ. 356. Λήγει δὲ ὁ λόγος ὧδε· «εἰ γὰρ ὁ ἀτιμάζων πένητα παροξύ....»

12. Μεμβράνινον εὐαγγέλιον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, κατὰ τὴν διάταξιν διῃρημένον τῆς Κωνσταντινουπόλεως, καὶ ὕψους μὲν ὂν 0,345, πλάτους δὲ 0,255. Διανενέμηται δὲ εἰς τετράδια μα', ὧν οἱ ἀριθμοὶ κατὰ τὴν ἐπάνω ἐκείνων ἄκραν ὑπ' αὐτοῦ τοῦ καλλιγράφου σημαίνονται· ἄλλη δὲ τούτων μεταγενεστέρα

ἀρίθμησις πρὸς τὰς κάτω ἐγένετο ᾤας ἀρμενικοῖς γράμμασι (ա — բ) καὶ σύγκειται νῦν ἐκ φύλλων 294, ὧν πολλὰ κατὰ τὴν ιδ' προσετέθη ἑκατ. ἀναπληρώσεως ἕνεκα προεκπεσόντων τινῶν φύλλων· ταῦτα δέ ἐστι τάδε· 1, 8, 63, 90, 143, 146, 147 καὶ 151 ἄχρι τοῦ 180-ου φύλλου. Τὸ δὲ κείμενον δίστηλον ὂν καὶ ἐκ γραμμῶν 24 κατὰ στήλην, χῶρον ἐν πάσῃ περιλαμβάνει σελίδι ὕψους μὲν 0,22, πλάτους δὲ 0,175. Αὐτὸ δὲ τὸ εὐαγγέλιον, ταινιοειδέσι τισὶ κοσμούμενον κοσμήμασί τε καὶ ἐπιγραφαῖς καὶ ἐρυθραῖς τισιν ὁδηγίαις, ἐπιγέγραπται ὧδε· «Εὐαγγέλιον περιέχον τὰ εὐαγγέλια τοῦ ὅλου χρόνου, τά τε καθημερινὰ τοῦ δρόμου καὶ τὰ τοῦ μηνολογίου» τὸ δὲ μηνολόγιον ἄρχεται ἀπὸ τοῦ 243-ου φύλλου ὧδε· «Μηνὶ σεπτεμβρίῳ α' ἀρχὴ τῆς ἰνδίκτου καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου· γίνεται δὲ καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις ὑπὲρ Μιασυνῶν, καὶ ἐν μὲν τῷ Φόρῳ καὶ εἰς τὴν λειτουργίαν τῆς Μεγάλης Ἐκκλησίας ἀναγινώσκεται εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.... ἐν δὲ τοῖς Χαλκοπρατείοις ἀναγινώσκεται εὐαγγέλιον» κτλ. Κατὰ δὲ τὸ μηνολόγιον τόδε τῇ μὲν β' τοῦ σεπτεμβρίου ἡμέρᾳ καὶ ἡ μνήμη τῶν ἁγίων ἐτελεῖτο πατριαρχῶν Ἰωάννου τοῦ νηστευτοῦ καὶ Παύλου τοῦ νέου, κατὰ δὲ τὴν 25 τοῦ αὐτοῦ μηνὸς τάδε σημειοῦται· «Εἰς τὴν λιτὴν τοῦ Κάμπου ἐν μὲν τῷ τριβουναλίῳ λέγεται εὐαγγέλιον· ζήτει τῇ δ' τῆς α' ἑβδομάδος τοῦ Λουκᾶ· εἰς δὲ τὴν λειτουργίαν κάτω ἐν τῷ ναῷ τοῦ Θεολόγου ἀναγινώσκεται εὐαγγέλιον· ζήτει τῇ ε' τῆς α' ἑβδομάδος τῶν νηστειῶν». Ἀπὸ δὲ τοῦ 293-ου φύλλου ἀναγεγραμμένα ἐστὶν «εὐαγγέλια ἀναγινωσκόμενα εἰς διαφόρους μνήμας καὶ λιτάς», ἤτοι εἰς ἐγκαίνια ναοῦ, εἰς ἀνοίξια, εἰς μνήμην φόβου σεισμοῦ, εἰς μνήμην ἐφόδου, εἰς λιτὴν εὐχαριστήριον καὶ εἰς λιτὴν παρακλητικήν.

13. Πανηγυρικὸν μεμβράνινον βιβλίον τῆς δεκάτης ἢ ἑνδεκάτης ἑκατονταετηρίδος, βεβλαμμένον μὲν ὑφ' ὕδατος, συγκείμενον δ' ἐκ φύλλων 148 καὶ κείμενον ἐμπεριέχον δίστηλον, οὗ πᾶσα στήλη 34 ἀριθμεῖ γραμμάς. Μέγεθος δὲ τοῦ μὲν κώδικος 0,354×0,26, τοῦ δὲ κειμένου καθ' ἑκάστην σελίδα 0,253×0,185.

Ἐν δὲ τῇ ἀρχῇ τοῦ βιβλίου πίναξ τῶν περιεχομένων προσετέθη τῷ 1790-ῷ ἔτει· ταῦτα δὲ τάδ' ἐστιν.

1. «Κυριακῇ τοῦ πάσχα εἰς τὸν παράλυτον:—Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, λόγος εἰς τὸν παράλυτον τριακονταοκτὼ ἔτη ἔχοντα ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, καὶ ὅτι ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι». Ἀρχ. «Εὐλογητὸς ὁ Θεός· καθ' ἑκάστην σύναξιν», φ. 1. Λόγος ἐλλιπὴς ἐν τῷ κώδικι, οὗ τὸ ὅλον κείμενον ὅρα παρὰ τῷ Migne τ. 48, σ. 801.

2. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν μεσοπεντηκοστὴν καὶ εἰς τὸν ἐκ γενετῆς τυφλὸν καὶ εἰς τὸν ἅγιον Πέτρον ὑπὸ Ἡρώδου ἐν τῇ φυλακῇ ἀποκλεισθέντα». Ἀρχ. «Τοῖς φιλοῦσιν τὸν κύριον», φ. 8β. Migne τ. 86, σ. 1976, ἔνθα ὁ λόγος Λεοντίῳ ἐπιγράφεται τῷ πρεσβυτέρῳ Κωνσταντινουπόλεως. Ὅρα καὶ Ἱεροσολυμ. Βιβλιοθ. τ. I, σ. 22, ἀριθ. 35.

3. Τοῦ αὐτοῦ εἰς τὸ «Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκεν». Ἀρχ. «Τῇ ἀναβολῇ προσεκτικωτέρους», φ. 16. Ὅρα ἐκδ. Gaume τ. VIII, σ. 332.

4. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν Σαμαρεῖτιν καὶ τί ἑρμηνεύεται ὁ Μεσσίας». Ἀρχ. «Σήμερον ἡμῖν ὁ Χριστός», φ. 20. Migne τ. 59, σ. 535.

5. Τοῦ αὐτοῦ «λόγος περὶ ζήλου εὐσεβείας καὶ εἰς τὸν ἐκ γενετῆς τυφλόν», οὗ ἡ ἀρχή· «Πηγὴ φωτὸς ὁ τοῦ Θεοῦ λόγος», φ. 27. Migne τ. 59, σ. 543.

6. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν ἁγίαν ἀνάληψιν τοῦ Χριστοῦ· ἐλέχθη ἐν τῷ μαρτυρίῳ τῆς Ῥωμανησίας καὶ εἰς μαρτύρων σώματα ὑπὸ ἐδάφους κείμενα ἐγγὺς λειψάνων αἱρετικῶν, ἅπερ ἀνηνέχθη καὶ κατ' ἰδίαν ἐτάφη· καὶ τί νοητέον τὸ ῥητὸν τοῦ Χριστοῦ τὸ λέγον ὅτι εὑρεθήσονται δύο ἐν τῷ μύλῳ ἀλήθουσαι». Ἀρχ. «Καὶ ὅτε σταυροῦ μνείαν», φ. 38β. Migne τ. 50 σ. 441.

7. Ἰωάννου τοῦ Δαμασκηνοῦ «περὶ τῶν ἐν πίστει κεκοιμημένων ὅπως αἱ ὑπὲρ αὐτῶν γινόμεναι λειτουργίαι καὶ εὐποιίαι τούτους ὀνίνησιν». Ἀρχ. «Τὰ τῶν βρωμάτων ἡδέα», φ. 54β. Migne τ. 95, σ. 248.

8. Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὴν πεντηκοστήν, οὗ ἡ ἀρχή· «Περὶ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν», φύλ. 79. Migne τ. 36, σ. 428.

9. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος «εἰς τὴν ἁγίαν πεντηκοστήν, καὶ διατί σημεῖα νῦν οὐ γίνεται καὶ ὅτι τὰ πραττόμενα καὶ λεγόμενα παρ' ἡμῶν ἄνω γράφεται». Ἀρχ. «Πάλιν ἑορτὴ καὶ πάλιν πανήγυρις», φ. 87. Migne τ. 50, σ. 453.

10. Τοῦ αὐτοῦ ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας, οὗ ἡ ἀρχή· «Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν», φ. 98. Migne τ. 50, σ. 705.

11. Τοῦ αὐτοῦ «λόγος εἰς τὸ γενέθλιον τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ», οὗ ἡ ἀρχή· «Εὔκαιρος ἡμέρα ἑορτῆς», φ. 107β. Migne τ. 61, σ. 757. Τὸ κείμενον τοῦ λόγου τοῦδε εἰς τὸ 114-ον φύλλον τελευτᾷ, οὗ μία καὶ ἡμίσεια στήλη ἄγραφος ὑπὸ τοῦ καλλιγράφου ἀφεθεῖσα, δι' ἄλλου τινὸς ὕστερον ἐπληρώθη κειμένου κατὰ τὸν τρισκαιδέκατον ὡς εἰκάσαι αἰῶνα· τοῦτο δὲ τὸ κείμενον, καίπερ σφόδρα ἀνορθόγραφον ὂν καὶ ἐπηρείᾳ ὕδατος κατὰ πολλὰ ἐφθαρμένον, τὰς ἀποκρύφους μὲν ἀγνώστους δὲ ἄχρι τοῦ νῦν πράξεις σῴζει Βαρθολομαίου τοῦ ἀποστόλου, ὧν ἡ συνέχεια τὰ κράσπεδα τῶν ἐφεξῆς δύο πληροῖ φύλλων. Ἀρχὴ δὲ τῶν πράξεων ἥδε· «Μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προ[σε]λθ[ὼν ὁ] Βαρθολομαῖος τὸν Κύριον ἐπερώτα λέγων· Ἀποκάλυψόν μοι τὰ μυστήρια τῶν οὐρανῶν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἐδυνο//// ἀπώσομαι τὸ σῶμα τῆς σαρκός, οὐ δυνήσομαι εἰπεῖν σε. Ὁ οὖν Βαρθολομαῖος ἐγγίσας πρὸς τὸν Κύριον εἶπεν· Λόγος μοί ἐστιν πρὸς σὲ Κύριε. Ὁ δὲ Ἰησοῦς λέγει αὐτῷ» κτλ.

12. «Πράξεις τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ πῶς ἐν Ῥώμῃ ἐμαρτύρησαν ἐπὶ Νέρωνος». Ἀρχ. «Ἐγένετο μετὰ τὸ ἐξελθεῖν τὸν ἅγιον Παῦλον ἀπὸ Γαυδομελέτης τῆς νήσου ἐλθεῖν αὐτὸν ἐπὶ Ἰταλίαν καὶ γνωστὸν ἐγένετο τοῖς Ἰουδαίοις» κτλ., φ. 115. Τέλος· «καὶ Ποτεντιάνας τῷ αὐτῷ μηνὶ ἰουλίῳ ὀγδόῃ, χάριτι καὶ φιλανθρωπίᾳ» κτλ. C. Tischendorf, Acta apostolorum apocrypha σ. 1 κἑ. Ἱεροσολ. Βιβλιοθ. τ. I, σ. 24 καὶ 150.

13. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον λεχθὲν εἰς τὴν μνήμην τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου», οὗ ἡ ἀρχή· «Οὐρανοῦ καὶ γῆς ἅμιλλαν ὁρῶ», φ. $126^β$. Migne τ. 59, σ. 491.

14. Ἀνδρέου Ἱεροσολυμίτου τοῦ ἀρχιεπισκόπου Κρήτης λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὗ ἡ ἀρχή· «Ὅσοι τῇ κενώσει», φ. $129^β$. Migne τ. 97, σ. 932.

15. «Λόγος τοῦ μακαρίου Ἐφραὶμ εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου», οὗ ἡ ἀρχή· «Ἐκ τῆς χώρας Χαρμωνὰς ἐκ τοῦ ἀμπελῶνος», φ. $140^β$. Ἐκδ. Assemani τ. II, σ. 41.

16. Ἀνδρέου τοῦ ἀρχιεπισκόπου Κρήτης λόγος εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου, οὗ ἡ ἀρχή· «Ὅσοι τὸ σεπτὸν τῆς Θεοτόκου», φ. 144. Migne τ. 97, σ. 1045. Ὁ λόγος τελευτᾷ νῦν ἐν τῷ κώδικι εἰς τάσδε τὰς λέξεις· «ἡ ῥίζα τοῦ Ἰεσσαί, τὸ δαυιτικὸν σκῆπτρον ἡ μήτηρ τοῦ . . . .». Χάσμα δὲ καὶ ἐν τῇ ἀρχῇ τοῦ λόγου ὑπάρχει, ὃ δυσὶ χαρτῴοις ἐδηλώθη φύλλοις, ἤτοι μετὰ τὸ 144-ον μεμβράνινον τοῦ τεύχους φύλλον.

14. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, διῃρημένον μὲν εἰς τετράδια λβ' ἢ ἀκριβέστερον εἰς φύλλα 251, κείμενον δ' ἐμπεριέχον δίστηλον ἐκ 34 κατὰ στήλην γραμμῶν. Καὶ τὸ μὲν ὕψος αὐτοῦ 0,385 ἑκατοστῶν ἐστι, τὸ δὲ πλάτος 0,285· αὐτοῦ δὲ τοῦ κειμένου ὁ χῶρος ἐμβαδὸν περιλαμβάνει 0,26 × 0,18. Εἰσὶ δ' ἐν τῷ βιβλίῳ αἱ πρῶται τριάκοντα ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου αἱ τὴν Μωσαϊκὴν ἑρμηνεύουσαι Γένεσιν, ἐρυθραῖς κεκοσμημέναι ἐπιγραφαῖς, καὶ ἀριθμοῖς καὶ κοσμημασί τισιν ὡσαύτως ἐρυθροῖς, ὧν κάλλιόν ἐστι τὸ ἐν τῇ ἀρχῇ τῆς βίβλου, ὃ σχῆμα μὲν ἔχει παρόμοιον τῷ Π στοιχείῳ, περικεκοσμημένον δ' ἐστὶ δενδρυλλίοις τισὶ καὶ δύο ἀκρωτηρίοις, ἔτι δὲ κεχρυσωμένον τε καὶ ποικίλοις διεσκευασμένον χρώμασι· τοῦτο δὲ τὸ κόσμημα χρυσοῖς γράμμασι τήνδε περικαλύπτει τὴν ἐπιγραφήν· «✝ Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, λόγος εἰς τὴν ἀρχὴν τῆς ἁγίας τεσσαρακοστῆς», οὗ ἡ ἀρχή· «Πολλῆς σήμερον πληροῦμαι» κτλ. (Migne τ. 53 σ. 26). Μετὰ δὲ τὴν ἐσχάτην ὁμιλίαν ὑπόμνημά τι γέγραπται, ὃ ἔχει ὧδε· «✝ Ἡ

παροῦσα ἐξαήμερος τοῦ Χρυσοστόμου ὑπάρχει τοῦ πρωτοψάλτου Παντολέοντος τοῦ Λιγυροῦ, ἀποθανόντος ἐν τῷ ͵ζοα' (ἔτει) ἰνδικτ. ς' (= 1562-1563). "Ημαρτον, Χριστὲ σωτήρ, ὡς ὁ ἄσωτος υἱός· δέξαι με, Πάτερ, μετανοοῦντα καὶ ἐλέησόν με ὁ Θεός». Σημειωτέον δ' ἔτι, ὅτι μεταξὺ τοῦ 51-ου καὶ τοῦ 52-ου φύλλου λείψανα ὑπάρχει δύο ἀνῃρημένων φύλλων, καὶ ὅτι ἐν τῷ τελευταίῳ τοῦ κώδικος φύλλῳ σεσημασμένον εὕρηται διὰ μολύβδου τὸ «XIV αἰῶνος. A. Порфирій 1860».

15. Τεῦχος μεμβράνινον ἀτάκτως μὲν συνερραμμένον, λείψανα δὲ σῷζον δύο διστήλων κωδίκων, τοῦ μὲν ἐν ἀρχῇ τῆς βίβλου ὑπάρχοντος ἐκ φύλλων τε συγκειμένου ἐννέα καὶ κατὰ τὴν ἑνδεκάτην γραφέντος ἑκατονταετηρίδα, τοῦ δ' ἑτέρου ἐκ φύλλων συνισταμένου 78 καὶ κατὰ τὸ τέλος τῆς ἐνάτης ἢ τὴν ἀρχὴν τῆς δεκάτης γραφέντος ἑκατονταετηρίδος. Ἀμφότερα οὖν τὰ λείψανα ὀγδοήκοντα καὶ ἑπτὰ ἀριθμεῖ φύλλα· καὶ τὰ μὲν προειρημένα ἐννέα φύλλα τριάκοντα καὶ ἑπτὰ κατὰ στήλην γραμμὰς ἔχει, τὰ δὲ λοιπὰ τεσσαράκοντα καὶ μίαν. Ταῦτα δὲ τὰ τελευταῖα, τὰ ἀρχαιότερα πάντων, εἰ καὶ περικεκομμένας ἔχει τὰς ᾤας, ὕψους μέν ἐστι 0,38, πλάτους δὲ 0, 27· τὸ δ' ἐμβαδὸν τοῦ ἐν αὐτοῖς κειμένου χῶρον κατὰ σελίδα περιλαμβάνει 0,326 ἐπὶ 0,21. Ἔχει δὲ καὶ ἐπιγραφὰς πορφυρᾶς μετὰ μικρῶν κεφαλαιωδῶν τινων στοιχείων καὶ μεμονωμένα τινὰ μεγάλα κεφαλαιώδη γράμματα, τὰ μὲν ἁπλαῖς διαγεγραμμένα γραμμαῖς, τὰ δὲ κιτρίνῳ κεχαλλωπισμένα χρώματι. Πλὴν δὲ τούτων τῶν φύλλων, ἃ τὸν εἰρημένον ἀποτελεῖ κώδικα, ἔτι φύλλα ὑπάρχει δώδεκα ἄλλου τινὸς μικροῦ τε καὶ μεμβρανίνου κώδικος τῆς ἑνδεκάτης ἑκατ. ($0,26 \times 0,193 = 0,20 \times 0,145$), οἷς τὸ τεῦχος περιεκάλυψεν ὁ βιβλιοπηγός, ἐκεῖνα μὲν εἰς διπλοῦν ἀναπτύξας καὶ ἓξ ἰσομεγέθη ἀποσχηματίσας φύλλα, συγκολλήσας δὲ οὕτως, ὥστε ἀντὶ πινακίδων ταῦτα τοῦ κώδικος λογίζεσθαι. Ἐν τούτοις δὲ τοῖς προσθέτοις φύλλοις, ὧν ἓν αὐτόγραφον ἐμπεριέχει ὑπογραφὴν Παϊσίου τοῦ πατριάρχου Ἱεροσολύμων (1645-† 1661), λείψανον ἐγγέγραπται μακρᾶς περὶ Ἰωάννου γραφῆς τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας, τοῦ καὶ Ἐλεήμονος λεγομένου,

ἧς τὸ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλόν ἐστι καὶ ἐκ γραμμῶν 28. Καὶ ταῦτα μὲν περὶ τοῦ ὅλου τεύχους, ἐν δὲ τῷ τεύχει αὐτῷ τάδε περιλαμβάνεται·

1. Λείψανον τῆς περὶ τῆς Γενέσεως ὀγδόης ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστομου, ὃ νῦν ἀπὸ τῶν λέξεων τῶνδε ἄρχεται· «εἰκότως· καθάπερ γὰρ βασιλέως μέλλοντος εἰς πόλιν εἰσελαύνειν τοὺς δορυφόρους ἀνάγκη προηγεῖσθαι» κτλ., φ. 1. Migne τ. 53, σ. 71, γρ. 21.

2. Τοῦ αὐτοῦ «ὁμιλία θ'· εἰς τὰ ἀκόλουθα τοῦ Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν» κτλ. Ἀρχ. «Οἱ φιλόπονοι τῶν γηπόνων», φ. 5. Migne 53, σ. 76.

3. Τοῦ αὐτοῦ «λόγος ι'· προτροπὴ πρὸς τοὺς ἐρυθριῶντας» κτλ., ἧς ἡ συνέχεια ἐλλείπει, φ. 9β.

4. Λείψανον τῆς τρίτης τοῦ αὐτοῦ ὁμιλίας περὶ τῆς Γενέσεως, ὃ ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «οἰκέται, καὶ ἐκκλησία γενέσθω ἡ οἰκία, ἵνα φυγαδεύηται μὲν ὁ διάβολος» κτλ., φ. 10. Συνέπεται ἡ δ' ὁμιλία ὁλόκληρος καὶ μέρος τῆς ε', ἣ λήγει νῦν εἰς τὸ «μόνον ἐὰν ἡμεῖς μὴ ῥαθυμήσαντες», φ. 19β. Ἀπὸ δὲ τοῦ εἰκοστοῦ φύλλου τὸ τέλος ὑπάρχει τῆς ι' ὁμιλίας, ἀρχόμενον ὧδε· «....νιῶν παρ' ἑαυτῷ τὴν μνήμην τῶν εἰρημένων» κτλ. Μεθ' ὃ ὁμιλίαι εἰσὶν ἕξ, τούσδε φέρουσαι τοὺς ἀριθμούς· ιβ', ιγ', ιδ', ιε', ις' καὶ ιζ'. Ἀπὸ δὲ τοῦ 58-ου φύλλου μέρος ἀναγινώσκεται τῆς τεσσαρακοστῆς ὁμιλίας, ὧδε ἀρχόμενον· «. . . ματος τὴν σημασίαν καὶ ἐτυμολογίᾳ τινὶ κέχρηται λέγων» κτλ. Μετὰ δὲ τοῦτο ἡ μ' ὑπάρχει ὁμιλία, καὶ μετὰ ταύτην ἡ κα', ἡ κβ', ἡ μγ' καὶ ἡ κζ', ἣ τελευτᾷ ὧδε· «ἃ τὴν μανίαν αὐτῶν ἐπὶ πλεῖον διεγείρειν δύναται».

16. Τεῦχος χαρτῷον, κακῶς μὲν γεγραμμένον ἔτει 1833 ὑπὸ Κυρίλλου μοναχοῦ τοῦ Χίου, τοῦ ἐκ τῆς κώμης Πυργίου καὶ ψάλτου τῆς λαύρας Σάβα τοῦ ὁσίου, κατὰ τὸ αὐτόγραφον ἐκείνου ὑπόμνημα· ὕψους δέ ἐστι 0,38 καὶ πλάτους 0,215. Περιέχονται δ' ἐν αὐτῷ τὰ κείμενα τάδε.

1. Ἀκολουθίαι δέκα καὶ ἓξ εἰς ἀνωνύμους ἀποστόλους προφήτας μάρτυρας ἱεράρχας ὁσίους καὶ ὁσίας, σελ. 1—155.

2. «Μὴν ὀκτωβρίου 23· ἡ ἀναπλήρωσις τῆς ἀκολουθίας τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου καὶ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων», σελ. 156.

3. Ἀκολουθία τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῇ πρώτῃ ψαλλομένη νοεμβρίου, σελ. 166.

4. Ἀκολουθία τῶν ἐγκαινίων τοῦ ἐν Λύδδῃ ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου, τῇ τρίτῃ ψαλλομένῃ νοεμβρίου, σελ. 169.

5. «Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ξενοφῶντος καὶ τῆς συνοδίας αὐτοῦ, συντεθεῖσα παρά τινος Κοσμᾶ ἱερομονάχου Ἁγιοταφίτου, ἐκ Χώρας Γάνου», σελ. 174. Τοῦ αὐτοῦ δὲ Κοσμᾶ γραπτά τινα βιβλία καὶ συντάγματα ἐν τῷ πρώτῳ ἀνεγράφη τόμῳ τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης, σ. 273, 277, 326, 364, 379, 382 καὶ 405. Τρεῖς δὲ παρακλητικούς τε καὶ ᾀσματικοὺς τούτου κανόνας ὅρα ἀναγεγραμμένους ἐν τῷ πρώτῳ τόμῳ τῆς παρ' ἐμοῦ συντεταγμένης Μαυρογορδατείου Βιβλιοθήκης, σ. 104, ἀρθ. 193.

17. Τεῦχος χαρτῷον ἐκ φύλλων συγκείμενον 153, γραφὲν μὲν περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ Προκοπίου τοῦ Πελοποννησίου, φέρον δ' ἐπὶ τῆς ῥάχεως τὸ σημείωμα τόδε· «Προκοπίου κατὰ ἀθέων χειρόγραφον» βιβλίον, οὗ ἡ γνησία ἐπιγραφὴ ἐλλείπει· διῄρηται δὲ εἰς κεφάλαια μζ', ὧν τὸ πρῶτον ἐπιγέγραπται· «Ἀπόδειξις ὅτι οἱ ἄθεοι δὲν εἶναι ἄξιοι νὰ πιστεύωνται εἰς ὅσα λέγουσιν εἰς ἀναίρεσιν τῆς θεότητος». Ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0, 318, πλάτους δὲ 0, 215.

18. Συναξάριον μεμβράνινον, ὃ ἐκ φύλλων σύγκειται 406· τούτων δὲ τὰ μὲν πρῶτα 272 φύλλα ἔξω τινῶν χαρτῴων ἀμφὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἐγράφη ἑκατονταετηρίδος, τὰ δὲ λοιπὰ κατὰ τὴν δεκάτην. Εἰσὶν οὖν ἐν αὐτῷ τεύχη συνηνωμένα δύο διαφόρων καλλιγράφων, οἳ τὰς ἐμπεριεχομένας γραφὰς εἰς δύο κατὰ μίαν ἑκάστην σελίδα ἐχάραξαν στήλας. Καὶ τῶν μὲν πρώτων 272 φύλλων αἱ σελίδες ἐμβαδὸν μὲν ἔχουσι 0, 25 ἐπὶ 0,17, γραμμὰς δὲ κατὰ στήλην τριάκοντα· αὐτῶν δὲ τῶν φύλλων τὸ μὲν μῆκος τριάκοντα καὶ ἓξ ἑκατοστὰ τοῦ μέτρου ἀριθμεῖ, τὸ δὲ πλάτος

ἧς τὸ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλόν ἐστι καὶ ἐκ γραμμῶν 28. Καὶ ταῦτα μὲν περὶ τοῦ ὅλου τεύχους, ἐν δὲ τῷ τεύχει αὐτῷ τάδε περιλαμβάνεται·

1. Λείψανον τῆς περὶ τῆς Γενέσεως ὀγδόης ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστομου, ὃ νῦν ἀπὸ τῶν λέξεων τῶνδε ἄρχεται· «εἰκότως· καθάπερ γὰρ βασιλέως μέλλοντος εἰς πόλιν εἰσελαύνειν τοὺς δορυφόρους ἀνάγκη προηγεῖσθαι» κτλ., φ. 1. Migne τ. 53, σ. 71, γρ. 21.

2. Τοῦ αὐτοῦ «ὁμιλία θ'· εἰς τὰ ἀκόλουθα τοῦ Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν» κτλ. Ἀρχ. «Οἱ φιλόπονοι τῶν γηπόνων», φ. 5. Migne 53, σ. 76.

3. Τοῦ αὐτοῦ «λόγος ι'· προτροπὴ πρὸς τοὺς ἐρυθριῶντας» κτλ., ἧς ἡ συνέχεια ἐλλείπει, φ. 9β.

4. Λείψανον τῆς τρίτης τοῦ αὐτοῦ ὁμιλίας περὶ τῆς Γενέσεως, ὃ ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «οἰκέται, καὶ ἐκκλησία γενέσθω ἡ οἰκία, ἵνα φυγαδεύηται μὲν ὁ διάβολος» κτλ., φ. 10. Συνέπεται ἡ δ' ὁμιλία ὁλόκληρος καὶ μέρος τῆς ε', ἣ λήγει νῦν εἰς τὸ «μόνον ἐὰν ἡμεῖς μὴ ῥαθυμήσαντες», φ. 19β. Ἀπὸ δὲ τοῦ εἰκοστοῦ φύλλου τὸ τέλος ὑπάρχει τῆς ι' ὁμιλίας, ἀρχόμενον ὧδε· «....νιῶν παρ' ἑαυτῷ τὴν μνήμην τῶν εἰρημένων» κτλ. Μεθ' ὃ ὁμιλίαι εἰσὶν ἕξ, τούσδε φέρουσαι τοὺς ἀριθμούς· ιβ', ιγ', ιδ', ιε', ις' καὶ ιζ'. Ἀπὸ δὲ τοῦ 58-ου φύλλου μέρος ἀναγινώσκεται τῆς τεσσαρακοστῆς ὁμιλίας, ὧδε ἀρχόμενον· «. . . ματος τὴν σημασίαν καὶ ἐτυμολογίᾳ τινὶ κέχρηται λέγων» κτλ. Μετὰ δὲ τοῦτο ἡ μ' ὑπάρχει ὁμιλία, καὶ μετὰ ταύτην ἡ κα', ἡ κβ', ἡ μγ' καὶ ἡ κζ', ἣ τελευτᾷ ὧδε· «ἃ τὴν μανίαν αὐτῶν ἐπὶ πλεῖον διεγείρειν δύναται».

16. Τεῦχος χαρτῷον, κακῶς μὲν γεγραμμένον ἔτει 1833 ὑπὸ Κυρίλλου μοναχοῦ τοῦ Χίου, τοῦ ἐκ τῆς κώμης Πυργίου καὶ ψάλτου τῆς λαύρας Σάβα τοῦ ὁσίου, κατὰ τὸ αὐτόγραφον ἐκείνου ὑπόμνημα· ὕψους δέ ἐστι 0,38 καὶ πλάτους 0,215. Περιέχονται δ' ἐν αὐτῷ τὰ κείμενα τάδε.

1. Ἀκολουθίαι δέκα καὶ ἓξ εἰς ἀνωνύμους ἀποστόλους προφήτας μάρτυρας ἱεράρχας ὁσίους καὶ ὁσίας, σελ. 1—155.

2. «Μὴν ὀκτωβρίου 23· ἡ ἀναπλήρωσις τῆς ἀκολουθίας τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου καὶ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων», σελ. 156.

3. Ἀκολουθία τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῇ πρώτῃ ψαλλομένη νοεμβρίου, σελ. 166.

4. Ἀκολουθία τῶν ἐγκαινίων τοῦ ἐν Λύδδῃ ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου, τῇ τρίτῃ ψαλλομένη νοεμβρίου, σελ. 169.

5. «Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ξενοφῶντος καὶ τῆς συνοδίας αὐτοῦ, συντεθεῖσα παρά τινος Κοσμᾶ ἱερομονάχου Ἁγιοταφίτου, ἐκ Χώρας Γάνου», σελ. 174. Τοῦ αὐτοῦ δὲ Κοσμᾶ γραπτά τινα βιβλία καὶ συντάγματα ἐν τῷ πρώτῳ ἀνεγράφη τόμῳ τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης, σ. 273, 277, 326, 364, 379, 382 καὶ 405. Τρεῖς δὲ παρακλητικούς τε καὶ ᾀσματικοὺς τούτου κανόνας ὅρα ἀναγεγραμμένους ἐν τῷ πρώτῳ τόμῳ τῆς παρ' ἐμοῦ συντεταγμένης Μαυρογορδατείου Βιβλιοθήκης, σ. 104, ἀρθ. 193.

17. Τεῦχος χαρτῷον ἐκ φύλλων συγκείμενον 153, γραφὲν μὲν περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ Προκοπίου τοῦ Πελοποννησίου, φέρον δ' ἐπὶ τῆς ῥάχεως τὸ σημείωμα τόδε· «Προκοπίου κατὰ ἀθέων χειρόγραφον» βιβλίον, οὗ ἡ γνησία ἐπιγραφὴ ἐλλείπει· διήρηται δὲ εἰς κεφάλαια μζ', ὧν τὸ πρῶτον ἐπιγέγραπται· «Ἀπόδειξις ὅτι οἱ ἄθεοι δὲν εἶναι ἄξιοι νὰ πιστεύωνται εἰς ὅσα λέγουσιν εἰς ἀναίρεσιν τῆς θεότητος». Ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0, 318, πλάτους δὲ 0, 215.

18. Συναξάριον μεμβράνινον, ὃ ἐκ φύλλων σύγκειται 406· τούτων δὲ τὰ μὲν πρῶτα 272 φύλλα ἔξω τινῶν χαρτῴων ἀμφὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἐγράφη ἑκατονταετηρίδος, τὰ δὲ λοιπὰ κατὰ τὴν δεκάτην. Εἰσὶν οὖν ἐν αὐτῷ τεύχη συνηνωμένα δύο διαφόρων καλλιγράφων, οἳ τὰς ἐμπεριεχομένας γραφὰς εἰς δύο κατὰ μίαν ἑκάστην σελίδα ἐχάραξαν στήλας. Καὶ τῶν μὲν πρώτων 272 φύλλων αἱ σελίδες ἐμβαδὸν μὲν ἔχουσι 0, 25 ἐπὶ 0,17, γραμμὰς δὲ κατὰ στήλην τριάκοντα· αὐτῶν δὲ τῶν φύλλων τὸ μὲν μῆκος τριάκοντα καὶ ἓξ ἑκατοστὰ τοῦ μέτρου ἀριθμεῖ, τὸ δὲ πλάτος

διακόσια καὶ ἑβδομήκοντα καὶ πέντε χιλιοστά. Τῶν δὲ λοιπῶν φύλλων (τῶν μέχρι τοῦ 304-ου ἢ 312-ου φύλλου) αἱ σελίδες ἐμβαδὸν μὲν ἔχουσι 0,235 ἐπὶ 0,18, γραμμὰς δὲ κατὰ στήλην ἢ 32 ἢ 33· αὐτὰ δὲ τὰ φύλλα μήκους μέν ἐστι 0,355, πλάτους δὲ 0,258. Τὰ δὲ λοιπὰ φύλλα τὰ ἀπὸ τοῦ 313-ου ἄχρι τοῦ 326-ου φύλλου τῷ καλλιγράφῳ τοῦ ἑνδεκάτου προσήκει αἰῶνος· τὰ δ' ἐφεξῆς φύλλα τὰ ἄχρι τέλους τοῦ τεύχους ἄλλην πάλιν γραφὴν ἔχει, καὶ ἀραιοτέραν καὶ ταχυτέραν. Εἰσὶ δ' ἐν τῷ τεύχει ἐπιγραφαί τε ἐρυθραὶ καὶ στοιχεῖα κεφαλαιώδη τε καὶ ἐρυθρά, ἔτι δὲ κοσμήματά τινα καὶ κεφαλαιώδη πάλιν γράμματα δυσὶν ἐγκεχαραγμένα χρώμασι, τῷ τε κυανῷ καὶ τῷ πορφυρῷ. Περιέχονται οὖν ἐν τῷ τεύχει τὰ ἐφεξῆς κείμενα.

1. Σάβα τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν βίος ἀκέφαλος, ἀρχόμενος νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «[ἔρη]μον ἄστρῳ παραπλησίως φωτίζοντος· πέμπτου μὲν δὴ τότε Σάβας καὶ τριακοστοῦ τῆς ἡλικίας ἥπτετο ἔτους, ἤδη δὲ καὶ ὁ κατ' αὐτοῦ τῶν δαιμονίων ἤρχετο πόλεμος» κτλ., φ. 1-72. Ἐλλείψεις δέ τινες ἢ χάσματα διὰ χαρτῴων δηλοῦνται ἀγράφων φύλλων μετά τε τὸ πέμπτον καὶ τὸ τεσσαρακοστὸν καὶ ἕκτον φύλλον.

2. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου», οὗ ἡ ἀρχή· «Σοφόν τι χρῆμα ζωγράφων», φ. 72β. Migne τ. 116, σ. 317.

3. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων», οὗ ἡ ἀρχή· «Οὐαλεντινιανὸς μετὰ τελευτὴν Ἰοβιανοῦ», φ. 96β. Migne, Patrol. latin. τ. 14, σ. 45.

4. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Παταπίου», οὗ ἡ ἀρχή· «Οὐ πολλοὺς Αἴγυπτος». φ. 108. Migne, Patrol. gr. τ. 116, σ. 357.

5. «Μαρτύριον τῶν ἁγίων μαρτύρων Μηνᾶ Ἑρμογένους καὶ Εὐγράφου». Ἀρχ. «Μετὰ τὴν ἐπὶ γῆς τοῦ σωτῆρος Χριστοῦ παρουσίαν», φ. 114. Migne τ. 116, σ. 368.

6. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ στυλίτου». Ἀρχ. «Ὥσπερ ἐπὶ τῶν ἀριστέων», φ. 140β (Migne

τ. 116, σ. 969). Μετὰ δὲ τὸ 168-ον φύλλον χάσμα φαίνεται διὰ τὴν ἐκκοπὴν ἑνὸς φύλλου, καὶ τούτου ἕνεκα ἐκεῖ μὲν τὸ κείμενον εἰς τάσδε νῦν τὰς λέξεις λήγει· «οὐκ ἔστιν εἰπεῖν οἵας ἐκείνου πάλιν πληρωθέντος τῆς»· ἀπὸ δὲ τοῦ ἐφεξῆς λόγου ἄρχεται ὧδε· «καὶ εἰς τὸν μέγιστον τοῦ Θεοῦ ἀφικνοῦνται καὶ ἐπ' ὀκρίβαντος ἱστῶσι τὸν ἄνδρα» κτλ.

7. «Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θαυματουργοῦ Σπυρίδωνος ἐπισκόπου Τριμιθούντων». Ἀρχ. «Μέγιστον εἰς ψυχῆς ὠφέλειαν», φ. 175β. Migne τ 116, σ. 417. Ἐν δὲ τῷ κειμένῳ τοῦ βίου τοῦδε χάσμα παλαιόθεν μέγα ὑπῆρχεν, ὃ ἐξ χαρτῴοις ἀνεπληρώθη φύλλοις (190—195) κατὰ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα· ὑπάρχει δὲ νῦν καὶ ἄλλου τινὸς φύλλου ἔλλειψις μετὰ τὸ 200-ον φύλλον· ἐν δὲ τῇ ᾤᾳ τοῦ ἐφεξῆς φύλλου γράμμασι τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος δυσξύμβλητόν τι γέγραπται ὑπόμνημα, οὗ ἡ ἀρχή· «† αὕτη ἐλήφθη παρὰ Φιλοθέου μοναχοῦ τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς τοῦ ἡγουμένου» κτλ.

8. Μαρτύριον τῶν ἁγίων μαρτύρων Θύρσου Λευκίου Καλλινίκου Φιλήμονος καὶ Ἀπολλωνίου, ὧν ἡ μνήμη τῇ ιδ' τελεῖται δεκεμβρίου. Ἀρχ. «Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κοινωνίᾳ σαρκὸς» κτλ., φ. 222 (Migne τ. 116, σ. 508). Μετὰ δὲ τὸ 232-ον φύλλον ἔλειμμα ὑπάρχει, ἐν δὲ τῇ ᾤᾳ τοῦ 224-ου φύλλου γράμμασι τῆς τρίτης καὶ δεκάτης γέγραπται ἑκατονταετηρίδος τὸ ἰαμβεῖον τόδε.

Βασίλειος ἤγειρε τὸν δόμον τοῦτον
θύτης ἄριστος ἐκ πόθου Μαγνησίας,
τὸν χρυσοτερπῆ πάγκαλον τοῦτον πάνυ.

9. «Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου», οὗ ἡ ἀρχή· «Αἰλίου Ἀδριανοῦ Ῥωμαίων βασιλεύοντος», φ. 247β (Acta Sanctorum ἀπριλ. τ. II, σ. 10*. Migne τ. 115, σ. 128). Κείμενον ἐλλιπέστατον· μετὰ γὰρ τὸ 252-ον φύλλον χάσμα ὑπάρχει, ὃ διὰ φύλλου τινὸς ἀγράφου σημαίνεται· ἔτι δὲ τὸ τέλος ἐλλείπει, τοῦ κειμένου εἰς τάσδε νῦν τὰς λέξεις διακοπτομένου· «ὥσπερ σάρκας μαρτυρικὰς καὶ ψυχῆς τύφλωσιν ἐλέγχον».

10. «Ὑπόμνημα εἰς τὸν μέγαν προφήτην Δανιὴλ καὶ εἰς τοὺς τρεῖς παῖδας Ἀνανίαν Ἀζαρίαν καὶ Σαμουήλ». Ἀρχ. «Ἄρτι Ναβουχοδονόσορ ὁ βασιλεύς», φ. 255^{β} (Migne τ. 115, σ. 372). Μετὰ τὸ 270-ον φύλλον χάσμα τι δυσὶν ἀγράφοις δηλοῦται χαρτίοις.

11. Ἄθλησις τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας, ἧς ἡ ἀρχὴ ἐν δυσὶ χαρτῴοις γέγραπται φύλλοις. «Μαξιμιανῷ τῷ δυσσεβεῖ βασιλεῖ», φ. 273—277. Migne τ. 116, σ. 301.

12. «Μηνὶ τῷ αὐτῷ ϛ′ (= φεβρουαρίῳ). Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας», οὗ ἡ ἀρχή· «Ἐν ταῖς ἡμέραις ἐκείναις εὐδόκησεν ὁ Θεὸς ἀνακεφαλαιοῦσθαι» κτλ., φ. 278^{β}—290^{α}. Καὶ ἐν τῷ βίῳ τούτῳ ἐλλείμματά τινα διὰ τεσσάρων ἀγράφων τε καὶ χαρτῴων σημαίνεται φύλλων· ἐν μὲν γὰρ τῷ 281-ῳ φύλλῳ τὸ κείμενον κατὰ τὰς λέξεις λήγει τάσδε· «ἡ οὖσα ἐν τῷ ξύλῳ, λέγουσιν αὐτῷ ὅτι τις τῶν ἀρχαίων»· εἶτα δ' ἀπὸ τῆς ῥήσεως ἄρχεται τῆσδε· «καὶ ὅλην τὴν ἡμέραν πυκτεύσαντες»· ἐν δὲ τῷ 284-ῳ φύλλῳ ὧδε τελευτᾷ· «καὶ ἐξέρχεται ἀπὸ τοῦ μαγειρίου κράζων καὶ βλασφημῶν καὶ λέγων, ὢ ἀπὸ τοῦ». Μετὰ δὲ πρόσθετά τε καὶ ἄγραφα φύλλα δύο τὸ κείμενον πάλιν τοῦ βίου συνεχίζεται ὧδε· «τῇ ἐνορίᾳ γεωργοὶ ἰδόντες τὴν τοῦ Θεοῦ ἐξουσίαν ἐδειλίασαν» καὶ ἄχρι τοῦ 288-ου διήκει φύλλου κατὰ τὰς λέξεις· «ἦλθεν εἰς τὸ μοναστήριον αὐτοῦ, εἰς τὴν ἁγίαν Σιών· ἐν ταῖς ἡμέραις οὖν ἐκείναις ἢ παλαιω...». Μεθ' ὃ ἄγραφόν ἐστι φύλλον ἓν καὶ μετὰ τοῦτο ἕτερον μεμβράνινον τὸ τέλος τοῦ εἰρημένου σῷζον κειμένου ἀπὸ τῆς ῥήσεως τῆσδε· «τὰ ὁραθέντα αὐτῷ ἀναγγεῖλαι τῷ βασιλεῖ». Ὁ βίος μὲν οὖν τοῦ ὁσίου Νικολάου οὕτως ἐν τῷ ἱεροσολυμιτικῷ ἔχει κώδικι· ἐκ δὲ ἄλλου τινὸς ἀπογράφου, ἐν τῇ Οὐατικανῇ ὑπάρχοντος βιβλιοθήκῃ, τύποις ἐκεῖνον Φαλκόνιος ἐξέδοτο (Sancti confessoris pontificis et celeberrimi thaumaturgi Nicolai acta primigenia. Neapoli 1751), Ἀντωνῖνος δὲ ὁ ἀρχιμανδρίτης εἰς τὴν ῥωσσίδα μετήνεγκε φωνὴν κατά τε τὴν ἔκδοσιν ταύτην, κατά τε τὸ παρ' ἡμῖν Ἱεροσολυμιτικὸν τοῦτο ἀπόγραφον καὶ καθ' ἕτερόν τι ἀπόγραφον ἐν τῇ Σιναϊτικῇ σῳζόμενον βιβλιοθήκῃ (Труд. Кіев.

Дух. Акад. 1869, τ. II, σ. 445—497. 1873, τ. II, σ. 241—288). Σλαβικὴν δὲ μετάφρασιν ἐν ἀπογράφῳ τῆς ἑνδεκάτης εὑρεθεῖσαν ἑκατονταετηρίδος ὁ ἀρχιμανδρίτης ἐξέδοτο Λεωνίδης (Памятники древней письменности и искусства. Житіе и чудеса Св. Николая Мνрликійскаго и похвала ему, изслѣдованіе двухъ памятниковъ древней русской письменности XI вѣка намѣстника Троице-Сергіевой лавры архимандрита Леонида. Ἐν Πετρουπόλει 1891).

13. «Διήγησις μερικὴ θαυμάτων τοῦ μεγάλου ἐν ἀρχιερεῦσι Θεοῦ καὶ ἐν θαυματουργίαις περιωνύμου Νικολάου, ἀρχιεπισκόπου γενομένου Μύρων τῆς Λυκίων ἐπαρχίας». Ἀρχ. «Καλὸν ἡμᾶς, ὦ θεϊκῶν ᾀσμάτων προασπισταί», φ. 290β. Ἄλλο δέ τι ἀντίγραφον Χριστιανὸς ἐδήλωσεν ὁ Matthaei, Accurata notitia, σ. 92.

14. (Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας) «μαρτύριον τῶν ἁγίων μαρτύρων τοῦ Χριστοῦ Μηνᾶ Ἑρμογένους καὶ Εὐγράφου». Ἀρχ. «Τῆς τοῦ Χριστοῦ χάριτος αὐξανομένης», φ. 298β. Ἕτερα δὲ ἀντίγραφα ὅρα παρὰ τῷ Matthaei (Accur. notitia σ. 93), παρὰ τῷ Λαμπεκίῳ (Comment. liber octavus. Vindob. 1679, σ. 369), παρὰ τῷ Montfaucon (Bibl. Coisliniana. Parisiis 1715, σ. 565, cod. 368, f. 53) καὶ παρὰ τῷ Coxe, Cat. cod. Bodl. σ. 552. Ἐν δὲ κώδικί τινι τῆς τῶν Ἰβήρων μονῆς, τῆς ἐν τῷ ὄρει τοῦ Ἄθω κειμένης, συγγραφεὺς τοῦ μαρτυρίου τούτου Ἀθανάσιος ὁ ἀρχιεπίσκοπος ἐπιγράφεται Ἀλεξανδρείας (Νικοδήμου, Συναξαρ. τ. I, σ. 287)· τοῦτο δὲ καὶ ὁ Βιενναῖος μαρτυρεῖ κῶδιξ.

15. «Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπισκόπου πόλεως Τριμιθούντων καὶ θαυματουργοῦ Σπυρίδωνος, συνταχθεὶς ὑπὸ Θεοδώρου ἐπισκόπου πόλεως Πάφου». Ἀρχ. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος φησὶν Ἰωάννης ὁ εὐαγγελιστής», φ. 305. Λήγει δὲ εἰς τὰς λέξεις τάσδε· «καὶ ἀναριθμήτων μυριάδων ἁγίων ἀγγέλων ὑπακουόντων αὐτῷ...». Κείμενον ἀνέκδοτον, οὗ ἄλλα τινὰ ἀντίγραφα ὅρα παρὰ τῷ Φαβρικίῳ (Bibl. Gr. τ. X, σ. 326), παρὰ τῷ Coxe (Catal. cod. bibl. Bodl. σ. 553) καὶ παρὰ τῷ Omont (Catal. des Mss grecs de la bibl. de Bruxelles. Gand 1885, σ. 40, cod. 115).

16. Ἀκέφαλον μαρτύριον τῶν ἁγίων Θύρσου Λουκίου Καλλινίκου Φιλήμονος καὶ λοιπῶν, ἀρχόμενον νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «[δι]δάσκαλε Κουμβρίκιε· ὦ τοῦ σκότους ὁδηγέ, οὐ φοβοῦσίν με αἱ βάσανοί σου· πρόσκαιροι γάρ εἰσιν» κτλ., φ. 327.

17. «Μηνὶ τῷ αὐτῷ κʹ (δεκεμβρίῳ)· μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου», οὗ ἡ ἀρχή· «Ἄρτι διαδεξαμένου τὴν Ῥωμαίων ἀρχὴν Τραϊανοῦ», φ. 348. Τοῦ κειμένου τούτου ἀπόγραφον ὑπὸ J. Rendel-Harris γενόμενον, ὁ ἐπίσκοπος ἐξέδοτο Lightfoot (Apostolic Fathers, 2-ας ἐκδ. II, σ. 589.

18. «Μαρτύριον τῶν ἁγίων δέκα μαρτύρων, μαρτυρησάντων ἐν Κρήτῃ, μητροπόλει Γορτύνης: Θεόδωρος, Σατουρνῖλος, Εὔπορος, Γελάσιος, Εὐνικιανὸς καὶ οἱ λοιποί». Ἀρχ. «Ἐχρῆν μὲν ἡ τῶν πράξεων τῶν ἀγαθῶν», φ. 354β. Κείμενον ἀνέκδοτον, ὃ τὸ πρωτότυπόν ἐστι τῆς περὶ τῶν εἰρημένων μαρτύρων γραφῆς Συμεῶνος τοῦ Μεταφράστου. Δεύτερον δὲ ἀντίγραφον ὅρα παρὰ τῷ Coxe, Catal. cod. Bodl. σ. 554.

19. «Μηνὶ τῷ αὐτῷ εἰς τὴν κδʹ· βίος καὶ πολιτεία καὶ μαρτύριον τῆς ἁγίας Εὐγενίας καὶ τῶν αὐτῆς γονέων». Ἀρχ. «Βασιλεύοντος ἐν τῇ μεγάλῃ πόλει Ῥώμῃ Κομμόδου», φ. 362. Κείμενον ἀνέκδοτον, ὃ Συμεὼν παρέφρασεν ὁ Μεταφράστης.

20. «Μηνὶ τῷ αὐτῷ καʹ· μαρτύριον τῆς ἁγίας Ἰουλιανῆς», οὗ ἡ ἀρχή· «Τῆς εἰδωλομανίας κρατούσης καὶ τοῦ διαβόλου φαιδρυνομένου», φ. 380. Κείμενον καὶ τοῦτο τύποις ἀνέκδοτον καὶ ἀσημείωτον παρ' ἄλλῳ τινὶ συγγραφεῖ.

21. «Μηνὶ τῷ αὐτῷ κζʹ. Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα». Ἀρχ. «Πάντες μὲν οἱ τῶν μαρτύρων ἀγῶνες ἐπίδοξοι», φ. 394. Migne τ. 59, σ. 699.

22. «Ἡ εὕρεσις τοῦ τιμίου λειψάνου τοῦ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου». Ἀρχ. «Ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἔτι μᾶλλον ὑψῶσαι βουλόμενος τὸ πέρας» κτλ., φ. 406β. Τέλος· «ἀκούσας ἐλυπήθη, καὶ πέμψας ἄλλα Ἰωάννης ζῶα, ὅπως».

19. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἢ ἐνδεκάτης ἑκατονταετηρίδος, ὃ ὕψους μέν ἐστι 0,37, πλάτους δὲ 0,265. Σύγκειται δὲ νῦν ἐκ φύλλων 309, ὧν τὸ πρῶτον, εἰ καὶ ἐκ χάρτου, κατὰ τὴν ἑβδόμην καὶ δεκάτην ἐγράφη ἑκατονταετηρίδα. Περιέχονται οὖν ἐν τῷ τεύχει αἱ πρῶται μδ' ὁμιλίαι Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου μετ' ἐλλειμμάτων τινῶν· τέσσαρα γὰρ φύλλα ἐλλείπει, βαναύσως οὐκ οἶδα παρὰ τίνος ἀποκοπέντα, ὡς τὰ σῳζόμενα ἐκείνων δηλοῖ σημεῖα, ἤτοι μέρος τι τῆς ι' ὁμιλίας (φ. 68-69), τὸ τέλος τῆς κ' ὁμιλίας (φ. 169-160), μέρος πάλιν τῆς κβ' (φ. 166 - 167) καὶ τὸ τέλος μὲν τῆς λα', ἡ ἀρχὴ δὲ τῆς λβ' ὁμιλίας (φ. 129—230). Κατὰ ταῦτα τοίνυν τὸ τεῦχος τοῦτο ἐκ φύλλων πρότερον 312 συνέκειτο, ὅπερ καὶ οἱ ἀριθμοὶ τῶν τετραδίων δῆλον ποιοῦσιν, εἰς τριάκοντα καὶ ἐννέα συναριθμούμενοι. Καὶ τὸ μὲν κείμενον τοῦ τεύχους δίστηλον κατὰ πᾶσαν ὑπάρχον σελίδα, τριάκοντα καὶ ἓξ ἐν μιᾷ ἑκάστῃ τῶν στηλῶν γραμμὰς ἀριθμεῖ, κοσμήματα μὲν ἐρυθρὰ ὅμοια τῷ Π στοιχείῳ ἔχον ἄνωθεν τῶν ἀρχῶν τῶν ὁμιλιῶν, ὑπὸ δὲ τὰ κοσμήματα ἐπιγραφὰς ὡσαύτως ἐρυθράς· τὸ δ' ἐμβαδὸν μιᾶς ἑκάστης τῶν σελίδων μήκους μέν ἐστιν ὡς 0,28, πλάτους δὲ 0,173. Ἐν δὲ τῷ τέλει τοῦ βιβλίου ἰαμβεῖόν τι κεῖται ἐπίγραμμα, ὃ κατὰ τὴν δωδεκάτην ὡς ἔοικε προσετέθη ἑκατονταετηρίδα· τούτου δὲ τὸ τέλος ἔχει ὧδε· «ὁ γὰρ ξενίζων τοὺς ξένους εἰς τὰ ξένα, Χριστὸν ξενίζει τὸν ξενίζοντα ξένους». Ῥητέον δ' ἔτι, ὅτι μετὰ τὴν πρώτην τοῦ κώδικος πινακίδα ὀκτὼ ὑπῆρχε μικροῦ σχήματος φύλλα, καθάπερ τὰ ἐκεῖ ὑπάρχοντα μαρτυρεῖ λείψανα, ὧν δύο νῦν σῴζεται, μέρος τι λειτουργικοῦ τινος ἐνέχοντα εὐαγγελίου τῆς ια' ἑκατονταετηρίδος. Οἴομαι δὲ τὰ ἐλλείποντα φύλλα ἐκεῖνα εἶναι, ἃ Πορφύριος ὁ Οὐσπένσκης τῇ ἐν Πετρουπόλει αὐτοκρατορικῇ δέδωκε βιβλιοθήκῃ, ἀριθμὸν νῦν ἐκεῖ ἐπιτεθειμένον τὸν τριακοσιοστὸν ἔχοντα καὶ ἕβδομον. Περὶ δὲ τῶν εἰρημένων φύλλων ὅρα τὸ **Отчетъ Императорской Публичной Библіотеки за** 1883 **годъ**, σ. 127, ἀριθ. 49.

20. Τεῦχος μεμβράνινον τῆς ἐνάτης ἑκατονταετηρίδος, οὗ τὸ

μὲν ὕψος 0,36 τὸ δὲ πλάτος 0,25. Σύγκειται δὲ νῦν ἐκ φύλλων 273, ὧν τὸ πρῶτον ἐκπεσόν ποτε χάρτῃ τινὶ κατὰ τὸν ἕβδομον ἀνεπληρώθη καὶ δέκατον αἰῶνα. Περιέχονται οὖν ἐν τῷ τεύχει τούτῳ αἱ Ἰωάννου τοῦ Χρυσοστόμου τριάκοντα καὶ τρεῖς ὁμιλίαι, αἱ τὴν πρὸς Ῥωμαίους ἑρμηνεύουσαι ἐπιστολὴν Παύλου τοῦ ἀποστόλου. Ἐπιγραφαὶ δὲ παρ' αὐτῆς τῆς τοῦ καλλιγράφου γεγραμμέναι χειρὸς δύο ἐν ἐκείνῳ ὑπάρχουσιν, ἡ μὲν πρὸς τῷ τέλει τῆς δεκάτης καὶ τετάρτης ὁμιλίας, ἣ ἔχει ὧδε· «Τοῦ μακαρίου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ὑπόμνημα εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν: — βιβλίον πρῶτον· δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν: ἀμήν». Ἡ δ' ἑτέρα ἐπιγραφὴ τῆς πεντεκαιδεκάτης προτεταγμένη ὁμιλίας ἔχει ὧδε· «† Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, ἑρμηνία (= ἑρμηνεία) εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν: βιβλίον β' λόγος ιε'», οὗ ἡ ἀρχή· «Δείξας ὅσον τὸ ἔπαθλον», φ. 123. Καὶ τὸ μὲν κείμενον δίστηλον καθ' ἑκάστην ἐστὶ σελίδα, τριάκοντα καὶ πέντε κατὰ στήλην γραμμὰς ἀριθμοῦν, κοσμήμασι μὲν ἐν τῇ ἀρχῇ μιᾶς ἑκάστης τῶν ὁμιλιῶν μελασί τε καὶ λεπτοῖς καὶ κυματοειδέσι κοσμούμενον, γεγραμμένον δ' ἐπιχαρίτως καὶ μετὰ μέλανος σφόδρα ξανθίζοντος· αὐτὸ οὖν τὸ κείμενον ἐμβαδὸν καθ' ἑκάστην ἔχει σελίδα μήκους μὲν 0,252, πλάτους δὲ 0,18. Ῥητέον δ' ἔτι, ὅτι μετὰ τὴν τῶν ἐπιστολῶν ἑρμηνείαν τρία ὑπάρχει φύλλα, ἃ μέρος ἐστὶ μεμβρανίνου τινὸς κώδικος τῆς ὀγδόης, οἶμαι, ἑκατονταετηρίδος· ταῦτα δὲ πεπληρωμένα μέν ἐστι μικροῖς τε καὶ κεφαλαιώδεσι γράμμασι, μέρος δὲ λόγου τινὸς Ἰωάννου σῴζει τοῦ Χρυσοστόμου, οὗ τὸ τέλος ἔχει ὧδε· «Τούτου καὶ ἡμεῖς μιμώμεθα· οὕτω γὰρ καὶ δαψιλὴς ἡ ἀντίδοσις ἡμῖν ἔσται τῶν ἀγαθῶν, ὅτι μετὰ τοιαύτης ἅπαντα πράττομεν γνώμης καὶ λαμπροτέρων ἐπιτευξόμεθα στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν». Καὶ τὸ μὲν κείμενον τῶν προσθέτων τούτων φύλλων δίστηλον κατὰ πᾶσαν ὑπάρχει σελίδα, γραμμὰς δὲ μία ἑκάστη τῶν στηλῶν τριάκοντα καὶ

ἐξ ἀριθμεῖ· τῶν δὲ λέξεων οἵ τε τόνοι καὶ τὰ πνεύματα ὑπ' ἄλλης μᾶλλον φαίνονταί μοι ἢ παρὰ τῆς τοῦ καλλιγράφου χειρὸς ἐγγεγραμμένα.

21. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὃ ὕψους μέν ἐστι 0,355, πλάτους δὲ 0,28. Σύγκειται δ' ἐκ φύλλων 238, καὶ τούτων τὰ πολλά, ἤτοι τὰ ἀπὸ τοῦ ὀγδόου ἄχρι τοῦ ἐνενηκοστοῦ φύλλου, ἐκ χάρτου ἐστὶ βαμβακίνου κατὰ τὴν τετάρτην καὶ δεκάτην γεγραμμένα ἑκατονταετηρίδα, ὅτε τὸ τεῦχος πολλῷ πλείω ἠρίθμει φύλλα· ἐν γὰρ τῷ κρασπέδῳ τῆς δευτέρας σελίδος τοῦ 129-ου φύλλου γέγραπται τάδε· «ἡ μέσις τοῦ βιβλίου φύλλα ρλδ'». Ἐν αὐτῷ μὲν οὖν τῷ τεύχει τὸ δεύτερον περιέχεται τμῆμα τῶν περὶ τῆς Μωσαϊκῆς Γενέσεως λόγων Ἰωάννου τοῦ Χρυσοστόμου, ἤτοι αἱ ὁμιλίαι αἱ ἀπὸ τοῦ λα' ἄχρι τοῦ ξε' διήκουσαι ἀριθμοῦ. Τούτων δ' ἡ μὲν πρώτη ἄρχεται ὧδε· «Πολλὰς ὑμῖν ἔχω χάριτας», ἡ δὲ τελευταία ὁμιλία κατὰ τήνδε λήγει τὴν ῥῆσιν· «καθάπερ συνεβούλευσεν ὁ Ἰωσήφ, τὴν ἀπόκρισιν...». Καὶ αὐτὸ μὲν τὸ τῶν ὁμιλιῶν κείμενον δίστηλον κατὰ μίαν ἑκάστην ἐστὶ σελίδα, πᾶσα δὲ στήλη τριάκοντα καὶ τρεῖς ἀριθμεῖ γραμμάς· τὸ δ' ἐμβαδὸν τῆς σελίδος μήκους μέν ἐστι 0,25, πλάτους δὲ 0,19. Κοσμεῖται δὲ τὸ τεῦχος ἑνὶ κυανῷ κοσμήματι, ἐν τῇ ἀρχῇ μὲν τοῦ πρώτου ὑπάρχοντι φύλλου, σχῆμα δ' ἔχοντι παρόμοιον τῷ Π στοιχείῳ.

22. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, φύλλα μὲν σῷζον νῦν 352, ὁμιλίας δὲ περιλαμβάνον Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ὧν ἡ μὲν πρώτη, καίπερ ἀκέφαλος οὖσα, πέμπτη τὴν τάξιν ἐστὶ κατά τε τὸν κώδικα καὶ τὰς τύποις ἐκδόσεις· ἄρχεται δὲ νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «ψυχῆς ἀποτιθέμεθα, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν». Ἡ δὲ τελευταία ὁμιλία, ἢ τὴν τεσσαρακοστὴν καὶ δευτέραν κατέχει τάξιν, ἄρχεται μὲν ἀπὸ τοῦ «Πάλιν ἑτέρως αὐτούς», τὸ δὲ τέλος οὐκ ἔχει· ἄλλοις γάρ τισιν ἐκεῖνο φύλλοις ἐξέπεσεν, ἐν οἷς τρεῖς ὡς εἰκάσαι περιείχοντο ὁμιλίαι. Ἀντωνῖνος γὰρ ὁ ἀρχιμανδρίτης πλείω ἢ νῦν φύλλα πρὸ ἐνιαυτῶν τινων ἐν τῷ κώδικι εἶδεν, ἤτοι τετρακόσια καὶ δύο. Αὐτὸς μὲν οὖν ὁ ἔσχατος τοῦ κώ-

δικος λόγος εἰς τὰς λέξεις νῦν τάσδε τελευτᾷ· «οὕτως τοὺς παῖδας ἐξεκάθηρεν ὁ Ἰώβ· ὁ γὰρ ὑπὲρ ἀδήλων θυσίας ἀναφέρων πολ...». Ὅτι δ' ἐξ ἀρχῆς πολλῷ πλείω τὸ τεῦχος εἶχε φύλλα, δῆλον ἐντεῦθεν· ἐν γὰρ τῇ ᾤᾳ τοῦ νῦν 160-οῦ φύλλου, ἢ βιβλιοδέτης παλαιὸς ἤ τις τοῦ κώδικος τούτου κτήτωρ ἐκεῖ μὲν τὸ ἥμισυ τῆς βίβλου εἶναι ἐδήλωσεν, ἄχρι δὲ τούτου διακόσια καὶ ἓξ ταύτην ἀριθμεῖσθαι φύλλα. Καὶ δικαίως· οἱ γὰρ τῶν τετραδίων ἀριθμοὶ τὸ ἐκ τῆς ἀρχῆς τῆς βίβλου ἐλλεῖπον ἓξ σημαίνουσιν εἶναι τετράδια, ἤτοι τεσσαράκοντα καὶ ὀκτὼ φύλλα. Καὶ ὕψους μὲν τὸ τεῦχός ἐστι 0,345, πλάτους δὲ 0,27· τὸ δ' ἐν αὐτῷ κείμενον δίστηλον ὑπάρχει, ἢ 30 ἢ 29 κατὰ στήλην γραμμὰς ἀριθμοῦν καὶ ἐμβαδὸν κατὰ σελίδα περιλαμβάνον μήκους μὲν 0,24, πλάτους δὲ 0,18. Ῥητέον δ' ἔτι, ὅτι ἐν τῇ ἀρχῇ τῆς τρίτης καὶ δεκάτης ὁμιλίας, ἤτοι ἐν τῷ κρασπέδῳ τῆς δευτέρας σελίδος τοῦ 76-ου φύλλου, τὸ ὑπόμνημα τόδε γεγραμμένον κεῖται· «Δεῖ εἰδέναι ὅτι ἀπὸ τοῦ λόγου τούτου ὀφείλει ἀναγινώσκεσθαι μέχρι καὶ τοῦ τέλους τοῦ βιβλίου, ἀρξάμενος τῆς ἀναγνώσεως ἀπὸ τῆ(ς) κυριακῆ(ς) τῶν ἁγίων πάντων».

23. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, φύλλα μὲν ἐνέχον 207, εὐαγγέλιον δὲ περιλαμβάνον λειτουργικὸν κατὰ τὴν συνήθη τῆς ἐν Κωνσταντινουπόλει ἀρχαίας ἐκκλησίας διατύπωσιν, ἤτοι ἐν μὲν τῇ ἀρχῇ τὰ σαββατοκυριακὰ λεγόμενά ἐστι τοῦ κατὰ Ἰωάννην εὐαγγελίου ἀναγνώσματα, τὰ ἀπὸ τῆς μεγάλης τοῦ πάσχα Κυριακῆς τὴν ἀρχὴν ποιοῦντα, εἶτα δὲ τά τε κατὰ Ματθαῖον καὶ τὰ κατὰ Λουκᾶν ἀναγνώσματα· ἑχόμενα δὲ τούτοις ἐστὶν (ἀπὸ τοῦ 86-ου φύλλου) «εὐαγγέλια τῶν παννυχίδων τῆς α' ἑβδομάδος τῆς ἁγίας τεσσαρακοστῆς», ἄλλα τέ τινα τῶν ἐπιλοίπων ἑβδομάδων καὶ «εὐαγγέλια τῶν ἁγίων παθῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» (φύλλ. 117), καὶ «εὐαγγέλια ἀναστάσιμα ἑωθινὰ» (φ. 144β) καὶ μετὰ ταῦτα τὸ τῶν εὐαγγελίων ὑπάρχει συναξάριον, οὗ ἡ ἀρχή· «Μηνὶ σεπτεμβρίῳ α' ἀρχὴ τῆς ἰνδίκτου καὶ μνήμη τοῦ ὁσίου Συμεὼν τοῦ στυλίτου· γίνεται δὲ καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις· τοῦτο ἀναγινώσκεται ἐν τῷ Φόρῳ», κτλ., φ. 148. Μετὰ δὲ τὸ εἰρημένον συναξάριον εὐαγ-

γέλιά ἐστι κατὰ διαφόρους ἀναγινωσκόμενα μνήμας καὶ λιτάς (φύλλ. 205β κέ), ὧν πρῶτον μὲν τέτακται τὸ εἰς ἐγκαίνια ναοῦ ἀναγινωσκόμενον, ὕστατον δὲ τὸ «εἰς κοιμηθέντας». Ὑπάρχει δ' ἐν τῷ βιβλίῳ καὶ κοσμήματά τινα, κεχρυσωμένα μὲν καὶ πορφυρᾶ, σχῆμα δ' ἔχοντα παρόμοιον τῷ Π στοιχείῳ· αὐτὰ δὲ τῶν εὐαγγελίων τὰ ἀναγνώσματα μουσικοὺς ἐπιφέρει τόνους ἐρυθροῦ χρώματος. Καὶ ὕψους μὲν τὸ τεῦχός ἐστι 0,348, πλάτους δὲ 0,28· τὸ δὲ κείμενον δίστηλον ὄν, εἴκοσι κατὰ στήλην γραμμὰς ἔχει, καὶ μήκους μὲν κατὰ σελίδα πᾶσάν ἐστι 0,24, πλάτους δὲ 0,185. Ἐν δὲ τῷ τεύχει αὐτῷ καὶ σημειώματά τινά ἐστι μεταγενέστερα, ἐξ ὧν ἐγὼ τάδε νῦν μεταγράφω, ἔξω πρότερον τῶν ἐν αὐτοῖς βαλλομένων σφαλμάτων. α') ἐν τῷ 1-ῳ φύλλῳ· «† ἐγὼ παπὰ Θεόδωρος ὁ ἁμαρτωλὸς καὶ ἀγρά(μμα)το(ς)· οἱ ἐντυγχάνοντες εὔχεσθ(έ) μοι διὰ τὸν Κ(ύριο)ν, ὅπως σωθ(ῶ) ἐκ τῶν ἀμέτρων μου» κτλ.— Παρέπεται καὶ ἄλλη τις ὁμοία σημείωσις Γρηγορίου τινὸς ἱερέως. β') «Ἐκοιμήθη ὁ δοῦλος τοῦ Θ(εο)ῦ ἱερομόναχος Ἱλαρίων ἰουναρίῳ εἰς τ(ὴν) ιε', καὶ ὁ υἱὸς αὐτοῦ ἱερομόναχος Γερμανὸς ἀπριλίῳ εἰς τ(ὰς) ὀκτὼ ἔτους ͵ϛψλα' (= 1223), ὁ δὲ υἱὸς αὐτοῦ εἰς τ(ὸ) ἔτος ͵ϛψλβ'».—γ') «Ἠγοράσθη τὸ παρὸν ἅγιον εὐαγγέλιον διὰ συνδρομῆς καὶ πολλοῦ πόθου κυροῦ Ἰωάννου τοῦ παπᾶ Βραχίμη καὶ τῆς συμβίου αὐτοῦ κυρᾶ(ς) Χουζίρες, καὶ ἐτέθη εἰς τὸν πάνσεπτον ναὸν τῆς ὑπεραγίας Θεοτόκου τῆς ἐπισκοπῆς Κιτέου (cod. κηττέου), εἰς τ ἄσπρα τῆς Κύπρου ιβ'ω χάριν ψυχῆς αὐτῶν. Καὶ οἱ ἀναγινώσκοντες αὐτὸ εὔχεσθε αὐτοὺς διὰ τὸν Κ(ύριο)ν· ἀμήν».—δ') Τετράστιχόν τι ὑπόμνημα, ἀραβιστὶ μὲν γεγραμμένον καὶ λέγον ὅτι τὸ βιβλίον τοῦτο ὑπὸ Fathala τοῦ υἱοῦ Θεοδώρου τοῦ καὶ ἐξάρχου τοῦ ναοῦ τῆς Ἀναστάσεως αὐτῇ ἀνατέθειται (τῇ 12 ἰουνίου τοῦ ͵ϛϠλθ' = 1431-ου ἔτους), ὑπογραφὴν δ' ἔχον ἑλληνικὴν Ἰωακεὶμ τοῦ πατριάρχου Ἱεροσολύμων, τοῦ καὶ τὸ ὑπόμνημα συγγράψαντος καὶ ἀραῖς τοῦτο πληρώσαντος ὑπὲρ σωτηρίας τοῦ τεύχους εἰς τὸν μέλλοντα χρόνον. Ἄλλη δέ τις σημείωσις ἑλληνιστὶ γεγραμμένη Γεώργιόν τινα ἱερέα δηλοῖ, ὃς ἦν «θύτης καὶ λάτρις τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ

ἀειπαρθένου Μαρίας», ἤτοι τοῦ ναοῦ ταύτης τοῦ ἐν τῇ ἐπισκοπῇ Κιτίου.

24. Τεῦχος μεμβράνινον κατὰ τὴν ἑνδεκάτην μὲν γραφὲν ἑκατονταετηρίδα καὶ φύλλα νῦν σῷζον 396, περιέχον δὲ τὰς πρώτας λς′ ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ὧν ἡ μὲν πρώτη ἀπὸ τοῦ «Χαίρω καὶ εὐφραίνομαι» ἄρχεται, ἡ δ' ἐσχάτη ἀπὸ τοῦ «Θησαυρῷ τινι προσέοικεν»· αὐτῆς δὲ τῆς ἐσχάτης ὁμιλίας αἱ τελευταῖαι λέξεις ἐλλείπουσιν· ἓν γὰρ φύλλον διὰ ψαλίδος φαίνεται ὂν ἀποκεκομμένον τε καὶ ἀνῃρημένον, καὶ ἐκ τούτου νῦν ὁ λόγος εἰς τὰς λέξεις τελευτᾷ τάσδε· «χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ»· ἴσως δ' ἐν ἐκείνῳ τῷ φύλλῳ καὶ ὑπόμνημά τι ἢ καλλιγράφου ἢ ἄλλου τινὸς ὑπῆρχε. Διῄρηται δὲ τὸ τεῦχος εἰς τετράδια πεντήκοντα, ὧν τὸ ἔσχατον τέσσαρα μόνον ἠρίθμει φύλλα. Καὶ ἐν αὐτῷ μὲν τῷ τεύχει κοσμήματα ὑπάρχει τὸ μὲν σχῆμα ταινιοειδῆ, τὸ δὲ χρῶμα ἐρυθρά· εἰσὶ δὲ καὶ ἐπιγραφαί τινες ὡσαύτως ἐρυθραί· τὸ δὲ κείμενον δίστηλον ὂν κατὰ πᾶσαν μὲν στήλην τριάκοντα γραμμὰς ἀριθμεῖ, τὸ δὲ τούτου ἐμβαδὸν μήκους μέν ἐστι 0,232, πλάτους δὲ 0,16· αὐτὸς δὲ ὁ κῶδιξ ὕψους μέν ἐστι 0,35, πλάτους δὲ 0,26. Δύο δὲ τοῦ βιβλίου τόποι ὑπομνήματα τῆς τρίτης καὶ δεκάτης ἐνέχουσιν ἑκατονταετηρίδος, ὧν τὸ μὲν Μιχαήλ τινα γνώριμον ποιεῖ τὴν βίβλον τήνδε ἀναγνόντα (ὅρα φύλλ. 151), τὸ δὲ τὴν ὑπογραφὴν Λεοντίου σημαίνει τοῦ μοναχοῦ τε καὶ πρεσβυτέρου καὶ μονῆς τινος ἐκκλησιάρχου, ἧς τὸ ὄνομα ἢ αὐτὸς Λεόντιος ἤ τις ἄλλος τούτου μεταγενέστερος ἀπέξεσε καὶ τῷ «τῶν Καγρῶν» διώρθωσεν ὀνόματι· ὅρα τὴν δευτέραν σελίδα τοῦ 215-ου φύλλου.

25. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος, οὗ τὰ πρῶτα πέντε φύλλα ἐλλείπει, ὡς ἡ ὑπάρχουσα τῶν λοιπῶν φύλλων σημαίνει ἀρίθμησις (ς′—τϙδ′). Τὸ μὲν οὖν τεῦχος φύλλα νῦν σῴζει 389, οὐχὶ δὲ 388· ἓν γὰρ τῶν ἠριθμημένων, ἤτοι τὸ σογ′-ον φύλλον, τὸν αὐτόν, ὃν καὶ τὸ πρὸ τούτου, ἔχει ἀριθμόν. Ὕψους δὲ τὸ τεῦχός ἐστι 0,36 καὶ πλάτους 0,264, κείμενον δὲ περιλαμβάνει δίστηλον, ὃ τριάκοντα καὶ τρεῖς κατὰ

στήλην γραμμὰς ἀριθμεῖ. Καὶ τὸ μὲν κείμενον ἐμβαδὸν κατὰ σελίδα ἑκάστην περιέχει μήκους μὲν 0,26, πλάτους δὲ 0,18· αὐτὸ δ' αὖ τὸ κείμενον καὶ κεφαλαιώδη τινὰ ἔχει στοιχεῖα καὶ ἐπιγραφὰς καθάπερ ἐκεῖνα ἐρυθρὰς καί τιν' ἀπέριττα μέν, κεχρωματισμένα δὲ κοσμήματα, τὰς ἐν τῷ κώδικι περιειλημμένας διαχωρίζοντα ὁμιλίας. Ἔγραψε δὲ τὸ τεῦχος τόδε Καλὸς ὁ νοτάριος καὶ διάκονος· τούτου γὰρ ἡ ὑπογραφὴ ἐν τῷ τελευταίῳ κεῖται φύλλῳ, ἐρυθροῖς μὲν γεγραμμένη στοιχείοις, τάδε δὲ λέγουσα· «† γραφὲν διὰ χ(ειρὸς) Καλοῦ νωτ(αρίου) [sic] και διαχῶν(ου) [sic] † | τῆς λαῦρας [sic] τοῦ ἁγίου Σάβα †». Τῆς δ' ὑπογραφῆς ταύτης πίναξ ὑπέρκειται τετράγωνος (cadre), πορφυρᾶ τὰ πλαίσια ἔχων καὶ ὀφιοειδέσι κεκοσμημένος ἀνθεμίοις, ὃς ὕψους μέν ἐστι 0,195 πλάτους δὲ 0,18· ἐν δὲ τῷ πίνακι κεφαλαιώδεσι μὲν ἐρυθροῖς δὲ στοιχείοις ἐπίγραμμά τι γέγραπται, ὅ, εἰ καὶ μεστὸν σφαλμάτων, ὧδέ πως ἀνέγνων.

† Γεωργίου φίλτρῳ [1] καὶ σπουδῇ τοῦτο [2] κτῆμα·
ἀγαθοῖς γὰρ ῥήμασιν ἐπόθησε [3] προθύμως.
Ἐκτήσατο σήμερον φρονήσεως χιτῶνα [4].
Τὴν πικρὰν ἐμίσησε [5] καὶ βδελυρὰν τοῦ βίου,
τὴν μανίαν ἅπασαν ἐπαύσατο τοῦ φθόνου [6],
τὸ φορτίο(ν) ἔρριψε [7] τοῦ βίου τοῦ ματαίου·
ἅπασαν ἠμέλησε βιοτικὴν φροντίδ(α) [8],
μέριμναν [9] ἐργάζεται ψυχικῆς [10] σ(ωτη)ρίας
ἐπαρκῆ τοῦ στεφάνο(υ) [11] τῆς ἄνω βασιλείας [12].

Ἡ μὲν οὖν τοῦ τεύχους κατάστασις ἥδε, αὐτὸ δὲ τὸ τεῦχος λόγους ἐμπεριέχει Ἰωάννου τοῦ Χρυσοστόμου κατὰ τὴν ἐφεξῆς τεταγμένους τάξιν.

1. Ὁμιλία τις ἀκέφαλος ἀπὸ τῶν λέξεων ἀρχομένη τῶνδε· «τίς *ἀναξίοις ἡμῖν οὖσιν τοῦ σωθῆναι*», φ. ϛ'. Ταύτης δὲ τὴν ἀρχὴν

1 Γέγραπται ὧδε· «φῆλτρον». 2 «τοῦττῶ». 3 «ἐπώθησεν». 4 «φρονίσεω(ς) χητῶνα». 5 «ἐμήσεισε». 6 «φθώνου». 7 «ἔριψε». 8 «ἠμέλεισε βιστηκὴν φροντῆδ(α)». 9 «μέρίμναν». 10 «ψυχηκῆς». 11 «'ΕΠΑΑΚΗ Τ^ȣ ΣΤ^έΦΑΝ^ο». 12 «βασιλεῖας».

ἄλλος τις διὰ χάρτου ἀνεπλήρωσε καὶ ἑρμηνείαν εἶναι ἐκείνην ἐπέγραψε τοῦ τρίτου κεφαλαίου τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.

2. «Τοῦ αὐτοῦ εἰς τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς». Ἀρχ. «Πάλιν ἑορτὴ καὶ πανήγυρις», φ. ιθ'. Migne τ. 50, σ. 453.

3. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τὸ ἀποστολικὸν τὸ λέγον "τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἔσονται καιροὶ χαλεποί"· ἀναγινώσκεται (τῇ Κυριακῇ) τῶν ἁγίων πάντων». Ἀρχ. «Ἀσθενὴς μέν εἰμι καὶ πτωχός». φ. κζ'. Migne τ. 56, σ. 271.

4. «Τοῦ αὐτοῦ εἰς τὸ δεῖν καὶ ἐν τῇ πεντηκοστῇ καὶ ἀεὶ νηστείας μεμνῆσθαι, καὶ ὅτι οὐ παρουσία μόνον ἀλλὰ καὶ μνήμην νηστείας ὠφελεῖ, καὶ περὶ τῆς τοῦ Θεοῦ προνοίας, καὶ ὅτι μετὰ τῶν ἄλλων οὐ μικρὸν μέρος αὐτῆς ἡ φυσικὴ τῶν γονέων περὶ τὰ ἔκγονα φιλία, καὶ ὅτι οὐ μητράσιν μόνον ἀλλὰ καὶ πατράσιν ἐπιτέτακται τὰ παιδία ῥυθμίζειν, καὶ πρὸς τῷ τέλει περὶ τῆς Ἄννης· λόγος α'», οὗ ἡ ἀρχή· «Ἐπειδὰν ξένον τινὰ καταχθέντα», φ. λγ'. Migne τ. 54, σ. 631.

5. «Τοῦ αὐτοῦ εἰς τὴν πίστιν τῆς Ἄννης καὶ εἰς τὴν φιλοσοφίαν καὶ εἰς τὴν ἐπιείκειαν, περὶ τῆς εἰς τοὺς ἱερέας τιμῆς καὶ εἰς τὸ δεῖν καὶ ἀρχομένους ἀρίστου καὶ λήγοντας εὔχεσθαι· λόγος β'», οὗ ἡ ἀρχή· «Οὐδὲν ἄρα εὐχῆς ἴσον», φ. μβ'. Migne τ. 54, σ. 643.

6. «Τοῦ αὐτοῦ περὶ τῆς Ἄννης καὶ εἰς τὴν τοῦ Σαμουὴλ γαλακτοτροφίαν, καὶ ὅτι χρήσιμος ἡ περὶ τὸν τόκον βραδυτής, καὶ ὅτι ἐπικίνδυνον καὶ σφαλερὸν τὸ τῶν παίδων ἀμελεῖν· λόγος γ'», οὗ ἡ ἀρχή· «Εἰ μὴ δοκῶ προσχορὴς τισιν εἶναι», φ. ν'. Migne τ. 54, σ. 652.

7. «Τοῦ αὐτοῦ πρὸς τοὺς τὰς συνάξεις καταλιμπάνοντας καὶ εἰς θέατρα ἀναβαίνοντας, καὶ ὅτι οὐ μόνον χρησιμώτερον τῆς ἐν θεάτροις διαγωγῆς ἡ ἐν ἐκκλησίᾳ διατριβή, ἀλλὰ καὶ ἡδίων· καὶ εἰς τὴν δευτέραν ῥῆσιν τῆς Ἄννης καὶ εἰς τὸ δεῖν συνεχῶς εὔχεσθαι καὶ ἐν παντὶ τόπῳ, κἂν ἐν ἀγορᾷ ὦμεν, κἂν ἐν ὁδῷ, κἂν ἐπὶ κλίνης· λόγος δ'», οὗ ἡ ἀρχή· «Οὐκ οἶδα ποίοις χρήσομαι», φ. νε'. Migne τ. 54, σ. 660.

8. «Τοῦ αὐτοῦ πρὸς τοὺς ἐν ἑορταῖς μόνον συναγομένους καὶ τί ποτέ ἐστιν ἑορτή, καὶ πρὸς τοὺς ἐγκαλοῦντας τῇ τοῦ Θεοῦ προνοίᾳ διὰ τὸ πλουσίους εἶναι καὶ πένητας ἐν τῷ βίῳ, καὶ ὅτι χρησιμώτατον ἡ πενία, καὶ ὅτι πλούτου πλείονα ἡδονὴν ἔχει καὶ ἀσφάλειαν, καὶ εἰς τὴν Ἄνναν λόγος ε'», οὗ ἡ ἀρχή· «Μάτην ὡς ἔοικεν», φ. ξβ'. Migne τ. 54, σ. 669.

9. «Τοῦ αὐτοῦ λόγος εἰς τὴν παραβολὴν τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος καὶ ἑκατὸν δηνάρια ἀπαιτοῦντος, καὶ ὅτι παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρόν ἐστιν». Ἀρχ. «Ὡς ἐκ μακρᾶς ἀποδημίας», φ. ξη'. Migne τ. 51, σ. 17.

10. Τοῦ αὐτοῦ «εἰς τὸ κατὰ τὸν Δαυὶδ καὶ τὸν Σαούλ, καὶ περὶ ἀνεξικακίας καὶ τοῦ δεῖν φείδεσθαι τῶν ἐχθρῶν καὶ μηδὲ ἀπόντας λέγειν κακῶς». Ἀρχ. «Ὅταν χρονία τις καὶ σκληρά», φ. οθ'. Migne τ. 54, σ. 675.

11. «Τοῦ αὐτοῦ ὅτι μέγα ἀγαθὸν οὐ τὸ μετιέναι μόνον ἀρετήν, ἀλλὰ καὶ τὸ ἐπαινεῖν ἀρετήν· καὶ ὅτι μεῖζον ἔστησεν τρόπαιον φεισάμενος τὸν Σαοὺλ ὁ Δαυίδ, ἢ ὅτε τὸν Γολιάθ κατήνεγκεν· καὶ ὅτι ἑαυτὸν μᾶλλον ἢ τὸν Σαοὺλ ὠφέλησεν τοῦτο ποιήσας· καὶ εἰς τὴν ἀπολογίαν αὐτοῦ τὴν πρὸς τὸν Σαούλ». Ἀρχ. «Ὑμεῖς μὲν πρώην ἐπῃνέσατε τὸν Δαυίδ», φ. πη'. Migne τ. 54, σ. 687.

12. «Τοῦ αὐτοῦ ὅτι ἐπισφαλὲς τὸ εἰς θέατρα ἀναβαίνειν, καὶ ὅτι μοιχοὺς ἀπηρτισμένους ποιεῖ, καὶ ὅτι ἀθυμίας αἴτιον καὶ πολέμου τοῦτο, καὶ ὅτι πᾶν εἶδος ἀνεξικακίας ὑπερεβάλετο ὁ Δαυὶδ ἐν τοῖς κατὰ τὸν Σαοὺλ καὶ τὸ φέρειν ἁρπαγὴν πράως τῷ δοῦναι ἐλεημοσύνην ἴσον». Ἀρχ «Πολλοὺς οἶμαι τῶν πρώην», φ. ϙε'. Migne τ. 54, σ. 695.

13. «Τοῦ αὐτοῦ ὁμιλία (εἰς τὸ) Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ». Ἀρχ. «Καλὸν ἡμῖν ὡς ἀληθῶς», φ. ρζ'. Migne τ. 55, σ. 619.

14. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον "οὐ μόνον δὲ ἀλλὰ καὶ καυχόμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται" καὶ τὰ ἑξῆς». Ἀρχ. «Ἐπίπονον μὲν γηπόνῳ», φ. ριζ'. Migne τ. 51, σ. 155.

15. «Τοῦ αὐτοῦ ὁμιλία λεχθεῖσα ἐν Κωνσταντινουπόλει, ἐν τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ ὀλίγων συνελθόντων, εἰς τὸ "μὴ φοβοῦ ὅταν πλούσιος ἄνθρωπος"· καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Βραχὺς ὁ καρπός», φ. ρκϛ'. Migne τ. 55, σ. 511.

16. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸν Ἀκύλαν καὶ Πρίσκιλλαν, καὶ εἰς τὸ μὴ κακοὺς λέγειν τοὺς ἱερεῖς τοῦ Θεοῦ». Ἀρχ. «Ἆρα ἐπαιδεύθητε», φ. ρλα'. Migne τ. 51, σ. 195.

17. «Τοῦ αὐτοῦ· τῇ προτέρᾳ διαλεχθεὶς εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν "ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον", πάλιν εἰς αὐτὴν εἶπεν καὶ πρὸς Μανιχαίους καὶ πάντας τοὺς διαβάλλοντας τὴν παλαιὰν καὶ διαιροῦντας αὐτὴν ἀπὸ τῆς καινῆς, καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Ἀποστολικῆς ὑμῖν ἐξηγήσεως χρέος», φ. ρμβ'. Migne τ. 51, σ. 281.

18. «Τοῦ αὐτοῦ ὁμιλία πάλιν εἰς τὴν αὐτὴν ῥῆσιν "ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον" καὶ διατί κοινῇ πάντες ἀπολαμβάνουσιν τὰ ἀγαθὰ καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Τῇ προτέρᾳ συνάξει», φ. ρν'. Migne τ. 51, σ. 289.

19. «Τοῦ αὐτοῦ ὁμιλία πρὸς τοὺς ἐν ταῖς ἱπποδρομίαις ἀπελθόντας καὶ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου "εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς"· καὶ πρὸς τῷ τέλει εἰς τὸν Λάζαρον· λόγος α'», οὗ ἡ ἀρχή· «Βούλομαι τῆς συνήθους», φύλ. ρξα'. Migne τ. 48, σελ. 1043.

20. «Τοῦ αὐτοῦ ὁμιλία μετὰ τὰς καλάνδας· τῇ ἑξῆς κατὰ μεθυόντων, καὶ περὶ τῶν εἰς καπηλεῖα εἰσιόντων, καὶ ὅτι τὸν διδάσκαλον οὐ χρὴ ἀπογινώσκειν τῶν μαθητῶν, κἂν πρὸς τὸ παρὸν μὴ πείθωνται· λόγος β'», οὗ ἡ ἀρχή· «Τὴν χθὲς ἡμέραν», φ. ρο'. Migne τ. 48, σ. 963.

21. Τοῦ αὐτοῦ «εἰς τὸν Λάζαρον λόγος τρίτος καὶ ὅτι αἱ ψυχαὶ τῶν βιοθανάτων οὐ γίνονται δαίμονες, καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης». Ἀρχ. «Ἐθαύμασα τὴν ἀγάπην ὑμῶν», φ. ρπε'. Migne τ. 48, σ. 981.

22. «Τοῦ αὐτοῦ εἰς τὸν Λάζαρον λόγος τέταρτος καὶ τίνος ἕνεκεν οὐκ εἶπεν "ἔλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου", ἀλλὰ "ἀπέλαβες"· καὶ διατί οἱ μὲν δίκαιοι κινδύνοις περιπίπτουσιν, οἱ δὲ ἁμαρτωλοὶ τούτους διαφεύγουσιν». Ἀρχ. «Οὐ τὰ τυχόντα ἡμᾶς ὤνησεν», φ. ρπδ'. Migne τ. 48, σ. 991.

23. «Τοῦ αὐτοῦ εἰς τὸν Λάζαρον λόγος πέμπτος καὶ ὅτι τὸ συνειδὸς εἴωθεν ἡμᾶς ὑπομιμνήσκειν παλαιὰ ἁμαρτήματα, καὶ εἰς τὸν Ἰωσήφ». Ἀρχ. «Τῆς τοῦ Λαζάρου παραβολῆς», φ. σῃ'. Migne τ. 48, σ. 1005.

24. «Τοῦ αὐτοῦ ἔπαινος τῶν ἀπαντησάντων ἐν τῇ ἐκκλησίᾳ, καὶ περὶ εὐταξίας τῆς ἐν ταῖς δοξολογίαις καὶ εἰς τὸ Εἶδον τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου». Ἀρχ. «Πολλὴν ὁρῶ τὴν σπουδήν», φ. σιθ'. Migne τ. 56, σ. 97.

25. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· λόγος α'», οὗ ἡ ἀρχή· «Χαίρω συντρέχοντας ὑμᾶς ὁρῶν», φ. σκῃ'. Migne τ. 56, σ. 107.

26. «Τοῦ αὐτοῦ εἰς τὴν πρώτην τῶν Παραλειπομένων τὴν λέγουσαν Ὑψώθη ἡ καρδία Ὀζίου» κτλ. Ἀρχ. «Εὐλογητὸς ὁ Θεός», φ. σλγ'. Migne τ. 56, σ. 112.

27. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον "ἐγένετο τοῦ ἐνιαυτοῦ" κτλ., καὶ ἔπαινος τῆς πόλεως Ἀντιοχείας καὶ κατὰ τῶν κωλυόντων τὸν γάμον ἔνθεος ἀπόδειξις· λόγος γ'», οὗ ἡ ἀρχή· «Λαμπρὸν ἡμῖν σήμερον», φ. σμ'. Migne τ. 56, σ. 119.

28. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου "εἶδον τὸν Κύριον" κτλ. λόγος δ'», οὗ ἡ ἀρχή· «Φέρε τήμερον τοῖς κατὰ τὸν Ὀζίαν», φ. σμθ'. Migne τ. 56, σ. 129.

29. «Τοῦ αὐτοῦ ὁμιλία πρὸς τοὺς ζητοῦντας τίνος ἕνεκεν οὐκ ἐκ τοῦ μέσου γέγονεν ὁ Διάβολος, καὶ ὅτι οὐδὲν ἡμᾶς βλάπτει ἡ τούτου πονηρία ἐὰν προσέχωμεν, καὶ περὶ μετανοίας». Ἀρχ. «Ὁ μὲν Ἰσαὰκ ἐπιθυμήσας», φύλ. σνγ'. Migne τ. 49, σ. 257.

30. «Τοῦ αὐτοῦ ὁμιλία ὅτι ἐκ ῥᾳθυμίας ἡ κακία καὶ ἀπὸ σπουδῆς ἡ ἀρετή, καὶ οὐδὲν οὔτε ἄνθρωποι πονηροί, οὔτε αὐτὸς ὁ Διάβολος τὸν νήφοντα παραβλάψαι δύναται· καὶ ἡ ἀπόδειξις ἄλλοθέν τε πολλαχόθεν καὶ ἐκ τῶν κατὰ τὸν Ἀδὰμ καὶ τὸν Ἰώβ». Ἀρχ. «Ἡμεῖς μὲν πρὸ τῆς χθὲς ἡμέρας», φ. σνθ'. Migne τ. 49, σ. 263.

31, «Τοῦ αὐτοῦ περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι καὶ ἑρμηνεία τῆς προσευχῆς». Ἀρχ. «Πάσης μὲν θεοπνεύστου Γραφῆς», φ. σξη'. Migne τ. 51, σ. 41.

32. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου "οὐχ ὃ θέλω τοῦτο ποιῶ, ἀλλ' ὃ μισῶ τοῦτο πράσσω"· καὶ πῶς ἐγένετο ὁ Ἰακὼβ τύπος Χριστοῦ, ἐν δὲ τῷ προοιμίῳ τοῦ λόγου κατὰ τῶν θεωρούντων τὰ θέατρα». Ἀρχ. «Ἐπαινῶ μὲν ὑμῶν τὸν πόθον», φ. σοδ'. Migne τ. 59, σ. 663.

33. «Τοῦ αὐτοῦ εἰς τὸ ἀποστολικὸν ῥητόν: Οὐ θέλω ὑμᾶς ἀγνοεῖν» κτλ. Ἀρχ. «Οἱ ναῦται τοῦτο μάλιστα φιλοῦσι», φ. σπς'. Migne τ. 51, σ. 241.

34. «Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ Ἱερεμίου: Κύριε οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ». Ἀρχ. «Τῆς ὁδοῦ ταύτης τῆς αἰσθητῆς», φ. σϟς'. Migne τ. 56, σ. 153.

35. «Τοῦ αὐτοῦ ὁμιλία περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν ζῶντας ἢ τεθνεῶτας». Ἀρχ. «Πρώην μὲν οὖν περὶ ἀκαταλήπτου», φ. τδ'. Migne τ. 48, σ. 945.

36. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ῥητὸν τοῦ προφήτου Δαυὶδ τὸ λέγον "μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος", καὶ περὶ φιλοξενίας». Ἀρχ. «Ἡδὺ μὲν γηπόνῳ τὸ ἄροτρον», φ. τη'. Migne τ. 55, σ. 499.

37. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ "χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα", καὶ περὶ παίδων ἀνατροφῆς καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Εἰς καιρὸν ἡ τοῦ πνεύματος ᾠκονόμησεν χάρις», φ. τιθ'. Migne τ. 51, σ. 321.

38. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἀποστολικὸν ῥητόν: Ὄφελον

ἀνείχεσθέ μου μικρόν τι ἀφροσύνης». Ἀρχ. «Ἅπαντας μὲν φιλῶ τοὺς ἁγίους», φ. τλε'. Migne τ. 51, σ. 301.

39. «Τοῦ αὐτοῦ ὁμιλία ὅτε τῆς ἐκκλησίας ἔξω εὑρεθεὶς Εὐτρόπιος ἀπεσπάσθη, καὶ εἰς τὸ Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ». Ἀρχ. «Ἡδὺ μὲν λειμὼν καὶ παράδεισος», φ. τμγ'. Migne τ. 52, σ. 395.

40. «Τοῦ αὐτοῦ περὶ εἱμαρμένης λόγος α'», οὗ ἡ ἀρχή· «Οἶδα περὶ εἱμαρμένης πρώην εἰπών», φ. τξ'. Migne τ. 50, σ. 757.

41. «Τοῦ αὐτοῦ περὶ εἱμαρμένης λόγος β'», οὗ ἡ ἀρχή· «Τὰ αὐτὰ λέγειν», φ. τξβ'. Migne τ. 50, σ. 759.

42. «Τοῦ αὐτοῦ περὶ εἱμαρμένης λόγος δ'», οὗ ἡ ἀρχή· «Οὐδέν ἐστιν ὄντως», φ. τξη'. Migne τ. 50, σ. 765.

43. «Τοῦ αὐτοῦ περὶ εἱμαρμένης λόγος δ'», οὗ ἡ ἀρχή· «Φάγωμεν καὶ πίωμεν», φ. τοβ'. Migne τ. 50, σ. 769.

44. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὴν μνήμην τοῦ ἁγίου Βάσσου· ἐλέχθη εἰς τοὺς φόβους καὶ εἰς τὸ Δεῦτε μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». Ἀρχ. «Ἔδει μὲν ἡμᾶς τοσαύτης λόγων πηγῆς», φ. τοζ'. Migne τ. 50, σ. 719.

45. «Τοῦ αὐτοῦ ὁμιλία ὅτι ἀτελεύτητος ἡ κόλασις καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου: Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον» κτλ. Ἀρχ. «Οὐ μικρὸν ἡμῖν τὸ προκείμενον», φ. τπβ'. Migne τ. 61, σ. 75.

46. Ὁμιλία τοῦ αὐτοῦ ἀκέφαλός τε καὶ ἀτελής, ἧς ἡ ἀρχὴ ὧδε νῦν ἔχει· «δεδοικότα καὶ τρέμοντα· αὗται αἱ ἀρχαὶ οὐκ εἰσὶν χρημάτων ὠνηταὶ» κτλ., φ. τπθ'.

47. «Τοῦ αὐτοῦ ὁμιλία περὶ τῆς τῶν μελλόντων ἀπολαύσεως καὶ τῆς τῶν παρόντων εὐτελείας». Ἀρχ. «Σφοδρὸν τὸ καῦμα καὶ βαρὺς ὁ αὐχμός», φ. τϡ'. Migne τ. 51, σ. 347.

26. Τεῦχος μεμβράνινον, βίους ἐμπεριέχον καὶ μαρτύρια ἁγίων τινῶν τῆς ἐκκλησίας ἀνδρῶν, κεκολοβωμένον μέντοι καὶ ἄλλοις ἄλλων μεμβρανίνων τευχῶν φύλλοις συμπεπληρωμένον. Καὶ γὰρ αὐτὸς ὁ κῶδιξ μεταξὺ τῆς ἑνδεκάτης καὶ δυοκαιδεκάτης ἑκατονταετηρίδος γεγραμμένος φαίνεται ὤν, καὶ φύλλα μὲν ὀγδοήκοντα

σῴζων καὶ ἑπτά, ἤτοι τά τε ἀπὸ τοῦ 2-ου μέχρι τοῦ 9-ου φύλλα καὶ τὰ ἀπὸ τοῦ 37-ου φύλλου ἄχρι τοῦ 215-ου, κείμενον δ' ἐνέχων δίστηλον καὶ γραμμὰς κατὰ στήλην 31. Καὶ τὰ μὲν φύλλα ὕψους μέν ἐστι 0, 35, πλάτους δὲ 0, 255· τοῦ δὲ κειμένου ὁ κατὰ σελίδα χῶρος 0, 24 ἐπὶ 0, 165. Τούτου μὲν οὖν τοῦ κώδικος ἀκεφάλου τε καὶ ἀτελοῦς ποτε περισωθέντος, ἄλλος τις ἐν χρόνοις κατωτάτοις τὰ ἐλλείποντα ὡς οἶδεν ἀνεπλήρωσε, φύλλα δύο ἑτέρων προσθεὶς βιβλίων. Καὶ γὰρ τὸ νῦν πρῶτον τοῦ τεύχους τούτου φύλλον, εἰ καὶ κατὰ τὴν ἑνδεκάτην ἐγράφη ἑκατονταετηρίδα, ἄλλου γέ τινος τεύχους μέρος ἐστίν· οὐ γὰρ ἡ τούτου μόνον γραφὴ διαφέρει, ἀλλὰ καὶ κατὰ στήλην εἴκοσι καὶ ἐννέα γραμμὰς ἀριθμεῖ. Ἄλλα δέ τινα φύλλα, ἤτοι τὰ ἀπὸ τοῦ 10-ου ἄχρι τοῦ 36-ου καὶ τὰ ἀπὸ τοῦ 216-ου ἄχρι τοῦ 229-ου φύλλου, ἑτέρου ὡσαύτως βιβλίου μέρη ἐστίν, ὅ, εἰ καὶ κακόγραφον, τῇ ἑνδεκάτῃ ἐγένετο ἑκατονταετηρίδι. Ἑτέρῳ δὲ πάλιν βιβλίῳ τὰ τρία τελευταῖα τοῦ κώδικος προσήκει φύλλα· ταῦτα γὰρ ὕψους μέν ἐστι 0, 322, πλάτους δὲ 0,243· κείμενον δ' ἔχει δίστηλον (0, 23×0, 163), ὃ κατὰ στήλην τριάκοντα μόνον γραμμὰς ἀριθμεῖ. Τούτων δ' αὖ τῶν ἐσχάτων φύλλων τὸ πρῶτον, ὃ νῦν 230-ον ἀριθμεῖται, χάσμα εἶχε μέγα, ἄλλῳ τινὶ ὕστερον μεμβρανίνῳ συμπληρωθὲν τεμάχει, ὃ ἀπὸ παλαιοῦ ἀποκέκοπτο κώδικος. Καὶ ἔνθεν μὲν εὐχῆς τινος τὸ τέμαχος τοῦτο μέρος σῴζει, ἔνθεν δ' ἐμμέτρους τινὰς στίχους, πορφυροῖς μὲν κεφαλαιώδεσι δὲ γεγραμμένους στοιχείοις. Ἕτερον δὲ χάσμα τὸ ἔσχατον εἶχε τοῦ κώδικος φύλλον, ὃ τεμάχει μέν τινι θεολογικῷ κεκαλυμμένον νῦν ὑπάρχει, ἀπὸ δὲ κώδικος τῆς δεκάτης τοῦτο ἀποκέκοπτο ἑκατονταετηρίδος. Τὸ μὲν οὖν τεῦχος ἐκ διακοσίων καὶ τριάκοντα καὶ τριῶν νῦν συγκείμενον φύλλων, οὕτως κατηρτισμένον ἐστὶ καὶ συμπεπληρωμένον· κείμενα δὲ τοῦτο τάδ' ἐμπεριέχει.

1. Βίος τις ἄναρχος τοῦ μεγαλομάρτυρος Μηνᾶ τοῦ Αἰγυπτίου, οὗ αἱ πρῶται λέξεις ἔχουσι νῦν ὧδε· «. . . θε ἀδελφέ, καὶ μεῖνον ἐνταῦθα ἕως οὗ διαφαύσει· εἰσελθὼν δὲ ὁ ξένος ἐκάθισεν» κτλ., φ. 1. Ἐλλείπει δὲ καὶ τὸ τέλος τοῦ βίου, ὃς νῦν εἰς τὰς λέξεις

τελευτᾷ τάσδε· «ἐθαύμασαν ἀμφότεροι, ὁ δὲ κύριος τοῦ δούλου ἐφοβήθη».

2. Μαρτύριον τῶν ἁγίων μαρτύρων Τροφίμου Δορυμέδοντος καὶ Σαββατίου, οὗ ἡ ἀρχή· «Βασιλεύοντος Πρόβου τοῦ καίσαρος», φ. 10. Acta sanctorum, σεπτ. τ. VI, σ. 12.

3. «Βίος καὶ πολιτεία καὶ μαρτύριον τῆς ἁγίας Σωσάννης», οὗ ἡ ἀρχή· «Κατὰ τὸν καιρὸν τῆς βασιλείας Μαξίμου», φ. 18^{β}. Κατὰ δὲ τὸν κώδικα τοῦτον ἡ τῆς Σωσάννης μνήμη τῇ ιθ' ἡμέρᾳ τοῦ μηνὸς τελεῖται σεπτεμβρίου. Πρβλ. Σεργίου **Полный мѣсяцесловъ Востока**, τ. II, σ. 249. Καὶ τὸ μὲν τοῦ βίου κείμενον καταχεχωρισμένον εὕρηται ἐν τοῖς Act. Sanct. σεπτ. τ. VI, σ. 153, παρὰ δὲ τοῦ Σαβαϊτικοῦ τούτου κώδικος, ὃς τὸ πρόσθεν 276-ος ἠριθμεῖτο, Ἀντωνῖνος ὁ ἀρχιμανδρίτης τὸν βίον ἐκεῖνον ἔτει 1868-ῳ ἐξεγράψατο καὶ εἰς τὴν ῥωσσίδα μετήνεγκε φωνήν· ταύτην δὲ τὴν μετάφρασιν καὶ τύποις ὕστερον ἐξέδοτο (**Труды Кіевской Духовной Академіи** 1877 τ. I, σ. 385-398).

4. Βίος καὶ μαρτύριον τοῦ τε ἁγίου Εὐσταθίου καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων. Ἀρχ. «Πρόκειται μὲν τοῖς ἀνθρώποις», φ. 25-36. Τὸ τέλος ἐλλείπει. Ὅρα Combefis, Illustr. lect. triumphi, σ. 1-44.

5. Βίος τις ἄναρχος ἢ ἀκέφαλος τοῦ ἁγίου Ἰωάννου τοῦ ἐλεήμονος, οὗ αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «ὃς ἦν ἀργυρώνητος αὐτῷ, καλέσας ἔχω σοί τι ἔφη τῶν ἀπορρήτων πιστεῦσαι», φ. 37.

6. Μαρτύριον τῶν ἁγίων μαρτύρων Σαμωνᾶ Γουρία καὶ Ἀβίβου, οὗ ἡ ἀρχή· «Ἔτος μὲν ἀπὸ τῆς Ἀλεξάνδρου», φ. 44^{β}. Migne τ. 116, σ. 128.

7. (Γρηγορίου ἐπισκόπου Νύσσης) βίος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ, οὗ ἡ ἀρχή· «Ὁ μὲν σκοπὸς εἷς ἐστι», φ. 59^{β}. Migne τ. 46, σ. 893.

8. Βίος καὶ πολιτεία τοῦ ἁγίου Γρηγορίου τοῦ ἐπισκόπου Ἀκραγαντίνων, οὗ ἡ ἀρχή· «Κάλλιστόν τι χρῆμα ἡ ἀρετή», φ. 105^{β}. Migne τ. 116, σ. 189.

9. Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης, οὗ ἡ

ἀρχή· «Βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξεντίου», φ. 162β. Migne τ. 116, σ. 276.

10. Μαρτύριον τοῦ ἁγίου Ἰακώβου τοῦ Πέρσου, οὗ ἡ ἀρχή· «Ἀρκαδίου τὰ Ῥωμαίων», φ. 181β. Fabric. X, σ. 336. Νικοδήμου, Συναξαρ. I, σ. 257. Ἱεροσολ. Βιβλιοθ. I, σ. 36 καὶ 61. Μαυρογορδ. Βιβλιοθ. I, σ. 36.

11. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ νέου». Ἀρχ. «Θεῖόν τι χρῆμα ἡ ἀρετή», φ. 195β. Fabric. X, σ. 328. Νικοδήμου, Συναξαρ. I, σ. 257. Μαυρογορδ. Βιβλιοθ. I, σ. 36 καὶ 61. Ἱεροσολυμ. Βιβλιοθ. I, σ. 36.

12. «Μαρτύριον τοῦ ἁγίου Εὐσεβίου ἐν Φοινίκῃ», οὗ ἡ ἀρχή· «Ἐπειδὴ περὶ Εὐσεβίου τοῦ ἁγιωτάτου λόγος», φ. 216β—217 καὶ 220. Κείμενον ἀνέκδοτον· ἄλλου δέ τινος ἀπογράφου μέρη ἐν τῷ ὁλλανδικῷ σῴζεται μουσείῳ Meermann-Westreenen. Ὅρα H. Omont, Catalogue des manuscrits grecs des bibliothèques des Pays-Bas. Leipzig 1887, σ. 18, ἀριθ. 24.

13. Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ, οὗ ἡ ἀρχή· «Ἐπειδή περ πολλάκις», φ. 221—223 καὶ 218—219. Acta sanctorum τ. III τοῦ ἰουλίου μηνός, σ. 610—616.

14. «Ὁμιλία Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου εἰς τὴν σύλληψιν τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ». Ἀρχ. «Εὔκαιρος ἡμέρα, αἰσία ἑορτή, πάνδημος χαρά», φ. 224β. Migne τ. 61, σ. 757.

15. Λείψανον τῶν Κλημεντείων πράξεων Πέτρου τοῦ ἀποστόλου, ἀρχόμενον νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «τῶι θεῶι μισθὸν οὐκ ἔχει. ταῦτα εἰπὼν καὶ ἕτερα πλείονα περὶ ἁγιασμοῦ, τῶν τριῶν ἤδη μηνῶν πληρωθέντων, ὧν νηστεῦσαί με ἐκέλευσεν, ἀγαγών με εἰς τὰς ἐν τῇ θαλάσσῃ πλησίον οὔσας πηγὰς» κτλ., φ. 230 — 233. Τέλος· «πέπειστο γενέσθαι γυναικὸς εὐεργέτις ναυαγίῳ περιπεσούσης, τέκνα πενθούσης, ξένης γυμνῆς μεμονωμένης καὶ σφόδρα ἐπὶ ταῖς συμφοραῖς ὀλο[φυρομένης]».

27. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὕψους μὲν 0,338, πλάτους δὲ 0,24· σύγκειται δ' ἐκ φύλλων 429,

ἃ λείψανα τεσσάρων διαφόρων ἐστὶ κωδίκων. Καὶ τοῦ μὲν πρώτου τῶν εἰρημένων ἐφθαρμένων κωδίκων λείψανον τὸ τεῦχος τοῦτο σώζει ἀπὸ τοῦ 1-ου ἄχρι τοῦ 188-ου φύλλου, ἀπὸ δὲ τοῦ 189-ου ἄχρι τοῦ 192-ου καὶ ἀπὸ τοῦ 203-ου ἄχρι τοῦ 416-ου φύλλου τμῆμα τοῦ δευτέρου μέγα ἐμπεριέχει κώδικος· καὶ πάλιν ἀπὸ τοῦ 193-ου ἄχρι τοῦ 202-ου φύλλου τέμαχος τοῦ τρίτου σώζει κώδικος, ἀπὸ δὲ τοῦ 417-ου ἄχρι τοῦ 429-ου φύλλου μικρόν τι λείψανον τοῦ τρίτου περιέλαβε κώδικος. Τῶν τεσσάρων οὖν τούτων λειψάνων τὸ κείμενον δίστηλον κατὰ πᾶσαν εὕρηται σελίδα, καὶ τοῦ μὲν πρώτου μία ἑκάστη τῶν στηλῶν ἢ 31 ἢ 33 ἀριθμεῖ γραμμὰς (0,255× 0,162), ἐν πάσῃ δὲ τοῦ δευτέρου λειψάνου στήλῃ εἴκοσι καὶ ὀκτὼ ἀριθμοῦνται γραμμαὶ (0,25×0,148)· τὸ δὲ τρίτον λείψανον 32 γραμμὰς ἐν μιᾷ ἑκάστῃ τῶν στηλῶν αὐτοῦ ἀριθμεῖ (0,264×0,16), τὸ δὲ τέταρτον γραμμὰς πάλιν ἐν μιᾷ ἑκάστῃ τῶν στηλῶν αὐτοῦ εἴκοσι καὶ ἓξ περιέχει (0,22× 0,182). Τὸ οὕτως οὖν κατηρτισμένον τεῦχος τὰς ἐφεξῆς ἐμπεριέχει γραφάς.

1. Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλία τις ἀκέφαλός τε καὶ ἄναρχος, ἧς αἱ πρῶται λέξεις ἔχουσι νῦν ὧδε· «κουφῖσαι· δὸς καὶ σὺ χεῖρα, οὐχ ἐπειδὴ ἐγώ σου χρείαν ἔχω» κτλ., φ. 1. Πρὸ δὲ τῆς ὁμιλίας ταύτης τρεῖς ὑπῆρχον λόγοι τὴν ἀρχὴν τοῦ κώδικος ἀποτελοῦντες, ὡς οἱ ἀριθμοὶ τῶν ἐφεξῆς δηλοῦσιν ὁμιλιῶν, οἱ ἐν τοῖς φύλλοις αὐτοῦ τοῦ κώδικος σεσημασμένοι.

2. «Τοῦ αὐτοῦ εἰς τὸν Δαυὶδ τὸν βασιλέα καὶ Παῦλον τὸν ἀπόστολον, περὶ μετανοίας καὶ εἰς διάφορα ῥήματα τοῦ Ψαλτῆρος ἑρμηνεία, εἰς τὸν ν' τέλος ἐσχηκότα, καὶ περὶ τοῦ μὴ ἀπογινώσκειν ἡμᾶς τῆς ἑαυτῶν σωτηρίας». Ἀρχ. «Ἀρτίως ἠκούσατε τοῦ ὑμνογράφου», φ. $14^β$. Migne τ. 55, σ. 527.

3. «Τοῦ αὐτοῦ ἐκ τῆς Ῥωμαίων ἐπιστολῆς καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Ἀγαπητοί, τίνος ἂν εἴημεν ἄξιοι», φ. $17^β$. Ἀσημείωτός ἐστι καὶ ὁ λόγος οὗτος ἐν τοῖς πίναξι τῶν τοῦ Χρυσοστόμου γραφῶν.

4. «Τοῦ αὐτοῦ ἠθικὰ ἐκ τοῦ λόγου τῆς ἑρμηνείας τῆς πρὸς

Ῥωμαίους ἐπιστολῆς, καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Ἀγαπητοί, παιδεύει ἡμᾶς», φ. 19. Migne τ. 64, σ. 1327: hanc (homeliam) ut spuriam praetermisimus.

5. «Τοῦ αὐτοῦ εἰς τὸ "ἠρώτησέ τις τῶν Φαρισαίων τὸν Ἰησοῦν ὅπως ἀριστήσῃ παρ' αὐτῷ", καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Ὥσπερ πατὴρ φιλότεκνος», φ. 21β. Migne τ. 59, σ. 589.

6. Τοῦ αὐτοῦ περὶ νηστείας καὶ ἐλεημοσύνης». Ἀρχ. «Καλὴ ἡ νηστεία», φ. 24. Migne τ. 48, σ. 1059.

7. «Τοῦ αὐτοῦ εἰς τὸ "μὴ θησαυρίζετε ἑαυτοῖς θησαυροὺς ἐπὶ τῆς γῆς" καὶ τὰ ἑξῆς». Ἀρχ. «Ὁ φιλάνθρωπος δεσπότης», φ. 27. Λόγος ἀμνημόνευτος.

8. «Τοῦ αὐτοῦ εἰς τὸν ἔχοντα χάριν οἵαν δήποτε ἐπιστήμης μεταδιδόναι τῷ μὴ ἔχοντι, καὶ περὶ πρεσβυτέρων». Ἀρχ. «Ὁ φιλάνθρωπος Θεός», φ. 29β. Migne τ. 61, σ. 783.

9. «Τοῦ αὐτοῦ εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον». Ἀρχ. «Μέγιστόν ἐστιν διδασκαλεῖον», φ. 32. Migne τ. 59, σ. 591.

10. «Τοῦ αὐτοῦ περὶ ἐλεημοσύνης καὶ κατανύξεως». Ἀρχ. «Στεφάνῳ χρυσοκόμοις», φ. 34β. Migne τ. 60, σ. 765.

11. «Τοῦ αὐτοῦ εἰς τὴν παραβολὴν τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς». Ἀρχ. «Ἠκούσαμεν, ἀδελφοί, ἐν τῷ εὐαγγελίῳ», φ. 36. Migne τ. 62, σ. 755.

12. «Τοῦ αὐτοῦ περὶ σεισμοῦ, εἰς τὸν Λάζαρον καὶ εἰς τὸν πλούσιον». Ἀρχ. «Ἴδετε Θεοῦ δύναμιν», φ. 39β. Migne τ. 48, σ. 1027.

13. «Τοῦ αὐτοῦ νουθεσίαι πνευματικαί», ὧν ἡ ἀρχή· «Καιρός σε λοιπὸν διανῆψαι», φ. 52. Migne τ. 62, σ. 741.

14. «Τοῦ αὐτοῦ εἰς τὸν Ἰωσὴφ περὶ σωφροσύνης». Ἀρχ. «Οἱ ἐκ πελάγους μεγάλου», φ. 55β. Migne τ. 56, σ. 587.

15. «Τοῦ αὐτοῦ εἰς τὴν Σουσάνναν περὶ σωφροσύνης». Ἀρχ. «Ἤκομεν ὑμῖν εὐγνώμονες», φ. 59β. Migne τ. 56, σ. 589.

16. «Τοῦ αὐτοῦ εἰς τὴν συμφορὰν τῆς πόλεως Ἀντιοχείας, καὶ ὅτι χρήσιμος πανταχοῦ ὁ φόβος, καὶ ὅτι πένθος γέλωτος λυσιτελέστερον, καὶ εἰς τὴν ῥῆσιν τὴν λέγουσαν "ἐπίγνωθι ὅτι

ἐμ μέσῳ παγίδων διαβαίνεις", καὶ ὅτι τοῦ φονεύειν τὸ ὀρκίζειν χεῖρον». Ἀρχ. «Ἔδει δὲ καὶ σήμερον καὶ τῷ προτέρῳ», φ. 64. Sancti Ioannis Chrysostomi opera selecta, ἐκδ. Fr. Dübner, Parisiis 1861, τ. 1, σ. 486.

17. «Τοῦ αὐτοῦ εἰς τὸ ὄνομα τοῦ λεγομένου κοιμητηρίου καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν». Ἀρχ. «Πολλάκις ἐζήτησα πρὸς ἐμαυτόν», φ. 71β. Migne τ. 49, σ. 393.

18. «Τοῦ αὐτοῦ λόγος εἰς τὴν τῶν Παραλειπομένων τὴν λέγουσαν "ὑψώθη ἡ καρδία Ὀζίου", καὶ περὶ ταπεινοφροσύνης, καὶ ὅτι χρὴ θαρρεῖν τὸν ἐνάρετον καὶ ὅσον κακὸν ἡ ἀπόνοια». Ἀρχ. «Φέρε δὴ σήμερον», φ. 76. Migne τ. 56, σ. 112.

19. «Τοῦ αὐτοῦ εἰς τὰ Σεραφίμ». Ἀρχ. «Μόλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν», φ. 80β. Migne τ. 56, σ. 135.

20. «Τοῦ αὐτοῦ περὶ μετανοίας καὶ παρθενίας». Ἀρχ. «Ὁ μακάριος ἀπόστολος», φ. 89β-107 (Migne τ. 88, σ. 1937, ἐπ' ὀνόματι Ἰωάννου τοῦ νηστευτοῦ). Ἐν δὲ τῷ κρασπέδῳ τοῦ 102-ου φύλλου ὑπόμνησίς τις γέγραπται, ἣ ἔχει ὧδε· «† ἔτους ,ςψμβ' (= 1234) ἰνδικτιῶνος ζ' μηνὶ φευρουαρίῳ κ' ἡμέρᾳ β', τέλος τοῦ βείου (-ίου) ἐχρήσατο ἡ δούλ(η) τοῦ Θ(εο)ῦ ἄνα (= Ἄννα), θυγάτηρ Πανκρατ(ίου) τοῦ Κανάκ(η) καὶ Μαρίας τοῦ Καλολίτ(ου)».

21. «Τοῦ αὐτοῦ περὶ τῶν ἐν νηστείᾳ σωφρονούντων καὶ διαγωγῆς διαφόρων προφητῶν». Ἀρχ. «Οἱ μὲν ἀθληταὶ καθ' ἑκάστην», φ. 107β. Migne τ. 64, σ. 15.

22. «Τοῦ αὐτοῦ λόγος εἰς τὸν Ἰώβ», οὗ ἡ ἀρχή· «Ἧκεν ἡμῖν ἐνιαύσιος», φ. 108. Migne τ. 56, σ. 563.

23. «Τοῦ αὐτοῦ εἰς τὸ Ἀνθρώπου τινὸς εὐφόρησεν ἡ χώρα». Ἀρχ. «Οἱ μὲν τέκτονες ἢ ῥεκάνῃ ἢ σκεπάρνῃ», φ. 113. Migne τ. 64, σ. 1373: spuria et praetermissa.

24. «Τοῦ αὐτοῦ εἰς τὸ Ἀνθρώπου τινὸς εὐφόρησεν ἡ χώρα». Ἀρχ. «Σάλπιγγος ὑψηλοτέραν», φ. 116. Migne τ. 61, σ. 787.

25. «Τοῦ αὐτοῦ περὶ μετανοίας». Ἀρχ. «Λόγος μὲν οὐδεὶς περὶ ἀγάπης», φ. 119. Migne τ. 60, σ. 773.

26. «Τοῦ αὐτοῦ εἰς Εὐτροπον ἐκτιθέντα νόμον τὸν φυγόντα

εἰς ἐκκλησίαν ἀποσπᾶσθαι, καὶ φυγόντος αὐτοῦ εἰς τὴν μεγάλην ἐκκλησίαν καὶ ἐπὶ τοῦ θυσιαστηρίου κειμένου ἐλέγχθη διὰ τοὺς ἐγκαλοῦντας». Ἀρχ. «Ἀεὶ μὲν μάλιστα δὲ νῦν», φ. 120β. Migne τ. 52, σ. 391.

27. «Τοῦ αὐτοῦ εἰς τὴν Χαναναίαν» Ἀρχ. «Πολὺς ὁ χειμών», φ. 125. Migne τ. 52, σ. 449.

28. «Τοῦ αὐτοῦ πρὸς πᾶσαν αἵρεσιν». Ἀρχ. «Μίαν ὑμῖν διελέχθην», φ. 133β. Migne τ. 48, σ. 795.

29. «Τοῦ αὐτοῦ εἰς τὸν ἑκατόνταρχον». Ἀρχ. «Ἑκατοντάρχου τινὸς δοῦλος», φ. 139. Migne τ. 61, σ. 769.

30. «Τοῦ αὐτοῦ περὶ τοῦ τιμᾶν τέκνα τοὺς γονεῖς». Ἀρχ. «Πᾶσα μὲν ἐντολὴ καθαρά», φ. 145. Migne τ. 64, σ. 1393: spuria et omissa.

31. «Τοῦ αὐτοῦ περὶ μετανοίας λόγος», οὗ ἡ ἀρχή· «Δεινὸν ἡ ἁμαρτία καὶ νόσος», φ. 146β. Migne τ. 64, σ. 1337: spuria et indigna Chrysostomo.

32. «Τοῦ αὐτοῦ κατὰ Ἰουδαίων καὶ Ἑλλήνων καὶ αἱρετικῶν». Ἀρχ. «Πάλιν ἰουδαϊκὴ κακία», φ. 152. Migne τ. 64, σ. 1389: spuria et omissa.

33. «Τοῦ αὐτοῦ λόγος εἰς τὸ "ἐπίστευσα δι' ὃ ἐλάλησα", καὶ κατὰ Ἀρειανῶν καὶ Μακεδονιανῶν». Ἀρχή· «Φασὶν τὴν μέλισσαν κούφοις πτεροῖς», φ. 162β. Migne τ. 64, σ. 1419: spuria et omissa.

34. «Τοῦ αὐτοῦ εἰς τὸ δεῦτε ἀγαλλιασώμεθα». Ἀρχ. «Ἐγείρει τὸν ὁπλίτην», φ. 166. Migne τ. 55, σ. 613.

35. «Τοῦ αὐτοῦ εἰς τὴν τρυγῶνα». Ἀρχ. «Ἡ τρυγὼν ἡ φιλέρημος», φ. 170β. Migne τ. 55, σ. 599.

36. «Τοῦ αὐτοῦ εἰς τὸ πῶς ὁ Ἀδὰμ τὴν ψυχὴν ἔλαβεν, ὅτε ἐπλάσθη, καὶ εἰς τὸ πάθος τοῦ Σωτῆρος ἑρμηνεία, καὶ περὶ τῆς νυχθείσης πλευρᾶς». Ἀρχ. «Καλοὶ τῆς ὑπομονῆς οἱ πόνοι», φ. 174β. Migne τ. 64, σ. 1363: spuria et omissa.

37. «Τοῦ αὐτοῦ εἰς Πέτρον καὶ Ἠλίαν». Ἀρχ. «Ὀλίγοι ἡμῖν οἱ παρόντες», φ. 180-188. Migne τ. 50, σ. 725.

38. «Μηνὶ ὀκτωβρίῳ κ'.—† Ὑπόμνημα ἤγουν ἐπεξήγησις τοῦ μαρτυρίου τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Ἀρτεμίου, συλλεγὲν ἀπὸ τῆς ἐκκλησιαστικῆς ἱστορίας Φιλοστοργίου καὶ ἄλλων τινῶν παρὰ Ἰωάννου μοναχοῦ». Ἀρχ. «Τὰ τοῦ μεγάλου καὶ ἐνδόξου μάρτυρος», φ. 203-236 καὶ 189-192. Mai, Spicileg. Romanum τ. IV, σ. 340-397. Migne τ. 96, σ. 1252 κἑ). Ἐν τῷ ἱεροσολυμιτικῷ τούτῳ ἀπογράφῳ, πολλῶν φύλλων ἐκπεσόντων, ἐλλείμματα μὲν πολλὰ νῦν τοῦ περὶ Ἀρτεμίου ὑπάρχει ὑπομνήματος, ἐμπεριέχεται δ' ὅμως ἐν ἐκείνῳ συνέχεια θαυμάτων, ἃ οὐχ εὕρηται ἐν τῇ Μαΐου τοῦ καρδιναλίου ἐκδόσει. Τὰ δὲ θαύματα ταῦτα ὀκτωκαίδεκα ἐν τῷ κώδικι ἀριθμεῖται, καὶ τούτων τινὰ τοπογραφικὰ περὶ Κωνσταντινουπόλεως ἡμᾶς διδάσκει μαθήματα, ὡς ὅτι τὸ τοῦ μεγαλομάρτυρος Ἀρτεμίου λείψανον ἔκειτο «εἰς τὸν ἅγιον Ἰωάννην τὸν βαπτιστὴν εἰς τὴν Ὀξίαν, πλησίον τῶν Δομνίνου ἐμβόλων» (θαῦμα δ' ἐν τῷ 224 φύλλῳ), καὶ ὅτι ξενὼν ὑπῆρχεν ὄνομα «Πασχεντίου, πλησίον τοῦ παλατίου τοῦ Δευτέρου» καὶ «δημόσιον λουτρὸν τὸ λεγόμενον Δαγισθέου, κατὰ τὴν κύφην ἔνθα ποτὲ τὰ στάβλα ἦσαν τῶν τοῦ Ἱπποδρόμου ἵππων» (θαῦμα ια' καὶ ιγ', φ. 229^β καὶ 231^α).

39. Ἰωάννου τοῦ Χρυσοστόμου ὅ τε περὶ ἱερωσύνης πρῶτος λόγος ἀκέφαλός τε καὶ ἄναρχος, καὶ ἡ ἀρχὴ τοῦ δευτέρου λόγου, φ. 193-202.

40. «Μηνὶ τῷ αὐτῷ (=ὀκτωβρίῳ) κα'. Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος», οὗ ἡ ἀρχή· «Μέλλων συγγράφειν τὸν βίον τοῦ ἀββᾶ Ἱλαρίωνος, τὸ ἐνοικῆσαν ἐν αὐτῷ Πνεῦμα ἅγιον ἐπικαλοῦμαι», φ. 237. Βίος ἀξιολογώτατος, ἀνέκδοτός τε καὶ ἀμνημόνευτος παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

41. «Βίος καὶ μαρτύριον τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἰσαποστόλου Ἀβερκίου, ἐπισκόπου Ἱεραπόλεως». Ἀρχ. «Ἐν ταῖς ἡμέραις ἐκείναις τὴν προεδρίαν καὶ ἐπισκοπήν», φ. 283^β. Ἀπόγραφα δύο τοῦ αὐτοῦ μέν, ἀνεκδότου δ' ἔτι βίου ἐν τῇ συνοδικῇ τῆς Μόσχας ἀπόκειται βιβλιοθήκῃ (Matthaei, Accur. notit. σ. 94).

42. «Ἀνδρέου Ἱεροσολυμίτου ἀρχιεπισκόπου Κρήτης περὶ

τοῦ βίου καὶ τοῦ μαρτυρίου τοῦ ἁγίου ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου». Ἀρχ. «Ὀκνεῖν μὲν ἔδει προβαίνειν», φ. 305β (Ἀ. Π. Κεραμέως, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας, τ. Ι, σ. 1-14). Ἕτερα δὲ δύο τοῦ αὐτοῦ βίου ἀπόγραφα ἐν Ἄθῳ ὑπάρχει καὶ ἐν Παρισίοις (Bibl. Coislin. σ. 185).

43. «Τῇ αὐτῇ ἡμέρᾳ (=κγ' ὀκτ.). Ὑπομνήματα τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ περὶ τῆς ἀναστάσεως αὐτῶν». Ἀρχ. «Ἐγένετο βασιλεύοντος Δεκίου τῆς τῶν Ῥωμαίων ἀρχῆς, κατελθεῖν αὐτὸν ἐν πρώτοις ἀπὸ Καρταγένης», φ. 317. Κείμενον ἀνέκδοτον καὶ παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ ἀμνημόνευτον καὶ εἰς λήθην ἄχρι τοῦ νῦν περιελθόν, ἀφ' οὗ χρόνου Φώτιος ἐκείνου ὁ ἐν πατριάρχαις ἁγιώτατος ἐμνήσθη (cod. CCLIII)· τοῦτο γὰρ ἐμοί γε κριτῇ ὁ θεῖος οὗτος ἀνέγνω ἀνήρ. Ὅσα δὲ περὶ τῶν ἐν Ἐφέσῳ παίδων Κόπται καὶ Σύροι καὶ Αἰθίοπες καὶ Λατῖνοι ἐν τοῖς ἑαυτῶν διηγοῦνται συναξαρίοις, δύο συγγραφεῖς ἐπισταμένως νῦν συνέγραψαν. 1) Koch, Die Siebenschläferlegende, ihr Ursprung und ihre Bedeutung; eine mythologisch-literaturgeschichtliche Studie. Leipzig 1883. — 2) Ignazio Guidi, Testi orientali inediti sopra i sette dormienti di Efeso publicati et tradotti. Roma, 1885.

44. «Μηνὶ τῷ αὐτῷ κδ'. Μαρτύριον τοῦ ἁγίου Ἀρέθα καὶ τῶν σὺν αὐτῷ τελειωθέντων ἁγίων», οὗ ἡ ἀρχή· «Ἔτους πέμπτου τῆς βασιλείας Ἰουστίνου», φ. 330β. Boissonade, Anecdota Graeca τ. V, σ. 1 - 62.

45. Μηνὶ τῷ αὐτῷ κέ. «Μαρτύριον τῶν ἁγίων ὁμολογητῶν καὶ νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου», οὗ ἡ ἀρχή· «Ἐγένετο μετὰ τὸ τελειωθῆναι τὸν μακαριώτατον Ἀλέξανδρον», φ. 357. Κείμενον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ ἀμνημόνευτον.

46. «Μηνὶ τῷ αὐτῷ κς'. Μαρτύριον τοῦ ἁγίου καὶ πανενδόξου μεγαλομάρτυρος Δημητρίου», οὗ ἡ ἀρχή· «Ὅτε Μαξιμιανὸς ὁ βασιλεύς», φ. 359. Fabricii, Bibl. Gr. τ. X, σ. 218.

47. «Διήγησις θαυμάτων τοῦ ἁγίου Δημητρίου», καὶ πρῶτον περὶ τοῦ ἀπελπισθέντος Μαριανοῦ τοῦ ὑπάρχου. Ἀρχ. «Μα-

ριανός τις ἀνήρ», φ. 363β.—«Β' περὶ τοῦ τὴν αἱμόρροιαν ἔχοντος». Ἀρχ. «Ἀνήρ τις τῶν ἐν γένει λαμπρός», φ. 373. — «Γ' περὶ τοῦ λοιμοῦ». Ἀρχ. «Ἴσον ἀδελφοὶ καθέστηκεν ἄμμον θαλάσσης», φ. 374β.—«Δ' περὶ τῶν δαιμονιώντων». Ἀρχ. «Οὐ μόνον σωμάτων», φ. 382.—«Ε' περὶ τῆς αἰτήσεως τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Δημητρίου». Ἀρχ. «Ἀγαπητοί, ἔλθωμεν εἰ δοκεῖ τὰ πολλά», φ. 384β.—«ς' περὶ Ὀνησιφόρου τοῦ παραμοναρίου». Ἀρχ. «Ἀλλ' οὐδὲ ἐκεῖνο παραλεῖψαι», φ. 386.— «Ζ' περὶ τῆς ἐν λιμῷ παρουσίας τοῦ μάρτυρος». Ἀρχ. «Ὅτι δὲ οὐ μόνον ἰδίᾳ πολλοῖς», φ. 388. Migne τ. 116, σ. 1204-1256.

48. «[Μηνὶ τῷ] αὐτῷ κζ'. Μαρτύριον τῶν ἁγίων μαρτύρων Καπετολίνης καὶ Ἐρωτιῆς» (γρ. Ἐρωτηΐδος). Ἀρχ. «Πολλῶν καὶ μεγάλων καὶ καλλινίκων», φ. 390. Καὶ δεύτερον μὲν τοῦ μαρτυρίου τούτου ἀπόγραφον ὅρα παρὰ τῷ Montfaucon, Bibl. Coislin. σ. 185· τρίτον δὲ πάνυ μεταγενέστερον ἀντίγραφον ἐν τῇ βασιλικῇ τῶν Βρυξελλῶν ὑπάρχει βιβλιοθήκῃ (Omont, Catal. des Mss. grecs de la bibl. royale de Bruxelles. Gand 1885, σ. 37). Τοῦ δ' ἐν τῷ ἱεροσολυμιτικῷ τούτῳ κώδικι ἀντιγράφου τὸ πρῶτον μόνον ἐσώθη φύλλον.

49. Βίος τις ἀκέφαλός τε καὶ ἄναρχος Ἀβραμίου τε τοῦ ὁσίου καὶ Μαρίας τῆς αὐτοῦ ἀνεψιᾶς, οὗ αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «δευτέρου Ἀβραὰμ τούτου, ὅστις ἐγένετο ἐν τοῖς χρόνοις τούτοις», φ. 391.

50. «Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας», οὗ ἡ ἀρχή· «Κατὰ τοὺς καιροὺς τοῦ παρανόμου καὶ ἀσεβοῦς Διοκλητιανοῦ», φ. 404. Κείμενον ἀτελές· μεθ' ὃ λείψανον ὑπάρχει ἐν τῷ κώδικι μαρτυρίου τινὸς τῶν ἁγίων μαρτύρων Ἀστερίου Κλαυδίου Νέωνος καὶ τῆς ἀδελφῆς αὐτῶν Κλεονίλλης· τοῦ δὲ μαρτυρίου τούτου αἱ νῦν τελευταῖαι λέξεις ἔχουσιν ὧδε· «Ἀστέριος εἶπεν· εἰ τὸν τρόπον ἐρωτᾷς ὃν ἔχω, χριστιανός εἰμι», φ. 416.

51. «Μηνὶ ἰαννουαρίῳ ιη'. Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξαν-

δρείας». Ἡ ἐπιγραφὴ δὲ αὕτη ὑπὸ κόσμημά τι γέγραπται, ὃ ὅμοιόν ἐστι τῷ Π στοιχείῳ. Ἀρχ. «Ἄλλοι μὲν ἄλλα τῶν μακαρίων», φ. 417—429. Κείμενον ἀτελὲς ὑπάρχον ἐν τῷ κώδικι, τὸ δὲ σύνολον αὐτοῦ παρὰ τῷ Migne εὕρηται τ. 25, σ. CLXXXV.

28. Τεῦχος μεμβράνινον ἢ περὶ τὸ τέλος τῆς δεκάτης ἢ ἀρχομένης τῆς ἑνδεκάτης γραφὲν ἑκατονταετηρίδος, καὶ ἐκ φύλλων νῦν συνιστάμενον 250· τούτου δὲ τὰ πρῶτα εἴκοσι καὶ τρία φύλλα ἐκ χάρτου ἐστὶ καὶ κατὰ τὴν ιε' ἐγράφη ἑκατονταετηρίδα. Περιέχονται οὖν ἐν τῷ τεύχει λόγοι τοῦ Χρυσοστόμου δύο, ἐν τοῖς φύλλοις τοῖς ἐκ χάρτου, ὧν ὁ τὴν πρώτην μὲν ἔχων τάξιν "ὁμιλία" ἐπιγέγραπται "τῆς δευτέρας ἑξαημέρου" (ἀρχ. «Πολλὰς ὑμῖν ἔχω χάριτας». Migne τ. 53, σ. 282)· ὁ δὲ τὴν δευτέραν φυλάττων τάξιν, εἰ καὶ ἀνεπίγραφος λόγος ἐστί, τὴν τριακοστὴν καὶ δευτέραν περιλαμβάνει τοῦ Χρυσοστόμου ὁμιλίαν περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ἧς ἡ ἀρχή· «Πολὺς ὁ θησαυρὸς καὶ ἄφατος», φ. 11—23 (Migne τ. 53, σ. 292). Μετὰ δὲ ταύτην ὁμιλίαι περὶ τῆς Γενέσεως τοῦ αὐτοῦ θείου ὑπάρχουσιν ἀνδρός, αἳ τὰ μεμβράνινα μὲν τοῦ τεύχους πληροῦσι φύλλα, εἰς τετράδια διανενεμημένα τριάκοντα (α' — λ'), τὴν δ' ἀρχὴν ἀπὸ τῆς τριακοστῆς τρίτης ποιοῦσιν ὁμιλίας, ἀνελλιπῶς καὶ κατὰ τάξιν ἀκριβεστάτην προβαίνουσαι καὶ εἰς τὴν ἑξηκοστὴν καὶ ἑβδόμην τελευτῶσαι ὁμιλίαν. Καὶ τῆς μὲν πρώτης τῶν εἰρημένων ὁμιλιῶν ἡ ἀρχὴ ἔχει ὧδε· «Ὁρῶν ὑμῶν σήμερον τὴν μετὰ προθυμίας», φ. 24 (Migne τ. 53, σ. 305)· τῆς δ' ἐσχάτης ὧδε· «Πρώην ἐπαγγειλάμενος τέλος ἐπιθεῖναι» (Migne τ. 54, σ. 571). Τοιαῦται τοίνυν ὁμιλίαι ἐν τοῖς μεμβρανίνοις περιλαμβάνονται φύλλοις. Καὶ τούτων αὖ ἡ μὲν πρώτη κόσμημά τι ἐπίχρυσον ἐν τῇ ἀρχῇ προτεταγμένον ἔχει, ὅμοιον ὂν τῷ Π στοιχείῳ, μία δ' ἑκάστη τῶν λοιπῶν ὁμιλιῶν χαλῷ τινι καὶ ταινιοειδεῖ διακεχώρισται κοσμήματι. Πασῶν δὲ τῶν εἰρημένων ὁμιλιῶν τὸ κείμενον δίστηλον κατὰ σελίδα πᾶσαν εὕρηται, τριάκοντα καὶ τέσσαρσι γραμμαῖς μιᾶς ἑκάστης πληρουμένης τῶν στηλῶν ($0{,}342 \times 0{,}26 = 0{,}245 \times 0{,}175$). Σημειωτέον δ' ἔτι,

ὅτι ἔνδον τῆς δευτέρας τοῦ κώδικος πινακίδος ὑπόμνησίς τις ἀραβιστὶ γεγραμμένη εὕρηται, τήνδε τὴν ὑπογραφὴν ἑλληνικοῖς φέρουσα γράμμασι· «Παχώμιος, ἔτος ͵ζπς'» (= 1577—1578)· αὐτὴ δὲ ἡ ὑπόμνησις δῆλον ποιεῖ, ὅτι «τὸ βιβλίον τοῦτο ἀφιερώθη εἰς τὸ μοναστήριον τοῦ ἁγίου Σάβα καὶ τοῦ ἀρχαγγέλου Μιχαὴλ» μηνὶ μαρτίῳ τοῦ 7085-ου ἔτους, ἤτοι τῷ 1577-ῳ ἔτει.

29. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἀκέφαλον μὲν καὶ ἄναρχον, ἐκ δὲ φύλλων συνιστάμενον 245, ὧν τὸ κείμενόν ἐστι δίστηλον, ἐκ τριάκοντα καὶ μιᾶς μέχρι τριάκοντα καὶ τριῶν γραμμῶν ἑκάστης πληρουμένης τῶν στηλῶν (0,332 × 0,26 = 0,24 × 0,17)· περιέχει δὲ τὸ τεῦχος ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου, αἳ ἀριθμοὺς ἔχουσιν ἀπὸ τοῦ με' ἄχρι τοῦ πη' λόγου. Καὶ ἡ μὲν πρώτη τῶν ὁμιλιῶν τούτων, διὰ τὸ εἶναι νῦν τὸν κώδικα ἀκέφαλον, ἀπὸ τῶν λέξεων τῶνδε τὴν ἀρχὴν ἤδη ποιεῖται· «ἐξισοῦν τῷ Θεῷ οὔτε Μωυσέα παράγουσιν, ἵνα μὴ δόξωσιν» κτλ.—Ὁ δ' ἔσχατος λόγος, ἤτοι ὁ πη', ἄρχεται ὧδε· «Πολλὰ μέν ἐστι καὶ ἕτερα τὰ δυνάμενα» κτλ. Migne τ. 59, σ. 301—482.

30. Πανηγυρικὸν μεμβράνινον βιβλίον, ἀναμεταξὺ μὲν τῆς δεκάτης καὶ ἑνδεκάτης γραφὲν ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων νῦν συνιστάμενον 407. Ἦν δὲ τὸ βιβλίον ἐξ ἀρχῆς ὀγκωδέστερον, ὡς οἱ ἀριθμοὶ τῶν τετραδίων τούτου δηλοῦσιν, οἵ, εἰ καὶ ἐν χρόνοις ἐπεσημάνθησαν μεταγενεστέροις, τετράδια μὲν ἀπὸ τοῦ γ' μέχρι τοῦ ξα' νῦν ἀριθμοῦσι, φύλλα δ' ἐκείνων τετρακόσια καὶ δέκα καὶ ὀκτὼ φανερῶς τοῖς ἐν αὐτοῖς ἐπικειμένοις μηνύουσι στοιχείοις. Τὸ δ' ἐν αὐτοῖς κείμενον δίστηλον κατὰ πᾶσαν γέγραπται σελίδα, τεσσαράκοντα μιᾶς ἑκάστης τῶν στηλῶν γραμμὰς ἀριθμούσης (0,338 × 0,243 = 0,24 × 0,17). Περιέχονται οὖν ἐν τῷ πανηγυρικῷ τούτῳ τεύχει γραφαί τινες ἀξιόλογοι, ὧν τὴν ἀναγραφήν, ὡς ἐν τῷ κώδικι εὗρον, οὕτω κατὰ τάξιν ὧδε παρατίθημι, τοὺς παλαιοὺς τῶν φύλλων τούτου ἀριθμοὺς τῆς ἀκριβείας χάριν παραδηλῶν.

1. Βίος τις ἀκέφαλός τε καὶ ἄναρχος τῆς ἁγίας μάρτυρος Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ, οὗ τὴν ἀρχὴν νῦν αἱ λέξεις αἵδε

ποιοῦσι· «ποιῆσαι. πρωίας δὲ γενομένης ἐκελεύσθη ποτίσαι τοὺς κήπους» κτλ., φ. ιη' ἢ 1.

2. «Μηνὶ τῷ αὐτῷ (σεπτ.) ιδ'. Λόγος ἀφησημαντικὸς (γρ. ἀφηγηματικὸς) εἰς τὴν εὕρεσιν τοῦ τιμίου καὶ ἁγίου σταυροῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, συγγραφεὶς παρὰ φιλευσεβῶν καὶ ὀρθοδόξων ἀνδρῶν ἀπὸ ἀληθοῦς χρονογραφικῆς ἱστορίας». Ἀρχ. «Τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐκ τοῦ μὴ ὄντος», φ. κγ' ἢ 6. Λόγος ἀνέκδοτος, οὗ δεύτερον ἀπόγραφον ὁ Harles παρὰ τῷ Φαβρικίῳ σημειοῦται, Bibl. Gr. τ. X, σ. 248. Τρίτον δὲ ἀπόγραφον καὶ Κεραμεὺς ἐν τῇ Μαυρογ. δηλοῖ Βιβλιοθ. τ. I, σ. 84—85. Τοῦ δὲ Σαβαΐτου ἀπογράφου, ἤτοι τοῦ ἐν τῷ κώδικι τούτῳ περιεχομένου, ὁ καλλιγράφος ἐμνήσθη τοῦ 135-ου τεύχους τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς συλλογῆς (Ἱεροσολ. Βιβλιοθ. τ. I, σ. 236), ὃς καὶ τὴν ἐπιγραφὴν ἀντιγεγραμμένην ἐκεῖ ἀκριβῶς ἔχει, καὶ εἰς τόνδε τὸν κώδικα τὸν ἀναγνωσόμενον ἐκεῖνο παραπέμπει τὸ ἀπόγραφον· λέγει γὰρ «ζήτει αὐτὸν (ἤτοι τὸν περὶ σταυροῦ λόγον) εἰς τὸ μέγαν πανηγυρικὸν τὸ βέβρανον, λόγος δ'». Ὄντως δ' ἐν τῷ παρόντι Σαβαΐτῃ κώδικι ὁ λόγος ἐκεῖνος τέταρτος ὑπ' αὐτοῦ τοῦ γραφέως ἀριθμεῖται, καθάπερ τὸ ἐν τῷ κρασπέδῳ τοῦ κγ' φύλλου γεγραμμένον παραδηλοῖ στοιχεῖον.

3. Μηνὶ τῷ αὐτῷ κ'. «Βίος καὶ μαρτύριον τοῦ ἁγίου Εὐσταθίου καὶ τῶν τέκνων αὐτοῦ», οὗ ἡ ἀρχή· «Πρόκειται τοῖς ἀνθρώποις», φ. λβ' ἢ 14^{β}. Combefisii, Illustr. Christi mart. lecti triumphi, σ. 1-44.

4. Μηνὶ τῷ αὐτῷ κδ'. «Βίος καὶ ἄθλησις τῆς ἁγίας καὶ ἐνδόξου πρωτομάρτυρος Θέκλης», οὗ ἡ ἀρχή· «Κατὰ τὸν καιρὸν ἐκεῖνον ἀναβαίνοντος Παύλου», φ. μα' ἢ 23. Πρβλ. J. Ern. Grabe, Spicileg. Patrum. Oxoniae 1700 τ. I, σ. 95—119.

5. Μηνὶ τῷ αὐτῷ κς'. «Βίος καὶ περίοδοι πράξεις τε καὶ μετάστασις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου». Ἀρχ. «Ἀνδρὸς τὰ θεῖα ὑψηλοτάτου ἀπὸ τῶν οὐρανῶν φθεγγομένου», φ. μς' ἢ 28. Κείμενον καὶ τοῦτο ἄγνωστόν τε

καὶ ἀνέκδοτον καὶ ἀμνημόνευτον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Λιψίῳ καὶ Νικοδήμῳ τῷ Ναξίῳ.

6. «Μηνὶ ὀκτωβρίῳ ς', τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. Πράξεις καὶ μαρτύριον καὶ θαύματα τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Θωμᾶ». Ἀρχ. «Πολὺς ὁ Θωμᾶς ἐν τοῖς ἁπάντων στόμασιν», φ. νδ' ἢ 37. Ἄλλο δέ τι ἀντίγραφον, ἀπὸ τοῦ κώδικος τούτου γενόμενον, ὅρα ἐν τῇ Ἱεροσολ. Βιβλιοθ. τ. Ι, σ. 236 - 237. Αὐτὸ δὲ τῶν πράξεων τὸ κείμενον καὶ ἄγνωστον ἦν καὶ τύποις ἔτι ἀνέκδοτον ὑπάρχει.

7. «Μηνὶ ὀκτωβρίῳ ιβ'. Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μεγάλων μαρτύρων Ταράχου Πρόβου καὶ Ἀνδρονίκου». Ἀρχ. «Ἡ τρίφωτος αὕτη λαμπάς», φ. ξβ' ἢ 45β. Κείμενον καὶ τοῦτο ἄγνωστον καὶ ὡς εἰκὸς τύποις ἔτι ἀνέκδοτον παραμένον.

8. «Μηνὶ τῷ αὐτῷ ιδ'. Ἄθλησις τοῦ ἁγίου Ναζαρίου καὶ τῆς συνοδίας αὐτοῦ». Ἀρχ. «Ὁ ζῆλος τοῦ οἴκου σου», φ. οζ' ἢ 60. Κείμενον καὶ τοῦτο ἀνέκδοτον καὶ ἀμνημόνευτον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

9. «Μηνὶ τῷ αὐτῷ ις'. Ἄθλησις τοῦ ἁγίου Λογγίνου τοῦ ἑκατοντάρχου». Ἀρχ. «Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας», φ. οθ' ἢ 62. Καὶ τοῦτο τὸ κείμενον ἀμνημόνευτον ἦν ἄχρι τοῦδε καὶ τύποις ὡς εἰκὸς ἀνέκδοτον ἔτι ὑπάρχει.

10. «Μηνὶ τῷ αὐτῷ ιη'. Ἡ κοίμησις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ». Ἀρχ. «Οἱ ἅγιοι τοῦ Θεοῦ ἀπόστολοι», φ. πβ' ἢ 64. Fabricii, Bibl. Graeca, τ. X, σ. 270.

11. «Μηνὶ ὀκτωβρίῳ κ'. Ὑπομνήματα τοῦ μαρτυρίου τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος καὶ θαυματουργοῦ Ἀρτεμίου, συλλεγὲν ἀπὸ διαφόρων ἱστορικῶν συγγραμμάτων παρὰ Ἰωάννου μοναχοῦ τοῦ Ῥοδίου». Ἀρχ. «Τὰ τοῦ μεγάλου καὶ ἐνδόξου μάρτυρος», φ. πγ' ἢ 66. Σειμείωσαι πρῶτον μὲν ὅτι Ῥόδιος ἦν ὁ συγγραφεύς, εἶτα δ' ὅτι τὸν Ἰωάννην τοῦτον ἀδίκως τῷ Δαμασκηνῷ ἐταύτισαν οἵ τε τὰ περὶ Ἀρτεμίου ἀναγνόντες ὑπομνήματα καὶ ὁ ταῦτα ἐκδοὺς Μάϊος· ἕτερον δὲ τῶν ὑπομνημάτων τούτων ἀπόγραφον ὅρα ἐν τῇ 55-ῃ τοῦ καταλόγου τούτου σελίδι.

12. Μηνὶ τῷ αὐτῷ κδ'. «Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀρέθα καὶ τῶν σὺν αὐτῷ τετρακισχιλίων διακοσίων πεντήκοντα». Ἀρχ. «Ἔτους πέμπτου τῆς βασιλείας Ἰουστίνου», φ. ϞΗ' ἢ 81β. Boissonade, Anecdota graeca τ. V, σ. 1 κέ.

13. «Μηνὶ ὀκτωβρίῳ κϛ'. Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος τοῦ Χριστοῦ Δημητρίου». Ἀρχ. «Μαξιμιανὸς ὁ καὶ Ἑρκούλιος», φ. ριγ' ἢ 98β. Migne τ. 116, σ. 1073.

14. «Ἐκ τῶν θαυμάτων τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου, περὶ Ὀνησιφόρου τοῦ προσμοναρίου». Ἀρχ. «Ἀλλ' οὐδὲ ἐκεῖνο παραλεῖψαι», φ. ριζ' ἢ 102. Migne τ. 116, σ. 1248.

15. Μηνὶ νοεμβρίῳ α'. «Βίος καὶ πολιτεία ἐν ἐπιτόμῳ καὶ μερικὴ θαυμάτων διήγησις τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ». Ἀρχ. «Τῆς ἑλληνικῆς μανίας ἄρτι», φ. ρκ' ἢ 105. Lambecii, Comment. de aug. bibl. caes. Vindobon. liber quartus, Vindobonae 1671, σ. 133.

16. (Ἀρχίππου προσμοναρίου) «θαῦμα γενόμενον ὑπὸ τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐν ταῖς Χώναις». Ἀρχ. «Ἡ ἀρχὴ τῶν ἰαμάτων», φ. ρκζ' ἢ 112. Ἱεροσολ. Βιβλιοθ. τ. I, σ. 393. Μαυρογορδ. Βιβλιοθ. τ. I, σ. 159. Leonis Allatii, De Symeonum scriptis diatriba. Parisiis 1664, σ. 94. P. Lambecii, Comment. de aug. bibl. caes. Vindobonensi liber quartus, 1671, σ. 129. Τοῦ αὐτοῦ βιβλίον VIII, σ. 379. Bandini, Catal. Bibl. Taurin. τ. I, σ. 218. Coxe, Catal. cod. MSS bibl. Bodl. σ. 296 καὶ 301. Ἀ. Π. Κεραμέως, Κατάλ. τῶν χειρογρ. τῆς ἐν Σμύρνῃ βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς, σ. 6.

17. «Μηνὶ τῷ αὐτῷ ια'. Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ». Ἀρχ. «Ἔτους δευτέρου τῆς βασιλείας», φ. ρλα' ἢ 116. Coxe, Catal. Bodl. σ. 254. Lambecii, Comment. liber VIII, σ. 269. Κατάλ. τῶν χειρογρ. τῆς ἐν Σμύρνῃ βιβλιοθήκης σ. 8, ἀριθ. 43.

18. «Μηνὶ τῷ αὐτῷ ιγ'. Ὁμιλία Θεοδώρου ἐπισκόπου Τριμιθούντων περὶ τοῦ βίου καὶ τῆς ἐξορίας καὶ τῶν θλίψεων Ἰωάννου τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ

Χρυσοστόμου». Ἀρχ. «Ἀγαπητοί, ἀψευδὴς ὁ Θεός», φ. ρλδ' ἢ 119. Migne τ. 47, σ. LI—LXXXVIII.

19. «Μηνὶ τῷ αὐτῷ ιδ'. Ὑπομνήματα περὶ τοῦ βίου καὶ τῶν θαυμάτων καὶ τοῦ μαρτυρίου τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν δώδεκα ἀποστόλων». Ἀρχ. «Φίλιππόν τις ὀνομάσας», φ. ρμς' ἢ 131. Γραφὴ νῦν τὸ πρῶτον ἴσως γνωριζομένη καὶ τύποις ἀνέκδοτος.

20. «Μηνὶ τῷ αὐτῷ ιε'. Θαῦμα γενόμενον ὑπὸ τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν Γουρία Σαμωνᾶ καὶ Ἀββίβου». Ἀρχ. «Νῦν καιρὸς εὔκαιρος», φ. ρνδ' ἢ 139β. Κείμενον ἀνέκδοτον, οὗ ἕτερα ἀπόγραφα ἐν τοῖσδε ὅρα τοῖς βιβλίοις. Ἀ. Π. Κεραμέως, Μαυρογορ. Βιβλιοθ. τ. Ι, σ. 160, ἀριθ. 18. Coxe, Catal. Bodl. σ. 551. Ἀ. Π. Κεραμέως, Κατάλ. τῶν χειρογρ. τῆς ἐν Σμύρνῃ βιβλιοθ. τῆς Εὐαγγελικῆς Σχολῆς σ. 8.

21. «Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λόγος εἰς τὴν ἁγίαν καὶ ἄχραντον δέσποιναν ἡμῶν Θεοτόκον, ὅτε προσηνέχθη ἐν τῷ ναῷ τριετίζουσα». Ἀρχ. «Φαιδρὰ καὶ πανέορτος», φ. ρξα' ἢ 146β. Ἐν δὲ τῷ κρασπέδῳ γέγραπται τόδε· «ἐμετεγράφη», ἤτοι εἰς τὸν 135-ον κώδικα τῆς πατριαρχικῆς συναγωγῆς, φύλλῳ 37β. Ἱεροσολ. βιβλιοθ. Ι, σ. 237. Migne τ. 98, σ. 1481.

22. Τῇ αὐτῇ ἡμέρᾳ. Γερμανοῦ τοῦ ἀρχιεπισκόπου Κ/πόλεως «ἐγκώμιον εἰς τὴν παναγίαν Θεοτόκον, ὅτε προσηνέχθη ἐν τῷ ναῷ τοῦ Κυρίου». Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἑτέρα», φ. ρξς' ἢ 151β. Migne τ. 100, σ. 309.

23. «Μηνὶ τῷ αὐτῷ λ'. Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Ἀνδρέου». Ἀρχ. «Τοῦ μακαριωτάτου καὶ ἀποστόλου Ἀνδρέου διαλεγομένου τοῖς ἀδελφοῖς δι' ὅλης τῆς νυκτὸς περὶ τοῦ Κυρίου» κτλ., φ. ρξθ' ἢ 154β. Κείμενον καὶ τοῦτο παρὰ μὲν Ῥιχάρδῳ τῷ Λιψίῳ ἀσημείωτον, ἴσως δὲ λείψανον ἀρχαιοτάτων τοῦ Ἀνδρέου περιλαμβάνον πράξεων.

24. «Μηνὶ δεκεμβρίῳ δ'. Μαρτύριον τῆς ἁγίας καὶ ἐνδόξου μάρτυρος Βαρβάρας». Ἀρχ. «Ἐν τοῖς καιροῖς ἐκείνοις βασιλεύ-

οὗ ἡ ἀρχή· «Τὸν μὲν μακάριον ἐκεῖνον», φ. τμγ' ἢ 331β. Fabricii, Bibl. Gr. τ. IX, σ. 91.

58. «Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων». Ἀρχ. «Βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξιμιανοῦ», φ. τμς' 334β. Ἱεροσολ. Βιβλιοθ. τ. I, σ. 25 καὶ 239.

59. «Τοῦ μακαρίου Πρόκλου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Δεῦτε φιλέορτοι», φ. τνε' ἢ 343β. Ἱεροσολυμ. Βιβλιοθ. τ. I, σ. 232 καὶ 239.

60. Γερμανοῦ τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, «ἐγκώμιον εἰς τὴν ἁγίαν καὶ σεβάσμιον κοίμησιν τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἀρχ. «Φήμη καλὴ καὶ ἀγαθή», φ. τνη' ἢ 346. Migne τ. 98, σ. 360.

61. «Μηνὶ αὐγούστῳ εἰς τὰς κε'. Ἱστορία καὶ τελείωσις τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου καὶ προδρόμου καὶ βαπτιστοῦ». Ἀρχ. «Πληρωθέντων τῶν πεντακισχιλίων πεντακοσίων τῆς τοῦ κόσμου γεννήσεως (γρ. γενέσεως) παρ' ἓξ μῆνας, τίκτεται» κτλ., φ. τξβ' ἢ 350. Lambecii, Comment. liber VIII, σ. 219, ἔνθα σεσημείωται ὅτι τὸ κείμενον τοῦτο τῇ 29 ἡμέρᾳ τοῦ μηνὸς ἀνεγινώσκετο αὐγούστου.

62. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν ἄσωτον υἱόν, οὗ ἡ ἀρχή· «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν», φ. τξε' ἢ 354. Migne τ. 59, σ. 515.

63. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Ὥσπερ μήτηρ φιλότεκνος», φ. τοζ' ἢ 366. Migne τ. 62, σ. 775.

64. Τοῦ αὐτοῦ λόγος εἰς τὰ βαΐα, οὗ ἡ ἀρχή· «Ἐκ θαυμάτων ἐπὶ τὰ θαύματα», φ. τοθ' ἢ 368. Migne τ. 59, σ. 703.

65. Τοῦ αὐτοῦ «λόγος τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ εἰς τὴν πόρνην καὶ περὶ νηστείας». Ἀρχ. «Ἐν παντὶ καιρῷ καλὴ καὶ σωτήριος», φ. τπβ' ἢ 371. Migne τ. 64, σ. 1347: manifeste spuria et ideo a Savilio omissa.

66. «Τοῦ αὐτοῦ λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα καὶ εἰς

τὴν ἁγίαν καὶ μεγάλην τετράδα». Ἀρχ. «Δεῦρο τοίνυν ἀγαπητέ», φ. τπδ' ἢ 373. Λόγος παρὰ τῷ Migne ἀσημείωτος.

67. Τοῦ αὐτοῦ λόγος εἰς τὸν νιπτῆρα, οὗ ἡ ἀρχή· «Ἔλεον Θεοῦ καὶ φιλανθρωπίαν», φ. τπε' ἢ 374^{β}. Migne τ. 64, σ. 1345: spuria et praetermissa.

68. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν λῃστὴν καὶ εἰς τὸν σταυρὸν τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ». Ἀρχ. «Ἀπαρξώμεθα τῇ ἡμέρᾳ τοῦ σταυροῦ», φ. τπη' ἢ 377. Migne τ. 64, σ. 1331: spuria et praetermissa.

69. Ἐπιφανίου τοῦ ἀρχιεπισκόπου Κύπρου, «λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ» κτλ. Ἀρχ. «Τί τοῦτο σήμερον», φ. τϟα' ἢ 380. Migne τ. 43, σ. 440.

70. Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς τὸ πάσχα καὶ εἰς τὴν βραδυτῆτα», οὗ ἡ ἀρχή· «Ἀναστάσεως ἡμέρα», φ. τϟθ' ἢ 388^{β}. Migne τ. 35, σ. 396.

71. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν νέαν Κυριακὴν καὶ εἰς τὸ ἔαρ καὶ εἰς τὸν μάρτυρα Μάμαντα». Ἀρχ. «Ἐγκαίνια τιμᾶσθαι», φ. υα' ἢ 390. Migne τ. 36, σ. 608.

72. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀναλήψιμον», οὗ γέγραπται μόνον ἡ ἀρχή· «Εὔκαιρον σήμερον», φ. υδ' ἢ 393^{β}.

73. «Τοῦ αὐτοῦ λόγος εἰς τὴν Σαμαρεῖτιν καὶ εἰς τὴν μεσοπεντηκοστήν». Ἀρχ. «Φέρε τοίνυν σήμερον», φ. υε' ἢ 394. Migne τ. 61, σ. 743.

74. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Εὔκαιρον σήμερον ἅπαντας», φ. υς' ἢ 395^{β}. Migne τ. 52, σ. 793.

75. Γρηγορίου τοῦ Θεολόγου, λόγος εἰς τὴν πεντηκοστὴν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. Ἀρχ. «Περὶ τῆς ἑορτῆς βραχέα», φ. υθ' ἢ 398. Migne τ. 36, σ. 428.

76. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας», οὗ ἡ ἀρχή· «Ἐξ οὗ τὴν ἱεράν», φ. υιδ' ἢ 403^{β}. Migne τ. 50, σ. 705.

31. Τεῦχος μεμβράνινον, γραφὲν μὲν κατὰ τὴν ἑνδεκάτην ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων νῦν συγκείμενον 316, ἐν οἷς τὸ κείμενον κατὰ σελίδα πᾶσαν μονόστηλον ὑπάρχει, τριάκοντα καὶ δύο ἢ τριάκοντα καὶ τρεῖς ἀριθμοῦν γραμμὰς (0,324 × 0,254 = 0,234 × 0,155). Ἐπεὶ δὲ εἰς τεσσαράκοντα διανενέμηται τετράδια, δῆλον ὅτι ἐκ τριακοσίων ὁ κῶδιξ καὶ εἴκοσιν ἐξ ἀρχῆς συνέκειτο φύλλων· τὰ δ' ἐλλείποντα νῦν φύλλα ἐκ τοῦ τεσσαρακοστοῦ τοῦ καὶ τελευταίου ἐξέπεσε τετραδίου. Αὐτὸς μὲν οὖν ὁ κῶδιξ τὰς πρώτας τεσσαράκοντα καὶ πέντε περιέχει ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου, τὰς τὸ κατὰ Ματθαιον ἱερὸν ἑρμηνευούσας εὐαγγέλιον, ὧν ἡ μὲν πρώτη τὴν ἀρχὴν ἀπὸ τῶν λέξεων ποιεῖται τῶνδε· «Ἔδει μὲν ὑμᾶς μηδὲ δεῖσθαι»· ἡ δ' ἐσχάτη ὧδε· «Ἄξιον δὲ θαυμάσαι τοὺς μαθητάς»· ταύτης δὲ τῆς ὁμιλίας τὸ ἥμισυ καὶ πλέον ἐλλείπει μέρος, διὰ τὴν προρρηθεῖσαν φύλλων τινῶν ἀπώλειαν, καὶ τούτου ἕνεκα εἰς τάσδε νῦν ἐκείνη τὰς λέξεις τελευτᾷ· «ἀντὶ τοῦ τὴν παναρμόνιον μελῳδίαν εἰς αὐτὴν ἀνακρούεσθε». Σωφρόνιος δὲ ὁ πατριάρχης Ἱεροσολύμων ὑπόμνημά τι, τοῦ ἑκκαιδεκάτου τελευτῶντος αἰῶνος, ἐν τῷ κρασπέδῳ τοῦ δευτέρου ἐνέγραψε φύλλου· τούτου δὲ ἡ ἀρχὴ ὧδε ἔχει· «† Τὸ παρὸν βιβλίον ὑπάρχει τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, τοῦ περιφήμου καὶ περιβοήτου ναοῦ» τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως.

32. Τεῦχος μεμβράνινον, γραφὲν μὲν ἢ περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων συγκείμενον διακοσίων καὶ ἐνενήκοντα καὶ τριῶν, ἐν οἷς τὸ κείμενον δίστηλον κατὰ σελίδα πᾶσαν ὑπάρχει, εἴκοσι καὶ ὀκτὼ μιᾶς ἑκάστης τῶν στηλῶν γραμμὰς ἀριθμούσης (0,328 × 0,245 = 0,23 × 0,17). Κατὰ δὲ τὸν τρίτον καὶ δέκατον αἰῶνα «ἡ βίβλος αὕτη τῆς μονῆς τοῦ τιμίου Προδρόμου» κτῆμα ὑπῆρχεν (φύλλ. 3-ον), ἤτοι τῆς ἐγγὺς τοῦ ποταμοῦ Ἰορδάνου. Καὶ ἐν μὲν τοῖς δυσὶ πρώτοις φύλλοις πίναξ τῶν ἐν τῇ βίβλῳ περιεχομένων ὁμιλιῶν ἀναγέγραπται· αἱ δὲ ἀριθμοὺς ἐν τοῖς κρασπέδοις ἔχουσιν ἀπὸ τοῦ ξα' ἄχρι τοῦ πς' ἀριθμοῦ. Ἀλλ' ὕστερον οἱ ἀριθμοὶ οὗτοι διορθωθέντες μετεβλήθησαν, καὶ ἀπὸ τοῦ ιθ'

νῦν ἀρχόμενοι ἀριθμοῦ εἰς τὸν τεσσαρακοστὸν καὶ δεύτερον λήγουσιν. Συγγραφεὺς δὲ τῶν ὁμιλιῶν Ἰωάννης ἐστὶν ὁ Χρυσόστομος.

1. «Λόγος παραινετικὸς πρὸς Σταγείριον», οὗ ἡ ἀρχή· «Ἔδει μὲν ἡμᾶς, ὦ φίλτατε», φ. 3. Migne τ. 47, σ. 423.

2. «Πρὸς αὐτόν, ὅτι ἡ ἀθυμία χαλεπωτέρα καὶ δαίμονος». Ἀρχ. «Ταῦτα μὲν ἡμῖν», φ. 29. Migne τ. 47, σ. 447.

3. «Εἰς τὸν αὐτὸν ἔτι περὶ ἀθυμίας λόγος γ'», οὗ ἡ ἀρχή· «Ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα», φ. 53. Migne τ. 47, σ. 471.

4. «Λόγος εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ ἀνάληψιν καὶ εἰς μαρτύρων σώματα ὑπὸ ἐδάφους κείμενα ἐγγὺς ἐδάφους αἱρετικῶν, καὶ τί νοητέον τὸ ῥητὸν τοῦ Χριστοῦ τὸ λέγον, ὅτι εὑρεθήσονται δύο ἐν τῷ μύλωνι ἀλήθουσαι». Ἀρχ. «Καὶ ὅτε σταυροῦ μνείαν ἐπετελοῦμεν», φ. 76. Migne τ. 50, σ. 441.

5. «Εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου καὶ εἰς τὸ "γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς", καὶ περὶ τῆς πεντηκοστῆς». Ἀρχ. «Λαμπὰς εὐσεβείας», φ. 85. Migne τ. 64, σ. 1365: spuria et praetermissa.

6. «Λόγος εἰς τὴν πεντηκοστὴν καὶ διατί σημεῖα οὐ γίνεται νῦν, καὶ ὅτι τὰ λεγόμενα καὶ πραττόμενα παρ' ἡμῶν ἄνω γράφεται». Ἀρχ. «Πάλιν ἑορτὴ καὶ πάλιν πανήγυρις» φ. 122β. Migne τ. 50, σ. 453.

7. «Εἰς τὸ ῥητὸν τὸ ἀποστολικὸν τὸ λέγον: Τοῦτο δὴ γινώσκετε, ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις ἔσονται καιροὶ χαλεποί». Ἀρχ. «Ἀσθενὴς μέν εἰμι», φ. 113. Migne τ. 56, σ. 271.

8. «Ἐγκώμιον εἰς τοὺς ἁγίους μάρτυρας», οὗ ἡ ἀρχή· «Μαρτύρων μὲν ἡμᾶς πανήγυρις», φ. 122. Migne τ. 64, σ. 1367: spuria et praetermissa.

9. «Λόγος περὶ εἰρήνης», οὗ ἡ ἀρχή· «Οἱ ἄγγελοι τὸν οὐράνιον χορὸν συστησάμενοι», φ. 130. Ἀ. Π. Κεραμέως, Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας τ. Ι, σ. γ' καὶ 15-26.

10. «Ταῖς καλένδαις, μὴ προελθόντος τοῦ ἐπισκόπου Ἀντιοχείας Φλαβιανοῦ, ἐλέχθη κατὰ τῶν παρατηρούντων τὰς νεομηνίας καὶ κατὰ τὴν πόλιν χορείας τελούντων, καὶ εἰς τὸ ῥητὸν

τοῦ ἀποστόλου τὸ λέγον: Εἴτε γὰρ ἐσθίετέ φησιν, εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Ἀρχ. «Καθάπερ χορὸς τὸν κορυφαῖον», φ. 135β. Migne τ. 48, σ. 953.

11. «Ὁμιλία μετὰ τὰς καλάνδας τῇ ἑξῆς κατὰ μεθυόντων, καὶ περὶ τῶν εἰς καπηλεῖα εἰσιόντων, καὶ ὅτι τὸν διδάσκαλον οὐ χρὴ ἀπογινώσκειν τῶν μαθητῶν, κἂν πρὸς τὸ παρὸν μὴ πείθωνται, καὶ εἰς τὸν Λάζαρον λόγος πρῶτος», οὗ ἡ ἀρχή· «Τὴν χθὲς ἡμέραν», φ. 145β. Migne τ. 48, σ. 963.

12. «Εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον, καὶ ὅτι αἱ ψυχαὶ τῶν βιοθανῶν οὐ γίνονται δαίμονες, καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης· λόγος β'», οὗ ἡ ἀρχή· «Ἐθαύμασα τὴν ἀγάπην», φ. 164. Migne τ. 48, σ. 981.

13. «Εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον καὶ τίνος ἕνεκεν οὐκ εἶπεν "ἔλαβες τὰ ἀγαθά σου", ἀλλὰ "ἀπέλαβες", καὶ διὰ τί οἱ μὲν δίκαιοι κινδύνοις πολλάκις περιπίπτουσιν, οἱ δὲ ἁμαρτωλοὶ τούτους διαφεύγουσιν». Ἀρχ. «Οὐ τὰ τυχόντα ἡμᾶς», φ. 174. Migne τ. 48, σ. 991.

14. «Εἰς τὴν κατὰ τὸν πλούσιον καὶ τὸν πτωχὸν Λάζαρον παραβολὴν λόγος δ', καὶ ὅτι τὸ συνειδὸς εἴωθεν ἡμᾶς ἀναμιμνήσκειν παλαιὰ ἁμαρτήματα, καὶ εἰς τὸν Ἰωσήφ». Ἀρχ. «Τῆς τοῦ Λαζάρου παραβολῆς», φ. 189β. Migne τ. 48, σ. 1005.

15. «Εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου: Περὶ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποί». Ἀρχ. «Ἡμέρας τέσσαρας ἀνηλώσαμεν», φ. 198β. Migne τ. 48, σ. 1017.

16. «Ὁμιλία πρὸς τοὺς εἰς ἱπποδρομίας ἀναβαίνοντας καὶ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου τὸ λέγον "εἰσέλθετε διὰ τῆς στενῆς πύλης" κτλ., καὶ πρὸς τῷ τέλει εἰς τὸν Λάζαρον». Ἀρχ. «Βούλομαι τῆς συνήθους ἅψασθαι», φ. 208. Migne τ. 48, σ. 1043.

17. «Ἔπαινος τῶν ἀπαντησάντων ἐν τῇ ἐκκλησίᾳ, καὶ περὶ εὐταξίας τῆς ἐν ταῖς δοξολογίαις, καὶ εἰς τὸ Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου». Ἀρχ. «Πολλὴν ὁρῶ τὴν σπουδήν», φ. 218. Migne, τ. 56, σ. 97.

18. «Ὁμιλία εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον: Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· λόγος α'», οὗ ἡ ἀρχή· «Χαίρω συντρέχοντας», φ. 228. Migne τ. 56, σ. 107.

19. «Εἰς τὴν πρώτην τῶν Παραλειπομένων τὴν λέγουσαν "ὑψώθη ἡ καρδία Ὀζίου", καὶ περὶ ταπεινοφροσύνης καὶ ὅτι χρὴ μὴ θαρρεῖν τὸν ἐνάρετον, καὶ ὅσον κακὸν ἡ ἀπόνοια». Ἀρχ. «Εὐλογητὸς ὁ Θεός», φ. 233. Migne τ. 56, σ. 112.

20. «Εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον "καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς" κτλ., καὶ ἔπαινος τῆς πόλεως Ἀντιοχείας καὶ κατὰ τῶν κωλυόντων τὸν γάμον ἔνθεος ἀπόδειξις· λόγος γ'», οὗ ἡ ἀρχή· «Λαμπρὸν ἡμῖν τήμερον», φ. 241. Migne τ. 56, σ. 119.

21. «Εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου "εἶδον τὸν Κύριον", καὶ ἀπόδειξις ὅτι δικαίως ἐλεπρώθη Ὀζίας, ἀναξίως θυμιάσας, ὅπερ οὐκ ἔξεστιν βασιλεῦσιν, ἀλλ' ἱερεῦσι· λόγος δ'», οὗ ἡ ἀρχή· «Φέρε σήμερον τοῖς κατὰ τὸν Ὀζίαν», φ. 250. Migne τ. 56, σ. 129.

22. Ὁμιλία εἰς τὰ Σεραφίμ, ἧς ἡ ἀρχή· «Μόλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν», φ. 256. Migne τ. 56, σ. 135.

23. «Λόγος εἰς τὴν Χαναναίαν καὶ εἰς τὸν Φαραώ, καὶ ὅτι οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ Θεοῦ τοῦ ἐλεοῦντος». Ἀρχ. «Εἰ καὶ ἐθόλωσεν ἡμᾶς», φ. 262^{β}. Migne τ. 59, σ. 653.

24. «Εἰς τὴν ἀσάφειαν τῆς παλαιᾶς Διαθήκης καὶ εἰς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ περὶ τοῦ μὴ κατηγορεῖν». Ἀρχ. «Χαίρει μὲν βουκόλος», φ. 277—278 (Migne τ. 56 σ. 175). Λόγος ἀτελὴς ἐν τῷ κώδικι ὑπάρχων· τελευτᾷ γὰρ κατὰ τὰς λέξεις τάσδε· «μὴ προσενέγκῃς αὐτὰ διὰ ῥημάτων· ἔασον κάτω κεῖσθαι καί». Μετὰ δὲ τὸν λόγον τοῦτον δύο ὑπῆρχον ὁμιλίαι, καθάπερ ὁ ἐν τῇ ἀρχῇ τῆς βίβλου δείκνυσι πίναξ· αἳ δ' ἐπεγράφοντο ὧδε· «πε'. Τοῦ αὐτοῦ ὁμιλία πρὸς τοὺς λέγοντας ὅτι δαίμονες τὰ ἀνθρώπινα διοικοῦσι, καὶ δυσχεραίνοντας ἐπὶ ταῖς τοῦ Θεοῦ κο-

λάσεσι καὶ σκανδαλιζομένους ἐπὶ ταῖς τῶν φαύλων εὐημερίαις καὶ δυσπραγίαις τῶν δικαίων».—«πς'. Τοῦ αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπὶ εἰρήνην ἑτέρου προσειπόντος ὀλίγα ἐλέχθη· ὁμιλία εἰς τὴν ῥῆσιν τὴν προφητικὴν τὴν λέγουσαν: Ἐγὼ κύριος ὁ Θεὸς ἐποίησα φῶς καὶ σκότος, ποιῶν εἰρήνην καὶ κτίζων κακά».

25. Λείψανον ἑτέρου τινὸς κώδικος τῆς δεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐκ τεσσάρων σύγκειται φύλλων καὶ κείμενον ἐμπεριέχει δίστηλον, τριάκοντα μιᾶς ἑκάστης τῶν στηλῶν γραμμὰς ἀριθμούσης· δύο δὲ πάλιν τοῦ κώδικος ἐκείνου φύλλα ἐν τῷ 29-ῳ πατριαρχικῷ σῴζεται κώδικι (Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 100-101). Τὸ λείψανον οὖν τοῦτο, περὶ οὗ νῦν ὁ λόγος, τὸ τέλος τοῦ παρόντος σχηματίζει τεύχους, ἤτοι τὰ φύλλα αὐτοῦ τὰ ἀπὸ τοῦ 290-οῦ μέχρι τοῦ 293-ου ἀριθμούμενα φύλλου, καὶ τούτων δύο ὀπὰς εἶχε μεγάλας, ἃς βιβλιοπηγός τις δυσὶ μεβρανίνοις ἐπέκλεισε τεμάχεσι, τὸ μὲν ἀπὸ θεολογικοῦ τινος ἀποσπάσας κώδικος, τὸ δὲ μέρος ἰβηρικοῦ μὲν παλιμψήστου δὲ σῷζον φύλλον. Ἔστι δ' ἐν τῷ λειψάνῳ ἐκείνῳ μέρος τι γραφῆς περὶ τοῦ βίου Κλήμεντος τοῦ ἐπισκόπου Ῥώμης, οὗ ἡ μὲν ἀρχὴ ἔχει νῦν ὧδε· «ὁ Κύριος ἡμῶν εἶπεν. ἐπὶ σωτηρίᾳ παντὸς τοῦ κόσμου ἐληλυθώς, μόνος τε ὑπὲρ πάντας τὴν ἀληθῆ καὶ μόνην» κτλ., τὸ δὲ τέλος ὧδε· «καὶ ὅμως αὐτὴν μὲν Ἐφεσίαν ἔφησεν εἶναι, τὸν ἄνδρα δὲ Σικελόν, ὡς αὔτως δέ».

33. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συνιστάμενον 286, ἐν οἷς τὸ μὲν κείμενον δίστηλον κατὰ πᾶσαν ὑπάρχει σελίδα, μία δ' ἑκάστη τῶν στηλῶν γραμμὰς οὐκ ἔχει ἰσαρίθμους· ἡ μὲν γὰρ τούτων εἴκοσι καὶ ἑπτὰ ἀριθμεῖ στίχους, ἡ δὲ τριάκοντα καὶ ἕξ· ἄλλαι δὲ πάλιν στῆλαι γραμμὰς ὀλιγωτέρας τούτου περιλαμβάνουσι τοῦ ἀριθμοῦ. Τὸ μὲν οὖν τεῦχος, εἰ καὶ ὕψους μέν ἐστι 0,344 πλάτους δὲ 0,26, ὑπὸ δύο συγχρόνων ἐγράφη καλλιγράφων· κοσμεῖται δὲ καὶ κοσμήμασί τισιν, ἢ τῷ κιτρίνῳ ἢ τῷ κυανῷ διεσκευασμένοις χρώματι, ὧν τὰ μὲν ταινιοειδῆ ἐστι, τὰ δὲ τῷ Π στοιχείῳ προσόμοια. Καὶ ἐν μὲν τοῖς δυσὶ πρώτοις τοῦ τεύχους φύλλοις τὰ τούτῳ ἐμπεριειλημμένα

ἀναγέγραπται· ἐπιγραφὴν δὲ ταῦτ' ἔχει τήνδε· «† Πίναξ σὺν Θεῷ τῆς παρούσης πυκτίδος». Μετὰ δὲ τὸν πίνακα ἐν μὲν τῇ δευτέρᾳ στήλῃ τῆς πρώτης τοῦ δευτέρου φύλλου σελίδος δίστιχόν τι ἐγγεγραμμένον ὑπάρχει ἰαμβεῖον, ὃ ἔχει ὧδε·

† Καὶ τήνδε χρυσὸς προσπορίζει τὴν βίβλον
Κρήτης προέδρῳ τάλαν Νικηφόρῳ [1].

Ἐν δὲ τῇ ἄλλῃ τοῦ φύλλου σελίδι ὑπόμνημά τι τοῦ αὐτοῦ γέγραπται Νικηφόρου (ἔτει 1322-ῳ), ὃ κατὰ τόνδε τὸν τρόπον διατεταγμένον ἐστίν.

Ἐγὼ ὁ χρηματί-
σας Κρήτης
ταπεινὸς Νικη-
φόρος ἀφιερῶ
τὴν παροῦσαν
βίβλον τῇ
σεβασμίᾳ μονῇ
τοῦ τιμίου προ-
φήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῇ
διακειμένῃ ἐν τῇ ἐρήμῳ πλησίον τοῦ Ἰορδάνου,
εἰς ἄφεσιν τῶν πολλῶν μου ἁμαρτιῶν. εἴ τις οὖν
βουληθῇ ἀποσπάσαι ταύτην αὐτῆς, ἢ τὰ παρόντα
μου ἀφανίσαι
γράμματα,
ἵνα ἔχῃ τὰς
ἀρὰς τῶν ἁγίων
τριακοσίων
δέκα καὶ ὀκτὼ
θεοφόρων πρων
τῶν ἐν Νικαίᾳ,
καὶ ἐμοῦ τοῦ ἁμαρ-
τωλοῦ, κἂν ὁποίας
ἂν εἴη τύχης καὶ τά-
ξεως, ἢ ἀπαλλάξαι
βουληθείη ταύτην: —
μη(νὶ) ὀκτωβρίῳ
ἰνδικτιῶνος ς'
ἔτους
,ςω̄
λᾱ
†
†
†

Καὶ ταῦτα μὲν οὕτως· τὸ δὲ βιβλίον συναξάρια τοῦ μηνὸς ἐμπεριέχει Νοεμβρίου, ἔχοντα τὴν ἐφεξῆς τάξιν.

1. «Μηνὶ νοεμβρίῳ α'. Βίος καὶ πολιτεία καὶ ἀνάπαυσις καὶ

[1] Περὶ δὲ τοῦ ἀρχιερέως τούτου ἀνάγνωθι τό τε χρονικὸν τοῦ Παχυμέρη (ἐκδ. Βόννης τ. II, σ. 241, 349) καὶ τὴν ιη' ἐπιστολὴν Μαξίμου τοῦ Πλανούδη καὶ τὰς περὶ ταύτης τοῦ Treu σημειώσεις (Maximi mon. Plan. epistulæ, σ. 33 καὶ 208-212).

θαυμάτων διήγησις τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ». Ἀρχ. «Ἄρτι τῆς εὐσεβείας», φ. 3. Analecta Bollandiana τ. I, σ. 586.

2. «Μηνὶ τῷ αὐτῷ β'. Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Ἀκινδύνου Πηγασίου Ἀνεμποδίστου Ἀφθονίου καὶ Ἐλπιδηφόρου». Ἀρχ. «Εἰ καὶ πρῶτοι Πέρσαι», φ. 9. Migne τ. 116, σ. 9. Acta Sanct. νοεμβρίου τ. I, σ. 491 - 504.

3. «Μηνὶ τῷ αὐτῷ γ'. Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Ἀκεψιμᾶ Ἰωσὴφ καὶ Ἀειθαλᾶ». Ἀρχ. «Ἐλύττα κατὰ χριστιανῶν», φ. 26. Migne τ. 116, σ. 831.

4. «Μηνὶ τῷ αὐτῷ δ'. Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου», οὗ ἡ ἀρχή· «Τὴν πρὸς ἀρετὴν ὁδόν», φ. 45. Migne τ. 116, σ. 36.

5. «Μηνὶ τῷ αὐτῷ ε'. Βίος καὶ ἀγῶνες τῶν ἁγίων Γαλακτίωνος καὶ Ἐπιστήμης». Ἀρχ. «Τῆς πρὸς τῷ Λιβάνῳ ὄρει Φοινίκης», φ. 80. Migne τ. 116, σ. 93.

6. «Μηνὶ τῷ αὐτῷ ς'. Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ὁμολογητοῦ», οὗ ἡ ἀρχή· «Ἡνίκα Κωνστάντιος ὁ τοῦ μεγάλου», φ. 88. Migne τ. 116, σ. 884.

7. «Μηνὶ τῷ αὐτῷ ζ'. Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἁγίων τῶν ἐν Μελιτινῇ ἀθλησάντων». Ἀρχ. «Ἱέρωνι τῷ γενναίῳ», φ. 94β. Migne τ. 116, σ. 109.

8. «Μηνὶ τῷ αὐτῷ θ'. Βίος καὶ πολιτεία τῆς ὁσίας Ματρώνης», οὗ ἡ ἀρχή· «Τοὺς σώφρονας τὸν βίον», φ. 100. Migne τ. 116, σ. 920.

9. «Μηνὶ τῷ αὐτῷ ιε'. Μαρτύριον τῶν ἁγίων ὁμολογητῶν Σαμωνᾶ Γουρία καὶ Ἀβίβου». Ἀρχ. «Ἔτος μὲν ἀπὸ τῆς Ἀλεξάνδρου», φ. 112β. Migne τ. 116, σ. 128.

10. «Μηνὶ τῷ αὐτῷ ι'. Βίος καὶ πολιτεία τῆς ὁσίας καὶ ἀειμνήστου Θεοκτίστης τῆς Λεσβίας». Ἀρχ. «Εἰκόνες καὶ στῆλαι καὶ ἀνδριάντες», φ. 117. Θεοφίλου Ἰωάννου, Μνημεῖα ἁγιολογικά, σ. 18 κἑ.

11. «Μηνὶ τῷ αὐτῷ ια΄. Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Μηνᾶ τοῦ Αἰγυπτίου, τοῦ ἐν τῷ Κοτυαείῳ μαρτυρήσαντος». Ἀρχ. «Βασιλεύοντος Διοκλητιανοῦ», 126β. Analecta Bollandiana τ. III, σ. 258.

12. «Μηνὶ τῷ αὐτῷ ιβ΄. Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ ἐλεήμονος». Ἀρχ. «Τὰς τῶν ἀγαθῶν ἀνδρῶν ἀναγράπτους», φ. 132. Migne τ. 114, σ. 896.

15. «Μηνὶ τῷ αὐτῷ ιγ΄. Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου». Ἀρχ. «Καὶ πάντων μὲν τῶν κατὰ Θεόν», φ. 164 (Migne τ. 114, σ. 1045). Ἐν δὲ τῷ κάτω κρασπέδῳ τοῦ 189-ου φύλλου γέγραπται τόδε·

Χριστοῦ στόμα πέφυκε τὸ Παύλου στόμα,
στόμα δὲ Παύλου τὸ Χρυσοστόμου στόμα.

14. Βίος τις ἀκέφαλος τῆς ὁσίας Ματρώνης, ὃς ἄρχεται νῦν ὧδε· «ἄνδρες ἐν φανερῷ συμψάλλειν αὐτῇ ἐῴκεσαν», φ. 239.

15. «Τῇ αὐτῇ ἡμέρᾳ. Θαῦμα γενόμενον ὑπὸ τῶν ἁγίων ὁμολογητῶν Γουρία Σαμωνᾶ καὶ Ἀβίβου». Ἀρχ. «Τοιοῦτον μὲν δὴ καὶ ὁ μάρτυς», φ. 249. Τὸ δὲ τέλος τοῦ θαύματος περιεχώρησεν ὁ καλλιγράφος εἰς τέσσαρας μικροὺς μὲν ἐρυθροὺς δὲ σταυρούς, ἐν τῷ 256-ῳ διαγεγραμμένους φύλλῳ.

16. «Μηνὶ τῷ αὐτῷ ις΄. Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Ματθαῖον», οὗ ἡ ἀρχή· «Ἔδει μὲν τὴν παρὰ τοῦ πλάσαντος», φ. 257. Migne τ. 115, σ. 813.

17. «Μηνὶ τῷ αὐτῷ ιζ΄. Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ». Ἀρχ. «Ὁ μὲν σκοπὸς εἷς ἐστι», φ. 260 (Migne τ. 46, σ. 893). Κείμενον ἐλλιπές, οὗ αἱ τελευταῖαι λέξεις ἔχουσιν ὧδε· «τρόπον ἔκπληξιν παρέσχε τοῖς ἐπιστατοῦσι τῷ τόπῳ, οὐδενὸς τῶν».

34. Τεῦχος μεμβράνινον ἐκ 300 νῦν συνιστάμενον φύλλων καὶ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλον ἐμπεριέχον· μία δ' ἑκά-

στη τῶν στηλῶν τριάκοντα καὶ ὀκτὼ στίχους ἀριθμεῖ (0,34 × 0, 26 = 0,245 × 0, 17). Τὸ τεῦχος οὖν ἔτει 1309-ῳ ἐγράφη, ὡς τὸ ὑπόμνημα δηλοῖ τόδε, ὃ ἐν τῷ τελευταίῳ τοῦ κώδικος φύλλῳ ἐγγεγραμμένον ἐστίν· «† Ἐτελειώθη ἡ παροῦσα δέλτος | διὰ χειρὸς Ἰωάννου ἀναγνώ|στου καὶ κληρικοῦ, τοῦ Πυροῦ, | ἐν μηνὶ νοεμβρίω ἰνδικτιῶνος η' | ἔτους ,ςωιη, συνδρομῆς δὲ | τοῦ πανοσιωτάτου καθηγουμένου». Μεταξὺ δὲ τῶν ἐτῶν 1543 καὶ 1544 ὑπὲρ τὸ ὑπόμνημα ἐκεῖνο ἱερεύς τις ὄνομα Ἰωάννης ἄλλο τι ἔγραψεν ὑπόμνημα, ἔχον ὧδε· «ἔτους ,ζνα'· επαραδοχα τὸ αὐτὸ βιβλίον ἐν τῶ ναῶ τοῦ ἁγίου Σάβα ἐγῶ παπὰ Ἰω(άννης) εἰς χέργια του παπᾶ Γερασίμου άπου(-ἀπὸ) τον Ταξιάρχην να το δῶσι (-δώσῃ) εἰς τὸ μοναστήριν». Καὶ πάλιν ἄλλος τις ὄνομα Σέργιος ὁμολογεῖ ἐν τῷ κρασπέδῳ τοῦ 299-ου φύλλου, ὅτι τὴν βίβλον ταύτην ἀνέγνω μηνὶ αὐγούστῳ τοῦ 1701-ου ἔτους. Πρότερον δὲ τὸ τεῦχος τριακόσια καὶ δύο ἠρίθμει φύλλα· Πορφύριος γὰρ ὁ Οὐσπένσκης τὰ νῦν ἐλλείποντ' ἀφείλετο φύλλα καὶ τῇ κατὰ Πετρούπολιν αὐτοκρατορικῇ παρεχώρησε βιβλιοθήκῃ, ἐσφαλμένως ἐπ' ἐκείνων τὸ 1310-ον ἐγγράψας ἔτος ἀντὶ τοῦ 1309-ου· ταῦτα δὲ τὰ δύο φύλλα τῷ 319-ῳ ἀριθμῷ τεταγμένα ἐκεῖ ἐστι καὶ τὸν πεντηκοστὸν τοῦ κώδικος περιέχει λόγον, ὃς "περὶ παρθενίας" ἐπιγέγραπται (Отчетъ Императ. **Публичной библіотеки за** 1883 годъ, σ. 131, ἀριθ. 71). Καὶ ταῦτα μὲν οὕτως· αὐτὸ δὲ τὸ τεῦχος, ὡς νῦν ὑπάρχει, ἐν μὲν τῇ ἀρχῇ ὀκτὼ ἔχει φύλλα ἐκ χάρτου, ἅ, εἰ καὶ ἰσάριθμα ἐκείνου προαπολωλεκότα συμπληροῖ φύλλα, κατὰ τὴν ἑβδόμην καὶ δεκάτην ἐγράφη ἑκατονταετηρίδα· ἐν δὲ τῷ ὅλῳ τοῦ τεύχους σώματι τὰ ἀσκητικὰ περιέχεται συντάγματα τοῦ ὁσίου ἀνδρὸς Ἐφραὶμ τοῦ Σύρου, ἀπὸ τοῦ πρώτου διήκοντα ἀριθμοῦ ἄχρι τοῦ ἐνενηκοστοῦ, ἔξω τοῦ νῦν πεντηκοστοῦ ἐλλείποντος ἀριθμοῦ. Διῄρηται δὲ τὰ συντάγματα εἰς βιβλία δύο, καὶ τὸ μὲν πρῶτον τῶν βιβλίων τὰ μέχρι τοῦ τριακοστοῦ περιλαμβάνει πονήματα· τούτων δὲ τὴν πρωτίστην κατέχει τάξιν τὸ ἐπιγραφόμενον «Ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν περὶ ὑπομονῆς»·

τὸ δὲ δεύτερον βιβλίον τὴν ἀρχὴν ἀπὸ τοῦ λόγου ποιεῖται, ὃς «περὶ τοῦ τέλειον δεῖ εἶναι τὸν μοναχὸν» ἐπιγέγραπται.

35. Τεῦχος μεμβράνινον μεταξὺ μὲν τῆς ἑνδεκάτης καὶ δυοκαιδεκάτης γραφὲν ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων συγκείμενον 236· τούτων δὲ τὸ πρῶτον, εἰ καὶ ἐκ χάρτου ἐστί, κατὰ τὸν ἑπτακαιδέκατον προσετέθη αἰῶνα, ἀναπληρώσεως ἕνεκα τῆς προεκπεσούσης τοῦ κώδικος ἀρχῆς. Περιέχει οὖν τὸ τεῦχος τὰς πρώτας τεσσαράκοντα καὶ δύο ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου· τούτων δ' ἡ ἐσχάτη ἐλλιπής ἐστι· τελευτᾷ γὰρ εἰς τὰς λέξεις τάσδε· «κἂν σφόδρα εἶναι μέγα δοκεῖ» κτλ. Καὶ τὸ μὲν κείμενον δίστηλον κατὰ πᾶσαν ὑπάρχει σελίδα, εἴκοσι καὶ ὀκτὼ γραμμὰς μιᾶς ἑκάστης τῶν στηλῶν ἀριθμούσης ($0,35 \times 0,25 = 0,228 \times 0,15$)· αὐτὸ δὲ τὸ βιβλίον καὶ κοσμήματά τινα ταινιοειδῆ περιέχει, καὶ ἐπιγραφὰς ἐρυθρὰς καὶ κεφαλαιώδη τινὰ γράμματα ἐρυθρὰ ὡσαύτως. Ἐν δὲ τῷ κρασπέδῳ τῆς δευτέρας τοῦ δευτέρου φύλλου σελίδος γεγραμμένον ὑπάρχει τὸ «βιβλίον τῆς μονῆς τοῦ Προδρόμου», τῆς ἐγγὺς τοῦ Ἰορδάνου ποταμοῦ· τοῦτο δὲ τὸ σημείωμα κατὰ τὸν τρίτον καὶ δέκατον ἐνεγράφη αἰῶνα. Ἄλλο δέ τι σημείωμα τοῦ 1293-ου ἔτους, ἐν τῇ ᾤᾳ γεγραμμένον τοῦ δευτέρου φύλλου, τάδε λέγει· «Μηνὶ απριλλ(ίῳ) ἔτους, ͵ςωα' έτι τῆς ενδίκτ(ου) ε' [sic; lege ς'] ἠγώρασα τὴν βήβλον ταύτ(ην) απο τὴν ἐκμαλωσίαν ἄκης (—Ἄκης = Πτολεμαΐδος)· ἠγώρασεν Φὰρ Ἄκης χαρτία (?) απο τὴν Δερηνμελπασελεμ: Φἔθην (— ἐφέρθην = ἐφέρθη ?) απο τους Αγαρηνους και ἦδαν (— εἶδον) ταύτ(ην) τὴν βῆβλον ἐγῶ ο αμαρτωλ(ὸς) Κύπρου διὰ///////ζ', καὶ εντιχῶν(— ὁ ἐντυχὼν) του αρχιεπισκοπου μεμνη(σθε) διὰ τὸν Κ(ύριον) σῶσ(αι) ὁ Θεός.......». Καὶ πάλιν ὑπεράνω τοῦ ὑπομνήματος τούτου τὸ ἔτος γέγραπται ͵ζϟδ' (= 1585-1586) καὶ μονοκόνδυλον μὲν δυσξύμβλητον δέ τι ὄνομα.

36. Τεῦχος μεμβράνινον, γραφὲν μὲν ἢ περὶ τὸ τέλος τῆς δεκάτης ἢ κατὰ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων συγκείμενον 390· τούτων δὲ τῶν φύλλων τινὰ μετα-

γενέστερά ἐστι, κατὰ τὸν ἑκκαιδέκατον προστεθέντα αἰῶνα δι' ἀναπλήρωσιν μερῶν τινων τοῦ τότε λελωβημένου τεύχους· δι' ὃ καὶ ταῦτα ἢ μεμβράνινά ἐστιν (φ. 1, 2, 10 καὶ 11) ἢ χάρτινα (φ. 12, 25 καὶ 26). Καὶ τὸ μὲν κείμενον μονόστηλον ὑπάρχει, μιᾶς ἑκάστης τῶν σελίδων ἢ 30 ἢ 32 γραμμὰς ἀριθμούσης, τοῦτο δ' αὖ ἀπὸ τοῦ δευτέρου ἄρχεται φύλλου. Τὸ μὲν οὖν πρῶτον φύλλον, εἰ καὶ ἄγραφον προσετέθη, δύο ὕστερον περιέλαβε σημειώματα, ὧν τὸ πρῶτον λέγει τάδε· «✝ Αὐτὸ τὸ βιβλίον ἐδόθη ὑπ' ἐμοῦ Λεοντίου μοναχοῦ ἀντὶ τὸ στιχηράριν εἰς τὸν ἅγιον Τάφον, ὅπερ συνεχώρησεν ὁ δεσπότης ἡμῶν κῦρ Σωφρόνιος καὶ ἔλαβον αὐτό, καὶ μηδεὶς ἐξηλεώσει αὐτὸ ἀπὸ τὸ πατριαρχίω καὶ πέσει εἰς βάρος ἀφορισμοῦ:—ἔτη ,ζραφ (1592-1593). Τὸ στιχηράριν ἔμηνεν (-ἔμεινεν) [πάλιν] εἰς τὸν πατριάρχην». Τὸ μὲν οὖν πρῶτον φύλλον ταῦτ' ἔχει, τὰ δὲ λοιπὰ τοῦ τεύχους φύλλα πονήματά τινα ἐμπεριέχει Ἰωάννου τοῦ Χρυσοστόμου. Ἔνδον δὲ τῶν πινακίδων τοῦ κώδικος τέσσαρα ὑπάρχει φύλλα, ἐξ ἄλλου τινὸς ἀπεσπασμένα κώδικος (τῆς ιβ' ἑκατ.), ἐν οἷς λείψανον σῴζεται μαρτυρίου τινός, καὶ ἄλλο τι πάλιν λείψανον τὴν ἐπιγραφὴν τήνδε φέρον· «Τῇ αὐτῇ ἡμέρᾳ. Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀρχιεπισκόπου Ἀλεξανδρείας Πέτρου», οὗ ἡ ἀρχή· «Εἶχε μὲν ἡ ἐπιφανής» κτλ.

Ἰωάννου τοῦ Χρυσοστόμου λόγοι τινές.

1. «Λόγος εἰς τὴν ἐπιγραφὴν τοῦ ν' ψαλμοῦ καὶ περὶ μετανοίας εἰς τὸν βασιλέα Δαυὶδ περὶ τοῦ Οὐρίου». Ἀρχ. «Οἱ ζωγράφοι μιμοῦνται», φ. 2. Migne τ. 55, σ. 565.

2. «Εἰς τὰ ὑπόλοιπα τοῦ πεντηκοστοῦ ψαλμοῦ, περὶ μετανοίας». Ἀρχ. «Τὰ λείψανα τῆς χθεσινῆς». Migne τ. 55, σ. 575.

3. «Λόγος περὶ μετανοίας καὶ εἰς τὸν Δαυὶδ τὸν βασιλέα καὶ περὶ τῆς τοῦ Οὐρίου». Ἀρχ. «Ἰδοὺ σήμερον ἀδελφοί», φ. 29β. Migne τ. 64, σ. 1359: spuria et omissa.

4. «Πρὸς τοὺς ἐγκαλοῦντας ἐπὶ τὸ φεύγειν τὴν ἱερωσύνην», ἤτοι περὶ ἱερωσύνης λόγοι ἕξ, ὧν ἡ ἀρχή· «Ἐμοὶ μὲν πολλοὶ ἐγένοντο», φ. 35—109.

5. Κατὰ Ἰουδαίων λόγοι ἕξ, ὧν ἡ ἀρχή· «Ἐβουλόμην ὑμῖν ἀποδοῦναι», φ. 109β—198. Migne τ. 48, σ. 843.

6. Περὶ ἀκαταλήπτου λόγοι ἕξ, ὧν ἡ ἀρχή· «Τί τοῦτο; ὁ ποιμήν», φ. 198β-254. Migne τ. 48, σ. 701.

7. «Πρὸς τοὺς ἀπολειφθέντας τῆς συνάξεως καὶ τοῦ ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρὶ ἀπόδειξις, καὶ ὅτι τὰ ταπεινῶς εἰρημένα παρ' αὐτοῦ οὐ δι' ἀσθένειαν δυνάμεως, οὐδὲ δι' ἐλάττωσιν ἐγίνετο καὶ ἐλέγετο, ἀλλὰ δι' οἰκονομίας διαφόρους· ἀπὸ τοῦ περὶ ἀκαταλήπτου λόγος ζ'», οὗ ἡ ἀρχή· «Πάλιν ἱπποδρομίαι», φ. 255. Migne τ. 48, σ. 755.

8. «Κατὰ αἱρετικῶν καὶ εἰς τὴν αἴτησιν τῆς μητρὸς τῶν υἱῶν Ζεβεδαίου· λόγος ὄγδοος», οὗ ἡ ἀρχή· «Χθὲς ἐκ πολέμου ἐπανελθόντες», φ. 268. Migne τ. 48, σ. 767.

9. «Λόγος πρὸς τοὺς σκανδαλισθέντας ἐπὶ ταῖς δυσημερίαις ταῖς γινομέναις καὶ τῇ τοῦ λαοῦ καὶ πολλῶν ἱερέων διώξει καὶ διαστροφῇ, καὶ περὶ ἀκαταλήπτου καὶ κατὰ Ἰουδαίων λόγος ἔνατος», οὗ ἡ ἀρχή· «Ἰατρῶν μὲν παῖδες», φ. 278. Migne τ. 52, σ. 479.

10. «Ὁμιλία ὅτι τὸ μὴ λέγειν ἅπερ ἴσμεν καὶ εἰς ἑτέρους ἐκφέρειν πενέστερον ποιεῖ καὶ τὴν χάριν σβέννυσι, καὶ εἰς τὰς εὐχὰς ἃς ὁ Χριστὸς ηὔξατο, καὶ εἰς τὴν ἐξουσίαν μεθ' ἧς ἅπαντα ἐποίει, καὶ εἰς τὴν τοῦ παλαιοῦ νόμου διόρθωσιν, καὶ ὅτι τὸ σαρκωθῆναι τὴν ἰσότητα αὐτοῦ τὴν πρὸς τὸν πατέρα οὐκ ἐλαττοῖ, ἀλλὰ καὶ συνίστησι μᾶλλον». Ἀρχ. «Ἱκανῶς ἐν τοῖς ἔμπροσθεν», φ. 325β. Migne τ. 48, σ. 783.

11. «Ὁμιλία εἰς τοὺς τὰ πρῶτα πάσχα νηστεύοντας», ἧς ἡ ἀρχή· «Πάλιν χρεία τις ἀναγκαία», φ. 337. Migne τ. 48, σ. 861.

12. «Ὁμιλία πρὸς τοὺς ἔχοντας συνεισάκτους», ἧς ἡ ἀρχή· «Ἐπὶ μὲν τῶν προγόνων», φ. 347β. Sancti Ioannis Chrysostomi opera selecta, ἐκδ. Dübner τ. I, σ. 148.

13. «Λόγος ὑπὲρ τοῦ τὰς κανονικὰς μὴ συνοικεῖν ἀνδράσιν». Ἀρχ. «Οἴμοι ψυχή», φ. 368β. Ἐκδ. Dübner σ. 170.

14. «Λόγος εἰς νεωτέραν χηρεύσασαν», οὗ ἡ ἀρχή· «Ὅτι

μὲν χαλεπὴν ἔλαβες τὴν πληγήν», φ. 388-390 (ἐκδ. Dübner, σ. 190). Τὸ πλεῖστον τοῦ λόγου ἐλλείπει· τελευτᾷ γὰρ τὸ σῳζόμενον μέρος εἰς τὰς λέξεις τάσδε· «διὰ τούτου γὰρ ἡμῖν αἰνίττεται τοῦ ῥήματος, ὅτι αἱ τοὺς ἄνδρας ἀποβαλοῦσαι».

37. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἀκέφαλόν τε καὶ ἀτελές, πρὸς δὲ καὶ ὑφ' ὕδατος βεβλαμμένον, ὃ νῦν φύλλα σῴζει 246· τὸ δ' ἐν τούτοις κείμενον δίστηλον κατὰ σελίδα πᾶσαν ὑπάρχει, μιᾶς ἑκάστης τῶν στηλῶν εἴκοσι καὶ ὀκτὼ ἀριθμούσης γραμμάς $(0,34 \times 0,255 = 0,333 \times 0,17)$. Περιέχεται δ' ἐν τῷ τεύχει τὸ Ἰωάννου τοῦ Χρυσοστόμου ὑπόμνημα περὶ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου, καὶ τὴν μὲν ἀρχὴν αὐτοῦ αἵδε νῦν αἱ λέξεις τῆς τρίτης ποιοῦσιν ὁμιλίας· «[πρά]γματα ἔμαθον ἄνθρωποι βάρβαροι φιλοσοφεῖν· οὐκ ἄρα μάτην ἔλεγον, ὅτι αὐτῷ θέατρον γέγονεν ἡ οἰκουμένη πᾶσα» κτλ. — πέρας δὲ τῷ ὑπομνήματι αἱ λέξεις αἵδε τῆς τεσσαρακοστῆς καὶ τετάρτης ἐπιτιθέασιν ὁμιλίας· «ἀποκέχρηνται τούτῳ τῷ λόγῳ ὡς τὴν ἐργα....». Ὑπάρχει δ' ἐν τῷ κώδικι καὶ μονόχροά τινα κοσμήματα καὶ κεφαλαιώδη τινὰ ἐρυθρὰ στοιχεῖα καὶ ἐπιγραφαὶ ὡσαύτως ἐρυθραί.

38. Τεῦχος μεμβράνινον, γραφὲν μὲν κατὰ τὴν ἑνδεκάτην ἑκατονταετηρίδα, ὑπὸ δὲ ὕδατος σφόδρα βεβλαμμένον καὶ ἐκ φύλλων νῦν συνιστάμενον 287· τούτων δὲ πολλὰ ἐκ χάρτου ἐστί, κατὰ τὸν τέταρτον καὶ δέκατον προστεθέντα αἰῶνα, ἤτοι τὰ πρῶτα ὀκτὼ καὶ τὰ τελευταῖα τριάκοντα καὶ ἐννέα τοῦ κώδικος φύλλα. Ἔχει δὲ τὸ τεῦχος κείμενον κατὰ σελίδα πᾶσαν δίστηλον, οὗ μία ἑκάστη τῶν στηλῶν τριάκοντα καὶ δύω ἀριθμεῖ γραμμάς $(0,32 \times 0,245 = 0,23 \times 0,18)$, καὶ ἐπιγραφὰς ἐρυθρὰς καὶ κοσμήματά τινα πάνυ εὐτελῆ. Τὸ δ' ἐν αὐτῷ περιεχόμενον τοῦτ' ἔστιν: Ἰωάννου τοῦ Χρυσοστόμου δύο καὶ τριάκοντα ὁμιλίαι περὶ τοῦ κατὰ Ἰωάννην ἱεροῦ εὐαγγελίου, ὧν ἡ πρώτη ἀκέφαλος οὖσα ἀπὸ τῶν λέξεων νῦν ἄρχεται τῶνδε· «καὶ τῶν συνεχόντων τὴν σωτηρίαν τὴν ἡμετέραν φθεγγώμεθα, καὶ ὑμεῖς κερδάναντες ἐκ τῶν λογισμῶν» κτλ.

39. Τεῦχος μεμβράνινον κατὰ τὴν δεκάτην μὲν γεγραμμένον ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων συγκείμενον 246· ὧν τὸ κεί-

μενον κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον ὑπάρχον τριάκοντα καὶ δύο ἢ τριάκοντα καὶ τρεῖς ἀριθμεῖ γραμμάς (0,31 × 0,22 = 0,225 × 0,15). Ἐνέχει δὲ καὶ κοσμήματά τινα ποικιλόχροα, τὰ μὲν ταινιοειδῆ, τὰ δὲ τῷ Π στοιχείῳ προσομοιάζοντα, καὶ κεφαλαιώδη τινὰ καὶ μέλανα γράμματα. Τὸ τεῦχος οὖν τὰς πρώτας τριάκοντα περιέχει ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως· τῆς δ' ἐσχάτης τούτων τὸ τέλος ἐλλείπει, καὶ τούτου ἕνεκα τὸ κείμενον αὐτῆς τελευτᾷ νῦν εἰς τὰς λέξεις τάσδε· «καὶ τοὺς πόδας ἔχοντας τῷ ξύλῳ προσδεδεμένας ἅμα τῷ Σίλᾳ, καὶ διὰ πάσης τῆς νυ....». Τὸ δὲ παλαιὸν τὸ τεῦχος τοῦτο κτῆμα τῆς λαύρας ἦν Θεοδοσίου τοῦ κοινοβιάρχου, καθάπερ τέσσαρα σποράδην γεγραμμένα δηλοῖ σημειώματα (φ. 2, 3, 245 καὶ 246), ὧν τὸ τρίτον λέγει τάδε· «† Ἡ τοιούτ(η) βίβλος ἐστὶν ψυχικὴ δωρεὰ<ν> τοῦ μεγάλου Κομνηνοῦ εἰς τὴν μονὴν τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου». Τῆς δὲ μονῆς καταλυθείσης, τὸ βιβλίον εἰς τὸν Κυριακὸν μετηνέχθη Τάφον, κατὰ τὴν ἐπὶ φύλλου τινὸς ἐκ χάρτου ὑπόμνησιν Σωφρονίου ε' τοῦ πατριάρχου Ἱεροσολύμων.

40. Λειτουργικὸν μέν, μεμβράνινον δὲ τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος εὐαγγέλιον, ἐκ φύλλων συγκείμενον 225, ἤτοι τετραδίων λζ', εἰ καὶ τὸ ἔσχατον τούτων τέσσαρ' ἀριθμεῖ φύλλα. Τὸ δὲ τοῦ τεύχους κείμενον δίστηλον κατὰ πᾶσαν ὑπάρχον σελίδα, εἴκοσι καὶ ἐννέα ἐν μιᾷ ἑκάστῃ τῶν στηλῶν γραμμὰς ἀριθμεῖ (0,33 × 0,24 = 0,245 × 0,16). Τὸ εὐαγγέλιον οὖν τοῦτο πινακίσιν ἐστὶ συνδεδεμένον, ὧν τὴν πρώτην πάνυ παλαιὸς ἔξωθεν ἐκαλλώπισε βιβλιοδέτης, ἐν μὲν τῷ μέσῳ αὐτῆς χαλκοῦν τε καὶ μακρὸν ἐμπηγνὺς σταυρόν, ἐν δὲ ταῖς τέσσαρσι τῆς πινακίδος γωνίαις ἰσαρίθμους χαλκᾶς μὲν ἀναγλύπτους δ' ἐμπηξάμενος εἰκόνας, τοὺς ἱεροὺς παριστώσας εὐαγγελιστάς· τούτων δὲ τῶν χαλκῶν πραγμάτων ἡ κατασκευὴ κατὰ τὸν τρισκαιδέκατον, οἶμαι, ἐγένετο αἰῶνα. Καὶ ἐν μὲν τῇ ἀρχῇ τῆς βίβλου μέγα τι καὶ νῦν ἐφθαρμένον ὑπάρχει κόσμημα, ἐν δὲ τῇ δευτέρᾳ τοῦ 28-ου φύλλου σελίδι, ἣ ἄγραφος ἐξ ἀρχῆς παρὰ τοῦ καλλιγράφου ἀφέθη, ὑπόμνημά τι

*

ἀραβικοῖς εὕρηται γεγραμμένον στοιχείοις, νῦν μὲν δυσανάγνωστον, εἰς ἑλληνικὴν δ' ὅμως καὶ μονοκόνδυλον ὑπογραφὴν τελευτῶν, ἣν ἐγὼ ὧδέ πως ἀνέγνων· «† Ὁ ταπεινὸς Ἀντώνιος μητροπολίτης Ἡρακλείας». Καὶ ταῦτα μὲν οὕτως, αὐτὸ δὲ τὸ εὐαγγέλιον διῄρηται ὧδε.

1. Ἀναγνώσματα ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, φ. 1 κέ.
2. Εὐαγγέλια κατὰ Ματθαῖον, φ. 29.
3. «Τὰ καθημερινὰ εὐαγγέλια τοῦ Λουκᾶ», φ. 81.
4. Εὐαγγέλια τῶν νηστίμων ἑβδομάδων, φ. 146.
5. «Εὐαγγέλια τῶν ἁγίων παθῶν», φ. 171.
6. Εὐαγγέλια τῶν ὡρῶν τῆς μεγάλης παρασκευῆς, φ. 190.
7. Εὐαγγέλια τοῦ μεγάλου σαββάτου, φ. 199.
8. «Ἀναγνώσματα ἀναστάσιμα ἑωθινά», φ. 200.
9. Συναξάριον τῶν εὐαγγελίων, οὗ ἡ ἀρχή· «Μηνὶ σεπτεμβρίῳ α' ἡ ἀρχὴ τῆς ἰνδίκτου καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου. Ζήτει τῇ ε' τῆς α' ἑβδομάδος τοῦ Λουκᾶ», φ. 204-225.
10. Ὑπόμνημά τι πρόσθετον ἀραβιστὶ γεγραμμένον, φ. 225β.

41. Τεῦχος μεμβράνινον ἢ περὶ τὸ τέλος τῆς δυοκαιδεκάτης ἢ ἀρχομένης τῆς τρίτης καὶ δεκάτης γραφὲν ἑκατονταετηρίδος, ὃ ἔξωθεν τήνδ' ἔχει τὴν ἐπιγραφήν· «Βιβλίον μηνέον Ἰωάννου τοῦ Προδρόμου ἐν τῷ Ἰορδάνῃ». Συνίσταται δὲ νῦν ἐκ φύλλων ἑκατὸν καὶ τεσσαράκοντα, καὶ τούτων τὰ πρῶτα τρία φύλλα πρόσθετά ἐστι, κατὰ τὸν δυοκαιδέκατον γραφέντα αἰῶνα. Καὶ τί μὲν ταῦτ' ἐμπεριέχει, μικρὸν ὕστερον ἐρῶ· τὰ δὲ λοιπὰ φύλλα τὰς ᾀσματικὰς τριῶν ἐνέχει μηνῶν ἀκολουθίας, ὧν τὸ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλον ὑπάρχει· μία δ' ἑκάστη τῶν στηλῶν πεντήκοντα καὶ μίαν ἀριθμεῖ γραμμὰς (0,33 × 0,235). Τὸ τεῦχος οὖν ὡς ἐν συντόμῳ τάδ' ἐμπεριέχει.

1. «Ἀκολουθίαν εἰς ἁγιασμόν», ἧς ἡ ἀρχή· «Μετὰ τὴν εὐλόγησιν τοῦ ἱερέως ποιοῦμεν τρισάγιον», φ. 1-3.
2. Ὑπόμνημά τι ἔχον ὧδε· «† Τὸ παρὸν ἑξαμηναῖον ἀφιερώθη παρ' ἐμοῦ τοῦ χρηματίσαντος Κρήτης Νικηφόρου, τῇ σε-

βασμίᾳ μονῇ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου τοῦ ἐν τῷ Ἰορδάνῃ ψυχικῆς ἕνεκα σωτηρίας· εἴ τις δὲ βουληθῇ ἀποσπάσαι ταύτην τὴν βίβλον τῆς τοιαύτης μονῆς ἐν οἱῳδήποτε τρόπῳ, ἢ ἀλλάξαι ἢ τὰ παρόντα ἀπαλεῖψαι γράμματα, ἵνα ἔχῃ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ὀφείλουσι δὲ καὶ οἱ ἀσκούμενοι ἐκεῖσε μοναχοὶ μνημονεύειν μου ἐν ταῖς ἁγίαις ἱεροτελεστίαις. Μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιδ′ ἔτους ͵ςωκδ′» (= 1316). Καὶ κατωτέρω γέγραπται τὸ Կազմագոզիր, φ. 3β.

3. Μηναῖον τοῦ Σεπτεμβρίου μηνός, οὗ ἡ ἀρχή· «Μὴν σεπτέμβριος ἔχων ἡμέρας λ′· ἡ ἡμέρα ὥρας ιβ′ καὶ ἡ νὺξ ὥρας ιβ′. Ἀρχὴ τῆς ἰνδίκτου, ἤτοι τοῦ νέου ἔτους, καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου καὶ ἀρχιμανδρίτου, καὶ ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου τῶν Μυϊσινῶν καὶ τοῦ ἁγίου μάρτυρος Ἀειθαλᾶ καὶ τῶν ἁγίων μ′ γυναικῶν, καὶ Ἀμοῦν τοῦ διδασκάλου αὐτῶν, καὶ μνήμη τῶν ἁγίων μαρτύρων Καλλίστης Εὐόδου καὶ Ἑρμογένους τῶν αὐταδέλφων, καὶ μνήμη Ἰησοῦ τοῦ Ναυῆ, καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου ἐμπρησμοῦ. Εἰς τὸ "Κύριε ἐκέκραξα" στιχηρὰ τῆς ἰνδίκτου· ἦχος πλάγιος α′, πρὸς τὸ "Τῶν οὐρανίων ταγμάτων". Τῆς αὐτολέκτου καὶ θείας | διδασκαλίας Χριστοῦ | τὴν προσευχὴν μαθόντες» κτλ., φ. 4-60. Κατὰ τὸ μηναῖον τοῦτο τῇ μὲν δευτέρᾳ τοῦ σεπτεμβρίου ἡμέρᾳ καὶ ἡ μνήμη «Παύλου τοῦ νέου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως» ἐτελεῖτο, τῇ δὲ τρίτῃ καὶ ἡ τοῦ ὁσίου Στεφάνου τοῦ ὁμολογητοῦ τοῦ καὶ ἡγουμένου Τριγλίας.

4. Μηναῖον τοῦ Ὀκτωβρίου μηνός, φ. 61-100.

5. Μηναῖον τοῦ Νοεμβρίου μηνός, ὃ φύλλων τινῶν ἐκπεσόντων τελευτᾷ νῦν εἰς τὴν ᾀσματικὴν τῆς τριακοστῆς ἡμέρας ἀκολουθίαν, καθ' ἣν ἡ τοῦ ἀποστόλου Ἀνδρέου τοῦ πρωτοκλήτου μνήμη γεραίρεται.

42. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἢ τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον νῦν ἐκ φύλλων 268, ὧν τὸ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλον ὑπάρχει, μία δ' ἑκάστη

τῶν στηλῶν τριάκοντα γραμμὰς ἀριθμεῖ (0,315 × 0,26 = 0,32 × 0,17). Καὶ τὰ μὲν δύο πρῶτα τοῦ τεύχους φύλλα, εἰ καὶ ἐκ χάρτου ἐστί, κατὰ τὴν ἑβδόμην καὶ δεκάτην προσετέθη ἑκατονταετηρίδα, ἀναπληρώσεως ἕνεκα τῆς τότ' ἐλλειπούσης τοῦ βιβλίου ἀρχῆς· πρόσθετον δὲ φύλλον καὶ πρὸς τῷ τέλει ἐκείνου εὕρηται τήνδε μόνον τὴν ὑπόμνησιν ἐνέχον, ἧς τὰ γραφικὰ παρέλιπον ἁμαρτήματα· «✝ ,αχα' (-1601) μηνὶ δεκέμβριος προσηλώνω τὴν παροῦσαν βίβλον ἐν τῷ ἁγίῳ Τάφῳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἔστω ἐκεῖ ἀφιερωμένον εἰς μνήμην ἐμοῦ (τοῦ) ἁμαρτωλοῦ Σιλιμπάρδου ἀναγνώστου καὶ τοῦ πατρὸς ἐμοῦ Ζαχαρίου ἱερέως σὺν τῆς πρεσβυτερίσσης αὐτοῦ Διασυνοῦς καὶ τῶν τέκνων αὐτῶν. Ἐκ νήσου Κῶ, κώμης Πυλίου». Περιέχει οὖν τὸ τεῦχος ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ἰωάννην ἱεροῦ εὐαγγελίου, ὧν ἡ μὲν πρώτη τὸν τεσσαρακοστὸν καὶ πέμπτον φέρει ἀριθμόν, ἡ δ' ἐσχάτη τὸν ὀγδοηκοστὸν καὶ ὄγδοον· ταύτης δὲ τὸ τέλος ἐλλείπει, καὶ τούτου ἕνεκα τὸ κείμενον εἰς τάσδε νῦν τὰς λέξεις λήγει· «περιεγένετο πονηρᾶς ἐπιθυμίας καὶ πρὸς τῆς βασιλείας ἐν». Ἡ δὲ τοῦ βιβλίου ἀρχὴ ὧδε ἔχει· «Οὐδὲν γαστριμαργίας χεῖρον» κτλ.

43. Τεῦχος ἐκ χάρτου, ὃ ὕψους μέν ἐστι 0,16, πλάτους δὲ 0,107· γέγραπται δὲ παρὰ διαφόρων χειρῶν κατὰ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα καὶ φύλλα νῦν ἠριθμημένα περιέχει τλ', ἐξ ὧν ἐλλείπει τὰ ἀπὸ τοῦ λβ' μέχρι τοῦ μη' ἀριθμοῦ. Πρὸς δὲ τούτοις τρία ἐν τῇ ἀρχῇ τῆς βίβλου πρόσθετα ὑπάρχει φύλλα, ἐν οἷς φυσιολόγου τινὸς ἀκέφαλος κεφαλαίων ἀναγινώσκεται πίναξ, ἐρυθροῖς μὲν γεγραμμένος γράμμασι, τὴν δ' ἀρχὴν ἀπὸ τοῦ εἰκοστοῦ νῦν καὶ ὀγδόου ποιούμενος κεφαλαίου· τὰ δὲ λοιπὰ τοῦ κώδικος φύλλα τὰ κείμενα περιέχει τάδε.

1. Ἀνώνυμός τις μαθηματικὴ γεωγραφία, ἧς ἡ ἀρχή· «Τὸ τῆς γῆς σχῆμα οὔτε τρίγωνόν ἐστιν οὔτε τετράγωνον οὔτε πάλιν ὁλοστρόγγυλον», φ. α'—λβ.

2. Συλλογὴ ἱστοριῶν ἐκ τῆς παλαιᾶς καὶ τῆς νέας Διαθήκης κατ' ἐρωταπόκρισιν, φ. μθ'—οη'.

3. «Ἕτερος φυσιολόγος», οὗ ἡ ἀρχή· «Ὁ πελεκᾶνος ὄρνεόν ἐστιν, ὁ δὲ ὄφις πολὺ» κτλ., φ. οθ'.

4. «Περὶ ζῴου μονοκεράτου». Ἀρχ. «Ὁ φυσιολόγος ἔλεξεν περὶ τούτου, ὅτι μικρὸν ζῷον ὅμοιον ἐρίφου», φ. π'. Παρέπεται κεφάλαια περὶ τοῦ νυκτικόραχος, τοῦ φοίνικος, τῆς ἐχίδνης, τοῦ λέοντος, τοῦ ἀετοῦ καὶ τοῦ πάνθηρος.

5. Πίνακες πασχαλίων καὶ μέθοδος περὶ τοῦ εὑρίσκειν τὸ πάσχα, ἐν ᾗ καὶ τοῦτο γέγραπται· «ἀπὸ δὲ Κωνσταντίνου ἕως τοῦ Μιχαὴλ υἱοῦ Θεοφίλου μέχρι τοῦ (-τῶν) νῦν ἡμῶν αὐθέντων καὶ βασιλέων Κομνηνῆς τῆς Παλαιολογίνης κυρᾶς Ἄννης, τοῦ υἱοῦ αὐτῆς Κομνηνοῦ κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου, τοῦ υἱοῦ αὐτοῦ Κομνηνοῦ κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου, κῦρ Μανουὴλ τοῦ Παλαιολόγου, κῦρ Ἰωάννου τοῦ Παλαιολόγου, υἱοῦ κῦρ Μανουήλ, τῆς μητρὸς αὐτοῦ Ἑλένης τῆς εὐσεβεστάτης αὐγούστης, ἤτοι τῆς παρούσης δευτέρας ἰνδικτιῶνος ἔτει ,ϛϠλβ'» κτλ (=1424), φ. πη—ρ'. Παρέπεται τρία φύλλα ἄγραφα.

6. «Μέθοδος δι' ἧς μέλλεις εὑρεῖν ἀρχὴν τοῦ εὐαγγελίου ἐν ᾗ ἂν ἐζήτεις αὐτό». Ἀρχ. «Γίνωσκε ὅτι τὸ κατὰ Ἰωάννην», φ. ρδ'. Παρέπεται μέθοδος περὶ τοῦ εὑρίσκειν τοὺς ὀκτὼ ἤχους.

7. «Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν καὶ τὴν τῶν εὐαγγελιστῶν διαδοχήν, πόθεν τε ἄρχονται καὶ ποῦ καταλήγουσιν». Ἀρχ. «Ἰστέον ὅτι ἀναγινώσκεται τὸ ὕφος», φ. ρζ'—ριδ'. Παρέπεται πίναξ τις τῶν ἀνέμων, μετὰ δὲ τοῦτον δύο ἄγραφα ὑπάρχει φύλλα.

8. «Σύνταγμα ψηφηφορικὸν καὶ σύνοδος πανσέληνος, (δι' οὗ) εὑρήσεις ἀκριβῶς περὶ τῆς σελήνης ἐκ τῆς ἀστρονομίας· ἐκτέθησαν δὲ παρὰ τοῦ πανιερωτάτου μητροπολίτου Θεσσαλονίκης φιλοσόφου καὶ ῥήτορος καὶ τὴν ἀστρονομικὴν τέχνην ἄριστος, Πτολομαίου βασιλέως Ἀνατολῆς εἰς ἄκρον ἐμμαθηκώς, καὶ συνεγράψατο τοὺς δεκαεννέα κύκλους τῆς σελήνης», φ. ριζ'—ρλβ'.

9. Πασχάλιον ἀπὸ τοῦ 1568-ου μέχρι τοῦ 1604-ου ἔτους, φ. ρλγ'—ρν'.

10. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν κδ' γραμμάτων· ἐτυμολογία

τοῦ ἀλφαβήτου». Ἀρχ. «Πόθεν σταυρός; Παρὰ τοῦ εἶναι αὐτὸν στάσιν κτλ. Πόθεν ἐτυμολογεῖται τὸ ᾱ; Παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω» κτλ., φ. ρνα'—ρνε'.

11. «Ἀρχὴ τῶν η' μερῶν τοῦ λόγου». Ἀρχ. «Πόσα μέρη τοῦ λόγου ἐστίν; ὀκτώ· ὄνομα, ῥῆμα» κτλ., φ. ρνε'—ρξβ'.

12. «Εἴδησις ἐν ἐπιτομῇ τῆς γραμματικῆς τῶν η' τοῦ λόγου μερῶν». Ἀρχ. «Περὶ τόνου. Γίνωσκε, ὦ Νικόλαε, ὅτι τόνοι κυρίως εἰσὶ δύο, ἡ ὀξεῖα» κτλ., φ. ρξβ'—ρξε'. Ἐν δὲ τῇ ἐπιτομῇ ταύτῃ μνεία Διονυσίου γίγνεται τοῦ Θρᾳκός.

13. «Ἐνθύμησις τινῶν κεφαλαίων ἐκ τῆς ἁγίας Γραφῆς, εἰς ὠφέλειαν καὶ πίστωσιν ἡμῶν». Ἀρχ. «Ἀπὸ δὲ τοῦ Μωυσέως ἄχρι Δαυὶδ ἔτη φϟθ'», φ. ρξς'—ρξη'.

14. «Ἐπιτομὴ τῶν ὀκτὼ τοῦ λόγου μερῶν καὶ ἄλλων τινῶν ἀναγκαίων, συντεθεῖσα παρὰ Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου». Ἀρχ. «Βιβλίον α'. Περὶ διαιρέσεως τῆς γραμματικῆς. Γράμμα ἐστὶ μέρος ἐλάχιστον φωνῆς», φ. ρο'—ρπβ'. Ἡ δὲ πρώτη τῆς ἐπιτομῆς ταύτης ἔκδοσις ἐγένετο ἐν Μεδιολάνῳ ἔτει 1476. Emile Legrand, Bibl. hellen. τ. I, σ. 1.

15. «Τὰ εἰκοσιτέσσερα στοιχεῖα τοῦ ἀλφαβήτου. Προ(κείμενον)· ἦχος πλάγιος δ'. Εἰς τὸν ἀρχάγγελον Μιχαὴλ καὶ Γαβριήλ». Ἀρχ. «Τῷ πρωταγγέλῳ Μιχαὴλ | τὸν ὑμνητήριον | καὶ τῆς ἐκ σοῦ μου φυλακῆς | τὸ χαριστήριον» κτλ., φ. ρπγ'—ρϟγ'.

16. «Περὶ τῆς ὑψώσεως τῆς Παναγίας ὅταν μέλλῃ ἀποδημῆσαί τις ἐν ταξειδίῳ». Ἀρχ. «Εἰς μὲν τὸν μέλλοντα ἀποδημῆσαι ψάλλεται πρῶτον παράκλησις, εἰ βούλει· εἰ δ' οὔ, ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, εἶτα τρισάγιον» κτλ., φ. ρϟγ'—σα'.

17. Πίναξ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων, φ. σβ'.

18. «Ἀκολουθία τῆς παρακλήσεως», φ. σγ'.

19. «Εὐχὴ τῆς τραπέζης», ἧς ἡ ἀρχή· «Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας· εὐλογητὸς εἶ, Κύριε, ὁ χώραν καὶ ἄμπελον ποιήσας» κτλ., φ. σι'.

20. «Ἐξορκισμὸς τοῦ ἡμικράνου». Ἀρχ. «Ὁ ἅγιος Ἀλέξαν-

δρος παιδίον ἐγεννήθη, σίδηρον ἱμάτιον τὸν ἐφόρεσαν, σίδηρον σάκκον τὸν ἐγέμισαν, Ἄραβον ἔσυρεν καὶ ἀπέκλεισεν πάντα πόνον τῆς κεφαλῆς τοῦ δούλου τοῦ Θεοῦ (δεῖνα) ἐν τόπῳ κρανίῳ» κτλ., φ. σιγ'. Παρέπονται ἄλλαι τινὲς παρόμοιαι γραφαί, ὧν τὸ σύνολον Σολομωνικὴν λέγομεν, οἷον τύποι εὐχῶν διαφόρων καὶ φυλακτήρια κατὰ πυρετῶν πετρώματος κλέπτου κλπ.

21. «Εὐχὴ λεγομένη εἰς ποίμνην· τοῦ ἁγίου Μαξίμου». Ἀρχ. «Ὡς ἤμην παιδίων παιδιότερον καὶ μικρότερον ἐπεθύμησα», φ. σιε'.

22. «Καταβασίαι ψαλλόμεναι ἐν ὅλῳ τῷ χρόνῳ», φ. σιθ'.

23. «Διήγησις τῶν γενομένων θαυμάτων παρὰ τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Δοχειαρίου, ἐν τῷ καθ' ἡμᾶς ἁγίῳ Ὄρει». Ἀρχ. «Λαμπρὰ ἑορτὴ καὶ πανήγυρις ἐπέστη σήμερον τοῖς φιλεόρτοις ἡμῖν», φ. σνε'.

24. «Εὐχὴ τοῦ ἁγίου Τρύφωνος εἰς ἀμπελῶνα εἰς κῆπον εἰς χωράφιν». Ἀρχ. «Ἀρχιν(ᾶ) ἁγιασμὸν καὶ ῥαντίζει, καὶ τότε διαβάζει τὴν εὐχήν: Ὄντος μου ἐν Λαμψάδου τῇ κώμῃ καὶ τὰς χῆνας ἐπιμελούμενος» κτλ., φ. σξς'. Goar, Εὐχολόγιον σ. 554.

25. Ἰωάννου τοῦ Δαμασκηνοῦ «κανὼν ἰαμβικὸς εἰς τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, φέρων ἀκροστιχίδα τήνδε: Εὐεπίης μελέεσιν» κτλ., φ. σοα'.

26. «Ἕτερος κανὼν τοῦ ἁγίου Ἰωάννου τοῦ αὐτοῦ εἰς τὰ ἅγια θεοφάνεια τοῦ Σωτῆρος, φέρων ἀκροστιχίδα τήνδε: Σήμερον ἀχράντοιο» κτλ., φ. σοθ'.

27. «Περὶ τοῦ πότε οὐ στιχολογεῖται ἡ Τιμιωτέρα». Ἀρχ. «Χρὴ εἰδέναι ὅτι ἡ Τιμιωτέρα στιχολογεῖται πάντοτε», φ. σπθ'.

28. Ἰωάννου τοῦ Δαμασκηνοῦ κανὼν ἰαμβικὸς εἰς τὴν Πεντηκοστήν, οὗ ἡ ἀκροστιχίς: Θειογενές, ὦ ἐκ Θεοῦ γεγεννημένε» κτλ., φ. σϙβ'.

29. «Εἴδησις ἐν ποίαις ἡμέραις ποιοῦσιν ἀργίαν οἱ μοναχοί, καὶ ἐν ποίαις λύουσι τὴν νηστείαν τοῦ ὅλου ἐνιαυτοῦ». Ἀρχ. «Μηνὶ σεπτεβρίῳ α' ἀρχὴ τῆς ἰνδίκτου· ἀργεία καὶ κατάλυσις τῆς νηστείας εἰς ἔλαιον καὶ οἶνον μόνον», φ. τβ'.

30. «Ἀναστασίου ἐπισκόπου Καισαρείας τῆς Παλαιστίνης

περὶ τοῦ ἀρτζιβουρίου». Ἀρχ. «Τῇ ἑβδομάδι πρὸ τῆς ἀποκρέου, ἣν νηστεύουσιν οἱ Ἀρμένιοι», φ. τθ'.

31. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου περὶ τῆς παραμονῆς τῶν Φώτων, εἰ τύχοι ἐν Κυριακῇ, ἐρωτηθεὶς παρά τινων ἱερέων». Ἀρχ. «Δεῖ εἰδέναι ὅτι εἰ τύχοι ἡ παραμονή», φ. τιε'.

32. Διήγησις περὶ τοῦ ὁσίου Εὐλογίου, ἧς ἡ ἀρχή· «Ὁ ὅσιος πατὴρ ἡμῶν Εὐλόγιος, ὃς ἐξ ἁπαλῶν ὀνύχων τὸν τοῦ Χριστοῦ σταυρὸν ἀράμενος καὶ ὄρεσι καὶ σπηλαίοις» κτλ., φ. τιη'.

33. «Κανόνες νγ' τῶν ἁγίων πατέρων περὶ ἐξαγορεύσεως τῶν μοναχῶν». Ἀρχ. «Εἴ τις ἐκτὸς ἀσθενείας μὴ εὑρεθῇ εἰς τὸν ἑξάψαλμον τοῦ ὄρθρου, ξηροφαγείτω» κτλ., φ. τκδ'—τλ'.

44. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν περὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων συνιστάμενον 320· ἔστι δὲ ὕψους μὲν 0,16, πλάτους δὲ 0,11. Κατὰ δὲ σημείωσίν τινα (ἐν τῷ 10-ῳ φύλλῳ) κτῆμα τὸ πρόσθεν ἦν Δαυὶδ τοῦ ἱερομονάχου καὶ τοῦ ἁγίου Τάφου ἀρχιμανδρίτου.

1. «Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ μεσονυκτικόν· λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸ τρισάγιον ἢ μετὰ τὸ "Πιστεύω εἰς ἕνα Θεόν", καὶ ἔτι μετὰ τὸ τρισάγιον· ἐκ τῶν δογμάτων τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ», φ. 2.

2. «Ὕμνος εἰς τὴν ἀρχὴν τοῦ ὄρθρου· τοῦ φιλοσοφωτάτου καὶ ὁσιωτάτου κυροῦ Νικηφόρου τοῦ Βλεμμίδου». Ἀρχ. «Σὺ Κύριε μόνος ἀγαθός», φ. 37β.

3. «Τοῦ αὐτοῦ [Θηκαρᾶ εὐχαὶ] συλλεχθεῖσαι ἀπὸ τῆς θεία· Γραφῆς, τὰ πλεῖστα δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραίμ, τοῖς βουλομένοις πολεμῆσαι τὴν ἑαυτῶν πρὸς τὰ πάθη καὶ τὰς ἡδονὰς ἐγκειμένην προαίρεσιν», φ. 195.

4. «Ἑρμηνεία ἐκ τῶν εὐαγγελικῶν διδαγμάτων πρὸς ἐρωτήσεις καὶ ἀποκρίσεις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ Θεολόγου». Ἀρχ. «Ἐρωτ. Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ», φ. 274.

5. «Χριστοφόρου ἀρχιεπισκόπου Ἀλεξανδρείας παραίνεσις ψυχωφελὴς ἐν τάξει παραβολῆς, φανεροῦσα τίνι παρείκασται ὁ βίος οὗτος καὶ εἰς ποῖον τέλος καταστρέφει». Ἀρχ. «Πάντας μέν, ἀγαπητοί, τοὺς κατὰ καιρόν», φ. 281.

6. Πεντάστιχον ἰαμβεῖον «εἰς τὴν παραβολὴν τοῦ ὄφεως καὶ τοῦ φιλαργύρου». Ἀρχ. «Ὄφις ἀπατῶν καρδίαν φιλαργύρου», φ. 295β.

7. «Τοῦ Χρυσοστόμου, ὅτι κρεῖττον ἡ εἰς τοὺς πτωχοὺς μετάδοσις ὑπὲρ τὸν ἐν ἐκκλησίαις καλλωπισμόν». Ἀρχ. «Ὑπὲρ γὰρ τοῦ μὴ ἐκκλησίας», φ. 295β.

8. «Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς ὅταν ἀπέρχεται κοιμηθῆναι». Ἀρχ. «Ὁ Θεὸς ὁ προσκυνητός, Ἰησοῦ Χριστέ, καθεύδοντά με φύλαξον», φ. 296.

9. «Κῦρ Μανουὴλ τοῦ μεγάλου χαρτοφύλακος τῆς Μεγάλης Ἐκκλησίας, ἔκθεσις ἁπλουστέρα καὶ συντομωτέρα, συντεθεῖσα παρ' ἡμῶν ἀρτίως καὶ ἐκδοθεῖσα ὁρισμῷ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ αὐθεντός, τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἱερεμίου· ἐγένετο δὲ κατὰ τὸν τοιοῦτον τρόπον. Ἐπειδὴ οἱ πρὸ ἡμῶν» κτλ., φ. 297.

10. «Περὶ τοῦ λογοτιθέντος [sic] πρὸ τριῶν ἡμερῶν, περὶ τῆς αὐτοῦ τελευτῆς». Ἀρχ. «Πρεσβύτερός τις ἐν Πελοποννήσῳ λεγόμενος Πάρδος ἦλθε πρὸς ἐμὲ ἐν Μονοβασίᾳ παρακαλοῦντος [sic] τὸ τῶν μοναχῶν ἐνδύσασθαι ἅγιον σχῆμα» κτλ. 313-320. Ἐλλείπει τὸ τέλος.

45. Ψαλτήριον ἐκ χάρτου, φύλλα μὲν περιέχον 255, γραφὲν δὲ ἔτει 1548-ῳ κατὰ τὸ σημείωμα τόδε· «Ἔτους ͵ζνς' μηνὶ μαρτίῳ ιθ'» (φ. 253). Ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0,153, πλάτους δὲ 0,105· καὶ τὸ μὲν κείμενον, εἰ καὶ ἀκέφαλον, ἄρχεται νῦν ἀπὸ τοῦ τετάρτου ἐδαφίου τοῦ δευτέρου ψαλμοῦ· μετὰ δὲ τὸ ψαλτήριον κεῖται «κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον», οὗ ἡ ἀρχή· «Ὠδὴ α'· ἦχος πλάγιος δ'. Ὑγρὰν διοδεύσας. Πολλοῖς συνεχόμενος πειρασμοῖς» κτλ., φ. 254-255.

46. Εἱρμολόγιον ἐκ χάρτου βαμβακεροῦ, γραφὲν μὲν ἀρχομένης τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, συνιστά-

μενον δ' ἐκ φύλλων 123· τούτων δὲ πολλὰ ἐκπεσόντα τὸ παλαιὸν ἀνεπληρώθη κατὰ τὸν πέμπτον καὶ δέκατον αἰῶνα (ὅρα τὰ πρῶτα 26 φύλλα, τὸ 110-ον, τὸ 115-ον, τὸ 118-ον, τὸ 120-ον, τὸ 121-ον καὶ τὸ 123-ον). Καὶ τὸ μὲν κείμενον, διὰ τὴν ἀπώλειαν φύλλων τινῶν, ἀτελὲς νῦν ὑπάρχει· αὐτὸ δὲ τὸ τεῦχος καὶ ἐρυθρὰς ἔχον ἐπιγραφὰς καὶ κεφαλαιώδη τινὰ στοιχεῖα ἐρυθρὰ ὡσαύτως, ὕψους μέν ἐστι 0,152, πλάτους δὲ 0,11.

47. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἔτει 1702, συνιστάμενον δ' ἐκ φύλλων 200, ἃ ὕψους μέν ἐστι 0,155, πλάτους δὲ 0,103· κατὰ μίαν δ' ἑκάστην τῶν σελίδων εἴκοσιν ἀριθμοῦνται γραμμαί. Ἐν μὲν οὖν τῷ τεύχει τούτῳ καί τινα ἐρυθρὰ κεφαλαιώδη εὕρηται στοιχεῖα, καὶ ἐπιγράμματα δύο σφαλμάτων πλήρη (φ. 190)· τὸ δὲ κείμενον, εἰ καὶ ὑφ' ὕδατος κατὰ μέρη τινὰ βεβλαμμένον ἐστί, τάδε περιλαμβάνει·

1. «Μετάφρασις σὺν Θεῷ ἁγίῳ εἰς τοὺς ψαλμοὺς τοῦ Δαυίδ, τῶν ρν' ψαλμῶν». Ἀρχ. «Μακάριος ὄντως καὶ καλότυχος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος, ὁποῦ δὲν ὑπῆγεν εἰς τὴν βουλὴν τῶν ἀσεβῶν», φ. 1-190. Μετὰ δὲ τὴν παράφρασιν ὅλην ὀκτώστιχον ὑπάρχει ἐπίγραμμα, ὅπερ ὧδέ πως ἀνέγνων· «Μακαρέων νήσσοις σκηνώσει ὁ φθέγξων, | ἐν κατανυκτίοις ἀνάσει προφήτου | ψαλμῳδοῖς λόγοις ὁ λαλῶν αἰσίως, | εἰ μάλ' ἐν φράσει τοῦτ' αὖθις ἐπεξέλθῃ· | εἰς πόνον εἷλκε σὺν κραδίης πόθῳ | ὁ ἐν πρὲ σβύταις εὐλαβέων ἀνήρ τε | Δημήτριος, ὃς Κρήτης ἔφυ θρέμμα τε, | ὃς φύτλῃ ὀρθοδοξίης δῶρ' ἐνίει». Καὶ ἐν τῷ 190-ῷ φύλλῳ δεύτερον ὑπάρχει τοῦ ἀντιγραφέως ἐπίγραμμα, Γεωργίου τοῦ Καμισσαίου, ὃς λέγει, ὅτι πέρας τῷ πόνῳ κατὰ τὴν πρώτην τοῦ φεβρουαρίου ἐπέθηκεν ἡμέραν, τὴν μὲν ἀξίαν ἱερεὺς ὤν, τὸ δὲ γένος Θάσσιος.

2. Παράφρασις τῆς νεκρωσίμου τῶν λαϊκῶν ᾀσματικῆς ἀκολουθίας, φ. 192-200.

48. Τεῦχος ἐκ χάρτου γραφὲν μὲν ἔτει 1537-ῳ, ἐκ δὲ φύλλων συγκείμενον 92, καὶ ὕψους μὲν ὂν 0, 16, πλάτους δὲ 0,106. Περιέχει δὲ τὰς ἱερὰς λειτουργίας Ἰωάννου τε τοῦ Χρυσοστόμου

καὶ Βασιλείου τοῦ μεγάλου, αἳ κεκοσμημέναι εἰσὶ καὶ ἐπιγραφαῖς τισιν ἐρυθραῖς καὶ μεγίστοις κεφαλαιώδεσι γράμμασιν.

49. Ἐξοδιαστικὸν ἐκ χάρτου βιβλίον, γραφὲν μὲν ἔτει 1726-ῳ, ἐκ δὲ φύλλων συνιστάμενον 121, καὶ ὕψους μὲν ὂν 0,152, πλάτους δὲ 0,105· ἐμπεριέχει δὲ τὰ κείμενα τάδε.

1. «Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ», ἧς ἡ ἀρχή· «Τελευτήσαντός τινος τῶν ὀρθοδόξων, εὐθὺς προσκαλεῖται παρὰ τῶν συγγενῶν αὐτοῦ ὁ ἱερεύς», φ. 2.

2. «Κανὼν νεκρώσιμος, οὗ ἡ ἀκροστιχίς: Πιστῶς θανοῦσι πρῶτον ὕμνον προσφέρω», φ. 42β.

3. «Ἕτερος κανὼν νεκρώσιμος, οὗ ἡ ἀκροστιχίς: Τοῖς τεθνεῶσι δεύτερον πλέκω μέλος», φ. 54β.

4. «Κανὼν νεκρώσιμος, οὗ ἡ ἀκροστιχίς: Τοῦτο τρίτον μέλισμα θνήσκουσιν νέμω», φ. 66.

5. «Κανὼν νεκρώσιμος, οὗ ἡ ἀκροστιχίς: Κανὼν τέταρτος τοῦ τέλους μεμνημένος», φ. 79.

6. «Κανὼν εἰς κοιμηθέντας, οὗ ἡ ἀκροστιχίς: Θεοφάνους ὁ πέμπτος εἰς νεκροὺς κανών», φ. 89β.

7. «Κανὼν νεκρώσιμος, οὗ ἡ ἀκροστιχίς: Κανὼν τὸν αὐτὸν ἕβδομος σκοπὸν φέρων», φ. 98β.

8. «Κανὼν εἰς κοιμηθέντας, οὗ ἡ ἀκροστιχίς: Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος», φ. 109. Μετὰ δὲ τὸν κανόνα τοῦτον σημείωμά τι γέγραπται, ὧδέ πως ἔχον· «Ἔληφε τέρμα ἐν μονῇ τῆς Πανάγνου, | Χάλκῃ τε νήσῳ πλησίον Βυζαντίου | . Ἔτους 1726 ἰουνίου 5. Ἐγράφη παρ' ἐμοῦ Παύλου μοναχοῦ τοῦ Μιτυληναίου».

50. Τεῦχος ἐκ χάρτου φύλλα μὲν ἔχον 140, γραφὲν δὲ περὶ τὴν ἀρχὴν τοῦ καθ' ἡμᾶς αἰῶνος καὶ διαφόρους ἐμπερικλεῖον εὐχάς, ἔτι δὲ γραφάς τινας ἀραβικοῖς γεγραμμένας γράμμασι, καὶ ἐπιστολάς τινας ἑλληνικὰς καὶ Ἁγιοταφίτου τινὸς μοναχοῦ σημειώματα διάφορα, ἐν οἷς καὶ τὰ ἔτη μοναστῶν σημαίνεται, οἳ ἐν τῇ λαύρᾳ Σάβα τοῦ θεοφόρου τὸν βίον διέτριβον.

51. Χάρτινον τῆς ἕκτης καὶ δεκάτης ἑκατονταετηρίδος εὐχολόγιον, ὕψους μὲν 0,156, πλάτους δὲ 0,104· σύγκειται δ' ἐκ φύλλων 93, ὧν τὸ μὲν κείμενον μονόστηλόν ἐστι κατὰ μίαν ἑκάστην τῶν σελίδων, αἱ δὲ τούτου ἐπιγραφαὶ γράμμασιν ἐρυθροῖς εἰσι γεγραμμέναι· ἃ δὲ τὸ βιβλίον ἐμπεριέχει, τάδ' ἐστιν.

1. «Εὐχὴ εἰς γυναῖκα ὅταν ἀποβάλλεται». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ τεχθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας», φ. 2. Jacobi Goar, Εὐχολόγιον sive rituale graecorum. Editio secunda. Venetiis 1730, σ. 271.

2. «Εὐχὴ εἰς τὸ τεχθὲν βρέφος αὐθημερόν, ἤγουν εἰς λοχείαν γυναικός». Ἀρχ. «Ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν ὁ τὸν ἄνθρωπον πλάσας ἰδίαις χερσίν», φ. 4.

3. «Εὐχὴ καὶ αὐτὴ εἰς τὸ τεχθὲν βρέφος», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ τεχθεὶς ἐκ τῆς παναχράντου δεσποίνης καὶ θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὁ ἐν φάτνῃ ὡς βρέφος ἀνακλιθείς», φ. 5β. Πρβλ. Goar σ. 261.

4. Ἑτέρα εὐχὴ εἰς βρέφος τεχθέν, ἧς ἡ ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. 7.

5. «Εὐχὴ εἰς τὰς ἐπιλαχούσας ἐν τῇ κυήσει τῆς γυναικός». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ ἀποστόλῳ, φ. 8.

6. Τάξις τις ἀκέφαλός τε καὶ ἄναρχος ἐπὶ τῷ κείρειν τινὰ εἰς τάξιν μοναχοῦ. Ἀρχ. « . . . . νῦν οὖν οὐκ ἐν εἰρωνείᾳ, ἀλλ' ἐν ἀληθείᾳ προσῆλθες αὐτῷ· μετὰ παρρησίας ἀποκρίνου ἡμῖν», φ. 9. Πρβλ. τὴν παρὰ τῷ Goar (σ. 383) «ἀκολουθίαν τοῦ μικροῦ σχήματος». Σημειωτέον δὲ ὅτι μετὰ τὸ 23-ον τοῦ κώδικος φύλλον ἄγραφα φύλλα δύο ὑπάρχει.

7. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ», ἧς ἡ ἀρχή· «Μετὰ τὸν εὐλογητὸν Κύριε εἰσάκουσον τῆς προσευχῆς μου», φ. 26.

8. «Εὐχὴ εἰς τὸ εὐλογῆσαι ποίμνην». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐξουσίαν ἔχων πάσης κτίσεως, σοῦ δεόμεθα», φ. 35. Goar σ. 589.

9. «Εὐχὴ ἐπὶ ἅλωνος», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῶν ἀγαθῶν», φ. 35β. Goar σ. 523.

10. «Εὐχὴ εἰς τὸ εὐλογῆσαι δίκτυα», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων», φ. 36. Goar σ. 557.

11. «Εὐχὴ ἐπὶ τρύγης ἀμπέλου», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν ὁ εὐδοκήσας ἄμπελον κληθῆναι», φ. 36β. Goar σ. 552.

12. «Εὐχὴ εἰς τὸ εὐλογῆσαι τυρὸν καὶ ὠά». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων», φ. 37. Goar σ. 568.

13. «Τάξις γινομένη εἰ συμβῇ τι μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου ἢ μέλιτος ἢ ἄλλου τινός». Ἀρχ. «Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα», φ. 36β. Goar σ. 481.

14. «Εὐχὴ ἐπὶ σῖτα μιανθέντα ἢ ἀλεύρου ἢ εἴδους τινός». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ διαστειλάμενος», φ. 38β. Goar σ. 482.

15. «Εὐχὴ εἰς πᾶσαν ἀρρωστίαν», ἧς ἡ ἀρχή· «Δέσποτα παντοκράτορ, ἰατρὲ ψυχῶν καὶ σωμάτων», φ. 39β. Goar σ. 549.

16. «Τάξις γινομένη εἰς χωράφιον ἢ εἰς ἀμπελῶνα ἢ εἰς κῆπον, εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν ἢ ἄλλων εἰδῶν». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν ἀρχῇ τῆς δημιουργίας σου ποιήσας τὸν ἄνθρωπον», φ. 40. Goar σ. 554.

17. «Εὐχὴ τοῦ ἁγίου μάρτυρος Τρύφωνος, λεγομένη εἰς κήπους καὶ ἀμπελῶνας καὶ εἰς χωράφια». Ἀρχ. «Ὄντος μου ἐν Καμψάδου κώμῃ», φ. 40β. Goar σ. 554.

18. «Εὐχαί, ἤτοι ἐξορκισμοὶ τοῦ μεγάλου Βασιλείου πρὸς τοὺς πάσχοντας ὑπὸ δαιμόνων καὶ πρὸς ἑκάστην ἀσθένειαν». Ἀρχ. «Ὁ Θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων», φ. 44β. Goar σ. 578.

19. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς τῶν οὐρανῶν», φ. 45β. Goar σ. 580.

20. «Εὐχὴ τοῦ Χρυσοστόμου εἰς τὰ αὐτά», ἧς ἡ ἀρχή· «Θεὸς ὁ αἰώνιος ὁ λυτρωσάμενος τὸ γένος», φ. 49β. Goar σ. 581.

21. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Ὁ πᾶσαν ἀκαθάρτοις πνεύμασιν», φ. 50. Goar σ. 582.

22. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Ἐπικαλούμεθά σε δέσποτα», φ. $50^{β}$. Goar σ. 582.

23. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Τὴν θείαν τε καὶ ἁγίαν», φ. 51. Goar σ. 582.

24. «Ἀκολουθία τοῦ στεφανώματος», ἧς ἡ ἀρχή· «Εἰ δὲ βούλονται ἐν αὐτῷ στεφανωθῆναι», φ. 56. Goar σ. 314.

25. «Κυροῦ Συμεὼν τοῦ λογοθέτου καὶ μεταφραστοῦ εὐχὴ εἰς ἐξομολόγησιν, ἣν ὀφείλεις καθ' ἡμέραν ἀμεταθέτως λέγειν πρὸς τὴν ὑπεραγίαν Θεοτόκον, ἐὰν ποθεῖς ἐν τῇ ὥρᾳ τοῦ ψυχορραγήματός σου ἰδεῖν αὐτὴν καὶ βοηθείας πολλῆς καὶ σωτηρίας τυχεῖν ἐξ αὐτῆς». Ἀρχ. «Ἰδοὺ τοίνυν, εὐμενεστάτη δέσποινα ἀγαθή, τὴν οἰκτράν μου δέησιν», φ. 67.

26. «Ἐγκώμιον εἰς τὴν ὑπεραγίαν Θεοτόκον», οὗ ἡ ἀρχή· «Ἣν πάλαι προεκήρυξαν τῶν προφητῶν χορεῖαι», φ. 71.

27. «Τῆς τραπέζης κατήχησις», ἧς ἡ ἀρχή· «Ἀδελφοὶ καὶ πατέρες, γινώσκετε ὅτι ἀφ' οὗ γένηται εὐχὴ καὶ εὐλογηθῇ ἡ τράπεζα, ἄγγελος παρὰ Θεοῦ», φ. 73.

28. Ἐνταλτήριον ἀρχιερέως γράμμα, πρὸς πνευματικὸν διδόμενον πατέρα, φ. $74^{β}$.

29. «Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον πάνυ ὠφέλιμος», ἧς ἡ ἀρχή· «Παρθένε δέσποινα Θεοτόκε ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα», φ. 75.

30. «Τροπάριον πρὸς τὸ Οὐρανὸν τοῖς ἄστροις», οὗ ἡ ἀρχή· «Χρυσοπυρσόμορφε θρόνε, ἡλιοχρύσανθε νύμφη», φ. 82.

31. Ἱερεμίου τοῦ β', πατριάρχου Κ/πόλεως, περὶ τοῦ ἐν Θήβαις σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἐν τῷ Σαγματείῳ ὄρει κειμένου γράμμα ἐγκύκλιον, μηνὶ μαρτίῳ τοῦ 1593-ου γραφὲν ἔτους καὶ δῆλον τοῖς πᾶσι ποιοῦν, ὅτι τὸ εἰρημένον μοναστήριον «χρέεσιν ὑπέπεσε ταῖς καιρικαῖς ἀνωμαλίαις καὶ ταῖς τῶν Ἀγαρηνῶν συχναῖς ἐφόδοις καὶ ἐπηρείαις», φ. $82^{β}$.

32. Ἐκτενὴς λιτή, φ. 83.

33. Ἀποφθέγματα Νείλου, Διογένους, Γαΐου, Βασιλείου, Ἰωάννου τοῦ τῆς Κλίμακος, Σωκράτους, Σειράχ, Πλουτάρχου, Φιλιστίωνος, Δημοσθένους, Θεοκρίτου, Ἰωάννου τοῦ Χρυσοστόμου, Πολυαίνου, Ἀλεξάνδρου, Ἐφραίμ, Κλειτάρχου, Γρηγορίου τοῦ Θεολόγου, Σολομῶντος, Δημοκρίτου, Πυθαγόρου καὶ Σεκούνδου.

34. Γνωμικὰ κατ' ἀλφάβητον, ὧν τὸ τέλος· «Ὦ ἀγαπητέ, ταῦτα ποίει καὶ σώζου», φ. 93.

52. Τεῦχος ἐκ χάρτου, καλῶς μὲν τῇ ἑπτακαιδεκάτῃ γραφὲν ἑκατονταετηρίδι, ἐκ δὲ φύλλων συνιστάμενον 138 καὶ ὕψους μὲν ὂν 0,152, πλάτους δὲ 0,108· ἃ δ' ἐμπεριέχει, τάδ' ἔστιν.

1. Ὑπομνησίς τις, ἣ ἔχει ὧδε· «Ἐν ἔτει ͵αχξς' (—1666) ἰουνίῳ κβ' ἡμέρᾳ παρασκευῇ, ὥρᾳ ζ' τῆς ἡμέρας, κατὰ τὴν γέννησιν τῆς ☾-ης ἔγινεν ἔκλειψις τοῦ ἡλίου θαυμάσιος, διότι ὀλίγον ἔλειψε νὰ χαθῇ ὁ ἥλιος, ὡς καὶ ἄλλοτε, ἐπὶ τοὺς ͵αχξα' (—1661), μαρτίῳ 20, ἡμέρᾳ δ', ὥρᾳ ζ'. Εἶναι ἀπὸ τότε χρόνοι 5 καὶ μῆνες 3· ἐφάνησαν δὲ καὶ τώρα ἀστέρες κατὰ τὴν Ἀνατολήν, πὲρ Λεβάντε. Εὑρίσκουμουν εἰς τὴν Θήβαν ἔνδον τοῦ ἀρχιδιακόνου Στεφάνου καὶ πρωτομάρτυρος ἔγωγε ὁ τοῦ παρόντος βιβλιαρίου οἰκοκῦρις, Ἄγγελος φιλομαθής, ἐλάχιστος τῶν διδασκάλων. Οἱ ἐντυγχάνοντες ἔρρωσθε».

2. «Κωνσταντίνου Ῥεσινοῦ τοῦ Κορινθίου, διδασκαλία καὶ ἐξήγησις ἐν πεζῇ φράσει εἰς τὴν ἑξαήμερον κτίσιν τοῦ Θεοῦ, εἰς τὸ "ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν", ἤγουν τί ἔκαμεν ὁ Θεὸς τῇ πρώτῃ ἡμέρᾳ». Ἀρχ. «Προοίμιον. Μὲ τὴν βοήθειαν τοῦ Θεοῦ ἀρχόμεσθεν τώρα νὰ ἐξηγήσωμεν καὶ νὰ διδάξωμεν πάντα ἄνθρωπον χριστιανόν», φ. 2. Ἰδὲ Χριστοφόρου τοῦ Φιλητᾶ ἄρθρον τι περὶ τοῦ Ῥεσινοῦ, ἐν τῷ ὀγδόῳ τῆς «Πανδώρας» κατακεχωρισμένον τόμῳ, σ. 551, καὶ Μαυρογορδ. Βιβλιοθ. τ. Ι, σ. 165.

3. (Τοῦ αὐτοῦ Ῥεσινοῦ) «περὶ τῆς χριστιανικῆς πολιτείας καὶ καταστάσεως». Ἀρχ. «Ὅστις θέλει νὰ ἔναι καλὸς χριστιανός, ἔτζι θέλει νὰ ἔναι», φ. 79.

4. (Τοῦ αὐτοῦ) «ἕτεροι ὠφέλιμοι λόγοι τοὺς ὁποίους χρεω-

21. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Ὁ πᾶσαν ἀκαθάρτοις πνεύμασιν», φ. 50. Goar σ. 582.

22. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Ἐπικαλούμεθά σε δέσποτα», φ. 50β. Goar σ. 582.

23. «Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ», ἧς ἡ ἀρχή· «Τὴν θείαν τε καὶ ἁγίαν», φ. 51. Goar σ. 582.

24. «Ἀκολουθία τοῦ στεφανώματος», ἧς ἡ ἀρχή· «Εἰ δὲ βούλονται ἐν αὐτῷ στεφανωθῆναι», φ. 56. Goar σ. 314.

25. «Κυροῦ Συμεὼν τοῦ λογοθέτου καὶ μεταφραστοῦ εὐχὴ εἰς ἐξομολόγησιν, ἣν ὀφείλεις καθ' ἡμέραν ἀμεταθέτως λέγειν πρὸς τὴν ὑπεραγίαν Θεοτόκον, ἐὰν ποθεῖς ἐν τῇ ὥρᾳ τοῦ ψυχορραγήματός σου ἰδεῖν αὐτὴν καὶ βοηθείας πολλῆς καὶ σωτηρίας τυχεῖν ἐξ αὐτῆς». Ἀρχ. «Ἰδοὺ τοίνυν, εὐμενεστάτη δέσποινα ἀγαθή, τὴν οἰκτράν μου δέησιν», φ. 67.

26. «Ἐγκώμιον εἰς τὴν ὑπεραγίαν Θεοτόκον», οὗ ἡ ἀρχή· «Ἣν πάλαι προεκήρυξαν τῶν προφητῶν χορεῖαι», φ. 71.

27. «Τῆς τραπέζης κατήχησις», ἧς ἡ ἀρχή· «Ἀδελφοὶ καὶ πατέρες, γινώσκετε ὅτι ἀφ' οὗ γένηται εὐχὴ καὶ εὐλογηθῇ ἡ τράπεζα, ἄγγελος παρὰ Θεοῦ», φ. 73.

28. Ἐνταλτήριον ἀρχιερέως γράμμα, πρὸς πνευματικὸν διδόμενον πατέρα, φ. 74β.

29. «Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον πάνυ ὠφέλιμος», ἧς ἡ ἀρχή· «Παρθένε δέσποινα Θεοτόκε ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα», φ. 75.

30. «Τροπάριον πρὸς τὸ Οὐρανὸν τοῖς ἄστροις», οὗ ἡ ἀρχή· «Χρυσοπυρσόμορφε θρόνε, ἡλιοχρύσανθε νύμφη», φ. 82.

31. Ἱερεμίου τοῦ β', πατριάρχου Κ/πόλεως, περὶ τοῦ ἐν Θήβαις σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἐν τῷ Σαγματείῳ ὄρει κειμένου γράμμα ἐγκύκλιον, μηνὶ μαρτίῳ τοῦ 1593-ου γραφὲν ἔτους καὶ δῆλον τοῖς πᾶσι ποιοῦν, ὅτι τὸ εἰρημένον μοναστήριον «χρέεσιν ὑπέπεσε ταῖς καιρικαῖς ἀνωμαλίαις καὶ ταῖς τῶν Ἀγαρηνῶν συχναῖς ἐφόδοις καὶ ἐπηρείαις», φ. 82β.

32. Ἐκτενὴς λιτή, φ. 83.

33. Ἀποφθέγματα Νείλου, Διογένους, Γαΐου, Βασιλείου, Ἰωάννου τοῦ τῆς Κλίμακος, Σωκράτους, Σειράχ, Πλουτάρχου, Φιλιστίωνος, Δημοσθένους, Θεοκρίτου, Ἰωάννου τοῦ Χρυσοστόμου, Πολυαίνου, Ἀλεξάνδρου, Ἐφραίμ, Κλειτάρχου, Γρηγορίου τοῦ Θεολόγου, Σολομῶντος, Δημοκρίτου, Πυθαγόρου καὶ Σεκούνδου.

34. Γνωμικὰ κατ' ἀλφάβητον, ὧν τὸ τέλος· «Ὦ ἀγαπητέ, ταῦτα ποίει καὶ σῴζου», φ. 93.

52. Τεῦχος ἐκ χάρτου, καλῶς μὲν τῇ ἑπτακαιδεκάτῃ γραφὲν ἑκατονταετηρίδι, ἐκ δὲ φύλλων συνιστάμενον 138 καὶ ὕψους μὲν ὂν 0,152, πλάτους δὲ 0,108· ἃ δ' ἐμπεριέχει, τάδ' ἔστιν.

1. Ὑπομνησίς τις, ἣ ἔχει ὧδε· «Ἐν ἔτει ͵αχξϛ' (—1666) ἰουνίῳ κβ' ἡμέρᾳ παρασκευῇ, ὥρᾳ ζ' τῆς ἡμέρας, κατὰ τὴν γέννησιν τῆς ☾-ης ἔγινεν ἔκλειψις τοῦ ἡλίου θαυμάσιος, διότι ὀλίγον ἔλειψε νὰ χαθῇ ὁ ἥλιος, ὡς καὶ ἄλλοτε, ἐπὶ τοὺς ͵αχξα' (—1661), μαρτίῳ 20, ἡμέρᾳ δ', ὥρᾳ ζ'. Εἶναι ἀπὸ τότε χρόνοι 5 καὶ μῆνες 3· ἐφάνησαν δὲ καὶ τώρα ἀστέρες κατὰ τὴν Ἀνατολήν, πὲρ Λεβάντε. Εὑρίσκουμουν εἰς τὴν Θήβαν ἔνδον τοῦ ἀρχιδιακόνου Στεφάνου καὶ πρωτομάρτυρος ἔγωγε ὁ τοῦ παρόντος βιβλιαρίου οἰκοκῦρις, Ἄγγελος φιλομαθής, ἐλάχιστος τῶν διδασκάλων. Οἱ ἐντυγχάνοντες ἔρρωσθε».

2. «Κωνσταντίνου Ῥεσινοῦ τοῦ Κορινθίου, διδασκαλία καὶ ἐξήγησις ἐν πεζῇ φράσει εἰς τὴν ἑξαήμερον κτίσιν τοῦ Θεοῦ, εἰς τὸ "ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν", ἤγουν τί ἔκαμεν ὁ Θεὸς τῇ πρώτῃ ἡμέρᾳ». Ἀρχ. «Προοίμιον. Μὲ τὴν βοήθειαν τοῦ Θεοῦ ἀρχόμεσθεν τώρα νὰ ἐξηγήσωμεν καὶ νὰ διδάξωμεν πάντα ἄνθρωπον χριστιανόν», φ. 2. Ἰδὲ Χριστοφόρου τοῦ Φιλητᾶ ἄρθρον τι περὶ τοῦ Ῥεσινοῦ, ἐν τῷ ὀγδόῳ τῆς «Πανδώρας» καταχεχωρισμένον τόμῳ, σ. 551, καὶ Μαυρογορδ. Βιβλιοθ. τ. Ι, σ. 165.

3. (Τοῦ αὐτοῦ Ῥεσινοῦ) «περὶ τῆς χριστιανικῆς πολιτείας καὶ καταστάσεως». Ἀρχ. «Ὅστις θέλει νὰ ἔναι καλὸς χριστιανός, ἔτζι θέλει νὰ ἔναι», φ. 79.

4. (Τοῦ αὐτοῦ) «ἕτεροι ὠφέλιμοι λόγοι τοὺς ὁποίους χρεω-

στοῦσιν οἱ χριστιανοὶ νὰ ἀκούωσιν καὶ νὰ ἀπέχουν ἀπὸ πάντων τῶν πονηρῶν καὶ κακῶν πράξεων, καὶ νὰ κάμνουν τὰ καλὰ ἀγαθὰ ἔργα». Ἀρχ. «Ὥσπερ γὰρ ὁ ψάλλων δοξολογεῖ», φύλ. 92β.

5. (Τοῦ αὐτοῦ) «ἐξήγησις περὶ τῆς στενῆς πύλης καὶ τεθλιμμένης στράτας, ἣν γράφει τὸ ἱερὸν εὐαγγέλιον». Ἀρχ. «Τί στενὴ ἡ πύλη», φ. 101.

53. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἐπιχαρίτως ἀναμεταξὺ τοῦ 1577-ου καὶ τοῦ 1578-ου ἔτους, ἐκ δὲ φύλλων συγκείμενον 102 καὶ κατὰ μίαν ἑκάστην τῶν σελίδων κείμενον ἐμπεριέχον μονόστηλον, ἐκ δέκα καὶ τεσσάρων ἀριθμούμενον γραμμῶν (0,153 × 0,108 = 0,10 × 0,055)· αὐτὸ δὲ τὸ κείμενον καὶ ἐπιγραφὰς ἔχει ἐρυθρὰς καὶ μεγάλα τινὰ κεφαλαιώδη στοιχεῖα, ἐρυθρὰ ὄντα ὡσαύτως· τρία δὲ μελαμβαφῆ κοσμήματα τὸν κόσμον συμπληροῖ τοῦ τεύχους· ἃ δὲ τοῦτο περιέχει, τάδ' ἔστιν.

1. Ἡ θεία καὶ ἱερὰ λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου, ἧς φύλλα δύο ἐλλείπει, παρὰ Πορφυρίου τοῦ Οὐσπένσκη ἀναιρεθέντα (μεταξὺ τῶν φ. 27—28 καὶ 31—32) καὶ ἐν τῇ κατὰ Πετρούπολιν αὐτοκρατορικῇ νῦν εὑρισκόμενα βιβλιοθήκῃ (ἀριθ. CDXXI), ἔνθα ψευδῶς ταῦτα λέγεται μέρη τῆς τῶν προηγιασμένων εἶναι λειτουργίας. Ἰδὲ τὸ Отчетъ τοῦ 1883-ου ἔτους, σελ. 148 καὶ σ. 17 τῆς προστεθειμένης ἐκεῖ συγγραφῆς: Списокъ датированныхъ греческихъ рукописей Порфиріевскаго собранія.

2. Ἡ θεία καὶ ἱερὰ λειτουργία τοῦ ἁγίου Βασιλείου τοῦ μεγάλου, φ. 38.

3. Ἡ θεία καὶ ἱερὰ τῶν προηγιασμένων λειτουργία (φ. 82—101), ἔχουσα μετὰ τὸ τέλος τὰς ὑπομνήσεις τάσδε· α') «Αὗται [sic] αἱ τρεῖς θείαι [sic] λειτουργίαι ἐγράφησαν ἔσωθεν τοῦ ἁγίου καὶ ζωοδόχου τάφου τῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως ὑπὸ Ἀντωνίου ἱερομονάχου, ἐν τῷ ͵ζ-ῳ πε-ῳ ἔτει (1577 - 1578). Τῷ αὐτῷ ἔτει ἤμουν [sic] καὶ εὐφημέριος [sic] ἐν τῷ ἁγίῳ καὶ ζωοδόχῳ Τάφῳ».—β') «Αἱ θεῖαι τρεῖς λειτουργίαι αὗται ἀφιερώθησαν ὑπὸ ἐμοῦ Ἀρσενίου μοναχοῦ ἔσωθεν τοῦ ἁγίου καὶ ζωο-

δόχου Τάφου, καὶ ὅπιος [sic] βουληθῇ τοῦ συλῆσαι κτλ. † Γερμανὸς πατριάρχης Ἱεροσολύμων».

54. Τεῦχος ἐκ χάρτου, κάκιστα (ἔτει 1684-ῳ) γεγραμμένον καὶ ἐκ φύλλων συνιστάμενον 122· τούτων δ' ἓξ ἄγραφά ἐστι. Ὁ μὲν οὖν κῶδιξ ὕψους μέν ἐστι 0,145, πλάτους δὲ 0,108· ἃ δ' ἐνέχει, τάδ' ἔστιν.

1. «Κανὼν τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ πάσχα». Ἀρχ. «Περὶ ὥραν ὄρθρου σημαίνουν τὰ ὅλα σήμανδρα, ὁ δὲ ἡγούμενος διανέμει τὰ κηρία τοῖς ἀδελφοῖς», φ. 1.

2. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος κατηχητικὸς εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως». Ἀρχ. «Εἴ τις εὐσεβὴς καὶ φιλόθεος», φ. 12β.

3. Ἀσματικὴ ἀκολουθία τῆς κγ΄ ἡμέρας τοῦ ἀπριλίου μηνός, ὅτε Γεώργιος ὁ μεγαλομάρτυς πανηγυρίζεται, φ. 17—37β. Πρὸς δὲ τῷ τέλει γράμμασιν ἐρυθροῖς γέγραπται τόδε· «† τεληοθὲν ὑπὸ ζεΦθωηξλχ· ηέΦσξλνθυλχ πθη θζηλψθφηψλχ· ᾳχπδ' ἐν μηνὶ ἰουνίο—ιγ΄∴ —ꝯ —ↄ 6 9 ∠̇ — ÷ ≮ 6 ∧ 6 ∩:—». Ἀνάγνωθι δὲ ταῦτα ὧδε· «Τελειωθὲν ὑπὸ Γερασίμου ἱερωμονάχου καὶ Ἁγιοταφίτου ᾳχπδ' ἐν μηνὶ ἰουνίῳ ιγ΄, ἐν Ἱεροσολύμοις» (?)

4. Εἰκών τις τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου παριστῶσα, φ. 42β.

5. Ὁ κατ' ἀλφάβητον κανὼν τῆς Θεοτόκου, οὗ ποιητὴς Ἰωάννης ὁ μοναχός, φ. 43.

6. «Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ», φ. 52.

7. «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενος ἐν πάσῃ θλίψει τῆς ψυχῆς καὶ περιστάσει· ποίημα Θεοστηρίκτου μοναχοῦ», οὗ ἡ ἀρχή· «Πολλοῖς συνεχόμενος πειρασμοῖς», φ. 65.

8. «Μεγάλη παράκλησις», φ. 73.

9. «Τάξις τῆς θείας καὶ ἱερᾶς ἐξομολογήσεως». Ἀρχ. «Ὁ πνευματικὸς θέλει νὰ ἔχῃ τόπον σεμνὸν καὶ ἱερόν», φ. 84.

10. «Εὐχὴ τῆς ζύμης», φ. 101β.

11. «Στίχοι εἰς τὴν Χριστοῦ γένναν πάνυ ὡραῖοι, κατὰ ἀλφάβητον». Ἀρχ. «Ἄναρχος Θεὸς καταβέβηκε», φ. 104β.

12. Ἀποσπασμάτια λόγων τινῶν τοῦ Χρυσοστόμου. Ἀρχ. «Περὶ τοῦ τί ἐστι γυνή. Γυνή ἐστιν ἐπὶ γῆς ναυάγιον», φ. 112.

13. «Καταβασίαι ψαλλόμεναι ἐν ὅλῳ τῷ χρόνῳ», φ. 121.

55. Ἐκκλησιαστικόν τι βιβλίον, ὃ μικρὸν λέγεται ὡρολόγιον, ἄναρχόν τε καὶ ἀτελές, καὶ ἐκ φύλλων μὲν βαμβακίνου συνιστάμενον ἤδη χάρτου ἑξήκοντα καὶ πέντε, γεγραμμένον δὲ ἢ περὶ τὸ τέλος τῆς τρίτης καὶ δεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος· ἔστι δὲ ὕψους μὲν 0,15, πλάτους δὲ 0,105· γραμμαὶ δὲ κατὰ πᾶσαν αὐτοῦ σελίδα εἴκοσι καὶ δύο ἀριθμοῦνται (0,108 × 0,068). Ὑπάρχει δ' ἐν τῷ κειμένῳ μεγάλα καὶ κεχρωματισμένα τινὰ κεφαλαιώδη γράμματα, ὧν τέσσαρα τὸ τοῦ καλλιγράφου ἐγκρύπτει ὄνομα· ἤτοι ἐν μὲν τῷ Ο τοῦ 17-ου φύλλου γέγραπται τὸ ΝΙΚΗΦΟΡΟϹ, ἐν δὲ τῷ τοῦ 45-ου φύλλου τὸ ΫΙΟϹ ϹΟΛΟΜΩΝΤΟϹ ἐγκέκλειστα, ἐν δὲ τῷ τοῦ 56-ου φύλλου τὸ ΜΑΘΗΤΗ ΘΕΟΦΑΝȣϹ, ἐν δὲ τῷ τοῦ 58-ου φύλλου τὸ ΜΑΝϹȣΡ ὄνομα ὑπάρχει. Γραφεὺς μὲν οὖν τοῦ τεύχους Νικηφόρος ἦν ὁ υἱὸς μὲν Σολομῶντος, μαθητὴς δὲ Μανσούρ· αὐτὸ δὲ τὸ βιβλίον τάδ' ἐμπεριέχει.

1. Τὸ καθ' ἡμέραν λεγόμενον μεσονυκτικόν, ὃ νῦν διὰ τὸ εἶναι τὸν κώδικ' ἀκέφαλον ἀπὸ τῶνδε τῶν λέξεων τὴν ἀρχὴν ποιεῖται· «δάκρυά μοι δὸς ὁ Θεός», φ. 1.

2. «Μεσονυκτικὸν σαββάτῳ καὶ κυριακῇ», οὗ ἡ ἀρχή· «Τὸ τρισάγιον καὶ τὰ λοιπά. Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν: τρίτον: Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών», φ. 7β.

3. «Ἀρχὴ τοῦ ὄρθρου. Τρισάγιον καὶ τὰ λοιπά. Σῶσον Κύριε τὸν λαόν σου» κτλ., φ. 14β.

4. Ὠδὴ Μωυσέως ἡ ἐν τῇ Ἐξόδῳ, φ. 23β.

5. Ἀκολουθία τῶν ὡρῶν, φ. 40β.

56. Τεῦχος ἐκ χάρτου παρὰ πέντε συμπληρωθὲν γραφέων κατά τε τὴν πεντεκαιδεκάτην καὶ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα· σύγκειται δ' ἐκ φύλλων 125, ὕψους μὲν 0,145, πλάτους δὲ 0,105.

Καὶ ἐν μὲν τῷ πρώτῳ φύλλῳ ἱερεύς τις τὴν μὲν πατρίδα Κύπριος, τὸ δ' ὄνομα Ἰάκωβος, δῆλον ποιεῖ κύριον αὐτὸν εἶναι τοῦ βιβλίου· ἐν δὲ τοῖς λοιποῖς φύλλοις τάδε τὸ τεῦχος περιέχει.

1. Ἡ θεία ἐστὶ καὶ ἱερὰ λειτουργία, ἧς τὸ τέλος ἐξέπεσε, φύλ. 2β-30.

2. «Ἀποστολοευαγγέλια τῆς ὅλης ἑβδομάδος», φ. 31.

3. Λέοντος τοῦ λογοθέτου τροπάριόν τι, οὗ ἡ ἀρχὴ ὧδ' ἔχει· «Τὸν ἥλιον κρύψαντα τὰς ἰδίας ἀκτῖνας, | καὶ τὸ καταπέτασμα τοῦ ναοῦ διαρραγὲν | τῷ τοῦ Σωτῆρος θανάτῳ, | ὁ Ἰωσὴφ θεασάμενος | προσῆλθε τῷ Πιλάτῳ καὶ ἱκέτευε λέγων· | δός μοι τοῦτον τὸν ξένον» κτλ., φ. 45.

4. Ἡ ᾀσματικὴ τῆς Κυριακῆς τοῦ πάσχα ἀκολουθία, φ. 46.

5. Ἡ θεία τῶν προηγιασμένων λειτουργία, ἧς τὸ τέλος ἐξέπεσε, φ. 64-93.

6. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ, φ. 94.

7. Ἰδιόμελα τροπάρια, προσόμοιά τε καὶ στιχηρά, φ. 107β.

8. Ἀκολουθία τῆς μικρᾶς παρακλήσεως, φ. 116.

57. Εὐχολόγιον ἐκ χάρτου παρὰ διαφόρων συμπληρωθὲν γραφέων τῆς πέμπτης καὶ δεκάτης ἀκμαζούσης ἑκατονταετηρίδος, καὶ εἰ καὶ ἀκέφαλόν ἐστι καὶ πεπηρωμένον, φύλλα νῦν σῴζει 221· ἃ δ' ἐμπεριέχει, τάδ' ἔστιν.

1. Ἀσματική τις ἀκέφαλος ἀκολουθία νεκρώσιμος, φ. 1.

2. Ἰωάννου τοῦ Δαμασκηνοῦ νεκρώσιμά τινα στιχηρὰ τροπάρια, φ. 43β.

3. «Ἀκολουθία ἐπὶ τελευτήσαντος νηπίου», ἧς ἡ ἀρχή· «Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· τὸ τρισάγιον, τὸ Πάτερ ἡμῶν. Δεῦτε προσκυνήσωμεν γ'. Ὁ κατοικῶν ἐν βοηθείᾳ», φ. 63.

4. «Εὐχὴ εἰς τὸ κατασφραγῖσαι παιδίον λαμβάνον ὄνομα [cod. λαμβάνει ὁ ἱερὲ] τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν σοῦ δεόμεθα», φ. 79. Goar σ. 264.

5. «Εὐχὴ εἰς τὸ βαλεῖν τὸ παιδίον εἰς τὸ σαρανταήμερον». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου», φ. 80. Πρβλ. Goar σ. 267.

6. «Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ», φ. 80β. Goar σ. 267.

7. «Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον». Ἀρχ. Ἀποδύει αὐτὸν καὶ ἀνυπολύει [sic] αὐτὸν καὶ ἵστησι κατὰ ἀνατολάς, καὶ ἐμφυσῶν τὸ πρόσωπον αὐτοῦ, τὸ στόμα καὶ τὸ στῆθος, λέγει· Ἐπὶ τῷ ὀνόματί σου» κτλ. Μετὰ δὲ τὴν εὐχὴν τρεῖς ὑπάρχουσιν ἀφορκισμοί, ὧν ὁ πρῶτος ἄρχεται ὧδε· «Ἐπιτιμᾷ σε Κύριος, διάβολε, ὁ παραγενόμενος» κτλ., φ. 81β. Goar σ. 274—276.

8. «Εὐχὴ μετὰ τὸ ποιῆσαι κατηχούμενον πρὸς ὥραν βαπτιζόμενον». Ἀρχ. «Ὁ ὢν δέσποτα Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον», φ. 89. Goar σ. 276.

9. «Εὐχὴ τοῦ ἁγίου μύρου». Ἀρχ. «Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ», φ. 104β. Goar σ. 290.

10. «Εὐχὴ εἰς τὸ ἀπολοῦσαι παιδίον». Ἀρχ. «Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος», φ. 106β. Goar σ. 303.

11. «Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον». Ἀρχ. «Σὲ ἱκετεύομεν, κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας», φ. 107. Goar σ. 306-307.

12. «Εὐχὴ εἰς οἶκον λοχούσας». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανόν», φ. 108β.

13. «Εὐχὴ εἰς τὰς λοχούσας». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ στὰς ἐν τῇ ὀθόνι καὶ εἰπὼν τῷ Πέτρῳ», φ. 109.

14. «Εὐχὴ λεγομένη πρὸς μέλισσαν». Ἀρχ. «Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ», φ. 109β. Ἡ δὲ τῆς εὐχῆς ταύτης ἀκολουθία προεκπεσοῦσα οὐχ εὕρηται νῦν ἐν τῷ κώδικι.

15. «Εὐχὴ ἀλάτου», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος ἐν Ἱεριχῷ μετὰ τῶν ἁγίων», φ. 110. Πρβλ. Goar σ. 561.

16. «Εὐχὴ εἰς φρέαρ μιανθέν». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν τῶν πατέρων, τοῦ Ἀβραάμ, τοῦ Ἰσαάκ», φ. 110β.

17. «Εὐχὴ ἐπὶ σκεύους μιανθέντος». Ἀρχ. «Δέσποτα καρδιογνῶστα Κύριε, ὁ ἐπιστάμενος τὰ ἀπόρρητα», φ. 111β.

18. «Εὐχὴ εἰς τὸ εὐλογῆσαι οἶνον». Ἀρχ. «Κύριε ὁ Θεὸς

ἡμῶν ὁ ἀγαθὸς καὶ φιλάνθρωπος, ἔπιδε ἐπὶ τὸν οἶνον», φ. 113. Goar σ. 553.

19. «Εὐχὴ τῆς ἁγίας μεταλήψεως», ἧς ἡ ἀρχή· «Κύριε οἶδα, ὅτι οὐκ εἰμὶ ἄξιος οὐδὲ ἱκανός», φ. 114· τὸ δὲ τέλος ἐξέπεσεν. Ὡρολόγιον τὸ μέγα, ἐν Ῥώμῃ 1876, σ. 314.

20. Τάξις τις ἀκέφαλος τῆς τοῦ στεφανώματος ἀκολουθίας, φ. 116.

21. «Εὐχὴ ἐπὶ διγαμούντων» καὶ τάξις τῆς τοῦ γάμου αὐτῶν ἀκολουθίας. Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ κελεύσας ἑνωθῆναι τὸν ἄνδρα μετὰ τῆς γυναικός», φ. 124.

22. «Εὐχὴ εἰς θυσίαν». Ἀρχ. «Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν καὶ εὐλογημένον τὸ ὄνομα», φ. 127. Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς (φ. 128β) γέγραπται τόδε· «† Μνήσθητι Κύριε καὶ συγχώρησον τὴν ψυχὴν τῆς δούλης σου Νάρχατους. ὅστις (- ἥτις) ἐδωρήσατο τὸ παρὸν βιβλίον ἐμοὶ Σταυρενῷ ἱερεῖ ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῆς καὶ τοῦ πατρὸς αὐτῆς καὶ τῆς μητρὸς αὐτῆς, μηνὶ αὐγούστῳ ιβ', ἐπὶ ἔτους ͵ζε' ἰνδικτιῶνος ιε'» (- 1497).

23. «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ κατορκιστήριον [sic] περὶ πνευμάτων ἀκαθάρτων καὶ φυλακτήριον τοῦ δούλου τοῦ Θεοῦ ✝ ✝ ✝ ✝ ✝ ✝». Ἀρχ. «Ὁ Θεὸς ὁ μόναρχος, ὁ ἀγέννητος, ὁ ἀναλλοίωτος, ὁ ἀθάνατος Θεός, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων» κτλ., φ. 129.

24. «Ἀπορκισμὸς [sic] τοῦ ἁγίου Γρηγορίου κατὰ τῆς ἄβρας [sic] τοῦ χαλεποῦ κινδύνου». Ἀρχ. «Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐπικαλοῦμαι Θεὸν πατέραν παντοκράτοραν [sic] καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, φοβερὸν καὶ ἀσάλευτον» κτλ., φ. 140.

25. «Ἀπορκισμὸς τοῦ μεγάλου Βασιλείου [πρὸς τοὺς πάσχοντας] ὑπὸ πνευμάτων ἀκαθάρτων». Ἀρχ. «Ὁ Θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων», φ. 144β. Goar σ. 578.

26. «Ἑτέρα εὐχὴ περὶ πνευμάτων ἀκαθάρτων». Ἀρχ. «Ἐξορκίζω σε τὸν ἀρχέκακον», φ. 146. Goar σ. 579.

27. «Εὐχὴ λεγομένη εἰς πᾶσαν ἀσθένειαν». Ἀρχ. «Δέσποτα ὁ ἰατρὸς τῶν νοσούντων καὶ Θεὸς πάσης παρακλήσεως», φ. 152.

28. «Ἀπορκισμὸς περὶ κακῆς γυναικός». Ἀρχ. «Ἐν ὀνόματι τοῦ πατρὸς... ἔδησεν ὁ Θεὸς καὶ ἐχαλίνωσεν δώδεκα ἀνέμους πονηρούς», φ. 162.

29. «Ἀπορκισμὸς τοῦ ἡμικράνου». Ἀρχ. «Ὡς ἐπεριεπάτειν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ Μιχαὴλ», φ. 166.

30. «Εἰς μνημόσυνα τῶν κεκοιμημένων», φ. 168.

31. «Ἐπιστολὴ τῆς ἁγίας Κυριακῆς, πεμφθεῖσα ἐξ οὐρανοῦ καὶ ὀφθεῖσα πάπᾳ Ῥώμης». Ἀρχ. «Ἐπιστολὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ οὐρανοῦ πεμφθεῖσα καὶ ὀφθεῖσα πάπᾳ Ῥώμης, λέγουσα αὐτόν· "Ἀνάστα ἐν τάχει καὶ ἴδε τὴν δόξαν τοῦ Θεοῦ". Καὶ ἀναστὰς ὁ ἀρχιεπίσκοπος τῆς Ῥώμης ἐδέξατο τὴν ἐπιστολὴν ταύτην» κτλ., φ. 173.

32. Εὐχαὶ δύο περὶ κτηνῶν καὶ προβάτων, ὧν ἡ πρώτη τὴν ἀρχὴν ἔχει τήνδε· «Κύριε ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς· ἀμήν. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. Κύριε βοήθει. Ὁ ἅγιος Μάμας ὁ πρωτοποιμὴν εἶχεν χιλιάδας αἶγας καὶ μυριάδας ἀμνάδας, καὶ ἐποίησεν τύρους καὶ κατέβαινεν εἰς πόλιν Καισαρείας καὶ ἐρόγευεν αὐτὰ χήρας καὶ ὀρφανοὺς καὶ τυφλοὺς καὶ χωλούς» κτλ., φ. 194β.

33. «Ἀπορκισμὸς καὶ φυλακτήριον τοῦ ἁγίου Τρύφωνος περὶ τῆς ἀμπέλου κήπου καὶ τῶν χωραφίων». Ἀρχ. «Ἐν ὀνόματι τοῦ πατρὸς... κατῆλθον ἐκ τῶν οὐρανῶν ἄγγελοι τοῦ πατάξαι πάντα», φ. 197.

34. «Περὶ ὄφεως». Ἀρχ. «Ἔπαρε ψαλίδην καὶ σφάλξει [sic] αὐτὸ τρίτον λέγων ὁ Θεὸς βοηθός σου». Παρέπεται δ' εὐχή τις τῷ πράγματι ἁρμόζουσα, φ. 200β· μετὰ δὲ τὸ τέλος αὐτῆς γέγραπται τόδε· «† Ἤλθαμεν εἰς τὸν οἶκον τοῦ εὐλαβεστάτου παπᾶ κῦρ Ἀλέξη ἡμεῖς τοῦ Ἁγίου Τάφου δοῦλοι Καλλίνικος ἱερομόναχος καὶ Ἰωάσαφ μοναχός, ἐν ἔτει ,ζρλ' μηνὶ φεβρουαρίῳ» (- 1622).

35. «Ἀκολουθία τοῦ ἁγιασμοῦ», φ. 202.

36. Πασχάλιον, ἀρχόμενον ἀπὸ τοῦ ͵ζς' (-1497) ἔτους καὶ λῆγον εἰς τὸ ͵ζκβ' ἔτος (-1513), φ. 218-221.

58. Εὐαγγέλιον λειτουργικόν, ἀκέφαλόν τε καὶ ἀτελές, πεπηρωμένον τε καὶ περὶ τὸ μέσον τοῦ κειμένου ἐλλιπές, γραφὲν μὲν κατὰ τὴν τετάρτην καὶ δεκάτην ἑκατονταετηρίδα, συγκείμενον δ' ἐκ φύλλων βαμβακίνου χάρτου 318· κατὰ μίαν δ' ἑκάστην τῶν σελίδων κείμενον ὑπάρχει μονόστηλον ἐκ πεντεκαίδεκα γραμμῶν (0,14 × 0,108 = 0,9 × 0,067), κοσμούμενόν που καὶ μικροῖς τισι κοσμήμασι καὶ ἐπιγραφαῖς τισι καὶ σημειώσεσιν ἐρυθραῖς· μετὰ δὲ τὸ 115-ον φύλλον ἔλλειμμά τι ὑπάρχει, ὃ Πορφύριος ὡς ἔοικεν ὁ Οὐσπένσκης εἰργάσατο, φύλλα τινὰ ἐκεῖθεν ἀνελών. Τὸ μὲν οὖν εὐαγγέλιον τὴν ἀρχὴν ἤδη ἀπὸ τοῦ πέμπτου τοῦ τεύχους ποιεῖται τετραδίου, ἔνθα κεῖται τὸ τῇ τρίτῃ ἡμέρᾳ τῆς τετάρτης μετὰ τὸ πάσχα ἑβδομάδος ἀναγινωσκόμενον τοῦ κατὰ Ἰωάννην εὐαγγελίου τεμάχιον· λήγει δ' εἰς τὸ πρῶτον φύλλον τοῦ τεσσαρακοστοῦ καὶ πέμπτου τετραδίου, ἔνθα τὸ τοῦ εὐαγγελίου συναξάριον πέρας τῷ τεύχει ἐπιτίθησιν, ὑστάτην ἐκεῖνο νῦν ἡμέραν ἔχον τὴν τῆς δεκάτης καὶ ἐνάτης τοῦ μηνὸς αὐγούστου. Μετὰ δὲ τοῦτο δέκα μέν, πάνυ δὲ μεταγενέστερα φύλλα προσερραμμένα ἐστίν, ᾄσματά τινα ἐκκλησιαστικὰ μετὰ τῶν τῆς παρασημαντικῆς ἐνέχοντα τόνων.

59. Ψαλτήριον ἐκ χάρτου, γραφὲν μὲν κατὰ τὴν πέμπτην καὶ δεκάτην ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων συγκείμενον 269, ὧν τὰ πρώτιστα κατὰ τὸν ἕκτον καὶ δέκατον προσετέθη αἰῶνα δι' ἀναπλήρωσιν τῆς τότ' ἐλλειπούσης τοῦ βιβλίου ἀρχῆς· ἦν δὲ τοῦτο κτῆμα τὸ πρόσθεν Δωροθέου τοῦ μητροπολίτου τῆς ἐν Ἀραβίᾳ Πέτρας πόλεως, ὃς κἀπὶ φύλλου τινός, ἐν τῇ ἀρχῇ τοῦ Ψαλτηρίου ὑπάρχοντος, ὑπόμνησίν τινα γέγραφε, τὸ τεῦχος ἐν αὐτῇ λέγων τῆς ἐν Ἱεροσολύμοις μονῆς Ἰωάννου τοῦ Προδρόμου κτῆμα μετὰ τὸν αὐτοῦ θάνατον γενήσεσθαι.

60. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης πιθανῶς ἑκατονταετηρίδος, πολλαχοῦ μὲν ἐφθαρμένον, ὕδατος δὲ καὶ πολλῆς ἕνεκα τῷ πρόσθεν χρόνῳ χρήσεως σεσημμένον που καταστάν· φύλλα δὲ τριακόσι' ἀριθμεῖ καὶ δέκα, ἃ κατὰ σελίδα πᾶσαν κείμενον

ἔχει μονόστηλον· μία δ' ἑκάστη τῶν στηλῶν ἐκ τριάκοντ' ἀποτελεῖται γραμμῶν (0,322 × 0,225 = 0,22 × 0,15). Αὐτὸ μὲν οὖν τὸ τεῦχος, καθάπερ μεταγενέστερόν τι λέγει σημείωμα, τοιάνδε νῦν ἐπιγραφὴν φέρει· «Βιβλίον πανηγυρικὸν τοῦ ἁγίου Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ»· ἃ δὲ τοῦτο συντάγματ' ἐγκλείει, τάδ' ἔστιν.

1. Κοσμᾶ τοῦ βεστήτορος λόγος ἐγκωμιαστικὸς περὶ τοῦ προφήτου Ζαχαρίου, οὗ ἡ ἀρχή· «Ποῦ τὸν πρὸ τούτου λόγον», φ. 1. Τοῦτον δὲ τὸν λόγον οὐχ εὗρον ἄλλοθί που σεσημειωμένον· Κοσμᾶ μέντοι τοῦ βεστήτορος δύο ἕτεροι περὶ τοῦ αὐτοῦ Ζαχαρίου λόγοι παρὰ Νικοδήμου τοῦ Ναξίου μνημονεύονται. Συναξαριστ. τ. Ι, Πρβλ. Fabric. Bibl. Gr. τ. Χ, σ. 344.

2. «Μηνὶ τῷ αὐτῷ (= σεπτεμβρίῳ) η'. Ἱστορία Ἰακώβου εἰς τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα», φ. 3 (C. Tischendorf, Evangelia apocrypha σ. 1-50)· ἐν δὲ τῷ κρασπέδῳ τοῦ φύλλου τούτου σημείωμά τι ἀραβικοῖς γέγραπται γράμμασιν.

3. «Ἀνδρέου Κρήτης Ἱεροσολύμων [γρ. Ἱεροσολυμίτου] εἰς τὸ γενέθλιον τῆς παναγίας Θεοτόκου» λόγος, οὗ ἡ ἀρχή· «Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν», φ. 12. Migne τ. 97, σ. 805.

4. «Ἐπιφανίου μοναχοῦ πρεσβυτέρου, περὶ τοῦ βίου τῆς ὑπεραγίας Θεοτόκου καὶ τῶν τῆς ζωῆς αὐτῆς χρόνων». Ἀρχ. «Περὶ τῆς κυρίως καὶ ἀληθῶς», φ. 18 (Migne τ. 120, σ. 185). Ἱεροσολυμ. Βιβλιοθ. Ι, σ. 259.

5. Ἀνδρέου τοῦ ἀρχιεπισκόπου Κρήτης «λόγος εἰς τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ», οὗ ἡ ἀρχή· «Σταυροῦ πανήγυριν», φ. 31β. Iacobi Gretseri, De cruce Christi. Ingolstadii 1600, τ. II, σ. 94—108. Migne τ. 97, σ. 1017.

6. «Περίοδοι τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καὶ θεολόγου καὶ Προχόρου τοῦ μαθητοῦ αὐτοῦ». Ἀρχ. «Ἐγένετο μετὰ τὸ ἀναληφθῆναι», φ. 38. Zahn, Acta Ioannis, σ. 1 κέ.

7. «Τὰ περὶ τοῦ εὐαγγελίου τοῦ κατὰ Ἰωάννην, τὸ πῶς ἐξηγήσατο αὐτὸ Ἰωάννης καὶ ἐν ποίῳ τόπῳ καὶ ποίᾳ ὥρᾳ». Ἀρχ. «Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν χάριν ἐπιδόσαντος διὰ τὸν

λόγον Ἰωάννου τοῦ ἀποστόλου αὐτοῦ, ἐπίστευσαν πάντες οἱ ἄνθρωποι σχεδὸν οἱ ἐν Πάτμῳ τῇ νήσῳ. Τελευτήσαντος οὖν τοῦ βασιλέως» κτλ., φ. 93.

8. Ἀνδρέου τοῦ ἀρχιεπισκόπου Κρήτης «περὶ τῆς ἐν τῷ ναῷ προσενεχθείσης Θεόπαιδος». Ἀρχ. «Ἐπειδὴ λύσιν ἔλαβεν», φ. 97.

9. «Μηνὶ δεκεμβρίῳ εἰς τὰς ιζ'. Ὑπόμνημα εἰς τὸν μέγαν προφήτην Δανιὴλ καὶ εἰς τοὺς ἁγίους τρεῖς παῖδας Ἀνανίαν Ἀζαρίαν Μισαήλ». Ἀρχ. «Ἄρτι Ναβουχοδονόσορ ὁ βασιλεύς», φ. 98β. Migne τ. 115, σ. 372.

10. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν μακάριον Φιλογόνιον, οὗ ἡ ἀρχή· «Ἐγὼ μὲν καὶ τήμερον», φ. 113β. Migne τ. 48, σ. 747.

11. «Μηνὶ δεκεμβρίῳ κε'». Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς τὰ ἅγια θεοφάνια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἴτουν γενέθλια». Ἀρχ. «Χριστὸς γεννᾶται», φ. 123. Migne τ. 36, σελ. 312.

12. «Μηνὶ ἰαννουαρίῳ α'. Βίος ἤτοι θαύματα τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ μεγάλου Βασιλείου». Ἀρχ. «Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ μέγας ἀρχιερεύς», φ. 131. Ἔστι δὲ καὶ τοῦτο τὸ κείμενον ἀσημείωτον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

13. Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς τὸ ἅγιον βάπτισμα», οὗ ἡ ἀρχή· «Πάλιν Ἰησοῦς ὁ ἐμός», φ. 137. Migne τ. 36, σ. 356.

14. Βασιλείου τοῦ ἀρχιεπισκόπου Καισαρείας τῆς ἐν Καππαδοκίᾳ, «ὁμιλία προτρεπτικὴ εἰς τὸ ἅγιον βάπτισμα», ἧς ἡ ἀρχή· «Ὁ μὲν σοφὸς Σολομῶν», φ. 146. Migne τ. 31, σ. 424.

15. «Μηνὶ φεβρουαρίῳ β'». Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου, «λόγος εἰς τὴν ἁγίαν παρθένον Μαριὰμ καὶ εἰς τὴν Ἄνναν καὶ εἰς τὸν Συμεῶνα». Ἀρχ. «Πολλοὶ τῶν μεγάλων», φ. 155β. Migne τ. 39, σ. 44.

16. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια», φ. 161β. Migne τ. 50, σ. 791.

17. Τοῦ αὐτοῦ Χρυσοστόμου «λόγος εἰς τὸ "ἄνθρωποι δύο

ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι", καὶ περὶ ταπεινοφροσύνης καὶ προσευχῆς». Ἀρχ. «Ἀγαπητοί, ἄνθρωποι δύο», φ. 165.

18. «Τοῦ αὐτοῦ λόγος εἰς τὸν ἄσωτον υἱόν», οὗ ἡ ἀρχή· «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν», φ. 168^{β}. Migne τ. 59, σελ. 515.

19. «Τοῦ αὐτοῦ περὶ τοῦ μὴ θρηνεῖν ἀμέτρως τοὺς τελευτήσαντας, ἀλλ' ὑπερεύχεσθαι καὶ ἐλεημοσύνας ποιεῖσθαι ὑπὲρ αὐτῶν καὶ προσφοράς». Ἀρχ. «Ἀδελφοί, μὴ κλαίωμεν», φ. 176. Πρβλ. Migne τ. 63, σ. 887.

20. «Λόγος τοῦ μακαρίου Ἐφραὶμ περὶ τοῦ Ἀντιχρίστου καὶ περὶ τῆς συντελείας τοῦ κόσμου». Ἀρχ. «Πῶς ἐγὼ ὁ ἐλάχιστος», φ. 179. Ἐκδ. Assemani τ. II, σ. 222.

21. Ἀναστασίου τοῦ Σιναΐτου «ὁμιλία εἰς τὸν ἕκτον ψαλμὸν καὶ εἰς τὰς παρεισβάσεις τῶν ἁγίων νηστειῶν». Ἀρχ. «Πρέπουσαν τῆς τῶν νηστειῶν», φ. 188. Migne τ. 89, σ. 1077.

22. Βασιλείου τοῦ ἀρχιεπισκόπου Καισαρείας «ὁμιλία περὶ νηστείας· λόγος β'», οὗ ἡ ἀρχή· «Παρακαλεῖτε φησίν», φ. 202. Migne τ. 31, σ. 185.

23. Νεκταρίου τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, «διήγησις δι' ἣν αἰτίαν τῷ πρώτῳ σαββάτῳ τῶν ἁγίων νηστειῶν ἑορτάζομεν τὴν μνήμην τοῦ ἐν ἁγίοις μεγαλομάρτυρος Θεοδώρου, καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης». Ἀρχ. «Ὡς πολὺ τὸ πλῆθος», φ. 208. Migne τ. 39, σ. 1821.

24. Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας «λόγος περὶ τοῦ θαύματος τοῦ γενομένου παρὰ τῆς εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν Βηρυτῷ τῇ πόλει». Ἀρχ. «Ἄρατε τοὺς ὀφθαλμοὺς τῆς διανοίας», φ. 216^{β}. Migne τ. 28, σ. 805.

25. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν μεσονήστιμον· εἰς τὸν τίμιον σταυρόν». Ἀρχ. «Τί εἴπω ἢ τί λαλήσω», φ. 220. Migne τ. 49, σ. 33.

26. Ἀνδρέου τοῦ Κρήτης «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Λάζαρος τὸν παρόντα», φ. 226^{β}. Migne τ. 97, σ. 960.

27. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὰ βαΐα, οὗ ἡ ἀρχή· «Ἤδη τῆς δεσποτικῆς», φ. 240. Migne τ. 61, σ. 715.

28. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν ξηρανθεῖσαν συκῆν· τῇ μεγάλῃ δευτέρᾳ». Ἀρχ. «Ὀφθαλμὸς μὲν ὁρῶν», φ. 244β. Migne τ. 59, σ. 585.

29. Τοῦ αὐτοῦ «λόγος εἰς τὰς δέκα παρθένους· τῇ ἁγίᾳ τρίτῃ». Ἀρχ. «Ὅταν τὸ εὐδαπάνητον», φ. 249β. Migne τ. 59, σ. 527.

30. Τοῦ αὐτοῦ «λόγος εἰς τὸ ὅτε ἔνιψεν ὁ Σωτὴρ τοὺς πόδας τῶν μαθητῶν». Ἀρχ. «Ἔλεον Θεοῦ καὶ φιλανθρωπίαν», φ. 259β. Migne τ. 64, σ. 1345: spuria et praetermissa. Ἱεροσολ. Βιβλιοθήκης τ. Ι, σ. 243.

31. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν σταύρωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Εὐλογητὸς ὁ Θεὸς ὁ τὸν οὐρανὸν μὴ καταλιπών», φ. 263β. Migne τ. 64, σ. 1353: spuria et praetermissa.

32. Ἐπιφανίου τοῦ ἀρχιεπισκόπου Κύπρου «λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου» κτλ. Ἀρχ. «Τί τοῦτο; σήμερον σιγή», φ. 266β. Migne τ. 43, σ. 440.

39. Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὸ πάσχα καὶ εἰς τὴν βραδυτῆτα. Ἀρχ. «Ἀναστάσεως ἡμέρα», φ. 279β. Migne 35, σ. 396.

40. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν καινὴν κυριακὴν καὶ εἰς τὸ ἔαρ καὶ εἰς τὸν μάρτυρα Μάμαντα». Ἀρχ. «Ἐγκαίνια τιμᾶσθαι», φ. 281β. Migne τ. 36, σ. 608.

41. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν Σαμαρεῖτιν καὶ εἰς τὴν μεσοπεντηκοστήν». Ἀρχ. «Φέρε τοίνυν σήμερον», φ. 287β. Migne τ. 61, σ. 743.

42. Τοῦ αὐτοῦ λόγος εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Εὔκαιρον σήμερον», φ. 290β. Migne τ. 52, σ. 793.

43. Γρηγορίου τοῦ Θεολόγου «λόγος εἰς τὴν πεντηκοστὴν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον». Ἀρχ. «Περὶ τῆς ἑορτῆς βραχέα», φ. 294β. Migne τ. 36, σ. 428.

44. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας», οὗ ἡ ἀρχή· «Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν», φ. 304. Migne τ. 50, σ. 705.

61. Τεῦχος μεμβράνινον, ὅπερ ἐξ ἀρχῆς μὲν πεντήκοντα καὶ ἓξ περιελάμβανε τετράδια· νῦν δὲ τὸ πεντεκαιδέκατον καὶ τὰ πρῶτα δώδεκα τετράδια ἐλλείπει. Τὰ μὲν οὖν περισωθέντα τῶν τετραδίων φύλλα νῦν 338 συναριθμεῖ καὶ ὕψους μέν ἐστι 0,325, πλάτους δὲ 0,245· τὸ δ' ἐν αὐτοῖς ἐγγεγραμμένον κείμενον δίστηλον ὑπάρχει, καὶ μία ἑκάστη τῶν στηλῶν γραμμὰς εἴκοσιν ἐμπεριέχει καὶ ἕξ· ὁ δὲ κατὰ σελίδα πᾶσαν χῶρος τοῦ κειμένου μήκους μέν ἐστι 0,212 πλάτους δὲ 0,16. Ἐμπεριέχεται δ' ἐν τῷ κώδικι τὸ Ἰωάννου τοῦ Χρυσοστόμου ὑπόμνημα τὸ τὰς πράξεις ἑρμηνεῦον τῶν ἀποστόλων, ὅπερ ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τῶνδε τῆς δυοκαιδεκάτης αὐτοῦ ὁμιλίας· «καὶ ἀποτεμνομένης τῆς κεφαλῆς, οὕτω καὶ ἡ δίκη τοῖς ὀμνύουσιν» κτλ. Ῥητέον δ' ἔτι, ὅτι Σωφρόνιος ὁ πατριάρχης Ἱεροσολύμων ὑπόμνημά τι, τοῦ ἑκκαιδεκάτου τελευτῶντος αἰῶνος, ἐν τῷ 104-ῳ ἐνέγραψε φύλλῳ, δι' οὗ μετὰ φρικτῆς λέγει ἀρᾶς, ὅτι «τὸ παρὸν βιβλίον ὑπάρχει τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, τοῦ περιφήμου καὶ περιβοήτου ναοῦ» τῆς ἁγίας Ἀναστάσεως.

62. Τεῦχος ἐκ χάρτου περὶ τὸ μέσον γραφὲν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ ἐκ φύλλων συνιστάμενον 308, οὗ τὸ κείμενόν ἐστι δίστηλον· μία δ' ἑκάστη τῶν στηλῶν τριάκοντα καὶ πέντε ἀριθμεῖ γραμμὰς ($0,32 \times 0,22 = 0,255 \times 0,15$). Περιέχει δὲ τὸ τεῦχος τὰς ᾀσματικὰς τριῶν μηνῶν ἀκολουθίας, τοῦ Σεπτεμβρίου, τοῦ Ὀκτωβρίου καὶ τοῦ Νοεμβρίου.

63. Τεῦχος μεμβράνινον κατὰ τὴν δυοκαιδεκάτην γραφὲν ἑκατονταετηρίδα καὶ ἐκ φύλλων συνιστάμενον 208, οὗ τὸ κείμενόν ἐστι δίστηλον ($0,313 \times 0,22 = 0,263 \times 0,164$)· ὑπάρχει δ' ἐν τῇ ἀρχῇ καὶ δύο πρόσθετα φύλλα, ἃ μέρος ἐστὶν ἄλλου τινὸς κώδικος, ἤτοι Ψαλτηρίου. Μεταξὺ δὲ πάλιν δύο φύλλων, τοῦ τε 181-ου καὶ τοῦ 182-ου, μικρότατόν τι ἐκ χάρτου παρενεβλήθη πεντάδιον, ὃ κατὰ τὸν ἑκκαιδέκατον ἐγράφη αἰῶνα· τοῦτο δὲ τὴν ᾀσματικὴν ἀκολουθίαν τῶν τριῶν περιέχει ἱεραρχῶν, ἧς τὸ πρῶτον στιχηρὸν τροπάριον ἄρχεται ὧδε· «Τὰ τῆς χάριτος ὄργανα,

τὰς κιθάρας τοῦ πνεύματος» κτλ. Καὶ ταῦτα μέν, ὡς εἴρηται, πρόσθετά ἐστιν· ἃ δὲ τὸ τεῦχος αὐτὸ περιέχει, τάδ' ἔστιν.

1. Μηναῖον τοῦ μηνὸς Σεπτεμβρίου, κοσμούμενον ἐν τῇ ἀρχῇ πίνακί τινι κεχρωματισμένῳ τε καὶ κεχρυσωμένῳ, ἐν ᾧ Συμεὼν ἀπεικάζεται ὁ στυλίτης, ἐπὶ ὑψηλοῦ καθήμενος στύλου καὶ βιβλίον τι ταῖν χεροῖν συνέχων. Καὶ ἔνθεν μὲν τοῦ στύλου οἶκος γέγραπται, παρ' ὃν χλανιδοφόροι τινὲς ἵστανται μοναχοί· ἔνθεν δὲ διώροφον ὑπάρχει μέγαρον, οὗ τὸ μὲν ἐμπρόσθιον θωρακοφόρος τις προασπίζει στρατιώτης, τὸ δ' ὀπίσθιον ἄνδρες τινὲς παραφυλάττουσιν. Ἔξω δὲ τῆς εἰκόνος ταύτης καὶ ἄλλος τις ὑπάρχει πίναξ (φ. 9[β]) τὸ γενέσιον τῆς Θεοτόκου παριστῶν. Ἄλλη δέ τις εἰκών, ἣ τὴν ὕψωσιν τοῦ σταυροῦ ἀπείκαζεν, ἐλλείπει νῦν· Πορφύριος γὰρ ὁ Οὐσπένσκης ταύτην ἀνεῖλε, ψαλλίδι τὸ 16-ον διαφθείρας φύλλον· ὁ αὐτὸς δὲ καὶ ἄλλα τινὰ φύλλα κατέφθειρεν, ἐν οἷς εἰκόνες ὡσαύτως περιείχοντο.

2. Μηναῖον τοῦ Ὀκτωβρίου μηνός (φ. 34-61), οὗ τὴν ἀρχὴν πίναξ τις καλλύνει, ἐν ᾧ Ἀνανίας ἀπεικάζεται ὁ ἀπόστολος· παρίσταται δὲ μεταξὺ δύο ἱστάμενος οἰκημάτων.

3. Μηναῖον τοῦ Νοεμβρίου μηνός (φ. 62-95), ὅπερ δυσὶν ἐκεκόσμητο πίναξιν, ὡς τὰ κεκομμένα δηλοῖ φύλλα, ἤτοι τὸ 62-ον καὶ τὸ 82-ον φύλλον· ἀπεικάζετο δ' ἐν ἐκείνοις Κοσμᾶς τε καὶ Δαμιανὸς οἱ ἀνάργυροι καὶ τὰ καλούμενα τῆς Θεοτόκου εἰσόδια. Ῥητέον δ' ὅτι ἐν τῷ 84-ῳ φύλλῳ γέγραπται καὶ τόδε· «Τῇ αὐτῇ ἡμέρᾳ κανὼν ἕτερος τῆς ὑπεραγίας Θεοτόκου, οὗ ἡ ἀκροστιχὶς ἕως τῆς τρίτης ᾠδῆς, ἀπὸ δὲ τῆς ὀγδόης ᾠδῆς ἀλφάβητον καὶ ω̄ ψ̄ χ̄ φ̄: Σὺ τὴν χάριν δέσποινα τῷ λόγῳ δίδου. Ὠδὴ α', ἦχος α'· ἀνοίξω τὸ στόμα. Σοφίας πανάχραντε σὲ θησαυρὸν ἐπιστάμενος» κτλ.

4. Μηναῖον τοῦ Δεκεμβρίου μηνός (φ. 95-143), οὗ δύο νῦν σῴζονται εἰκόνες, ἥ τε τοῦ προφήτου Ναοὺμ καὶ ἡ τῆς γεννήσεως τοῦ Χριστοῦ (φ. 131)· ἄλλη δέ τις εἰκών, ἣ τὸν ἅγιον παρίστα Νικόλαον, ἐλλείπει (φ. 100).

5. Μηναῖον τοῦ Ἰανουαρίου μηνός (φ. 144-183), ὅπερ δυσὶν

ἐκεκόσμητο πίναξι, τανῦν ἐλλείπουσι, καὶ ὃ μὲν τὴν τοῦ Χριστοῦ ἀπείκαζε περιτομὴν (φ. 144), ὃ δὲ τὴν ἐν τῷ Ἰορδάνῃ τούτου βάπτισιν (φ. 156).

6. Μηναῖον τοῦ Φεβρουαρίου μηνός (φ. 183-208), οὗ μία μόνη ἐσώθη εἰκών, ἡ τοῦ μεγαλομάρτυρος Τρύφωνος· ἄλλη δέ τις ἀποκοπῇ ἀναιρεθεῖσα (φ. 185) τὴν ὑπαπαντὴν ἀπείκαζε τοῦ Χριστοῦ.

64. Λειτουργικὸν τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος εὐαγγέλιον, ἐξ 180 μεμβρανίνων συνιστάμενον φύλλων καὶ ἐκ δύο ἑτέρων φύλλων ἐκ χάρτου, ἅπερ δι' ἀναπλήρωσιν τῆς τοῦ κειμένου προσετέθη ἀρχῆς, τοῦ πέμπτου καὶ δεκάτου μεσοῦντος αἰῶνος. Ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0,31, πλάτους δὲ 0,21· τὸ δ' ἐν αὐτῷ κείμενον δίστηλον ὄν, χῶρον κατὰ πᾶσαν περιλαμβάνει σελίδα μήκους μὲν 0,23, πλάτους δὲ 0,17· μία δ' ἑκάστη τῶν στηλῶν εἴκοσιν ἀριθμεῖ καὶ πέντε γραμμάς. Ὑπάρχει δ' ἐν τῷ τεύχει καὶ κοσμήματά τινα, τὰ τμήματα τοῦ εὐαγγελίου διαχωρίζοντα, ποικιλόχροα μέν, ἄκομψα δὲ καὶ μνήμης ἀνάξια. Ῥητέον δ' ἔτι, ὅτι πατριάρχης Ἀντιοχείας, ὁ Ἰωακείμ, ὑπόμνημά τι ἀραβικοῖς ἐνέγραφε γράμμασιν ἐν τῷ 77-ῳ φύλλῳ, τῇ 24-ῃ ἰουνίου τοῦ.... ἔτους, ἐν ᾧ γράφεται ὅτι τὸ εὐαγγέλιον τοῦτο ὁ μοναχὸς ὠνήσατο Μακάριος διά τε τὴν λαύραν τοῦ ὁσίου Σάβα καὶ διὰ τὸ ἐν Ἱεροσολύμοις μετόχιον αὐτῆς, καὶ ὅτι τὸ ἀργύριον ἡ εἰρημένη ἔτισε λαύρα.

65. Τεῦχος ἐκ χάρτου τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐκ φύλλων σύγκειται 474, ὕψους μὲν 0,295, πλάτους δὲ 0,215· τὸ δ' ἐν αὐτοῖς περιεχόμενον κείμενον μονόστηλόν ἐστι, καὶ μία ἑκάστη τῶν σελίδων γραμμὰς ἀριθμεῖ ἢ 18 ἢ 19· πρὸς δὲ τῷ τέλει τοῦ κώδικος ὑπόμνημά τι λέγει τάδε. «✝ Τὸ βιβλίον τοῦτο πρώην ὑπάρχ(ον) τῆς ἁγίας μονῆς τοῦ Χαρσιανίτου, τῆς ἐπ' ὀνόματι τῆς ὑπεραγίας Θεοτόκου τῆς Νέας Περιβλέπτου, νῦν δὲ δι' οἷς κρίμασιν ὁ Θεὸς οἶδεν, ἔνι τῆς μονῆς τοῦ μεγάλου Γεωργίου τῶν Μαγγάνων, τῆς ἐν τῇ Κύπρῳ». Ἔγραψε δὲ τὸ βιβλίον Ἰωάσαφ τις, ὡς ἡ τούτου δηλοῖ σημειώ-

σις, ἢ ἔχει ὧδε· «Θεοῦ τὸ δῶρον καὶ πόνος Ἰωάσαφ» (φ. 473β)»· ἔστι δ' ἡ γραφὴ τούτου σφόδρ' ἐπιμεμελημένη, μεγάλοις ἀποσχηματισθεῖσα καὶ ἀραιῶς γεγραμμένοις γράμμασι· τὰ δ' ἐν τῷ βιβλίῳ περιεχόμενα τάδ' ἔστιν.

1. «Ἐπιστολὴ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγουμένου τῆς Ῥαϊθοῦ πρὸς Ἰωάννην ἀξιάγαστον τοῦ Σιναίου ὄρους ἡγούμενον». Ἀρχ. «Τῷ ὑπερφυεστάτῳ», φ. 1. Migne τ. 88, σ. 624.

2. Πίναξ τῶν ἐμπεριεχομένων, φ. 4.

3. «Βίος ἐν ἐπιτομῇ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγουμένου τοῦ ἁγίου ὄρους τοῦ Σινᾶ, τοῦ ἐπίκλην Σχολαστικοῦ, τοῦ ἐν ἁγίοις ἀληθῶς». Ἀρχ. «Τὸ μὲν τίς ἡ ἐνεγκαμένη», φ. 5β. Migne τ. 88, σ. 596.

4. Στίχοι «Δανιήλ, μοναχοῦ ταπεινοῦ Ῥαϊθηνοῦ, εἰς τὸν βίον τοῦ κυροῦ Ἰωάννου τοῦ ἐπίκλην Σχολαστικοῦ». Ἀρχ. «Πεπείραμαι κυροῦν ἐν βραχέσι», φ. 14. Μαυρογορδ. Βιβλιοθ. τ. Ι, σ. 49.

5. «Πλάκες πνευματικαί. Ἰωάννης Ἰωάννῃ χαίρειν». Ἀρχ. «Ἀπεδεξάμην ὡς πρέπουσαν», φ. 14β. Migne τ. 88, σ. 625.

6. Ἰωάννου τοῦ Σχολαστικοῦ λόγοι λ', φ. 18-473. Migne τ. 88, σ. 632 κἑ.

66. Τεῦχος μεμβράνινον, ἀκέφαλόν τε καὶ ἀτελές, γραφὲν μὲν καλῶς τε καὶ ἐπιμεμελημένως κατὰ τὴν δωδεκάτην ἑκατονταετηρίδα, συγκείμενον δ' ἐκ φύλλων 216· τὸ δ' ἐν αὐτοῖς κείμενον μονόστηλόν ἐστι καὶ μία ἑκάστη τῶν σελίδων γραμμὰς ἀριθμεῖ εἴκοσιν $(0{,}30 \times 0{,}24 = 0{,}22 \times 0{,}17)$. Ἐν δὲ τῷ ἐπάνω κρασπέδῳ τῆς πρώτης τοῦ πέμπτου φύλλου σελίδος ἔγραψέ τις ὅτι «τὸ αὐτὸ βιβλίον ἔνι [cod. ἦνι] τοῦ μακαρίτη Παχωμίου ἱερομονάχου ἀπὸ τὸν Γαλατᾶν, καὶ ἐδόθη εἰς τὸν ἅγιον Σάβαν τῆς λαύρας» κτλ. τοῦτο δὲ τὸ σημείωμα κατὰ τὸν ἕκτον καὶ δέκατον ἐγράφη αἰῶνα· ἃ δὲ τὸ τεῦχος ἐμπεριέχει, τάδ' ἔστιν.

1. Ἀκολουθία συγγραφῆς τινος ἀκεφάλου τοῦ ὁσίου Νείλου, ἧς αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «η' Ὑπερηφανία ἐστὶν οἴδημα ψυχῆς ἰχῶρος», φ. 1. Τέλος· «καὶ πολλαῖς ἀρεταῖς ἐμφαιδρύνεται, ταπείνωσις ἀνδρός».

2. «Τοῦ αὐτοῦ μακαρίου Νείλου λόγος περὶ διδασκάλων καὶ μαθητῶν», οὗ ἡ ἀρχή· «Ἄτεχνος κυβερνήτης ἕτοιμον ναυάγιον», φ. 3· τούτου δὲ τοῦ τύποις ἀνεκδότου λόγου ἀντίγραφον κἀν τῷ 1188-ῳ κώδικι τῆς ἐν Παρισίοις ὑπάρχει βιβλιοθήκης, ἐν τοῖς δυσὶ τελευταίοις φύλλοις, ὡς ἐκ τοῦ παρ' Omont συνταχθέντος εἰκάζω καταλόγου, ἔνθα ὁ λόγος de doctoribus et discipulis ἐπιγέγραπται. Inventaire sommaire des MSS grecs de la Bibl. Nationale, τ. I, σ. 256.

3. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου μοναχοῦ περὶ νόμου πνευματικοῦ». Ἀρχ. «Ἐπειδὴ πολλάκις ἠβουλήθητε γνῶναι», φ. 5. Migne τ. 65, σ. 903.

4. «Τοῦ αὐτοῦ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι». Ἀρχ. «Ἡ τῶν ἔξωθεν κακοπιστία», φ. 20β. Migne τ. 65, σ. 929.

5. «Τοῦ μακαρίου Διαδόχου ἐπισκόπου Φωτικῆς τῆς Ἠπείρου τοῦ Ἰλλυρικοῦ ὅροι» δέκα, ὧν ἡ ἀρχή· «α' ὅρος τῆς πίστεως ἔννοια περὶ Θεοῦ», φ. 45.

6. «Τοῦ αὐτοῦ κεφάλαια ἀσκητικὰ ἑκατόν», ὧν ἡ ἀρχή· «Πάσης, ἀδελφοί, πνευματικῆς θεωρίας», φ. 45β. Ἱεροσολ. Βιβλιοθ. τ. I, σ. 272.

7. «Τοῦ μακαρίου Ἰωάννου τοῦ τῆς Καρπάθου ἐπισκόπου πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας μοναχοὺς παρακλητικὰ κεφάλαια ρη'», ὧν ἡ ἀρχή· «Τοῖς ἐπὶ γῆς βασιλεῦσιν ἐαρινὰ ἄνθη», φ. 103. Ἱεροσολ. Βιβλιοθ. I, σ. 272.

8. «Ἕτερα κεφάλαια τοῦ αὐτοῦ θεολογικὰ καὶ γνωστικά», ὧν ἡ ἀρχή· «Καλὰ ἐξ ἀγαθοῦ τὰ πάντα γεγόνασι», φ. 139β· τὰ δὲ κεφάλαια ταῦτα ἑκατόν ἐστι καὶ δέκα καὶ ἑπτά, τύποις ἔτι ἀνέκδοτα ὑπάρχοντα.

9. «Ἀνθολόγιον γνωμικὸν φιλοσόφων σπουδαίων, σπουδασθὲν καὶ πονηθὲν Ἠλίᾳ ἐλαχίστῳ πρεσβυτέρῳ καὶ ἐκδίκῳ. Πηγὴν νάουσαν ἠθικῶν δρόσον λόγων | ἐνταῦθ' ἐφεύροις, εἰ μετέλθοις γνησίως». Ἀρχ. «Ἔξεστι παντὶ χριστιανῷ τῷ ὀρθῶς πιστεύοντι», φ. 162 (Migne τ. 127, σ. 1129). Ἀνώνυμος δέ τις ἀνήρ, τοῦ τετάρτου καὶ δεκάτου μεσοῦντος αἰῶνος, ἔγραψεν ἐν τῷ κρασπέδῳ

τάδε· «Οὗτος ὁ πάνσοφος ἀνὴρ ὁ καὶ Ἠλίας τοὔνομα γέγονεν τῆς τῶν Κρητῶν νήσου ἀρχιεπίσκοπος, ὃς τὴν βίβλον τοῦ τρισμάκαρος Ἰωάννου τῆς Κλίμακος ἑ[ρμή]νευσεν» κτλ.

10. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Ἐδεσσηνοῦ κεφάλαια ἀσκητικὰ ἑκατόν», ὧν ἡ ἀρχή· «Ἐπειδή περ τοῦ Θεοῦ χάριτι ἀποταξάμενοι», φ. 194β (Christ. Matthaei, Accurata cod. graec. biblioth. Mosquensium sanct. synodi notitia et recensio τ. I σ. 35). Διὰ τὸ εἶναι δὲ τὸν κώδικα ἐλλιπῆ, τὸ τῶν κεφαλαίων ἐκείνων κείμενον λήγει νῦν εἰς τὰς λέξεις τάσδε· «πβ'. Ὁ πατριάρχης ἐργασίαν κεκτημένος τὴν φιλοξενίαν καὶ πᾶ....».

67. Τεῦχος ἀκέφαλον, ἢ ἀρχομένης ἢ μεσούσης γραφὲν τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, καὶ φύλλα μὲν σῶζον νῦν ἐκ χάρτου βαμβακεροῦ 284 καὶ δύο πρὸς τῷ τέλει μεμβράνινα, κείμενον δ' ἐμπεριέχον μονόστηλον $(0,265 \times 0,195 = 0,208 \times 0,12)$. Καὶ ἐν μὲν τῇ δευτέρᾳ σελίδι τοῦ 269-ου φύλλου τὸ ὄνομα τοῦ καλλιγράφου διὰ τοῦδε τοῦ αὐτοχείρου μηνύεται ὑπομνήματος· «Πληρῶν δοξάζω Θεῷ τῷ δόντι τέλος ἀμήν. Ἐπληρώθη τοπαρὸν βιβλίον διὰ χειρὸς καμοῦ τοῦ ἁμαρτωλοῦ Ἰωνὰ καὶ τάχα (μον)αχ(οῦ) ἐκ χώρας τοῦ Μηζηθρᾶ, πλησίον Μονεμβασίας· ἐγράφη δὲ διὰ συνεργίας καὶ πόθ(ου) πολλοῦ κυροῦ Νίκωνος ἱερομονάχου καὶ πνευματικοῦ πατρὸς ἐν τῇ νύσσω Κύπρ(ῳ) εἰς τ(ὴν) μονὴν τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸς) ἡμῶν Νικολάου, μετόχιον τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸς) ἡμῶν Γερασίμ(ου) τοῦ μ(ε)γ(ά)λ(ου), τοῦ ἐν τῇ ἐρήμω τοῦ ἁγιωτ(ά)τ(ου) Ἰορδάνου· καὶ οἱ ἀναγινώσ(κον)τες αὐτ(ὴν) διὰ τὸν Κ(ύριο)ν εὔχεσθε διὰ τῶν πολλῶν μου σφαλμάτων καὶ μὴ καταρᾶσθε, ὅτι οὐδεὶς ἔχων τὸ τέλειον.·. Θξβ' ἡ ῑ ῑ καδδκεκε'». Ἐν δὲ τῷ 273-ῳ φύλλῳ σημείωσίς τις ἀραβικοῖς γέγραπται γράμμασιν Ἰακώβου τοῦ ἐκ Ῥέμλης καὶ υἱοῦ τοῦ Μούντασαρ, ὃς λέγει ὅτι τὴν βίβλον ταύτην τῇ πεντεκαιδεκάτῃ τοῦ ὀκτωβρίου ἀνέγνω μηνός, ἔτει 6914-ῳ, ἤτοι τῷ 1405-ῳ. Περιέχει δὲ τὸ τεῦχος τὴν λεγομένην Παρακλητικήν, ἧς τὸ πρῶτον νῦν ἐλλείπει βιβλίον, ἔξω τοῦ τέλους αὐτοῦ· τὸ δὲ ταύτης δεύτερον βιβλίον ἀπὸ τοῦ τετάρτου νῦν ἄρχεται φύλλου, ἔνθα

καὶ κόσμημά τι ἐρυθρὸν ὑπάρχει παρόμοιον τῷ Π στοιχείῳ. Ῥητέον δ' ἔτι, ὅτι φύλλα τινά, ἤτοι τὰ ἀπὸ τοῦ 270-ου μέχρι τοῦ 284-ου, λείψανα δύο ἑτέρων ἐστὶ κωδίκων, καὶ ὅτι τὰ προειρημένα μεμβράνινα φύλλα κείμενον ἐμπεριέχει μονόστηλον ἐκ 35 κατὰ σελίδα γραμμῶν· ταῦτα δὲ μέρος ἐστὶ καταστραφέντος τινὸς μηναίου τοῦ Ἰανουαρίου μηνός, ὅπερ κατὰ τὸν τρίτον αἰῶνα καὶ δέκατον ἐγέγραπτο. Καὶ τὸ μὲν πρῶτον φύλλον ἀπὸ τῶν λέξεων ἄρχεται τῶνδε· «θεμέλιον θέμενος τῇ σεπτῇ τριάδι | σαυτὸν ἀνέθηκας | μῆλον ἡγιασμένον, | πάτερ πανόλβιε» κτλ. Τὸ δὲ λοιπὸν φύλλον μέρος ἐνέχει τοῦ κατὰ τὴν μνήμην τῆς ὁσίας Ξένης ψαλλομένου παρ' ἡμῖν ᾀσματικοῦ κανόνος.

68. Τεῦχος ἀκέφαλόν τε καὶ ἀτελές, ὃ φύλλα νῦν χάρτου σῴζει 347· ἐγράφη δὲ μεταξὺ τῶν ἐτῶν 1382 καὶ 1384, καὶ τὸ δεύτερον τμῆμα τῆς λεγομένης Παρακλητικῆς ἐμπεριέχει βίβλου· τοῦτο δὲ νῦν ἀπὸ τοῦ πρώτου ἄρχεται τροπαρίου ἀναστασίμου τινὸς κανόνος· «Σὲ ἡ ἀκανθηφόρος Ἑβραίων συναγωγή» κτλ. Αἱ δὲ λοιπαὶ τοῦ κώδικος διαιρέσεις ἔχουσιν ὧδε.

1. Ἐν τῷ φύλλῳ τῷ 81-ῳ ἐρυθροῖς γέγραπται γράμμασι τόδε· «Τέλος σὺν Θεῷ τοῦ πλαΐου | πρώτου ἤχου: ἔτους ς̄ | ω̄ϙ̄ᾱ ἰνδικτιῶνος ζ': | Δωρόθεος ἐλέῳ Θῦ πριάρχης Ἰ|εροσολύμων:- | ὅπου δε βουληθῇ νὰ τὸ εὐγάλ(η) ἀ|πὸ τὴν ἁγίαν Ἀνάστασιν τοῦ Χρι | στοῦ μου· νὰ ἔνε ἡ μερίς του μετὰ | τοῦ Ἰοῦδα τοῦ προδότου: | Τὸ βϊβλΐον τούτον, ἐγένετο διὰ τὴν ἁ|γίαν Ἀνάστασιν τοῦ Χῦ, καὶ ἔνε ὁμ(οίως) τοῦ Ἰοῦ|δα ὅπου τὸ εὐγάλ(ει) καθὼς ἄνωθεν γράφ(ω)».

2. «Παρακλητικὴ β': τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου τοῦ Κυρίου. Τῷ σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα εἰς τὸ "Κύριε ἐκέκραξα»: ἦχος πλάγιος β'. Νίκην ἔχων Χριστὲ τὴν κατὰ τοῦ ᾅδου» κτλ., φ. 83-167. Μετὰ δὲ τὸ τέλος ἀναγινώσκεται τόδε· «τέλος τοῦ πλαΐου δευτέρου ἤχου ἐν ἔτ(ει) ,ςωϙβ' ἰνδικτιῶνος ζ'».

3. «Ὕμνοι τριαδικοί: ἦχος πλάγιος β'. Ἀσωμάτοις στόμασιν» κτλ. φ. 167β-247β, ἔνθα ὁ καλλιγράφος λέγει· «Τέλος καὶ βαρῦς σὺν | τοῖς λοιποῖς νῦν ἔσχε: | Δωρόθεος ἐλέῳ Θῦ

πριᾶρ | χης Ἱεροσολύμων:- | ἔτους ςωηγ ἰνδικτιῶνος η' :· | Βιβλίον τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν».

4. «Τῷ σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα: ἦχος πλάγιος δ'». Ἀρχ. «Ἑσπερινὸν ὕμνον», φ. 251. Ἐν δὲ τῷ 339-ῳ φύλλῳ γέγραπται τόδε· «Πλάϊος ὧδε τετάρτου ἤχου λήγει. | Ἐτελειώθ(η) τὸ παρὸν πα | ρακλητικὸν δϊὰ χειρὸς τοῦ | δϊὰ τοῦ ἐλέους τοῦ Θῦ Δωροθέου πρι | άρχου Ἱεροσολύμ(ων) εἰς τὴν ἁγίαν Ἀνάστασιν τοῦ Χῦ τῇ | κδ' τοῦ σεπτεβρίου, τῆς ἁγίας | πρωτομάρτυρος Θέκλης, | ἡμέρα σαββάτω ἐνέτι ,ς'ω'η'γ' | ἰνδ. η. καὶ εἴ της βου | ληθῆ ποτὲ νὰ τὸ εὐγάλ(η) ἀπὸ τὸν | ἅγιον Τάφον τοῦ Χῦ' μου: νὰ ! ἀποσπάσετε τὰς ἀρὰς τὸν | τριακοσίων ι καὶ η θεοφόρ(ων) πρων | τῶν ἐν Νικαία. καὶ ἡ μερὶς αὐτοῦ | μετὰ τοῦ Ἰοῦδα τοῦ προδότου».

5. «Ὕμνοι τριαδικοί: ἦχος πλάγιος δ'», φ. 340· ὄπισθεν δὲ τοῦ αὐτοῦ φύλλου γέγραπται ἀραβιστὶ τὸ προγεγραμμένον τοῦ Δωροθέου ὑπόμνημα.

6. «Ἐξαποστειλάρια τὰ ια': ποίημα κυροῦ Λέοντος τοῦ σοφοῦ», φ. 341-347· ἐλλείπει δὲ νῦν τὰ δύο τελευταῖα ἐξαποστειλάρια.

69. Τεῦχος ἐκ χάρτου περὶ τὸ τέλος γραφὲν τῆς πέμπτης καὶ δεκάτης ἑκατονταετηρίδος, καὶ φύλλα νῦν σῷζον 171· τὸ δ' ἐν αὐτῷ κείμενον μονόστηλόν ἐστι καὶ γραμμὰς κατὰ σελίδα πᾶσαν εἴκοσι καὶ μίαν ἀριθμεῖ ($0{,}24 \times 0{,}172 = 0{,}17 \times 0{,}092$). Περιλαμβάνει δὲ τὸ τεῦχος ἴδιόν τι τυπικὸν τῆς λαύρας τοῦ ἁγίου Σάββα.

1. Ἀσματική τις ἀκέφαλος ἀκολουθία, κατὰ τὴν μνήμην ψαλλομένη τοῦ ὁσίου Σάβα, φ. 1-34.

2. «Ἀκολουθία καὶ κανόνες νεκρώσιμοι, ψαλλόμενοι ἐν ταῖς παρασκευαῖς ἑσπέρας <ἐν> ὅλου τοῦ ἐνιαυτοῦ εἰς μνημόσυνον τῶν τεθνεώτων κτητόρων τε καὶ ἀδελφῶν καὶ ἁπλῶς πάντων τῶν ὀρθοδόξων χριστιανῶν· συνειρμόσθη [cod. σὺν ἡρμοσθὲν] ἕκαστος κανὼν σὺν τοῖς τροπαρίοις καὶ θεοτοκίοις, ὁμοίως καὶ τὰ εὐλογητάρια εἰς ἕκαστον κανόνα σὺν τοῖς συνήθοις καθίσμασιν διὰ

το ἀσύχητον[-ἀσύγχυτον]. Καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ γίνεται <δὲ> παννυχὶς [cod. πανηχίδα] τῶν κολύβων ἐν τῷ μέσῳ τοῦ ναοῦ, καὶ θυμιάσας ὁ ἱερεὺς κύκλωθεν ποιεῖ εὐλογητὸν καὶ ἄρχεται ὁ πρῶτος χορὸς τὸ "Ὁ κατοικῶν ἐν βοηθείᾳ", καὶ ψάλλομεν ἀλληλούϊα ἐκ τρίτου εἰς ἦχον πλάγιον δ'. Στίχ. Μακαρίους ἐξελέξω. Στίχ. Καὶ τὸ μνημόσυνον. Εἶτα τὰ τροπάρια ταῦτα εἰς ἦχον πλάγιον δ'. Ὁ βάθει σοφίας φιλανθρώπως» κτλ., φ. 1-169.

3. «Στιχηρὰ ἰδιόμελα τῆς Θεοτόκου εἰς τὸν εὐαγγελισμὸν μετὰ καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου, ψαλλόμενα ἐν ταῖς ἀγρυπνίαις τῶν δεσποτικῶν ἑορτῶν τοῦ ὅλου ἐνιαυτοῦ, ἀλλὰ δὴ καὶ εἰς τὴν μνήμην ὁσίου. Ἀρχὴ εἰς τὸν εὐαγγελισμὸν μαρτίῳ κε'· ἦχος α'. Τῷ ἕκτῳ μηνὶ ὁ ἀρχιστράτηγος | ἀπεστάλη πρὸς σὲ» κτλ., φ. 170.

70. Μηναῖον τοῦ Ἰουνίου μηνὸς μεμβράνινον, ἢ περὶ τὸ τέλος τῆς δεκάτης ἢ ἐν τῇ ἀρχῇ τῆς πρώτης καὶ δεκάτης γραφὲν ἑκατονταετηρίδος διὰ μονήν τινα ἐν Βυζαντίῳ κειμένην, καθάπερ τὸ σημείωμα τοῦ καλλιγράφου δηλοῖ, τὸ ἐν τέλει τοῦ τεύχους γεγραμμένον, ἤτοι «βιβλίον τοῦ Σωτῆρος τοῦ Ἀκαταλήπτου»[1]. Σύγκειται οὖν τοῦτο ἐκ φύλλων 139, καὶ κείμενον περιλαμβάνει μονόστηλον, οὗ μία ἑκάστη τῶν σελίδων τριάκοντα γραμμὰς ἀριθμεῖ $(0{,}265 \times 0{,}202 = 0{,}183 \times 0{,}132)$. Αὐτὸ δὲ τὸ κείμενον σαφῶς μαρτυρεῖ, ὅπως τὰ ἀρχαῖα συνετάχθη μηναῖα· τοῦτο γὰρ τὸ μηναῖον πάνυ διάφορόν ἐστι τοῦ νῦν ἐν χρήσει ὑπάρχοντος, καὶ τοῖς φιλολογοῦσι χαριζόμενος θεολόγοις λεπτομερῶς πως τὰ ἐν αὐτῷ περιεχόμεν' ἀναγράφω.

1. «Πίναξ σὺν Θεῷ μηνὸς Ἰουνίου», ἤτοι τῶν ἐν αὐτῷ περιειλημμένων κανόνων, ὧν αἱ ἐπιγραφαὶ πορφυροῖς ἐχαράχθησαν γράμμασι, φ. 1-2. Μετὰ δὲ τὸ τέλος τοῦ πίνακος προσέθετό τις ὕστερον τέσσαρα τροπάρια, ὧν τὸ μὲν πρῶτον κατὰ τὴν μνήμην Νικηφόρου ψάλλεται τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τὰ

[1] Ἄλλη τις σημείωσις πάνυ μεταγενεστέρα λέγει· «Βιβλίον τῆς μονῆς τοῦ Προδρόμου» τῆς ἐγγὺς τοῦ Ἰορδάνου ποταμοῦ, φ. 2.

δὲ λοιπὰ κατὰ τὴν ἑορτὴν Πέτρου καὶ Παύλου τῶν ἀποστόλων.

2. Κόσμημά τι καλὸν καὶ ἡ ἐφεξῆς ἐπιγραφή, χρυσοῖς γεγραμμένη γράμμασι· «Μηνὶ ἰουνίῳ α'· τοῦ ἁγίου μάρτυρος Ἰουστίνου. Κάθισμα, ἦχος α' πρὸς τὸ Τοῦ λίθου σφραγισθείς. Χριστοῦ ὑπεραθλήσας» κτλ., φ. 3.

3. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀττάλου. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Φωστῆρά σε ἔδειξεν» κτλ., φ. 5. Πλήρης καὶ τύποις ἀνέκδοτος ᾀσματικὴ ἀκολουθία· τὴν δὲ τοῦ Ἀττάλου μνήμην γεραίρομεν ἤδη τῇ ς' τοῦ αὐτοῦ μηνός. Πρβλ Сергія, Полный мѣсяцесловъ II, σ. 145.

4. «Μηνὶ τῷ αὐτῷ β' τοῦ ἁγίου Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως. Κάθισμα, ἦχος γ' πρὸς τὸ Θείας πίστεως ὁμολογ: Λόγοις ἔλαμψας τὴν ἐκκλησίαν» κτλ., φ. 8β, ἔνθα τὸ κράσπεδον περιέχει τόδε· «μνήμη Κυρίλλου μοναχοῦ». Ἀπὸ δὲ τοῦ 9-ου φύλλου ὁ τοῦ Θεοφάνους ἀναγινώσκεται κανών, οὗ ἡ ἀκροστιχίς· «Τὸν Νικηφόρον ὡς νικηφόρον ᾄσματι μέλπω. Ὠδὴ α' ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος. Τὴν πρᾶξιν τῆς θεωρίας ἔδειξας» κτλ. Μηναῖον τοῦ Ἰουνίου, ἐν Βενετίᾳ 1843, σ. 7.

5. «Μηνὶ τῷ αὐτῷ γ' τοῦ ἐν ἁγίοις μάρτυρος Λουκιλλιανοῦ. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Πυρὶ προσομιλῶν» κτλ., φ. 11. Ἀπὸ δὲ τῆς ἑτέρας τοῦ αὐτοῦ φύλλου σελίδος ὁ τοῦ Ἰωσὴφ ἄρχεται κανὼν ὁ εἰς ἦχον α', οὗ ἡ ἀκροστιχίς· «Λουκιλλιανῷ τούσδε τοὺς κρότους φέρω»· ἔστι δὲ καὶ οὗτος τύποις ἀνέκδοτος.

6. «Μηνὶ τῷ αὐτῷ δ' τοῦ ἁγίου Μητροφάνους πατριάρχου Κωνσταντινουπόλεως. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ἐπεφάνης σήμερον. Ὀρθοδόξως, ὅσιε, τὴν ἐκκλησίαν» κτλ., φ. 14. Εἶτα δὲ ὁ κανών ἐστι Θεοφάνους, οὗ ἡ ἀκροστιχίς· «Μέγιστον ὑμνῶ τοῦ Μητροφάνους κλέος», φ. 15. Κανὼν καὶ οὗτος τύποις ἀνέκδοτος.

7. «Μηνὶ τῷ αὐτῷ ε' τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ νέου, ἡγουμένου τῶν Δαλμάτων. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Θεῷ καθιέρωσας» κτλ., φ. 16β. Ἀπὸ δὲ

τοῦ 17-ου φύλλου ὁ τοῦ Ἰγνατίου ἀναγινώσκεται κανών, οὗ ἡ ἀρχή· «Ὠδὴ α'· ἦχος πλάγιος δ' (πρὸς τὸ) Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν. Ἐν τῷ φωτὶ ἀύλῳ καὶ νοητῷ», φ. 17. Μηναῖον τοῦ Ἰουνίου, σ. 23, ἔνθ' ὁ κανὼν ἀνώνυμος κεῖται· σημείωσαι δὲ ὅτι τὴν μνήμην τοῦ ὁσίου τῇ ς' νῦν τοῦ ἰουνίου μηνὸς ἐπιτελοῦμεν. Πρβλ. Сергія, Полный мѣсяцесловъ II, σ. 149.

8. «Μηνὶ τῷ αὐτῷ ς' τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου ἐπισκόπου [Τύ]ρ[ου]. Κάθισμα, ἦχος γ' πρὸς τὸ Θείας πίστεως ὁμολογίᾳ. Θείοις δόγμασιν ἀεὶ» κτλ., φ. 19. Εἶτα «ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Δῶρον Θεοῦ σε παμμάκαρ πάτερ σέβω: Ἰωσήφ. Ὠδὴ α' ἦχος πλάγιος δ'. Ἄσωμεν τῷ Κυρίῳ τῷ διαγαγόντι». Ἀρχ. «Δῶρον Θεοῦ προσῆξας | σεαυτὸν τερπνόν», φ. 19β. Πρβλ. τὸ μηναῖον τοῦ Ἰουνίου, σ. 20· σημείωσαι δὲ ὅτι καὶ τὸν ἱερομάρτυρα Δωρόθεον πανηγυρίζομεν ἤδη τῇ ε' τοῦ ἰουνίου.

9. «Μηνὶ τῷ αὐτῷ ζ' τοῦ ἁγίου μάρτυρος Θεοδότου Ἀγκύρων. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Πολύφωτος ἀστὴρ» κτλ., φ. 21. Εἶτα «ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Θεοῦ δόσις πέφυκας εἰκότως μάκαρ: Ἰωσήφ. Ὠδὴ α' ἦχος πλάγιος β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ». Ἀρχ. «Θεολαμπῆ σε ἀστέρα», φ. 21β. Μηναῖον τοῦ Ἰουνίου, σ. 25.

10. «Μηνὶ τῷ αὐτῷ η' τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ στρατηλάτου ἡ ἀνακομιδή. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Στρατολογίᾳ ἀληθεῖ» κτλ. φ. 24.—Ὁ κανὼν τοῦ Θεοφάνους, οὗ ἡ ἀκροστιχίς· «Μέλπω σε δώρων ἐνθέων ἐπώνυμε: Ὠδὴ α' ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος. Μαρτύρων περιφανῶς λαμπρότησι», φ. 25. Μηναῖον τοῦ Ἰουνίου σ. 29.—Ἕτερος κανὼν Ἰωσὴφ τοῦ μελῳδοῦ, τύποις ἴσως ἀνέκδοτος, εἰς ἦχον πλάγιον δ'. Ἀρχ. «Ταῖς θεϊκαῖς περιφανῶς λαμπρότησι», φ. 26β.

11. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Νικάνδρου καὶ Μαρκιανοῦ. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ. Τῶν αἱμάτων ῥεύμασι πολυθείας» κτλ., φ. 29. Αὐτόθι «ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Ὕμνοις γεραίρω μαρτύρων ξυνωρίδα: Ἰωσήφ. Ὠδὴ α'

ἦχος πλάγιος δ'. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν». Ἀρχ. «Ὑμνοῦντι τὴν μνήμην». Κανὼν καὶ οὗτος τύποις ἴσως ἀνέκδοτος.

12. «Μηνὶ τῷ αὐτῷ θ' τοῦ ἁγίου Κυρίλλου πάπα Ἀλεξανδρείας. Κάθισμα, ἦχος γ' πρὸς τὸ Τὴν ὡραιότητα τῆς παρθένου. Στύλος καὶ ἔρεισμα» κτλ., φ. 31. Εἶτα ὁ κανὼν τοῦ Θεοφάνους, οὗ ἡ ἀκροστιχίς, ἄνευ τῶν θεοτοκίων· «Θεωριῶν Κύριλλος ἐνθέων λύρα. Ὠδὴ α' ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος». Ἀρχ. «Θεόθεν τὴν φωτοδότιν», φ. 31β. Μηναῖον τοῦ Ἰουνίου σ. 33.

13. «Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ὀρέστου Διομήδους καὶ Ῥόδωνος. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Τριάδος ὑπέρμαχοι» κτλ., φ. 33β.— «Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Σεπτοῖς ἀθληταῖς σεπτὸν ἐξᾴδω μέλος Ἰωσήφ. Ὠδὴ α' ἦχος πλάγιος δ'. Ἆσμα ἀναπέμψωμεν λαοί». Ἀρχ. «Στέφος | ἐκ χειρὸς ζωαρχικῆς», φ. 34β. Περὶ μὲν τῆς μνήμης τῶν μαρτύρων τούτων κατὰ τὴν θ' τοῦ Ἰουνίου, ὅρα τὸ βιβλίον τοῦ ἀρχιμανδρίτου Σεργίου, **Полный мѣсяцесловъ Востока**, τ. II, σ. 154· ἡ δὲ ᾀσματικὴ αὐτῶν ἀκολουθία, ὡς ἐν τῷ κώδικι τούτῳ ὑπάρχει, τυγχάνει οὖσα τύποις ἀνέκδοτος.

14. «Μηνὶ τῷ αὐτῷ ι' τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου καὶ Ἀντωνίνης. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου, σωτήρ. Δυὰς φωτοειδὴς | τῶν σεπτῶν ἀθλοφόρων», φ. 36β.—«Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Ὕμνοις ἐπαινῶ τὴν καλὴν ξυνωρίδα Ἰωσήφ. Ὠδὴ α' ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά». Ἀρχ. «Ὕμνοις ἐπαινέσαι τὴν ὑμῶν», φ. 37β. Μηναῖον τοῦ Ἰουνίου, σ. 36.

15. «Μηνὶ τῷ αὐτῷ ια' τοῦ ἀποστόλου Βαρθολομαίου. Τροπάριον εἰς τὸ Θεὸς κύριος, ἦχος γ'. Ἀπόστολε ἅγιε» κτλ., φ. 39β. — Κανὼν τοῦ Θεοφάνους εἰς ἦχον β', οὗ ἡ ἀρχή· «Ὁ προγνώστης πάντων ὡς Θεός», φ. 40β. Μηναῖον τοῦ Ἰουνίου, σ. 40.

16. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Βαρνάβα. Κάθισμα, ἦχος πλάγιος δ' πρὸς τὸ Τὴν σοφίαν τοῦ λόγου. Λογικὸς ἀνεδείχθης» κτλ., φ. 42β.—Κανὼν τοῦ Θεοφάνους εἰς ἦχον β', οὗ ἡ ἀκροστιχίς· «Ὠδὴν πλέκω σοι, Βαρνάβα θεηγόρε». Ἀρχ. «Ὡς ἀνὴρ ὑπάρχων ὁδηγός», φ. 43. Πρβλ. μηναῖον τοῦ Ἰουνίου, σ. 40.

17. «Μηνὶ τῷ αὐτῷ ιβ' τοῦ ὁσίου Ὀνουφρίου. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Ἐμάκρυνας ὅσιε» κτλ., φ. 45β.— Κανὼν τοῦ Θεοφάνους εἰς ἦχον δ'. Ἀρχ. «Αἴγλη τῆς τριφεγγοῦς», φ. 46. Κανὼν καὶ οὗτος ἄγνωστος ἴσως.

18. «Μηνὶ τῷ αὐτῷ ιγ' τῆς ἁγίας μάρτυρος Ἀκυλίνης. Κάθισμα, ἦχος γ' πρὸς τὸ Τὴν ὡραιότητα τῆς παρθένου. Τὸν ὡραιότατον νυμφίον» κτλ., φ. 48. — Κανὼν τοῦ Ἰωσὴφ εἰς ἦχον πλάγιον δ'. Ἀκροστιχίς· «Δέχου τὸν ὕμνον καλλίπαις Ἀκυλῖνα». Ἀρχ. «Δεδοξασμένη Χριστῷ τῷ νυμφίῳ σου», φ. 48β. Μηναῖον τοῦ Ἰουνίου, σ. 48.

19. «Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Δουλᾶ. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Περιφραχθεὶς τῷ θυρεῷ» κτλ., φ. 50β.—Κανὼν τοῦ Ἰωσὴφ τύποις ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Δοῦλον Θεοῦ κλήσει σε καὶ πράξει σέβω». Ἀρχ. «Δοῦλος τοῦ πλαστουργοῦ». φ. 51. Σημείωσαι δὲ ὅτι τὴν μνήμην τοῦ μάρτυρος Δουλᾶ τελοῦμεν ἤδη τῇ ιε' τοῦ αὐτοῦ μηνός.

20. «Μηνὶ τῷ αὐτῷ ιδ' τοῦ ἁγίου προφήτου Ἐλισσαίου. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Προβλέψει θεϊκῇ» κτλ., φ. 53. «Ἰωάννου μοναχοῦ ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Ἄδω γεγηθὼς τὴν Ἐλισσαίου χάριν». Ἦχος πλάγιος α'. Ἀρχ. «Ἀπαρχὴ ἐν Θεῷ τῶν ἐφυμνίων», φ. 53β. Τοῦ ἀνεκδότου τούτου κανόνος Βαρθολομαῖος ἐμνήσθη ὁ Κουτλουμουσιανός. Ὅρα τὸ μηναῖον τοῦ Ἰουνίου σ. 52, ἐν τῇ ὑποσημειώσει.

21. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ. Φαεινὸς ὡς ἥλιος» κτλ., φ. 54β. — Κανὼν ἀνώνυμος εἰς ἦχον δ' καὶ τύποις ἴσως ἀνέκδοτος. Ἀρχ. «Ἐν νηστείαις ὅσιε | δουλαγωγῶν», φ. 55.

22. «Μηνὶ τῷ αὐτῷ ιε' τοῦ ἁγίου προφήτου Ἀμώς. Κάθισμα, ἦχος γ' πρὸς τὸ Θείας πίστεως ὁμολογίᾳ. Θεῖον ὄργανον τοῦ παρακλήτου» κτλ., φ. 57.—Κανὼν τοῦ Θεοφάνους εἰς ἦχον β', οὗ ἡ ἀκροστιχίς· «Ἀμὼς σε μέλπω τὸν προφήτην τὸν μέγαν». Ἀρχ.

«Ἀνακαθάρας μου τὸν νοῦν», φ. 57β. Μηναῖον τοῦ Ἰουνίου, σ. 57.

23. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Φουρτουνάτου. Κάθισμα ἦχος δ', πρὸς τὸ Ταχὺ προκατάλαβε. Ἐν αἵματι βάψας σου» κτλ., φ. 59. — «Ἰωσὴφ ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Τὸν παμμέγιστον δοξάσω Φουρτουνᾶτον». Ἦχος β'. Ἀρχ. «Τῶν ἀγαθῶν | τὸν πορισμὸν συλλεξάμενος», φ. 59β. Πλήρης κανών, τύποις ἔτι ἀνέκδοτος.

24. «Μηνὶ τῷ αὐτῷ ις' τοῦ ἁγίου ἱεράρχου καὶ θαυματουργοῦ Τύχωνος, ἐπισκόπου Κύπρου. Κάθισμα ἦχος δ', πρὸς τὸ Ταχὺ προκατάλαβε πρὶν δου: Τυχεῖν ἐφιέμενος» κτλ., φ. 61β.— «Ὁ κανών, οὗ ἡ ἀκροστιχὶς αὕτη· Τῷ θαυματουργῷ προσλαλήσω ποιμένι Ἰησήφ». Ἦχος δ'. Ἀρχ. «Τῷ θρόνῳ τοῦ Θεοῦ», φ. 62. Μηναῖον τοῦ Ἰουνίου, σ. 60.

25. «Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Θεοδώρου τοῦ Συκεώτου. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Τὰς μεθοδείας τοῦ ἐχθροῦ», κτλ., φ. 64β.— Κανὼν ἀνώνυμος καὶ τύποις ἀνέκδοτος· ἦχος πλάγιος α'. Ἀκροστιχίς· «Δωρεῶν πλῆσόν με, παμμάκαρ πάτερ». Ἀρχ. «Σῶν δωρεῶν ταῖς φανοτάταις», φ. 65β.

26. «Μηνὶ τῷ αὐτῷ ιζ' τῶν ἁγίων μαρτύρων Μανουὴλ Σαβὲλ καὶ Ἰσμαήλ. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Ὡς τρίφωτος λαμπάς» κτλ., φ. 68. — «Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Ἀδελφικὴν τρίφωτον αἰνῶ λυχνίαν. Θεοφάνους». Ἦχος πλάγιος β'. Ἀρχ. «Ἀνατολῇ φαιδρυθέντες | τῇ νοητῇ», φ. 69. Κανὼν καὶ οὗτος τύποις ἀνέκδοτος· ἄλλοι δέ τινες ἀνώνυμοι κανόνες ἐν τῷ βιβλίῳ ὑπάρχουσι τῷ ἐπιγεγραμμένῳ «Ἀκολουθία τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων μαρτύρων Μανουὴλ Σαβὲλ καὶ Ἰσμαήλ, ψαλλομένη κατὰ τὴν ιζ' τοῦ ἰουνίου, ἐρανισθεῖσα μὲν φιλοπόνως παρὰ Μανουὴλ Μάνου τοῦ Βυζαντίου χάριν εὐλαβείας· ἐπιμελῶς δὲ διορθωθεῖσα παρά τινων εὐλαβῶν καὶ τὰ θεῖα μεμυημένων ἀνδρῶν, καὶ ἀκριβῶς ἐπιθεωρηθεῖσα παρὰ τοῦ πανοσιωτάτου καὶ σοφολογιωτάτου διδασκάλου καὶ ἱεροκήρυκος τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίου Δωροθέου Βουλησμᾶ

καὶ νῦν πρῶτον τύποις ἐκδοθεῖσα διὰ δαπάνης μὲν τοῦ πανευγενεστάτου κυρίου Μανουὴλ Μπάλσα, ἐπιμελείας δὲ καὶ ἐπιστασίας τοῦ ἀρχιμανδρίτου Ἀνθίμου Γαζῆ. Ἐν Βιένῃ τῆς Ἀουστρίας. Ἐν τῇ ἑλληνικῇ τυπογραφίᾳ Γεωργίου Βενδότη. 1803». Σελίδες 86 τοῦ μικροῦ τετάρτου καλουμένου σχήματος.

27. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου καὶ θαυματουργοῦ Ὑπατίου τοῦ ἐν Ῥουφινιαναῖς.—Εἶτα κανὼν τύποις ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Ὑπατίου μέλψοιμι τοὺς καλοὺς τρόπους. Ἰωσήφ». Ἦχος πλάγιος δ'. Ἀρχ. «Ὑπάρχων, Ὑπάτιε, σὺν Θεῷ», φ. 70.

28. «Μηνὶ τῷ αὐτῷ ιη' τοῦ ἁγίου μάρτυρος Λεοντίου. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Σταυρὸν ὥσπερ θώρακα κτλ., φ. 73β. Ἐν δὲ τῷ κρασπέδῳ χεὶρ μεταγενεστέρα προσέθετο τὸ «μνήμη Νίκωνος μοναχοῦ πρεσβυτέρου τοῦ Ἀσκεπηνοῦ». — Ἰωάννου μοναχοῦ «ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Νίκη Θεός σοι καὶ γέρας, Λεόντιε»· ἦχος δ'. Ἀρχ. «Νόμοις ἐγκωμίων ἡ ἀρετή σου», φ. 74. Μηναῖον τοῦ Ἰουνίου, σ. 67.

29. «Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ἰσαύρου Βασιλείου Ἰννοκεντίου Περεγρίνου Ἑρμείου καὶ Φίληκος. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Ἐδύνατε ἐκ γῆς» κτλ., φ. 75β.—Ἰωσὴφ τοῦ μελῳδοῦ ὁ κανών, οὗ ἡ ἀκροστιχίς· «Τὴν ἐξάφωτον μαρτύρων σέβω χάριν»· ἦχος δ'. Ἀρχ. «Ταῖς θείαις λαμπρότησι», φ. 76β. Ἡ τῶν μαρτύρων τούτων πανήγυρις τελεῖται νῦν τῇ ιζ' τοῦ ἰουλίου μηνὸς ἡμέρᾳ· ὁ δὲ κανὼν αὐτῶν, ὁ ἐν τῷ κώδικι ὑπάρχων ἄγνωστος ἦν εἰσέτι.

30. «Μηνὶ τῷ αὐτῷ ιθ' τοῦ ἁγίου ἀποστόλου Ἰούδα τοῦ Ἰακώβου τοῦ καὶ ἀδελφοθέου. Κάθισμα, ἦχος γ' πρὸς τὸ Θείας πίστεως. Ὄρθρος ἔλαμψας θεογνωσίας» κτλ., φ. 78β. Κανὼν τοῦ Θεοφάνους (οὐχὶ δὲ Ἰωσήφ, ὡς τὰ ἐκδεδομένα λέγει μηναῖα), οὗ ἡ ἀκροστιχίς· «Μέλπειν Ἰούδαν τὸν θεόπτην σπουδάσω»· ἦχος πλάγιος α'. Ἀρχ. «Μύστα τῶν οὐρανίων», φ. 76β.

31. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Ζωσίμου. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ἐπεφάνης σήμερον. Ὡς ἀστέρα μέγαν σε» κτλ., φ. 81β. — Ἰωσὴφ τοῦ μελῳδοῦ ὁ κανών, οὗ ἡ ἀκροστιχίς·

«Τὴν Ζωσίμου μέλψωμεν ἔνθεον χάριν»· ἦχος πλάγιος δ'. Ἀρχ. «Ταύτην σου τὴν φωσφόρον», φ. 82. Καὶ οὗτος ὁ κανὼν ἐλλείπει τῷ ἐκδεδομένῳ μηναίῳ.

32. «Μηνὶ τῷ αὐτῷ κ' τῶν ἁγίων μαρτύρων Ἰννᾶ Πιννᾶ καὶ Ῥημμᾶ. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Τὰ ὅπλα τῆς πίστεως» κτλ., φ. 83β. Ἐν δὲ τῷ κρασπέδῳ χεὶρ μεταγενεστέρα προσέθετο τὸ «μνήμη Θεοφάνους μοναχοῦ». — Κανὼν τοῦ Ἰωσήφ, τύποις ἔτι ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Τοὺς σοὺς ἀνυμνῶ μάρτυρας, Θεοῦ Λόγε»· ἦχος δ'. Ἀρχ. «Τῷ θείῳ φωτὶ λαμπόμενοι», φ. 84. Περὶ δὲ τῆς μνήμης τῶν μαρτύρων τούτων ὅρα καὶ Σέργιον· Полный мѣсяцесловъ Востока, τ. II, σ. 194.

33. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Εὐστοχίου καὶ τῶν σὺν αὐτῷ. Κάθισμα, ἦχος πλάγιος β' πρὸς τὸ Ἐλπὶς τοῦ κόσμου. Ἀνδρειοτάτῳ λογισμῷ» κτλ., φ. 86.—Κανὼν τοῦ Ἰωσήφ, τύποις ἔτι ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Σεπτὴν ἐπαινῶ μαρτύρων νῦν πεντάδα»· ἦχος πλάγιος β'. Ἀρχ. «Στεφηφοροῦντες τῷ βήματι τοῦ Χριστοῦ», φ. 86β. Σημείωσαι δέ, ὅτι τὴν μνήμην τοῦ μάρτυρος Εὐστοχίου καὶ τῶν σὺν αὐτῷ τελοῦμεν ἤδη τῇ κγ' τοῦ ἰουνίου μηνός.

34. «Μηνὶ τῷ αὐτῷ κα' τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Ὑδάτων πνιγμονῇ» κτλ., φ. 88β.—Κανὼν τοῦ Θεοφάνους εἰς ἦχον α'. Ἀρχ. «Μάρτυς ἀθλοφόρε», φ. 89β. — Ἕτερος κανὼν τοῦ Ἰωσὴφ εἰς ἦχον β', οὗ ἡ ἀρχή· «Ἱερὸν συνάθροισμα Χριστοῦ», φ. 91β. Ἀμφότεροι δὲ οἱ κανόνες οὗτοι τύποις εἰσὶν ἀνέκδοτοι· ἐν δὲ τῷ τετυπωμένῳ μηναίῳ κανὼν ὑπάρχει, οὗ ποιητὴς Ἰωάννης ἐστὶν ὁ μοναχός.

35. Μηνὶ τῷ αὐτῷ κβ' τοῦ ἁγίου ἱερομάρτυρος Εὐσεβίου, ἐπισκόπου Σαμοσάτων. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Φαιδρύνας τὸν βίον σου» κτλ., φ. 94.—Κανὼν τοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχίς· «Τῆς εὐσεβείας τὸν φερώνυμον σέβω»· ἦχος πλάγιος δ'. Ἀρχ. «Τῷ ἀκροτάτῳ φωτί», φ. 94. Μηναῖον τοῦ Ἰουνίου, σ. 79.

36. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν τῷ ὄρει τοῦ Ἄθωνος. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Ἐνθάψας τῶν παθῶν» κτλ., φ. 96.—Κανὼν τοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχίς· «Ἄλλον σε Πέτρον εἰκότως σέβω, μάκαρ»· ἦχος β'. Ἀρχ. «Ἄλλον ἡμῖν Πέτρον σε νέον», φ. 96β. Τοῦ δ' ἀνεκδότου τούτου κανόνος καὶ Βαρθολομαῖος ἐμνήσθη ἐν ὑποσημειώσει τινὶ τῆς ιβ' τοῦ Ἰουνίου ἡμέρας.

37. «Μηνὶ τῷ αὐτῷ κγ' τῆς ἁγίας μάρτυρος Ἀγριππίνης. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Τὸν ὡραιότατον σταυρὸν» κτλ., φ. 98β.—Κανὼν ἀνώνυμος, οὗ ἡ ἀκροστιχίς· «Τὴν χριστονύμφην Ἀγριππίνην αἰνέσω»· ἦχος δ'. Ἀρχ. «Τῷ φέγγει τῆς χάριτος», φ. 99β. Μηναῖον τοῦ Ἰουνίου, σ. 82.

38. «Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ζηνᾶ καὶ Ζήνωνος. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ἐπεφάνης σήμερον. Ποταμοὶ πληρούμενοι» κτλ., φ. 102.—Κανὼν τοῦ Ἰωσὴφ τύποις ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Ζυγὴν ἐπαινῶ μαρτύρων στεφηφόρων»· ἦχος δ'. Ἀρχ. «Ζωὴν τὴν ἀληθῆ, | ἀθλοφόροι, ποθοῦντες», φ. 102β.

39. «Μηνὶ τῷ αὐτῷ κδ' τὸ γενέσιον τοῦ τιμίου Προδρόμου. Τροπάριον εἰς τὸ Θεὸς Κύριος· ἦχος δ'. Προφῆτα καὶ πρόδρομε», φ. 104β.—Κανὼν Ἰωάννου τοῦ μοναχοῦ, οὗ ἡ ἀκροστιχίς· «Τῷ Προδρόμου γέγηθα νῦν γενεθλίῳ». Ἀρχ. «Ὡς ὄρθρος εὐπρεπής», φ. 106. Μηναῖον τοῦ Ἰουνίου, σ. 90.

40. «Μηνὶ τῷ αὐτῷ κε' τῆς ἁγίας μάρτυρος Φεβρωνίας. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Ποθήσασα Χριστὸν» κτλ., φ. 107.—Κανὼν τοῦ Θεοφάνους, οὗ ἡ ἀκροστιχίς· «Ὕμνοις σε μέλπω προσφόρως, Φεβρωνία»· ἦχος πλάγιος δ'. Ἀρχ. «Ὑπέρμαχε δόξης», φ. 108. Μηναῖον τοῦ Ἰουνίου, σ. 95.—«Ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ἁγίαν Φεβρωνίαν, οὗ ἡ ἀκροστιχὶς αὕτη· Φῶς μοι παράσχου σαῖς λιταῖς, Φεβρωνία». ἦχος β'. Ἀρχ. «Φωτιστικαῖς | τοῦ θείου πνεύματος χάρισιν», φ. 110· οὗτος δὲ ὁ κανὼν τύποις ἐστὶν ἀνέκδοτος.

41. «Μηνὶ τῷ αὐτῷ κς' τοῦ ὁσίου Δαυὶδ Θεσσαλονίκης. Κάθισμα, ἦχος πλάγιος α' πρὸς τὸ Τὸν συνάναρχον λόγον. Φυτευθεὶς

ὥσπερ ξύλον» κτλ., φ. 112^{β}. Κανὼν τοῦ Ἰωσὴφ τύποις ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Δαυὶδ γεραίρω τὸν βίον τὸν φωσφόρον»· ἦχος δ'. Ἀρχ. «Δυνάμει τοῦ πνεύματος».—Καὶ πάλιν τοῦ Ἰωσὴφ ἕτερος κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν Δαυίδ, οὗ ἡ ἀκροστιχίς· «Ὑμνῶ, μάκαρ σου, τὸν βίον θείοις λόγοις»· ἦχος πλάγιος α'. Ἀρχ. «Ὕμνοις τὴν φωτοφόρον καὶ θείαν μνήμην», φ. 115^{β}. Μηναῖον τοῦ Ἰουνίου, σ. 100.

42. «Μηνὶ τῷ αὐτῷ κζ' τοῦ ὁσίου Σαμψὼν τοῦ ξενοδόχου. Κάθισμα, ἦχος α' πρὸς τὸ Τὸν τάφον σου σωτήρ. Κτησάμενος ψυχὴν» κτλ., φ. 117^{β}.—Κανὼν τοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχίς· «Ὑμνῶ σε, Σαμψών, πίστεως θείοις λόγοις»· ἦχος β'. Ἀρχ. «Ὕμνοις τὴν σὴν φαεινοτάτην πανήγυριν», φ. 118^{β}. Μηναῖον τοῦ Ἰουνίου, σελ. 103.

43. «Μηνὶ τῷ αὐτῷ κη'· ἡ ἀνακομιδὴ τῶν λειψάνων τῶν ἁγίων Κύρου καὶ Ἰωάννου. Τροπάριον εἰς τὸ Θεὸς Κύριος· ἦχος πλάγιος α'. Τὰ τάγματα τῶν ἁγίων σου» κτλ., φ. 120^{β}.—Κανὼν τοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχίς· «Καλῶν δοτῆρες τῶν κακῶν ῥύσασθέ με»· ἦχος β'. Ἀρχ. «Κράτος ἐχθροῦ τῇ κραταιᾷ διαλύσαντες», φ. 121^{β}. Μηναῖον τοῦ Ἰουνίου, σ. 107.

44. «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ὁσιομάρτυρος Ἰωσὴφ καὶ τῶν σὺν αὐτῷ. Κάθισμα πρὸς τὸ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως. Ἀγωνισάμενος καλῶς» κτλ. φ. 123^{α}.—Κανὼν τοῦ Ἰωσὴφ τύποις ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Πληθὺν γεραίρω καλλινίκων μαρτύρων»· ἦχος δ'. Ἀρχ. «Πληθὺς φωτοειδῶν», φ. 124. Πρβλ. Σέργιον, **Полный Мѣсяцесловъ Востока** τ. II, σ. 171.

45. «Μηνὶ τῷ αὐτῷ κθ' τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου. Τροπάριον εἰς τὸ Θεὸς Κύριος· ἦχος δ'. Οἱ τῶν ἀποστόλων πρωτόθρονοι» κτλ., φ. 126^{β}. Μηναῖον τοῦ Ἰουνίου, σ. 113. (J. Pitra, Hymnographie de l'église grecque. Rome 1857, σ. LXXII).—Κανὼν τοῦ Ἰωάννου εἰς ἦχον δ'. Ἀρχ. «Ἄσομαί σοι, Κύριε ὁ Θεός μου, ὅτι τοὺς σοὺς ἀποστόλους», φ. 128^{β}. Ἐξεδόθη δ' ἀνωνύμως ὑπὸ τοῦ Pitra (ἔνθ' ἀνωτέρω σ. C—CV).—Τοῦ αὐτοῦ Ἰωάννου «ἕτερος κανὼν τοῦ ἁγίου Πέτρου τοῦ ἀπο-

στόλου»· ἦχος δ' πρὸς τὸ «Οὐκ ἔστι σοι ὅμοιος δεδοξασμένε». Ἀρχ. «Τὸν κορυφαιότατον τῶν ἀποστόλων», φ. 130β. Μηναῖον τοῦ Ἰουνίου, σ. 114.—Καὶ πάλιν Θεοφάνους «ἕτερος κανὼν τοῦ ἁγίου ἀποστόλου Πέτρου, οὗ ἡ ἀκροστιχίς· Πέτρον γεραίρω τὸν καλόν μου προστάτην. Ὠδὴ α' ἦχος β'· Δεῦτε λαοὶ ᾄσωμεν ᾆσμα. Πέτραν ζωῆς | καὶ ζωηφόρον», φ. 132β (Pitra σ. CXIII — CXVII. ἔκδοσις ἐλλιπεστάτη).—Εἶτα πάλιν τοῦ αὐτοῦ Θεοφάνους «κανὼν ἕτερος εἰς τὸν ἅγιον Παῦλον τὸν ἀπόστολον», κατ' ἦχον πλάγιον δ'. Ἀρχ. «Ὁ ὥσπερ ὄντα | καλῶν τὰ ἀνύπαρκτα», φ. 135. Μηναῖον τοῦ Ἰουνίου, σ. 115, ἔνθ' ὁ κανὼν οὗτος ἀνώνυμος κεῖται.

46. «Μηνὶ τῷ αὐτῷ λ' τῶν ἁγίων δώδεκα ἀποστόλων. Κάθισμα, ἦχος δ' πρὸς τὸ Ταχὺ προκατάλαβε. Φωστῆρες αὐγάζοντες | τῆς εὐσεβείας» κτλ., φ. 137.—Κανὼν τοῦ Θεοφάνους, οὗ ἡ ἀκροστιχίς· «Χριστοῦ γεραίρω τοὺς σοφοὺς ἀποστόλους»· ἦχος δ'. Ἀρχ. «Χορείαν τῶν ἀποστόλων μέλπειν μοι», φ. 137β. Μηναῖον τοῦ Ἰουνίου, σ. 122.

71. Τεῦχος μεμβράνινον, ἀκέφαλόν τε καὶ τῆς πολλῆς ἕνεκα χρήσεως ἠμαυρωμένον τε καὶ πολλαχοῦ νῦν δυσανάγνωστον κατα-στάν· ἐγράφη δὲ κατὰ τὴν ἑνδεκάτην πιθανῶς ἑκατονταετηρίδα, καὶ ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων κείμενον περιελήφθη μονόστηλον ἐκ γραμμῶν εἴκοσι καὶ ἐννέα (0,242 × 0,182 = 0,175 × 0,125). Καὶ ἐξ ἀρχῆς μὲν τὸ τεῦχος τριάκοντα καὶ τέσσαρα ἠρίθμει τετράδια· νῦν δ' ἐλλείπει τούτων τὰ πρῶτα δέκα, πλὴν φύλλων δύο τοῦ ι' τετραδίου, καὶ φύλλα τινὰ ἑτέρων τετραδίων. Περιεσώθη οὖν ἄχρι τοῦδε φύλλα 182· τούτων δὲ τὸ δεύτερον σημείωμά τι ἐν τῷ κρασπέδῳ περιέχει, γραφὲν μὲν τῷ πέμπτῳ καὶ δεκάτῳ αἰῶνι, λέγον δὲ τάδε· «† Ἐτούτη ἡ βίβλος, οἱ δύο μῆνες, εἶνε τοῦ ἁγίου Σάβα· καὶ ἔδωσά τες τοῦ μητροπολίτη εἰς τὴν Βηθλεέμ... † Καὶ ἄλλο χαρτί, ἰούνιος καὶ ἰούλιος. Ἰωάσαφ ἱερομόναχος».

1. Λείψανον μηναίου τοῦ Ἰουνίου μηνός, ἐν ᾧ τὸ τέλος αὐτοῦ περιέχεται, ἤτοι μέρος τι τοῦ ᾀσματικοῦ κανόνος, τοῦ κατὰ τὴν σύναξιν τῶν ἀποστόλων ψαλλομένου· ἄρχεται δὲ ὧδε· «Ἐπὶ τῆς σῆς ὁμολογίας», φ. 1.

2. Μηναῖον τοῦ Ἰουλίου μηνός, κατὰ διάταξίν τινα παλαιὰν τῆς ἐν Παλαιστίνῃ διατεταγμένον ἐκκλησίας, φ. 2-89. Σημείωσαι δέ, ὅτι κατὰ τὸ μηναῖον τοῦτο τῇ μὲν δεκάτῃ τοῦ ἰουλίου ἡμέρᾳ πλήρης ᾀσματικὴ ἐψάλλετο ἀκολουθία διὰ τοὺς ἐν Νικομηδείᾳ μόνον εἴκοσι καὶ πέντε μάρτυρας, τῇ δὲ ιγ' διὰ τὸν ὅσιον Στέφανον τὸν Σαβαΐτην, καὶ τῇ κϛ' διὰ τὸν ὅσιον μόνον Ἰωάννην τὸν Παλαιολαυρίτην.

3. Μηναῖον τοῦ Αὐγούστου μηνός, φ. 89β-182. Καὶ ἐν τούτῳ τῷ μηναίῳ ὑπάρχει τινὰ μνήμης ἄξια, ἐξ ὧν ἐγὼ τάδε συνίστημι· ὅτι τῇ μὲν ιγ' ἡμέρᾳ πλήρης ᾀσματικὴ ἐψάλλετο ἀκολουθία περὶ τῶν ἁγίων μόνον πατέρων ἡμῶν Μαξίμου τε καὶ Μαρτίνου καὶ Ἀναστασίου· τῇ δὲ ιθ' ἡμέρᾳ πλήρης ὡσαύτως ἀκολουθία ἐψάλλετο μόνον περὶ τοῦ ὁσίου Μακαρίου τοῦ τῆς Πελεκητῆς ἡγουμένου· ἡ δὲ λ' τοῦ αὐγούστου ἡμέρ' ἀνατέθειται τῇ μνήμῃ μόνον τοῦ ὁσίου Φαντίνου.

72. Τεῦχος μεμβράνινον ὑπὸ δύο μὲν διαφόρων γραφὲν καλλιγράφων, τῆς δυοκαιδεκάτης ἀκμαζούσης ἑκατονταετηρίδος, συνιστάμενον δ' ἐκ φύλλων 227, ὧν τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλόν ἐστι καὶ ἐκ γραμμῶν τριάκοντα καὶ τριῶν ἄχρι τριάκοντα καὶ ἑπτά ($0,255 \times 0,18 = 0,185 \times 0,12$). Κατὰ δέ τινα σημείωσιν ἀραβιστὶ γεγραμμένην ἐν τῷ 59-ῳ φύλλῳ, τὸ βιβλίον τοῦτο Χαλὴλ ὁ τοῦ παπᾶ Ἰωσὴφ ἀφιέρωσε τῷ μοναστηρίῳ τοῦ ἁγίου Γεωργίου, τῷ ἐπωνυμουμένῳ Τζιβρίτ.

1. Μηναῖον τοῦ Ἀπριλίου μηνός (φ. 1 — 59), οὗ μνήμης ἄξια τάδ' ἐστι· α') ὅτι τῇ δ' ἡμέρᾳ μνήμη μόνον τῶν μαρτύρων ἐτελεῖτο Θεοδούλου τε καὶ Ἀγαθόποδος, καὶ ὅτι κανὼν ἐψάλλετο τοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχίς· «Τῶν σῶν γεραίρω, Χριστέ, κλέος Ἰωσήφ», φ. 9β. — β') ὅτι ἡ ε' ἡμέρα Εὐτυχίῳ ἀνατέθειται τῷ Κωνσταντινουπόλεως ἀρχιεπισκόπῳ.—γ') ὅτι τῇ ϛ' ἡμέρᾳ ἐψάλλετο ἡ τῆς παρθενομάρτυρος Θεοδώρας ἀκολουθία, καὶ ὅτι ὁ κανὼν αὐτῆς ποίημά ἐστι τοῦ Ἰωσήφ· ἡ δὲ τούτου ἀκροστιχὶς ἔχει ὧδε· «Ὑμνεῖν σε, μήτηρ, προσθέτω χάριν Θεός», φ. 10β·— ε') ὅτι τῇ ιβ' ἡμέρᾳ ἡ μνήμη Δήμη τε μόνον καὶ Πρωτίωνος

τῶν μαρτύρων ἐπανηγυρίζετο, καὶ ὅτι τὸν κανόνα τούτων Ἰωσὴφ ἐποίησεν ὁ ὑμνῳδός, φ. 22. — ς') ὅτι τῇ ιε' ἐψάλλετο μόνον ἡ ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ ἐπισκόπου Παρίου, φ. 28.—ζ') ὅτι τῇ ιζ' ἑωρτάζετο μόνον ὁ ὅσιος Ἀκάκιος ὁ Μελιτινῆς καὶ ὅτι ὁ κανὼν αὐτοῦ ποίημά ἐστι τοῦ Θεοφάνους· ἡ δὲ τούτου ἀκροστιχὶς ἔχει ὧδε· «Τὴν σὴν τελευτὴν συντόνως μέλπω, πάτερ», φ. 28. — η') ὅτι ἡ ιζ' ἡμέρα τῇ μνήμῃ ἀνατέθειται τοῦ ὁσίου Ἰωάννου τοῦ Παλαιολαυρίτου (ὅρα καὶ σελ. 129) καὶ ὅτι ὁ ἐγκωμιαστικὸς αὐτοῦ κανὼν ποίημά ἐστι τοῦ Θεοφάνους· ἡ δὲ ἀκροστιχὶς αὐτοῦ ἔχει ὧδε· «Ἐπὶ ξένης θανόντα σε κροτῶ, πάτερ», φ. 35β.—θ') ὅτι τῇ κ' ἐψάλλετο μόνον ἡ ἀκολουθία τοῦ ὁσίου Γεωργίου «τοῦ εἰς τὸ Μάλαιον».— ι') ὅτι τῇ κα' ἡμέρᾳ ὁ ὅσιος ἑωρτάζετο Τιμόθεος (ὁ ἐν τοῖς Συμβόλοις ?) καὶ ὅτι κανὼν τοῦ Θεοφάνους ἐψάλλετο, οὗ ἡ ἀκροστιχίς· «Θεόν σε τιμήσαντα τιμήσω, πάτερ», φ. 39.— ια') ὅτι ἡ κδ' ἀνατέθειται μόνον τῷ μάρτυρι Σάβᾳ τῷ στρατηλάτῃ, καὶ ὅτι τοῦ κανόνος αὐτοῦ ποιητής ἐστιν ὁ Ἰωσήφ· ἡ δὲ τούτου ἀκροστιχὶς ἔχει ὧδε· «Ὁ παμμέγιστος μάρτυς ὑμνείσθω Σάβας», φ. 45.—ιβ') ὅτι ὁ τῇ κε' ἡμέρᾳ ψαλλόμενος κανὼν εἰς Μᾶρκον τὸν εὐγγελιστήν, ποίημα τοῦ Θεοφάνους ἐστί, καθάπερ Βαρθολομαῖος εἴκασεν ὁ Κουτλουμουσιανός.—ιγ') ὅτι ἡ κη' ἀνατέθειται τῷ ἀποστόλῳ Ἰάσωνι, καὶ ὅτι ὁ κανὼν αὐτοῦ ποίημα τοῦ Ἰωσήφ ἐστιν· ἡ δὲ ἀκροστιχὶς ἔχει ὧδε· «Τὸν κλεινὸν Ἰάσων' ὑμνῶ προφρόνως», φ. 53β.—ιδ') ὅτι τῇ κθ' ἐψάλλετο μόνον ἡ ἀκολουθία τοῦ ὁσίου Μέμνονος τοῦ ἐν Λυκίᾳ, καὶ ὅτι τὸν κανόνα τούτου ἐποίησεν ὁ Ἰωσήφ, ἀκροστιχίδα ἔχοντα τήνδε· «Τὸν φωσφόρον σου, Μέμνων, δοξάζω βίον», φ. 55β.

2. Μηναῖον τοῦ Μαΐου μηνός, φ. 60-121. Καὶ ἐν τούτῳ μνήμης ἄξιά ἐστι στιχηρά τινα τροπάρια καὶ κανόνες, οἳ κατὰ τὰς ἐφεξῆς ἐψάλλοντο ἡμέρας. α') Ἑσπέρου καὶ Ζωῆς τῇ β' μαΐου.— β') τοῦ μάρτυρος Ὀλβιανοῦ τῇ δ'.—γ') τοῦ ἁγίου Ἀλεξάνδρου τοῦ Χιότου τῇ ιγ'.—δ') τοῦ προφήτου Ζαχαρίου τῇ ις'.—ε') τοῦ ὁσίου Μιχαὴλ τοῦ ἐπισκόπου Συνάδων, τῇ κβ' μαΐου.—ς') τοῦ

ἁγίου Κλήμεντος τοῦ ποιητοῦ τῇ κγ'. — ζ') τῶν ἁγίων Μητροδώρου Ἀρτεμιδώρου καὶ Γλύκωνος τῇ λ' μαΐου.

3. Μηναῖον τοῦ Ἰουνίου μηνός, φ. 122-176. Σημείωσαι δέ, ὅτι καὶ ἐκ τοῦ μηναίου τούτου μανθάνομεν τάδε. Καὶ πρῶτον μέν, ὅτι τῇ δ' ἡμέρᾳ κανὼν ἐψάλλετο πρὸς Μητροφάνην τὸν Κωνσταντινουπόλεως (ποίημα τοῦ μελῳδοῦ Ἰγνατίου), οὗ ἡ ἀρχή· «Ἐν φωτὶ ἀΰλῳ»· εἶτα δ' ὅτι ἡ μὲν ε' ἡμέρα ἀνατέθειται τῷ ὁσίῳ Ἱλαρίωνι τῷ νέῳ, ἡ δ' ς' τῷ ἱερομάρτυρι Δωροθέῳ. Κατὰ δὲ τὴν ι' ἐψάλλετο μόνον ἡ τοῦ ὁσίου Ὀνουφρίου ἀκολουθία, κατὰ δὲ τὴν ια' ἡ τοῦ ἀποστόλου Βαρνάβα, τῇ δὲ μετὰ ταύτῃ ἡ τῆς ἁγίας Μαρίας τῆς ἐν Περγάμῳ μαρτυρησάσης, καὶ τῇ ἐφεξῆς ἡ τοῦ ὁσίου Τριφυλλίου· κατὰ δὲ τὴν ιε' ἡ τοῦ ἀποστόλου Φουρτουνάτου καὶ τῇ κβ' ἡ τοῦ ὁσίου Πέτρου τοῦ Ἀθωνίτου.

4. Μηναῖον τοῦ Ἰουλίου μηνός, φ. 177-227. Σημείωσαι καὶ ἐνταῦθα α') ὅτι ὁ τοῦ ἁγίου μάρτυρος Ὑακίνθου κανὼν ὑπὸ τοῦ μελῳδοῦ ἐποιήθη Θεοφάνους· β') ὅτι ὁ αὐτός ἐστι συντάκτης καὶ τοῦ ψαλλομένου κανόνος τῇ μνήμῃ τοῦ ἁγίου Ἀνδρέου τοῦ Κρήτης· γ') ὅτι τῇ ε' τοῦ ἰουλίου ἡ μνήμη τοῦ ἁγίου ἐγεραίρετο Ἀστίου τοῦ ἐπισκόπου Δυρραχίου καὶ ὅτι τὸν ᾀσματικὸν αὐτοῦ κανόνα συνέταξεν ὁ μελῳδὸς Ἰωσήφ· δ') ὅτι τῇ ιδ' ἐπανηγυρίζετο μόνον Ἰωσὴφ ὁ Θεσσαλονίκης, καὶ ὅτι τὸν κανόν' αὐτοῦ Θεοφάνης ἐποίησεν ὁ μελῳδός· ε') ὅτι τῇ κα' μόνος ὡσαύτως Ἰεζεκιὴλ ὁ προφήτης ἑωρτάζετο· ς') ὅτι ἡ κγ' ἡμέρα καθιερωμένη ἦν τῇ μνήμῃ τῶν μαρτύρων Τροφίμου τε καὶ Θεοφίλου καὶ τῶν σὺν αὐτοῖς· ζ') ὅτι τῇ κη' ἐπανηγυρίζετο ἡ μάρτυς Θεοδότη, καὶ η') ὅτι τῇ λ' τοῦ ἰουλίου ἡ μνήμη τῶν μαρτύρων μόνον ἐτελεῖτο Ἁγνῆς τε καὶ Λουκίας· τελευτᾷ δὲ νῦν ὁ τούτων ᾀσματικὸς κανὼν εἰς τάσδε τὰς λέξεις τοῦ τῆς α' ᾠδῆς θεοτοκίου· «Γῆθεν βροτοὶ | ἤρθημεν εἰς τὰ οὐράνια, | ἐπὶ τῆς γῆς τεκούσης σου | τὸν τεκτηνάμενον | οὐρανοὺς ἐν σοφίᾳ, | ἀεί σε Θεοτόκον Κυρίου σεβόμ[εθα]».

73. Τεῦχος μεμβράνινον, περὶ τὸ τέλος γραφὲν τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, καὶ νῦν ἐκ φύλλων συνιστάμενον

*

222, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 23 (0,245 × 0,18 = 0,165 × 0,165 = 0,105)· ἐμπεριέχει δὲ μηναῖον τοῦ Ὀκτωβρίου μηνός, οὗ ἡ ἀρχή· «Μὴν ὀκτώβριος α'· τοῦ ἁγίου ἀποστόλου καὶ μάρτυρος Ἀνανίου, ἑνὸς τῶν ἑβδομήκοντα, καὶ τοῦ ὁσίου Ῥωμανοῦ τοῦ μελῳδοῦ. Εἰς τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἀποστόλου· ἦχος δ'. Ὁ ἐξ ὑψίστου. Ὁ τὴν ἀκτῖνα τὴν θείαν δεδεγμένος» κτλ. Ῥητέον δ' ἔτι, ὅτι ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει 27 φύλλα ἐκ χάρτου, καὶ ὅτι μέρος ταῦτα κώδικός τινός ἐστι τοῦ ἑπτακαιδεκάτου αἰῶνος· ἐν τούτοις δὲ ἡ πρὸς Γαλάτας ἑρμηνεύετ' ἐπιστολὴ τοῦ ἀποστόλου Παύλου. Ἀρχ. «Οὐκ ἀπ' ἀνθρώπων ἀποσταλείς: Ἐκ τοῦ ἐνεστῶτος πονηροῦ αἰῶνος· οὐ τὴν ζωὴν λέγει ἐνταῦθα, ἀλλὰ τὰς φαύλας πράξεις καὶ τὴν ἐνταῦθα πονηρὰν καὶ διεφθαρμένην ζωήν: — Ἀνθρώπους πείθω, ἀπολογοῦμαι. Ζηλωτὴς ὑπάρχων, ζῆλον ἔχων, ἤγουν δικαίαν ὀργὴν καὶ σφοδρὰν ἀγανάκτησιν» κτλ. Τοῦ δὲ μηναίου μνήμης ἄξια τάδ' ἐστιν.

1. Θεοφάνους τοῦ μελῳδοῦ, κανὼν εἰς τὸν ὅσιον Ῥωμανόν, οὗ ἡ ἀκροστιχίς· «Ῥωμανὸν ὑμνῶ τῆς μελῳδίας λύραν»· ἦχος α', φ. 3.

2. Ἰωάννου μοναχοῦ, κανὼν εἰς τὸν ἀπόστολον Θωμᾶν, οὗ ἡ ἀρχή· «Ἅρματα Φαραώ», φ. 31.

3. Θεοφάνους, κανὼν εἰς τοὺς μάρτυρας Σέργιον καὶ Βάκχον, οὗ ἡ ἀκροστιχίς· «Σέργιον ἀθλοφόρον καὶ Βάκχον ἀοίδιμον ᾄδω», φ. 40. Ἐν δὲ τῷ τετυπωμένῳ μηναίῳ κεῖται ἀνώνυμος.

4. Κανὼν τῇ ιγ' ὀκτωβρίου, «οὗ ἡ ἀκροστιχίς: Κάρπον τε καὶ Πάπυλον ᾄσμασι στέφω: ὁ Ἰωσήφ», φ. 91.

5. Θεοφάνους τοῦ μελῳδοῦ κανὼν τῇ ιδ', «οὗ ἡ ἀκροστιχίς: Κοσμᾶν ἐπαινῶ τὸν μελουργὸν προφρόνως: ἦχος δ'», φ. 97.

6. Κανὼν εἰς τὸν ἀπόστολον Λουκᾶν, οὗ ἡ ἀρχή· «Τῆς ἀνωτάτης σοφίας», φ. 123· ποιητὴς δὲ τοῦ κανόνος Ἰωάννης ἐστὶν ὁ μοναχός, καὶ οὐχὶ Θεοφάνης, ὡς ἐν τῷ τετυπωμένῳ γέγραπται μηναίῳ.

7. Προσθῆκαι τοῦ ιδ' αἰῶνος· α') στιχηρά τινα τροπάρια περὶ

τῆς ζ' οἰκουμενικῆς συνόδου, φ. 75β. β') δοξαστικὸν εἰς τὸν ὅσιον Ἀνδρέαν τὸν ἐν τῇ Κρίσει, φ. 115β. γ') στιχηρὰ τροπάρια εἰς τὸν μεγαλομάρτυρα Δημήτριον, φ. 221β.

8. Ἐλλείπουσιν αἱ ἀρχαὶ δύο ἀκολουθιῶν, ἐκκοπεῖσαι ἢ παρὰ τοῦ Πορφυρίου ἢ παρ' ἄλλου τινός· α') ἡ ἀρχὴ τῆς ἀκολουθίας Ἀλφαίου τοῦ ἀποστόλου· ὅρα μετὰ τὸ 50-ὸν φύλλον· β') ἡ τῆς ἀκολουθίας Λουκιανοῦ τοῦ ὁσιομάρτυρος. Ἐλλείπει δ' ἔτι καὶ τὸ τέλος τῆς ᾀσματικῆς ἀκολουθίας Ἱλαρίωνος τοῦ ὁσίου.

74. Τεῦχος ἀκέφαλόν τε καὶ ἀτελές, σῷζον μὲν ἤδη φύλλα χάρτου 193, γεγραμμένον δὲ περὶ τὴν ἀρχὴν τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος· μία δ' ἑκάστη τῶν σελίδων αὐτοῦ κείμενον ἐμπεριέχει μονόστηλον ἐκ γραμμῶν εἴκοσι καὶ ἐννέα (0,262 × 0,202 = 0,208 × 0,14), ἤτοι λόγους τινὰς Γρηγορίου τοῦ Θεολόγου κατὰ τὴν ἐφεξῆς τεταγμένους τάξιν.

1. Λόγος τις ἀκέφαλος, οὗ αἱ πρῶται λέξεις ἔχουσι νῦν ὧδε· «. . . γου ζωγραφίας ἀμπεχόμενον, ἤδη ποικιλότερον» κτλ., φ. 1. Τέλος· «καὶ πρὸς ἡμᾶς ἐπανήκειν πλουσίως, πλούσιος δευτεροστεφανίτης, καὶ μεθ' ἡμῶν ᾄσων τὸν ἐπινίκιον νῦν τε καὶ ὕστερον, ἐν Χριστῷ τῷ κυρίῳ» κτλ.

2. «Κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως στηλιτευτικὸς λόγος πρῶτος», οὗ ἡ ἀρχή· «Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη», φ. 46β. Migne τ. 35, σ. 532.

3. «Εἰς Ἥρωνα τὸν φιλόσοφον Ἀλεξανδρέα, ἐξορισθέντα διὰ τὴν πίστιν καὶ ἐπανελθόντα μετὰ τετραέτη χρόνον». Ἀρχ. «Τὸν φιλόσοφον ἐπαινέσω», φ. 53. Migne τ. 35, σ. 1197.

4. «Εἰς ἑαυτὸν ἐξ ἀγροῦ ἐπιστάντα» κτλ. Ἀρχ. «Ἐπόθουν ὑμᾶς», φ. 61. Migne τ. 35, σ. 1228.

5. «Εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας ἐπιθυμεῖν αὐτὸς τῆς Κωνσταντινουπόλεως». Ἀρχ «Ἐγὼ θαυμάζω τί ποτέ ἐστιν», φ. 70β. Migne τ. 36, σ. 265.

6. «Πρὸς Κληδόνιον πρεσβύτερον κατὰ Ἀπολλιναρίου λόγος α'», οὗ ἡ ἀρχή· «Ἐπειδὴ πολλοὶ προσιόντες», φ. 77. Migne τ. 37, σ. 193.

7. «Πρὸς Κληδόνιον». Ἀρχ. «Τῷ τιμιωτάτῳ», φ. 80. Migne τ. 37, σ. 176.

8. «Εἰς τὸν κατάπλουν τῶν Αἰγυπτίων ἐπισκόπων». Ἀρχ. «Τοῖς ἐξ Αἰγύπτου προσφθέγξομαι», φ. 87. Migne τ. 36, σ. 241.

9. «Περὶ θεολογίας λόγος β'», οὗ ἡ ἀρχή· «Ἐπεὶ δὲ ἀνεκαθήραμεν», φ. 100^{β}. Migne τ. 36, σ. 26.

10. «Περὶ τοῦ ἁγίου βαπτίσματος». Ἀρχ. «Ὁ μὲν δὴ περὶ τοῦ υἱοῦ», φ. 128. Migne τ. 36, σ. 133.

11. «Περὶ υἱοῦ λόγος β'», οὗ ἡ ἀρχή· «Ἐπεὶ δέ σου τὰς μὲν ἐκ τῶν λογισμῶν», φ. 133. Migne τ. 36, σ. 104.

12. «Περὶ υἱοῦ λόγος α', βιβλίον β'». Ἀρχ. «Ἃ μὲν οὖν εἴποι τις», φ. 138^{β}. Migne τ. 36, σ. 73.

13. «Πρὸς Εὐνομιανοὺς καὶ περὶ θεολογίας προδιάλεξις». Ἀρχ. «Πρὸς τοὺς ἐν λόγῳ κομψούς», φ. 149. Migne τ. 36, σ. 12.

14. «Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς ἀνθρώπου οὐδὲ παντὸς καιροῦ τὸ διαλέγεσθαι περὶ θεότητος». Ἀρχ. «Ἐπειδὴ συνεληλύθατε προθύμως», φ. 166^{β}. Migne τ. 36, σ. 173.

15. «Εἰρηνικὸς β'», οὗ ἡ ἀρχή· «Θερμὸς ὁ ζῆλος, πρᾷον τὸ πνεῦμα», φ. 172^{β}. Migne τ. 35, σ. 1152.

16. «Εἰρηνικὸς α'», οὗ ἡ ἀρχή· «Λύει μου τὴν γλῶτταν», φ. 182^{β} (Migne τ. 35, σ. 721). Τέλος· «οὐ φαύλως δ' ἂν προστιθείην ὅτι καὶ τῆς αἰσχύνης ἡμᾶς τοῦτο τοῦ μικροπο . . .».

75. Τεῦχος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ 260 φύλλων βαμβακεροῦ χάρτου καὶ κείμενον ἐμπεριέχον μονόστηλον ἐκ γραμμῶν 23 (0,255×0,172=0,175×0,11)· ἔστι δὲ ἀκέφαλόν τε καὶ ἀτελές, καὶ τὴν ἀρχὴν αὐτοῦ νῦν ἀπὸ τοῦ δευτέρου ποιεῖται τετραδίου· τὸ δ' ἔσχατον τετράδιον τριακοστὸν καὶ πέμπτον ἀριθμεῖται. Περιεῖχε δὲ τὸ βιβλίον ἐξ ἀρχῆς λόγους ἑκκαίδεκα Γρηγορίου τοῦ Θεολόγου, ἐξ ὧν ἐλλείπουσι νῦν ὁ πρῶτος καὶ αἱ ἀρχαὶ τοῦ δευτέρου καὶ τοῦ ἕκτου λόγου.

1. Ὁ εἰς Μάμαντα τὸν μάρτυρα λόγος, ἀρχόμενος ἀπὸ τῶν λέξεων τῶνδε· « . . . ιγῶνται ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες», φ. 1.

2. «Λόγος εἰς τὴν καινὴν κυριακὴν καὶ εἰς τὸ ἔαρ». Ἀρχ. «Ἐγκαίνια τιμᾶσθαι», φ. 20β. Migne τ. 36, σ. 608.

3. «Λόγος εἰς τὴν ἁγίαν πεντηκοστήν», οὗ ἡ ἀρχή· «Περὶ τῆς ἑορτῆς βραχέα», φ. 28. Migne τ. 36, σ. 428.

4. «Λόγος εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης». Ἀρχ. «Τί λύετε τάξιν», φ. 40 (Migne τ. 35, σ. 933). Ἐλλείπει τὸ τέλος.

5. Λόγος τις ἀκέφαλος, ἴσως δὲ ὁ περὶ τῶν Μακκαβαίων φ. 49.

6. «Εἰς τὸν μάρτυρα Κυπριανόν». Ἀρχ. «Μικροῦ Κυπριανός», φ. 54. Migne τ. 35, σ. 1169.

7. «Εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν». Ἀρχ. «Τίς ἡ τυραννίς», φ. 67. Migne τ. 35, σ. 1044.

8. «Λόγος εἰς τὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γέννησιν». Ἀρχ. «Χριστὸς γεννᾶται», φ. 78. Migne τ. 36, σ. 312.

9. «Λόγος ἐπιτάφιος εἰς τὸν ἅγιον καὶ μέγαν Βασίλειον». Ἀρχ. «Ἔμελλεν ἄρα», φ. 90. Migne τ. 36, σ. 493.

10. «Λόγος εἰς τὰ ἅγια φῶτα», οὗ ἡ ἀρχή· «Πάλιν Ἰησοῦς ὁ ἐμός», φ. 152. Migne τ. 36, σ. 356.

11. «Λόγος εἰς τὸ ἅγιον βάπτισμα», οὗ ἡ ἀρχή· «Χθὲς τῇ λαμπρᾷ», φ. 166. Migne τ. 36, σ. 360.

12. «Λόγος εἰς Γρηγόριον τὸν ἀδελφὸν τοῦ μεγάλου Βασιλείου». Ἀρχ. «Φίλου πιστοῦ», φύλ. 205. Migne τ. 35, σελ. 832.

13. «Λόγος εἰς τὸν ἅγιον καὶ μέγαν Ἀθανάσιον, ἀρχιεπίσκοπον Ἀλεξανδρείας». Ἀρχ. «Ἀθανάσιον ἐπαινῶν», φ. 211. Migne τ. 35, σ. 1081.

14. «Λόγος εἰς τὴν τῶν ἑκατὸν πεντήκοντα ἐπισκόπων παρουσίαν, ὁ συντακτήριος». Ἀρχ. «Πῶς ὑμῖν τὰ ἡμέτερα», φ. 237. Migne τ. 36, σ. 457.

15. «Λόγος περὶ φιλοπτωχίας», οὗ ἡ ἀρχή· «Ἄνδρες ἀδελφοὶ καὶ συμπένητες», φ. 258β (Migne τ. 35, σ. 857). Τέλος· «κόσμον καθαίρων τῆς ἁμαρτίας».

76. Τεῦχος μεμβράνινον, λείψανα περικλεῖον τριῶν διαφόρων κωδίκων τῆς δεκάτης ἑκατονταετηρίδος.

α΄) Φύλλα τέσσαρα, περιέχοντα μέρος ὁμιλίας τινὸς κατὰ γυναικῶν (πιθανῶς τοῦ Χρυσοστόμου). Ἀρχ. «τῶν ἐν γάμῳ περιελθόντων καὶ τεκνογονίαις μητέρες ἀναδειχθείσαις». Τέλος· «εἰ μὴ ὁ ἀκοίμητος ὀφθαλμὸς προέφθασεν καὶ ἐξείλατο αὐτὸν ἐκ τοῦ πικροῦ θανάτου». Καὶ τὸ μὲν κείμενον μονόστηλόν ἐστι καὶ γραμμὰς κατὰ σελίδα πᾶσαν εἴκοσι καὶ ἓξ ἀριθμεῖ (0,252 × 0,153 = 0,19 × 0,9)· ἡ δὲ γραφή, εἰ καὶ σφόδρα ξανθὴ καὶ σφαλμάτων ἐστὶ πλήρης καὶ τόνων πολλαχοῦ στέρεται καὶ τὰς λέξεις ἔχει πρὸς ἀλλήλας συνδεδεμένας, φαίνεταί μοι διακεχαραγμένη παρὰ καλλιγράφου τινὸς ἢ περὶ τὸ τέλος τῆς ἐνάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δεκάτης ἀκμάσαντος ἑκατονταετηρίδος.

β΄) Φύλλα 5-132· λείψανον ἑτέρου κώδικος, κείμενον ἐμπεριέχον μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ τριῶν (0,26 × 0,19 = 0,21 × 0,128)· ὑπάρχουσι δ' ἐν αὐτῷ ὁμιλίαι τοῦ μοναχοῦ Ἀντιόχου τοῦ Πανδέκτου, αἱ ἀπὸ τοῦ ιζ΄ μέχρι τοῦ ρλ΄ ἀριθμοῦ. Καὶ τῆς μὲν πρώτης τῶν ὁμιλιῶν τούτων ἡ ἀρχὴ ἐλλείπει νῦν· ἄρχεται γὰρ ἤδη τὸ κείμενον ὧδε· «ὕδατι ἔξοδον καὶ γυναικὶ πονηρᾷ παρρησίαν» κτλ. (Migne τ. 89, σ. 1480). Μετὰ δὲ τὸ 129-ον φύλλον ἔλλειμμά τι ὑπάρχει ἐκ φύλλων δύο, ἃ τὴν ἀκολουθίαν τοῦ ρλ΄ λόγου εἶχεν, ἤτοι τοῦ περὶ βασιλείας οὐρανῶν, καὶ τὴν ἀρχὴν τοῦ περὶ ἐξομολογήσεως λόγου· ταῦτα δὲ Πορφύριος ὁ Οὐσπένσκης ἀφείλετο καὶ τῇ ἐν Πετρουπόλει αὐτοκρατορικῇ δέδωκε βιβλιοθήκῃ, ἔνθα καὶ νῦν ὑπάρχει, τὸν 342-ον ἀριθμὸν ἔχοντα (Отчетъ Импер. публ. Библіотеки за 1883 годъ, σ. 133, ἀριθ. 85). Μετὰ δὲ τὸν εἰρημένον περὶ ἐξομολογήσεως λόγον τὸ τέλος ὑπάρχει τῆς βίβλου κατὰ τοῦτον τὸν τρόπον· «Ἀντιόχου, μοναχοῦ τῆς λαύρας τοῦ ἀββᾶ Σάβα, πρὸς Εὐστάθιον ἡγούμενον μονῆς Ἀτταλίνης, πόλεως Ἀγκύρας τῆς Γαλατίας, κεφάλαια διάφορα ρλ΄ καὶ (περὶ) προσευχῆς καὶ ἐξομολογήσεως. Τὸ χρέος τῆς παρ' ὑμῶν ἐπιταγῆς ἀποπληρώσας, τίμιε πάτερ Εὐστάθιε, τὸν πανδέκτην τῆς θεοπνεύστου γραφῆς, ἔστειλα

τῇ ὑμετέρᾳ θεοφιλείᾳ, περιστήσας εἰς ἑκατὸν τριάκοντα κεφάλαια· ὃν δεχόμενος ἀδιαλείπτως πρέσβευε ὑπὲρ ἡμῶν πρὸς τὸν φιλάνθρωπον Θεὸν ὑπὲρ τῆς ἐμῆς ἐλεεινότητος, ἵνα εὕρω ἔλεος ἐν τῇ παρουσίᾳ τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου Θεοῦ». Καὶ πάλιν· «Οὗτος ὁ Ἀντίοχος τὸ γένος Γαλάτης ὑπῆρχεν ἀπὸ κώμης λεγομένης Μεδοσάγα, διακειμένης ἐν τοῖς μέρεσι τῆς αὐτῆς πόλεως Ἀγκύρας, ὡς ἀπὸ σημείων κ'. Ἐπιθυμίαν δὲ ἔχων τοῦ μονήρους βίου, ἀπετάξατο ἐν τῇ προρρηθείσῃ μονῇ τῇ λεγομένῃ Ἀτταλίνῃ, καὶ μετ' ὀλίγον ὑπεισῆλθεν αὐτῷ πόθος τοῦ προσκυνῆσαι τοὺς ἁγίους τοῦ Χριστοῦ τόπους καὶ οἰκῆσαι τῇ αὐτόθι παρακειμένῃ ἐρήμῳ· καὶ ἐλθὼν κατῴκησεν ἐν τῇ λαύρᾳ τοῦ ἀββᾶ Σάβα, τῇ διακειμένῃ κατὰ μεσημβρίαν τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ ὡς ἀπὸ σταδίων π', καὶ ἔμεινεν ἐν αὐτῇ ἐν Χριστῷ τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ» (ὅρα καὶ Lambecii, Commentariorum liber tertius, Vindob. 1670, σ. 139-140). Τοῦτο δὲ τὸ σημείωμα τὴν πρώτην σελίδα τοῦ 131-ου φύλλου πληροῖ, ἔνθα ὁ καλλιγράφος καὶ τὴν ἰχνογραφίαν ἔγραψε τοῦ τε Ἀντιόχου καὶ τοῦ ὁσίου Σάβα καὶ τοῦ Εὐσταθίου, ἥπερ, εἰ καὶ ἀτελής ἐστι καὶ ἀκόσμητος, τυγχάνει ὅμως λόγου τινὸς ἀξία οὖσα παρὰ τῶν τὴν χριστιανικὴν ἐξακριβούντων τέχνην.

γ') Φύλλα 133-136· λείψανον ἄλλου τινὸς κώδικος, οὗ τὰ μὲν φύλλα ἠριθμημένα ὑπάρχει (ρι'-ριγ'), τὸ δὲ κείμενον μονόστηλόν τε καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τριῶν ($0,24 \times 0,182 = 0,172 \times 0,12$)· περιέχει δὲ τοῦτο ἐν μὲν τῇ ἀρχῇ λόγον περὶ νηστείας ἀκέφαλον Θεοδώρου τοῦ Στουδίτου, οὗ αἱ πρῶται νῦν λέξεις ὧδέ πως ἔχουσιν· «ἀλλὰ καὶ λαϊκοῖς μικροῖς τε καὶ μεγάλοις, ἄρχουσί τε καὶ ἀρχομένοις, βασιλεῦσί τε καὶ ἱερεῦσιν, παντί τε γένει καὶ πάσῃ ἡλικίᾳ σωτήριός ἐστιν ὁ προκείμενος καιρός» (Novae Patrum bibliothecae ab Ang. Maio collectae tomus nonus editus a Jos. Cozza-Luzi. Romae 1888, σ. 130). Μετὰ δὲ τὸ τέλος τοῦ ἀκέφαλου τούτου λόγου, ἄλλος τις ἀτελὴς ὑπάρχει λόγος, ἐπιγεγραμμένος μὲν «περὶ τοῦ κατακοσμεῖν τὴν ἄφθαρτον ἡμῶν οἰκίαν διὰ τῆς τῶν ἀρετῶν ἀναλήψεως», ἀρχό-

μενος δὲ ὧδε· «Ἀδελφοὶ καὶ πατέρες, βιωτικοὶ μὲν ἄνδρες ὁπηνίκα οἰκίαν ἐγείρωσι πολυτελῆ» κτλ. Λήγει δὲ εἰς τὰς λέξεις τάσδε· «καὶ ἀναμένειν τὴν τελευταίαν ἡμέραν, ἐν ᾗ σὺν ἁγίοις ἐκλάμψοιτε ὡς ὁ ἥλιος, κληρο[νομοῦντες]». Novae Patr. biblioth. τ. IX, σ. 133 κέ.

77. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἔτει 1473-ῳ, συγκείμεμενον δ' ἐκ σελίδων ἠριθμημένων 412, καὶ ὕψους μὲν ὂν 0,26, πλάτους δὲ 0,172· τὸ δ' ἐν αὐταῖς κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ὀκτὼ (0,202 × 0,125). Περιέχει δὲ πρὸς τῷ τέλει γράμμασιν ἐρυθροῖς ὑπομνήματά τινα τοῦ καλλιγράφου, ἅπερ ἔχει ὧδε· «Πληρώσας εἶπον Θεῷ τῶ πάντων δόξα:- | Ἡ βίβλος αὕτη, ἐγράφη ἐν τῇ μονῇ τοῦ Σινᾶ:- | Θεοῦ τὸ δῶρον καὶ πόνος Σωφρονίου:- | ✝ Ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ τοῦ οἰκτροτάτου καὶ ἀνωφελοῦς Σωφρονίου τάχα καὶ μοναχοῦ, ἐν τῷ ‚ϛϠπα΄ ἔτει ἰνδικτιῶνος ϛ΄ κατὰ μήνα (-μῆνα) μάρτιον, καὶ οἱ ἀναγινώσκοντες αὐτό, εὔχεσθέ μοι τὸν ἐλεεινὸν καὶ ἀπάνθρωπον, οὐ μόνον διὰ τὰ σφάλματα τῆς γραφῆς, ἀλλ' ὅτι καὶ πάντας βροτοὺς ὑπερέβην τῇ ἀσωτεία, καὶ οὐδὲν ἀγαθὸν εἰς ἐμαυτὸν σύνοιδα· διὸ καὶ χρήζω εὐχῆς καὶ ἐλέους ὅπως ἵλεως γένηται ἐν ἐμοὶ ὁ Κύριος ἐν τῇ ἡμέρα τῇ φοβερᾶ τῆς κρίσεως. Αὐτῶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν: ✝ — ✝ Ὁ ἐλεεινὸς καὶ ἁμαρτωλὸς Σωφρόνιος ὁ Ἀπλωστάνης, ὁ ἄποτου (-ἀπὸ τοῦ) Συλλαίου τῆς Παμφυλίας, παρακαλῶ πάντας τοὺς ἀναγινώσκοντας ταύτην τὴν βίβλον, εὔχεσθαί μοι διὰ τὸν Κύριον, ὅτι πάντας ὑπερέβην τῇ ἁμαρτία, τῇ ἀσωτία, τῇ ἀσελγία καὶ τὰ τούτων ὅμοια, καὶ δέομαι πολ[λάκις] πρεσβείαις ὑπὲρ ἐμοῦ, ἵνα παρήδη(-παρίδῃ) ὁ εὔσπλαγνος καὶ ἐλεήμων Θεὸς τὰ ἐσφαλμένα μου πάντα, διὰ τῶν ἁγίων εὐχῶν ὑμῶν, καὶ ῥύσαιτέ με τῆς αἰωνίου κολάσεως, καὶ τύχημεν (-τύχωμεν) πάντες τῆς αἰωνίου βασιλείας αὐτοῦ· ἀμήν:—✝ Ἐγράφη ἐν τι (-τῇ) ἁγιωτάτη μονῇ τοῦ Σιναίου ὄρους, ἐν τῶ μαρτυρίω τῶν ἁγίων μεγάλων μαρτύρων Σεργίου καὶ Βάκχου, ὧν (-ὧν) ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλεήσει καὶ σώσει πάντας ἡμᾶς τῇ αὐτοῦ ἀγαθότητι· ἀμήν, ἀμήν, ἀμήν: ✝». Καὶ

τοιαῦτα μὲν ὁ καλλιγράφος λέγει· ἃ δὲ τὸ τεῦχος ἐμπεριέχει, τάδ' ἔστιν.

1. «Ἐπιστολὴ πρὸς ἀδελφὸν αἰτήσαντα πεμφθῆναι αὐτῷ τοὺς εὑρεθέντας λόγους τοῦ ὁσίου πατρὸς ἡμῶν ἀββᾶ Δοσιθέου». Ἀρχ. «Ἐπαινῶ σου τὴν προαίρεσιν», σελ. 1. Migne τ. 88, σ. 1613.

2. «Περὶ τοῦ ἀββᾶ Δοσιθέου». Ἀρχ. «Ὁ μακάριος ὄντως», σ. 5. Ἱεροσολυμιτ. Βιβλιοθ. τ. I, σ. 105.

3. «Τοῦ αὐτοῦ περὶ τοῦ μετὰ σκοποῦ καὶ νήψεως ὁδεύειν τὴν ὁδὸν τοῦ Θεοῦ». Ἀρχ. «Φροντίσωμεν ἑαυτῶν», σ. 16. Migne τ. 88, σ. 1724.

4. «Τοῦ αὐτοῦ περὶ ταπεινοφροσύνης», Ἀρχ. «Εἶπέ τις τῶν γερόντων», σ. 25. Migne τ. 88, σ. 1640.

5. «Τοῦ αὐτοῦ περὶ συνειδήσεως». Ἀρχ. «Ὅτε ἐποίησεν ὁ Θεός», σ. 36. Migne τ. 88, σ. 1652.

6. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου. Ἰστέον ὅτι ἀναχωρήσαντος τοῦ ἁγίου Δωροθέου εἰς τὸ τοῦ ἀββᾶ Σερόδου μοναστήριον καὶ ἴδιον μοναστήριον ἀποκαταστήσαντος, τηνικαῦτα τούτους τοὺς λόγους ἐξέθετο πρὸς τοὺς ἰδίους μαθητὰς μετὰ τὴν τοῦ ἀββᾶ Ἰωάννου πρὸς Κύριον ἐκδημίαν καὶ τὴν τοῦ ἀββᾶ Βαρσανουφίου τελείαν σιωπήν. Λόγος περὶ ἀποταγῆς», οὗ ἡ ἀρχή· «Ἐν ἀρχῇ ὅτε ἐποίησεν», σ. 40. Migne τ. 88, σ. 1617.

7. Τοῦ αὐτοῦ, «ὅτι οὐκ ἀπεικὸς τὸ σχῆμα τῶν μοναχῶν γέγονε, ἀλλὰ καὶ μᾶλλον μὲν οὖν, ἔκφρασις δὲ τοῦ αὐτοῦ σχήματος· τί ἐστι κολόβιον καὶ τί κουκούλιον καὶ τί ἡ δερμάτινος ζώνη καὶ τὰ λοιπά». Ἀρχ. «Τὸ σχῆμα, ὃ φοροῦμεν, κολόβιόν ἐστιν, μὴ ἔχον χειρίδα» κτλ., σ. 51.

8. Τοῦ αὐτοῦ «λόγος περὶ θείου φόβου», οὗ ἡ ἀρχή· «Λέγει ἐν ταῖς καθολικαῖς», σ. 59. Migne τ. 88, σ. 1657.

9. Τοῦ αὐτοῦ «περὶ τοῦ μὴ ὀφείλειν τινὰ στοιχεῖν τῇ ἰδίᾳ συνέσει». Ἀρχ. «Ἐν ταῖς παροιμίαις λέγει», σ. 72. Migne σ. 1676.

10. Τοῦ αὐτοῦ «περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον». Ἀρχ. «Εἰ ἐμνημονεύομεν ἀδελφοί», σ. 79. Migne σ. 1685.

11. Τοῦ αὐτοῦ «περὶ τοῦ μέμφεσθαι αὐτὸν καὶ μὴ τὸν πλη-

σίον». Ἀρχ. «Ζητήσωμεν, ἀδελφοί, πόθεν ποτέ», σ. 88. Migne τ. 88, σ. 1696.

12. «Τοῦ αὐτοῦ περὶ τοῦ ψεύδους». Ἀρχ. «Θέλω ὑμᾶς ὑπομνῆσαι», σ. 102. Migne σ. 1716.

13. «Τοῦ αὐτοῦ περὶ τοῦ σπουδάζειν ταχέως ἐκκόπτειν τὰ πάθη πρὸ τοῦ ἐν ἕξει κακῇ γενέσθαι τὴν ψυχήν». Ἀρχ. «Θέτε τὸν νοῦν ὑμῶν», σ. 109. Migne σ. 1733.

14. «Τοῦ αὐτοῦ περὶ φόβου τῆς μελλούσης κολάσεως καὶ ὅτι χρὴ τὸν θέλοντα σωθῆναι μηδέποτε ἀμεριμνεῖν περὶ τῆς ἰδίας σωτηρίας». Ἀρχ. «Ἐν τῷ ἀλγεῖν με», σ. 119. Migne, σ. 1748.

15. «Τοῦ αὐτοῦ περὶ τοῦ ἀταράχως καὶ εὐχαρίστως ὑποφέρειν τοὺς πειρασμούς». Ἀρχ. «Καλῶς εἶπεν ὁ ἀββᾶς Ποιμήν», σ. 128. Migne, σ. 1761.

16. Τοῦ αὐτοῦ «περὶ οἰκοδομῆς καὶ ἁρμολογίας τῶν τῆς ψυχῆς ἀρετῶν». Ἀρχ. «Ἡ γραφὴ λέγει περὶ ἐκείνων», σ. 136. Migne, σ. 1772.

17. «Τοῦ αὐτοῦ περὶ τῶν ἁγίων νηστειῶν». Ἀρχ. «Ἐν τῷ νόμῳ προσέταξεν», σ. 147. Migne, σ. 1788.

18. Τοῦ αὐτοῦ «ἑρμηνεία τινῶν ῥητῶν τοῦ ἁγίου Γρηγορίου, ψαλλομένων μετὰ τρόπου εἰς τὸ ἅγιον πάσχα». Ἀρχ. «Ἡδέως ἐλάλουν», σ. 152. Migne, σ. 1821.

19. Τοῦ αὐτοῦ «ἑρμηνεία ῥητῶν τινων τοῦ ἁγίου Γρηγορίου, ψαλλομένων εἰς ἁγίους μάρτυρας». Ἀρχ. «Διὰ τοῦτο καλόν ἐστιν», σ. 157. Migne, σ. 1829.

20. «Τοῦ αὐτοῦ πρός τινας κελλιώτας, ἐρωτήσαντας αὐτὸν περὶ τοῦ παραβάλλειν· ἀπόκρισις», ἧς ἡ ἀρχή· «Λέγουσιν οἱ πατέρες», σ. 162. Migne, σ. 1793.

21. Τοῦ αὐτοῦ «πρὸς τοὺς ἐν τῷ μοναστηρίῳ ἐπιστάτας καὶ μαθητάς, πῶς δεῖ ἐπιστατεῖν ἀδελφῶν καὶ πῶς τοῖς ἐπιστατοῦσιν ὑποτάσσεσθαι». Ἀρχ. «Ἐὰν ᾖ ἐπιστάτης ἀδελφῶν», σ. 166. Migne, σ. 1800.

22. Τοῦ αὐτοῦ «περὶ τοῦ ἔχοντος τὴν διακονίαν τοῦ κελλαρίου». Ἀρχ. «Εἰ θυμῷ καὶ μνησικακίᾳ», σ. 170. Migne, σ. 1804.

23. Τοῦ αὐτοῦ «ῥήματα διάφορα ἐν συντόμῳ, πάνυ ὠφέλιμα». Ἀρχ. «Ἔλεγεν ὁ ἀββᾶς Δωρόθεος, ἀδύνατόν ἐστι» κτλ., σ. 172. Migne, σ. 1808.

24. «Τοῦ αὐτοῦ ἐπιστολαὶ διάφοροι πρὸς ἀδελφὸν ἐπερωτήσαντα περὶ ἀναισθησίας ψυχῆς καὶ περὶ ψύξεως ἀγάπης» Ἀρχ. «Περὶ τῆς ἀναισθησίας τῆς ψυχῆς», σ. 174-179. Migne, σ. 1812.

25. «Εὐχὴ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παϊσίου τοῦ ἐρημίτου, ἣν ηὔχετο καθ' ἑκάστην ἡμέραν». Ἀρχ. «Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀγαθὴν ἡμέραν δός μοι», σ. 179.

26. Ἀσκητικὰ σύλλεκτα ἐξ ἀποκρίσεων τοῦ ἀββᾶ Ἰσχυρίωνος καὶ τοῦ ἀββᾶ Βαρσανουφίου, σ. 180.

27. «Παραίνεσις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος». Ἀρχ. «Ἐν τῇδε τῇ βίβλῳ ἀναγέγραπται ἐνάρετος ἄσκησις καὶ θαυμαστὴ βίου διαγωγὴ καὶ ῥήσεις ἁγίων καὶ μακαρίων πατέρων, πρὸς ζῆλον καὶ παιδείαν καὶ μίμησιν τῶν τὴν οὐράνιον πολιτείαν θελόντων κατορθοῦν καὶ τὴν εἰς βασιλείαν οὐρανῶν ἀνάγουσαν βουλομένων ὁδεύειν ὁδόν. Δεῖ οὖν γινώσκειν, ὅτι οἱ ἅγιοι πατέρες» κτλ., σ. 181-276.

28. «Ἐκλογαὶ χρήσιμοι· ἐκ διαφόρων βιβλίων συναθροισθέντα ἀποφθέγματα ἁγίων πατέρων», καὶ ἰδίᾳ ἐκ τοῦ λειμωναρίου Ἰωάννου τοῦ Μόσχου. Ἀρχ. «Ἔλεγον οἱ πατέρες ὅτι μοναχός τις ἐρχόμενος εἰς ἰατρεῖον», σ. 277. Ἔσχατον δὲ κεφάλαιόν ἐστι τὸ «περὶ τοῦ φιλεντόλου Ὀλύμπου», οὗ ἡ ἀρχή· «Ἐπὶ τοῦ ἐν ἁγίοις Ἀρκαδίου τοῦ ἀρχιεπισκόπου Κύπρου, γέγονέ τις φιλέντολος» κτλ., σ. 309.

78. Τεῦχος μεμβράνινον, γραφὲν μὲν κατὰ τὴν δυοκαιδεκάτην ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων συνιστάμενον 127, ὧν τὸ κείμενόν ἐστι δίστηλον καὶ κατὰ στήλην γραμμὰς ἀριθμεῖ ἢ 24 ἢ 25 ($0{,}25 \times 0{,}183 = 0{,}16 \times 0{,}125$). Καὶ ἐν τῇ ἀρχῇ μὲν τοῦ τεύχους φύλλον ἓν ἐκ χάρτου ὑπάρχει, ἐν ᾧ γέγραπται τόδε· «✝ Ἡ ἀρχὴ λείπει. Ἐκ τοῦ πατερικοῦ λόγοι διάφοροι, ἐκλογαὶ ἤτοι ἀπανθίσματα· ἔχει καὶ μερικὰς ἱστορίας πάνυ ψυχωφελεῖς. Ὦ φιλαναγνῶστα διάβαζε μὲ προσοχὴν διὰ νὰ ὠφεληθῇς· εὔχεσθε καὶ ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ τοῦ γράψαντος Ἰω-

αννιχίου. 1784 αὐγούστου 25». Ἄλλο δέ τι φύλλον ἐκ χάρτου πρὸς τῷ τέλει τοῦ τεύχους εὕρηται, ἐν ᾧ τρεῖς ὑπομνήσεις τοῦ ἑπταχαιδεκάτου ὑπάρχουσιν αἰῶνος, τὴν βίβλον κτῆμα εἶναι δηλοῦσαι τῆς Σάβα τοῦ ὁσίου μονῆς. Περιέχει δ' ἐκείνη τὰς γραφὰς τάσδε.

1. Διήγησις τις ἀκέφαλος περὶ Ἀγάθωνος τοῦ ἀββᾶ, ἧς ἡ ἀρχὴ ὧδε νῦν ἔχει· «οὕτως ἐργάτης ἐστὶν καὶ πολεμιστής: — Εἶπεν ὁ ἀββᾶς Ἀγάθων· χρὴ τὸν μοναχὸν μὴ ἐᾶσαι τὴν συνείδησιν αὐτοῦ κατηγορῆσαι» κτλ., φ. 2. Cotelerii, Ecclesiæ græcæ monumenta, τ. I, σ. 373.

2. «Περὶ τοῦ ἀββᾶ Ἀμμωνᾶ». Ἀρχ. «Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἀμμωνᾶν λέγων· εἰπέ μοι ῥῆμα· λέγει ὁ γέρων· ὕπαγε ποίησον» κτλ., φ. 4β. Cotelerii, Monum. I, σ. 382.

3. «Περὶ τοῦ ἀββᾶ Ἀχιλλᾶ». Ἀρχ. «Παρέβαλόν ποτε τρεῖς γέροντες τῷ ἀββᾷ Ἀχιλλᾷ, καὶ ὁ εἷς ἐξ αὐτῶν εἶχεν φήμην κακήν», φ. 7. Cotelerii, Monum. I, σ. 386.

4. «Περὶ τοῦ ἀββᾶ Ἀμμώϊ». Ἀρχ. «Ἔλεγον περὶ τοῦ ἀββᾶ» κτλ., φ. 8. Cotel. σ. 390.

5. «Περὶ τοῦ ἀββᾶ Ἀμμοῦν τοῦ Νιτριώτου». Ἀρχ. «Ὁ ἀββᾶς Ἀμμοῦν ὁ Νιτριώτης παρέβαλε», φ. 8β (Cotel. σ. 322). Μετὰ δὲ τὸ φύλλον τοῦτο μέγιστον ὑπάρχει χάσμα· ἐλλείπει γὰρ τῶν διηγήσεων τούτων τὰ κεφάλαια τοῦ Β στοιχείου καὶ τὰ ἐφεξῆς κεφάλαια τὰ μέχρι τῆς ἀρχῆς τοῦ Π στοιχείου.

6. Ἀκέφαλος τοῦ ἀββᾶ Ποιμένος διήγησις, ἧς ἡ ἀρχὴ ὧδε νῦν ἔχει· «χρονίζειν ἐπὶ σέ· λέγει αὐτῷ ὁ ἀββᾶς Ποιμήν· ἀββᾶ Ἰβιστίων αἱ πράξεις αὐτοῦ» κτλ., φ. 9. Coteler. σ. 606.

7. «Περὶ τοῦ ἀββᾶ Παμβῶ». Ἀρχ. «Ἦν τις λεγόμενος ἀββᾶς Παμβῶ», φ. 18. Cotelerii, σ. 637.

8. «Περὶ τοῦ ἀββᾶ Πιστοῦ». Ἀρχ. «Διηγήσατο ὁ ἀββᾶς Πιστὸς λέγων, ὅτι ἀπήλθομεν», φ. 19β. Coteler. σ. 641.

9. «Περὶ τοῦ ἀββᾶ Πιώρ». Ἀρχ. «Ὁ μακάριος Πιώρ», φ. 20β. Cotelerii σ. 643.

10. «Περὶ τοῦ ἀββᾶ Πιτυρίωνος». Ἀρχ. «Ἔλεγεν ὁ ἀββᾶς Πιτυρίων ὁ μαθητής», φ. 21. Cotel. σ. 645.

11. «Περὶ τοῦ ἀββᾶ Παφνουτίου». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Παφνουτίων ὅτι διοδεύων», φ. 21β. Coteler. σ. 648.

12. «Περὶ τοῦ ἀββᾶ Παύλου». Ἀρχ. «Διηγήσατό τις τῶν πατέρων περὶ τοῦ ἀββᾶ», φ. 23. Coteler. σ. 651

13. «Περὶ τοῦ ἀββᾶ Παύλου τοῦ Κοσμήτου». Ἀρχ. «Ὁ ἀββᾶς Παῦλος ὁ Κοσμήτης», φ. 23β. Coteler. σ. 651.

14. «Περὶ τοῦ ἀββᾶ Παύλου τοῦ Γαλάτου». Ἀρχ. «Ὁ μακάριος Παῦλος ὁ ἁπλοῦς», φ. 24. Coteler. σ. 652.

15. «Στοιχεῖον Ῥῶ. Περὶ τοῦ ἀββᾶ Ῥούφου». Ἀρχ. «Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ῥοῦφον», φ. 26. Coteler. σ. 660.

16. «Περὶ τοῦ ἀββᾶ Σισοΐου». Ἀρχ. «Ἀδελφὸς ἀδικηθεὶς ὑφ' ἑτέρου ἀδελφοῦ», φ. 27. Coteler. σ. 662.

17. «Περὶ τοῦ ἀββᾶ Σιλουανοῦ». Ἀρχ. «Παρέβαλεν ποτὲ ὁ ἀββᾶς Σιλουανός», φ. 32β. Coteler. σ. 678.

18. «Περὶ τοῦ ἀββᾶ Σίμωνος». Ἀρχ. «Ἦλθεν ποτὲ ἄρχων ἰδεῖν τὸν ἀββᾶν», φ. 34β. Coteler. σ. 683.

19. «Περὶ τοῦ ἀββᾶ Σαρματᾶ». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Σαρματᾶς», φ. 35. Coteler. σ. 684.

20. «Περὶ τοῦ ἀββᾶ Σεραπίωνος». Ἀρχ. «Ἦλθεν ποτὲ ὁ ἀββᾶς Σεραπίων», φ. 35β. Coteler. σ. 685.

21. «Περὶ τοῦ ἀββᾶ Σερίνου». Ἀρχ. «Ἔλεγον περὶ τοῦ ἀββᾶ Σερίνου», φ. 36β. Coteler. σ. 688.

22. «Περὶ τοῦ ἀββᾶ Σπυρίδωνος τοῦ ἐπισκόπου». Ἀρχ. «Περὶ δὲ Σπυρίδωνος τοσαύτη», φ. 37. Coteler. σ. 689.

23. «Περὶ τῆς ἀββᾶς Συγκλιτικῆς». Ἀρχ. «Εἶπεν ἡ ἀββᾶ Συγκλιτική», φ. 38 (Coteler. σ. 692). Καὶ μετὰ τοῦτο τὸ φύλλον χάσμα ὑπάρχει μέγα.

24. «Λόγοι ἁγίων πατέρων ψυχωφελεῖς», ὧν ἡ ἀρχή· «Εἶπε γέρων· ἐν καιρῷ παρουσίας ἀδελφῶν μὴ ἀπολύσῃς τὴν καρδίαν σου», φ. 47.

25. «Ἐκ τῶν ἐρωτήσεων τοῦ ἁγίου Ἀθανασίου». Ἀρχ. «Τί οὖν ἄφεσιν ὁ τὸν Χριστὸν ἀρνησάμενος», φ. 52.

26. «Τοῦ ἀββᾶ Ἡσαΐου τοῦ ἡσυχαστοῦ καὶ πρεσβυτέρου περὶ ἀρετῶν». Ἀρχ. «Τρεῖς ἀρεταί εἰσιν», φ. 53β.

27. «Διάλεξις άγίων γερόντων πρὸς ἀλλήλους περὶ λογισμῶν». Ἀρχ. «Πῶς δεῖ εἶναι τὸν μοναχὸν ἐν τῷ κελλίῳ; Απόκρισις. Τὸ ἀπέχεσθαι τῆς τῶν ἀνθρώπων γνώσεως» κτλ., φ. 58β.

28. «Περὶ ἀρετῶν». Ἀρχ. «Ὁ φόβος τοῦ Θεοῦ ἐκδιώκει», φ. 60.

29. «Λόγος τῷ ἁγίῳ Μάκαρι [sic], τὸ πῶς δεῖ εἶναι τὸν μοναχόν». Ἀρχ. «Καθεζόμενος, ἀδελφέ, ἐν τῷ κελλίῳ σου», φ. 64β. Ἐν δὲ τῷ 69-ῳ φύλλῳ γέγραπται τόδε· «Ἕως ὧδε τοῦ γεροντικοῦ διηγήματος τῶν ἀρχαίων ἱστοριῶν, τὰ δὲ ἑξῆς ἐκ τοῦ νέου παραδεισίου εἰσὶ τοῦ λεγομένου λειμωναρίου».

30. «Ἀρχὴ τῶν διηγήσεων» τῶν ἐκ τοῦ Λειμωναρίου Ἰωάννου τοῦ Μόσχου. α') «Διηγήσατό τις τῶν γερόντων, ὅτι ἔλεγεν ὁ ἀββᾶς Θεόδωρος ὁ Ἡλιώτης, ὅτι ἦν τις ἔγκλειστος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν» κτλ., φ. 89.—β') «Ἀπερχομένων ἡμῶν ἀπὸ τῆς ἁγίας Γεθσημανῆς ἐν τῷ ἁγίῳ ὄρει τῶν Ἐλαιῶν, μοναστήριόν ἐστι τοῦ ἀββᾶ Ἀβραμίου» κτλ., φ. 90.—γ') «Παρεβάλομεν ἐν Ἀσκάλωνι ἐν τῷ ξενοδοχείῳ τῶν πατέρων» κτλ., φ. 90β.—δ') «Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἦν τις ὁδοστάτης» κτλ., φ. 91.—ε') «Γέρων τις ἐκάθητο ἐν σκήτει καὶ ἀνέβη ἐν Ἀλεξανδρείᾳ» κτλ., φ. 91bis.—ς') «Ἦν τις ξενικὸς ἐκ τῶν πατέρων», φ. 91β.—ζ') «Ἔλεγέ τις τῶν πατέρων διὰ τὴν ταπεινοφροσύνην», φ. 92.—η') «Ἐπίσκοπός τις ὅσιος ἀνὴρ τῶν τελούντων ὑπὸ Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου σύμφρονος ὑπάρχων», φ. 92.—θ') «Ὁ ἀββᾶς Μάρκελλος διηγήσατο ἡμῖν ὡς περὶ ἄλλου τινὸς γέροντος», φ. 93.—ι') «Ἐν τοῖς χρόνοις Νικήτα τοῦ πατρικίου ἐν Καρταγένῃ τῆς Ἀφρικῆς», φ. 93.

31. «Περὶ ψαλμῶν». Ἀρχ. «Ὁ ἀββᾶς Παμβῶ ἀπέστειλε τὸν μαθητὴν αὐτοῦ ἐν Ἀλεξανδρείᾳ», φ. 96β. W. Christ, Anthologia graeca carm. Christian. σ. xxix. W. Christ, Beiträge zur kirchl. Literatur der Byzantiner. München 1870, σ. 33.

32. «Περὶ τοῦ ἀββᾶ Παλλαδίου» Ἀρχ. «Ἐθεασάμεθα τὸν ἀββᾶν Παλλάδιον τὸν ἐνάρετον», φ. 162.

33. «Περὶ τοῦ ἀββᾶ Εὐλογίου». Ἀρχ. «Διηγήσαντο ἡμῖν οἱ

μαθηταὶ τοῦ ἀββᾶ Εὐλογίου», φ. 103β. Καὶ μετὰ τοῦτο τὸ φύλλον ἔλλειμμά τι ὑπάρχει.

34. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου λόγος περὶ τοῦ πῶς δεῖ εἶναι τὸν μοναχόν». Ἀρχ. «Ἠκούσατε ἀδελφοί μου ἠγαπημένοι», φ. 104. Ἐλλείπει τὸ τέλος.

35. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰσαὰκ τοῦ ἀσκητοῦ καὶ ἀναχωρητοῦ, τοῦ Σύρου, λόγος περὶ ἀποταγῆς κόσμου καὶ ἀποχῆς τῆς πρὸς ἀνθρώπους παρρησίας». Ἀρχ. «Ὅταν ἀγαπήσωμεν φυγεῖν ἐκ τοῦ κόσμου», φ. 114.

36. «Τοῦ ἁγίου Ἐφραὶμ πρὸς διόρθωσιν τῶν ἐμπαθῶς διαγόντων καὶ τιμὰς ἀπαιτούντων», φ. 116β. Assemani τ. I, σ. 111.

37. «Τοῦ αὐτοῦ, ὅτι οὐ χρὴ γελᾶν, ἀλλὰ πενθεῖν». Ἀρχ. «Ἀρχὴ καταστροφῆς ψυχῆς», φ. 123β. Assem. τ. I, σ. 254.

79. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος (0,244 × 0,17), οὗ τὸ κείμενον μονόστηλον μέν, ἀκανόνιστον δέ, διὰ τὸ τὰς γραμμὰς τῶν σελίδων ποῦ μὲν πολλὰς εἶναι, ποῦ δὲ πάνυ ὀλίγας· σύγκειται δ' ἐκ φύλλων 205, ἅπερ ἔτει 1789-ῳ συνεδέθη καὶ συνειρμόσθη παρ' Ἰωαννικίου τοῦ Σαβαΐτου. Καὶ αἱ μὲν ἐπιγραφαὶ πορφυροῖς μέν, κεφαλαιώδεσι δὲ γράμμασι διαγεγραμμέναι εἰσίν· τούτων δὲ τινὲς μὲν ἐν τετραγώνοις εὕρηνται κοσμήμασιν, αἱ δὲ λοιπαὶ προτεταγμένον ἔχουσι κόσμημα τὸ σχῆμα ταινιοειδές· ἑκάστης δὲ συγγραφῆς αἱ τρεῖς πρῶται γραμμαὶ κεφαλαιώδη τὰ γράμματα ἔχουσι, καὶ ταῦτα τῷ τε κιτρίνῳ καὶ τῷ πορφυρῷ κεκοσμημένα χρώματι. Περιέχει οὖν τὸ τεῦχος τὰ κείμενα ταῦτα.

1. Ἀνδρέου τοῦ ἀρχιεπισκόπου Κρήτης, «λόγος εἰς τὸ γενέθλιον τῆς ὑπερενδόξου εὐλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἀρχ. «Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν», φ. 1. Migne τ. 97, σ. 805.

2. «Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν γενέθλιον ἡμέραν τῆς παναμώμου δεσποίνης θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἀπόδειξις ἐκ παλαιᾶς ἱστορίας καὶ διαφανῶν μαρτυριῶν ὅτι ἐκ σπέρματος κατάγεται τοῦ Δαυίδ». Ἀρχ. «Ἄλλοι μὲν ἄλλας ἑορτῶν ὑποθέσεις», φ. 10. Migne τ. 97, σ. 820.

3. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος ἐγκωμιαστικὸς εἰς τὸν σταυρὸν καὶ εἰς τοὺς ἁγίους ἀποστόλους». Ἀρχ. «Τί εἴπω ἢ τί λαλήσω», φ. 22. Migne τ. 49, σ. 33.

4. «Παντολέοντος, πρεσβυτέρου μονῆς τῶν Βυζαντίων, εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Πάλιν ὑψοῦται σταυρός», φ. 28. Migne τ. 98, σ. 1265.

5. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τοὺς γ' παῖδας καὶ εἰς τὴν Βαβυλωνίαν κάμινον». Ἀρχ. «Καινὸν ὡς ἀληθῶς καὶ μέγιστον», φ. 30β. Migne τ. 56, σ. 593.

6. Γρηγορίου τοῦ Θεολόγου, λόγος «εἰς τὸ γενέθλιον τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Χριστὸς γεννᾶται δοξάσατε», φ. 39. Migne τ. 36, σ. 312.

7. Βασιλείου τοῦ ἀρχιεπισκόπου Καισαρείας τῆς ἐν Καππαδοκίᾳ, λόγος «εἰς τὸ γενέθλιον τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Χριστοῦ γέννησις», φ. 47β. Migne τ. 31, σ. 1457.

8. Ἀνωνύμου τινὸς συγγραφέως λόγος περὶ Στεφάνου τοῦ πρωτομάρτυρος ἀνεπίγραφος, οὗ ἡ ἀρχή· «Πάντας μὲν τοὺς μάρτυρας τιμᾶν ἄξιον, τὸν δὲ Στέφανον πολλῷ μᾶλλον», φ. 55β.

9. Πρόκλου τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, «ἐγκώμιον εἰς τὸν ἅγιον Στέφανον», οὗ ἡ ἀρχή· «Ὁ μὲν αἰσθητὸς ἥλιος», φ. 58. Migne τ. 65, σ. 809.

10. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος τις ἀνεπίγραφος περὶ τῶν ὑπὸ τοῦ Ἡρώδου ἀναιρεθέντων νηπίων. Ἀρχ. «Ὥσπερ ὁ ἡλιακὸς οὗτος πόλος», φ. 62β. Migne τ. 64, σ. 1423: manifeste spuria et ideo a Savilio omissa. Ἰδὲ καὶ Ἱεροσολυμ. Βιβλιοθ. τ. Ι, σ. 235 καὶ 237.

11. Βασιλείου τοῦ ἐπισκόπου Ἰσαυρίας, λόγος «εἰς τὰ ἅγια νήπια καὶ εἰς τὴν Ῥαχήλ, τὰ ἐν Βηθλεὲμ ἀναιρεθέντα». Ἀρχ. «Πάλιν ὁ τάλας ἐγώ», φ. 65β. Migne τ. 85, σ. 388.

12. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὰ ἅγια νήπια καὶ εἰς τὴν Ῥαχήλ». Ἀρχ. «Ὥσπερ οἱ τοὺς ἡδίστους καρπούς», φ. 69β. Migne τ. 61, σ. 697.

13. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν περιτομὴν τοῦ

Κυρίου καὶ εἰς τὸν Συμεών». Ἀρχ. «Οὐ μόνον φορεῖ σάρκα», φ. 72. Migne τ. 50, σ. 807.

14. «Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου εἰς τὸν Συμεὼν τῇ ἡμέρᾳ τῆς ἀπαντῆς». Ἀρχ. «Πολλοὶ τῶν μεγάλων ἀνθρώπων», φ. 79. Migne τ. 39, σ. 44.

15. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸ ἅγιον βάπτισμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν Ἰωάννην τὸν βαπτιστήν». Ἀρχ. «Ἡ πηγὴ τῶν εὐαγγελικῶν διδαγμάτων», φ. 92β. Migne τ. 50, σ. 805.

16. «Γρηγορίου ἐπισκόπου Ναζιανζοῦ τοῦ θεολόγου εἰς τὸ ἅγιον βάπτισμα». Ἀρχ. «Πάλιν Ἰησοῦς ὁ ἐμός», φ. 100. Migne τ. 36, σ. 356.

17. Βασιλείου τοῦ ἀρχιεπισκόπου Καισαρείας τῆς ἐν Καππαδοκίᾳ, «ὁμιλία προτρεπτικὴ εἰς τὸ ἅγιον βάπτισμα». Ἀρχ. «Ὁ μὲν σοφὸς Σολομῶν», φ. 111β. Migne τ. 31, σ. 424.

18. «Ἀναστασίου, μοναχοῦ τοῦ Σινᾶ ὄρους, ὁμιλία ῥηθεῖσα εἰς τὸν ς′ ψαλμόν, εἰς τὴν εἴσβασιν τῶν ἁγίων νηστειῶν». Ἀρχ. «Πρέπουσαν ἀρχήν», φ. 123β. Migne τ. 89, σ. 1077.

19. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος περὶ νηστείας, οὗ ἡ ἀρχή· «Ἠκούσαμεν ἀρτίως», φ. 140. Ἱεροσολυμιτ. Βιβλιοθ. τ. I, σ. 241.

20. Τοῦ αὐτοῦ λόγος περὶ νηστείας, οὗ ἡ ἀρχή· «Σήμερον, ἀγαπητοί, τὸν τῶν ψυχῶν ἰατρόν», φ. 145β. Migne τ. 60, σ. 717.

21. Τοῦ αὐτοῦ «εἰς τὸ "Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται", καὶ εἰς τὸ "βάλε σεαυτὸν κάτω", καὶ ὅτι παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν». Ἀρχ. «Ἥλιος μὲν ὑπὲρ γῆν ἀνακύψας», φύλ. 148. Migne τ. 61, σ. 683.

22. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν παραβολὴν τοῦ ἀσώτου». Ἀρχ. «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν», φύλ. 156. Migne τ. 59, σ. 515.

23. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν παραβολὴν τῶν ἐργατῶν». Ἀρχ. «Ὁρῶ τῇ ποίμνῃ τῶν εὐσεβῶν», φ. 168. Migne τ. 59, σ. 577.

*

24. Τοῦ αὐτοῦ λόγος εἰς τὴν Σαμαρεῖτιν, οὗ ἡ ἀρχή· «Σήμερον ἡμῖν ὁ Χριστός», φ. 181. Migne τ. 59, σ. 533.

25. Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας, λόγος εἰς τὸν ἐκ γενετῆς τυφλόν. Ἀρχ. «Πολυσπούδαστον πᾶσιν ἀνθρώποις», φ. 189^{β}. Migne τ. 28, σ. 1001.

26. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν πλούσιον καὶ εἰς τὸν πτωχὸν Λάζαρον». Ἀρχ. «Μέγιστόν ἐστιν διδασκάλιον», φ. 203. Migne τ. 59, σ. 591.

80. Τεῦχος μεμβράνινον τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων μὲν συγκείμενον 183, κείμενον δὲ περιέχον μονόστηλον ἐκ γραμμῶν κατὰ μίαν ἑκάστην τῶν σελίδων ἢ 25 ἢ 28 ($0{,}248 \times 0{,}195 = 0{,}18 \times 0{,}13$). Καὶ ἔνδον μὲν τῆς πρώτης πινακίδος τὸ ἥμισυ φύλλου τινὸς κεκολλημένον ὑπάρχει, ἄλλο δέ τι μεμβράνινον φύλλον, παλαιοτάτοις καὶ κεφαλαιώδεσι γεγραμμένον γράμμασι, προσκεκολλημένον ἦν ἔνδον τῆς δευτέρας τοῦ τεύχους πινακίδος· τοῦτο δ' ὅμως ἐλλείπει, παρὰ Πορφυρίου τοῦ Οὐσπένσκη ἀναιρεθέν, ὃς καὶ τὸ ὄνομα τὸ ἑαυτοῦ δὶς ἐν τῷ κώδικι παρεσημειώσατο (1844 καὶ 1860). Περιέχει δὲ τὸ τεῦχος καὶ κοσμήματά τινα ποικιλόχροα, καὶ ἐπιγραφὰς ἐρυθρὰς καὶ κεφαλαιώδη τινὰ γράμματα ἐρυθρὰ ὡσαύτως· Ἰωαννίκιος δὲ ὁ Σαβαΐτης ἔτει 1782-ῳ (13 ἰουλίου) πίνακα τῶν ἐμπεριεχομένων προσέθετο λόγων, οἳ τὴν ἐφεξῆς ἔχουσι τάξιν· ἐν δὲ τῷ κρασπέδῳ τοῦ 178-ου φύλλου γέγραπται τὸ σημείωμα τόδε· «† Τοῦ ,ζξγ' ἔτους (1554) μηνὶ νοεμβρίου εἰς τὰς κβ' ἐμετάγραψα τὸ βιβλίον τοῦτο ἐγὼ παπὰ Μακάριος ὁ ἀπὸ Κρήτης διὰ ἔξοδον τοῦ κῦρ Γερασίμου τοῦ Σιναΐτου».

1. «Ἱππολύτου τοῦ μακαριωτάτου καὶ μάρτυρος, λόγος περὶ τῆς συντελείας τοῦ κόσμου καὶ περὶ τοῦ ἀντιχρίστου, καὶ εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἐπειδὴ οἱ μακάριοι προφῆται», φ. 1. Migne τ. 10, σ. 904.

2. Ἐφραὶμ τοῦ Σύρου λόγος «περὶ ὑπομονῆς καὶ περὶ συντελείας τοῦ αἰῶνος τούτου, καὶ περὶ τῆς δευτέρας τοῦ Κυρίου παρουσίας, ἀδιαδόχου τε τῶν δικαίων βασιλείας καὶ ἀτελευτήτου τῶν

ἁμαρτωλῶν κολάσεως, καὶ περὶ ἐξομολογήσεως καὶ προσοχῆς τῶν θείων γραφῶν» κτλ. Ἀρχ. «Λαμπρὸς ὁ βίος», φ. 16. Ἐκδ. Assemani τ. III, σ. 93.

3. Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ συντελείας τοῦ κόσμου καὶ εἰς τὴν παρουσίαν τοῦ ἀντιχρίστου». Ἀρχ. «Πῶς ἐγὼ ὁ ἁμαρτωλός», φ. 30. Ἐκδ. Assemani τ. II, σ. 222.

4. Συγγραφέως τινὸς ἀδήλου «λόγος ὠφέλιμος ἐκ θείων πατέρων καὶ εὐαγγελικῶν διδαγμάτων περὶ τῶν ἀποιχομένων, ἀποδεικνύων ὅτι καλόν ἐστι τὸ εὖ ποιεῖν ὑπὲρ αὐτῶν». Ἀρχ. «Στασιώδης ὁ παρὼν βίος», φ. 37.

5. Βασιλείου τοῦ ἀρχιεπισκόπου Καισαρείας τῆς ἐν Καππαδοκίᾳ λόγος περὶ νηστείας, οὗ ἡ ἀρχή· «Σαλπίσατέ φησιν», φ. 41β. Migne τ. 31, σ. 164.

6. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀρχὴν τῆς ἁγίας τεσσαρακοστῆς καὶ εἰς τὴν ἐξορίαν τοῦ Ἀδὰμ καὶ περὶ πονηρῶν γυναικῶν». Ἀρχ. «Πρόκειται ἡμῖν», φ. 49. Migne τ. 56, σ. 525.

7. Τοῦ αὐτοῦ Χρυσοστόμου «λόγος εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου, ἔνθα ὁ Χριστὸς περιεπάτησεν ἐπὶ τῆς θαλάσσης, καὶ εἰς τοὺς πρωτοπλάστους». Ἀρχ. «Ἐκ τῶν ἀρτίως ἡμῖν παραναγνωσθέντων», φ. 66. Migne τ. 53, σ. 611.

8. Ἀναστασίου τοῦ Σιναΐτου «ἑρμηνεία εἰς τὸν ἕκτον ψαλμόν». Ἀρχ. «Πρέπουσαν ἀρχὴν εἰλικρινοῦς μετανοίας», φ. 71. Migne τ. 89, σ. 1077.

9. Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ τοῦ Κάιν καὶ τοῦ Ἄβελ τῆς ἀναιρέσεως». Ἀρχ. «Ἀρρύσασθε ἀκριβῶς», φ. 83β.

10. «Θαῦμα θαυμασιώτατον τοῦ αὐτοῦ ἁγίου Θεοδώρου». Ἀρχ. «Πάντες μὲν οἱ ἅγιοι μάρτυρες», φ. 93.

11. Γρηγορίου τοῦ ἐπισκόπου Νύσσης, «ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον». Ἀρχ. «Ὑμεῖς ὁ τοῦ Χριστοῦ λαός», φ. 96. Migne τ. 46, σ. 736.

12. Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας, «λόγος περὶ τοῦ γεναμένου θαύματος ἐν Βηρυτῷ, τῆς εἰκόνος τοῦ κυρίου ἡμῶν

Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἄρατε τοὺς ὀφθαλμούς», φ. 98. Migne τ. 28, σ. 805.

13. Νεκταρίου τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, «διήγησις δι' ἣν αἰτίαν τῷ πρώτῳ σαββάτῳ τῶν νηστειῶν τῶν ἁγίων τὴν μνήμην ἑορτάζομεν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης». Ἀρχ. «Ὡς πολὺ τὸ πλῆθος», φ. 100β. Migne τ. 39, σ. 1821.

14. «Ἰωάννου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς ἁγίας πόλεως, λόγος ἀποδεικτικὸς περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων». Ἀρχ. «Ἐπειδή περ πολλοὶ ἐπεχείρησαν», φ. 108β. Εὕρηται δὲ τύποις ἐκδεδομένος ἐπ' ὀνόματι τοῦ ἐκ Δαμασκοῦ Ἰωάννου. Migne τ. 95, σ. 309.

15. «Λόγος ἱστορικός, διήγησιν ἔχων περὶ τῆς ἀχειροποιήτου μορφῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ διὰ τίνος καὶ πότε καὶ διὰ ποίαν αἰτίαν ἀπεστάλη πρὸς Αὔγαρον, καὶ ὅπως θείᾳ προμηθείᾳ διεκομίσθη καὶ ἀπεδόθη πρὸς τὴν θεοφύλακτον καὶ βασιλίδα τῶν πόλεων». Ἀρχ. «Ἤκουσταί μοι τὰ περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων», φ. 123β.

16. «Λόγος ψυχωφελὴς περὶ τῆς λογχευθείσης ἁγίας εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν Κωνσταντινουπόλει». Ἀρχ. «Δεσποτικῶν καὶ παραδόξων θαυμάτων», φ. 134. Πρβλ. Lambecii, Comment. liber VIII, 1679, σ. 350.

17. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος «εἰς τὴν ἐπιγραφὴν τοῦ ν' ψαλμοῦ». Ἀρχ. «Οἱ ζωγράφοι μιμοῦνται», φ. 141. Migne τ. 55, σ. 565.

18. Τοῦ αὐτοῦ λόγος εἰς τὸν πεντηκοστὸν ψαλμόν. Ἀρχ. «Τὰ λείψανα τῆς χθεσινῆς», φ. 153. Migne τ. 55, σ. 575.

19. Τοῦ αὐτοῦ λόγος περὶ μετανοίας, οὗ ἡ ἀρχή· «Εἴδετε τῇ προτεραίᾳ Κυριακῇ», φ. 164. Migne τ. 49, σ. 283.

20. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν Δαυὶδ τὸν βασιλέα καὶ εἰς Παῦλον τὸν ἀπόστολον» κτλ. Ἀρχ. «Ἀρτίως ἠκούσατε τοῦ ὑμνογράφου», φ. 171. Migne τ. 55, σ. 527.

21. Τοῦ αὐτοῦ «λόγος περὶ τοῦ κατὰ Μωσέως ὄφεως, ὃν

ἐσταύρωσε Μωσῆς ἐν τῇ ἐρήμῳ. Ἀρχ. «Χθὲς ἡμῖν ὁ λόγος», φ. 174^{β}. Παρὰ δὲ τῷ Migne ἐπιγράφεται Σευηριανῷ τῷ ἐπισκόπῳ Γαβάλων, τ. 56, σ. 499.

22. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωσήφ, ἀρχιεπισκόπου Θεσσαλονίκης, λόγος εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν». Ἀρχ. «Σταυροῦ πρόκειται σήμερον ἑορτή», φ. 180 (Iacobi Gretseri, De cruce Christi, τ. II, σ. 116-122). Ἐλλείπει τὸ τέλος.

81. Τεῦχος ἐκ φύλλων χάρτου 288, γραφὲν μὲν ἔτει 1542, κείμενον δὲ περίεχον μονόστηλον ἐκ γραμμῶν κατὰ μίαν ἑκάστην τῶν σελίδων ἢ 24 ἢ 25 ($0{,}24 \times 0{,}172 = 0{,}17 \times 1{,}10$)· ἔστι δὲ καὶ σητόβρωτον πολλαχοῦ. Καὶ ἔκ τινος μὲν ἀπεξεσμένης ὑπομνήσεως διέγνων, ὅτι τὸ τεῦχος ἐν μονῇ τινι ἐγράφη τοῦ Λόγγου λεγομένῃ· τὸν δὲ γραφέα αὐτοῦ τὸ ὑπόμνημα δηλοῖ τόδε (φ. 288^{β})· «Ἐτελειώθη ἡ παροῦσα θεία καὶ ἱερὰ βίβλος αὕτη, ἡ ἐπονομαζομένη τοῦ Θηκαρᾶ, διὰ συνδρομῆς καὶ ἐξόδου τοῦ ὁσιωτάτου κυροῦ Μεθοδίου ἱερομονάχου καὶ ἐμοῦ διδασκάλου, καὶ ὑπὸ χειρὸς ἐμοῦ ἁμαρτωλοῦ Νικολάου, τάχα καὶ ἀναγνώστου, καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαι [sic] ἀμφοτέρων διὰ τὸν Κύριον. Ἔτους ,ζν' μὴν ἰαννουάριος λ'. Τὸν δακτύλοις γράψαντα, τὸν κεκτημένον, | τὸν ἀναγινώσκοντα σὺν προθυμίᾳ, | τοὺς τρεῖς φύλαττε, ὦ τριὰς τρισολβία». Περιέχει δὲ τὸ βιβλίον τὰ κείμενα ταῦτα.

1. «αφμβ', σημάδια τοῦ ἁγίου Τάφου». Ἀρχ. «Ἅπτουσιν κανδῆλες ἐπάνω» κτλ. φ. 1, μεθ' ὃ φύλλα ἕξ ἐστιν ἄγραφα.

2. «Ἀρχὴ τῶν μεγάλων ἀποδείπνων». Ἀρχ. «Ὁ κανδηλάπτης κρούσαντος [sic] τὸν σημαντῆρα καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ», κτλ., φ. 9.

3. Εὐχὴ τοῦ μεγάλου Βασιλείου, ἧς ἡ ἀρχή· «Κύριε κύριε ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους», φ. 14^{β}.

4. «Εὐχὴ ἱκέσιος εἰς τὴν ὑπεραγίαν Θεοτόκον, Παύλου μοναχοῦ μονῆς τῆς Εὐεργέτιδος». Ἀρχ. «Ἄσπιλε, ἀμόλυντε, ἄφθορε» κτλ., φ. 19^{β}. Ὡρολόγιον τὸ μέγα, ἐν Ῥώμῃ 1876, σ. 123.

5. «Εὐχὴ ἑτέρα ἐπικοίτιος εἰς τὸν δεσπότην ἡμῶν Ἰησοῦν

Χριστόν· Ἀντιόχου μοναχοῦ τοῦ Πανδέκτου». Ἀρχ. «Καὶ δὸς ἡμῖν», φ. 20. Ὡρολόγιον τὸ μέγα, σ. 123.

6. «Ὕμνοι τριαδικοί». Ἀρχ. «Σωματικαῖς μορφώσεσι», φ. 20β. Παρακλητική, ἤτοι ὀκτώηχος ἡ μεγάλη· ἐν Ῥώμῃ 1885, σ. 713.

7. «Στιχηρὰ πρὸς Τὴν τιμιωτέραν κατὰ ἀλφάβητον, κατανυκτικά». Ἀρχ. «Ἄχραντε παρθένε, μήτηρ Θεοῦ», φ. 22α.

8. «Στίχοι διαφόρων τινῶν καὶ φιλοσόφων ἀνδρῶν. Ὄργανον σοφίας πνευματικῆς. Διονυσίου μοναχοῦ». Ἀρχ. «Θείων ὕμνων ἔρωτες», φ. 24.

9. «Ἡρωϊκὸν Διονυσίου μοναχοῦ· πεντηκοντὰς ἰάμβων». Ἀρχ. «Λειμὼν θεαυγὴς τερπνοσυνθέτων ὕμνων», φ. 24.

10. «Τοῦ αὐτοῦ κεφάλαια γνωμικὰ ν' περὶ διαφορῶν τῶν θείων ὕμνων». Ἀρχ. «Ὥσπερ ἐπὶ τῶν ἐμπόρων», φ. 25.

11. «Θεοφάνους. Ὕμνοι πρὸς τὸ θεῖον ἐρωτικοί, πλήρεις τῶν θαυμασίων αὐτοῦ, μεστοὶ εὐφροσύνης καὶ ἐκπλήξεως καὶ ἀγαλλιάσεως πνευματικῆς, ἠκονημένα ξίφη κατὰ τῶν ἀοράτων ἐχθρῶν, εἰρήνη σταθηρὰ εἰς τὸν ἔμφυτον πόλεμον τῆς σαρκός, ὅπλα καὶ φρουροὶ καὶ προθυμία καὶ δύναμις τῆς ψυχῆς τῆς ποθούσης λέγειν αὐτούς· εἰσὶ δὲ πόνημα Θηκαρᾶ μοναχοῦ ἀπὸ τῆς Κωνσταντινουπόλεως, ὃς ἔκρυψε τὸ ὄνομα αὐτοῦ διὰ ταπεινοφροσύνην, λέγων ὅτι "οἱ αἶνοι ἐκ τῆς θείας γραφῆς εἰσιν, ἡ δὲ σύνταξις ἐκ τῆς θείας χάριτος, καὶ ἀνοίκειόν μοί ἐστιν ἐπιγράφειν τὸ ἐμὸν ὄνομα, ἀλλ' ἐπὶ τῷ δόντι τὴν χάριν τούτους ἀναγράφειν χρή"· ἐπὶ πολὺ δὲ βιασθείς, ὡς εἴρηται, παρὰ τοῦ Θεοδούλου τοῦ ἐξηγησαμένου αὐτόν, ἔγραψεν ἐπίθετον ὄνομα ἐν τοῖς στίχοις αὐτοῦ κατ' ἐπωνυμίαν τοῦ ἐργοχείρου αὐτοῦ, καθὼς οὗτος ὁ Θεόδουλος εἴρηκε· καὶ τοῦτο μὲν ἐγράφη ἐπὶ τῆς ἀρχῆς διὰ συντομίαν εἰδήσεως τῶν ἐντυγχανόντων, ὁ δὲ βουλόμενος μαθεῖν πλατύτερον, ζητησάτω τὴν τοῦ Θεοδούλου διήγησιν», ἧς ἡ ἐπιγραφή· «Τοῦ αὐτοῦ ἑρμηνεία πῶς δεῖ μεταγράφειν τοὺς ὕμνους, καὶ ὅτι οὐ δεῖ ἀφιέναι τι ἀπὸ τῆς ὅλης ἀκολουθίας ταύτης, καὶ πότε δεῖ λέγειν τὴν ἀσκητικὴν τῆς ἡμέρας ἀκολουθίαν, καὶ πῶς δεῖ λέγειν τοὺς ὕμνους· ἔστι δὲ αὕτη ἡ ἑρμηνεία καὶ πίναξ τοῦ παρόντος βιβλίου.

Εἴτις οὖν βούλεται μεταγράψαι τοὺς ὕμνους ἢ καὶ τὸ βιβλίον, ἀναγνωσάτω πρότερον τὴν παροῦσαν ἑρμηνείαν μετὰ ἀκριβείας καὶ πολλῆς προσοχῆς». Ἀρχ. «Ὅσοι τὸν ὄγκον τοῦ παρόντος βιβλίου θεάσονται», φ. 37β—39.

12. «Ὡρολόγιον σὺν θεῷ τῶν θείων ὕμνων καὶ εὐχαὶ μετὰ τροπαρίων εἰς τὸ Ψαλτήριον· εἰσὶ δὲ πόνημα Θηκαρᾶ μοναχοῦ. Προοίμιον τοῦ Θηκαρᾶ τῶν περὶ πίστεως λόγων». Ἀρχ. «Τὸν ἀσχολούμενον περὶ τὴν καθαρὰν καὶ φωτοπάροχον προσευχήν», φ. 40. Συνείρεται δὲ τὸ κεφάλαιον τοῦτο τοῖς ἐφεξῆς ἀποσπάσμασιν· α') «Ἐκ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ περὶ πίστεως κατὰ συντομίαν, καὶ πῶς δεῖ πιστεύειν τὸν ἀληθῆ χριστιανόν». Ἀρχ. «Εἴ τις βούλοιτο σωθῆναι», φ. 41.—β') «Μιχαὴλ συγκέλλου Ἱεροσολύμων, λίβελλος ἤγουν ὁμολογία περὶ τῆς ὀρθοδόξου πίστεως». Ἀρχ. «Πιστεύω εἰς ἕνα Θεόν», φ. 42β.—γ') «Τοῦ μεγάλου Βασιλείου» τέμαχος, οὗ ἡ ἀρχή· «Ἀρχόμενος ἀγαπητὲ προσευχῆς», φ 46.—δ') Ἕτερον τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· «Ὁμολογῶ τὸν Χριστὸν Θεὸν τέλειον», φ. 47.—ε') Ἕτερον Γρηγορίου τοῦ Θεολόγου, οὗ ἡ ἀρχή· «Πατὴρ ὁ πατὴρ καὶ ἄναρχος», φ. 48.—ς') Ἕτερον ἐκ τοῦ βίου Θεοδώρου τοῦ ἡγιασμένου. Ἀρχ. «Ἀκηκοὼς ποτε Θεόδωρος ὁ ἡγιασμένος παρά τινων ἀπὸ τῆς Ἀλεξανδρείας ἐπιδημησάντων», φ. 49.

13. «Σύνταξις ὕμνων πυριπνόων θεοσδότων, | ἐρωτοφυῶν προσφόρων τοῖς εὐθέσι | τῇ τρισσοφαεῖ καὶ μιᾷ θεαρχίᾳ | οἰκτροῦ τάλανος Θηκαρᾶ μονοτρόπου· | εὔχεσθέ μοι νῦν τοῖσδε χάριν, ὦ φίλοι. | Πρόλογος τοῦ αὐτοῦ», οὗ ἡ ἀρχή· «Πάντες μὲν ὅσοι παιδείας ἄκρως μεμυημένοι», φ. 49β.

14. «Τοῦ αὐτοῦ περὶ τῆς προσηκούσης τυπώσεως καὶ συντάξεως τῶν ὕμνων, καὶ ἑρμηνεία μερικὴ ἐπὶ τούτοις». Ἀρχ. «Ἰστέον ὅτι πάντες οἱ ὕμνοι», φ. 50.

15. Κεφάλαιον ἓν «ἀπὸ τοῦ βίου τοῦ ἀββᾶ Φιλήμονος». Ἀρχ. «Ἀδελφός τις τοὔνομα Ἰωάννης», φ. 58.

16. «Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ μεσονυκτικόν· λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸ τρισάγιον, ἢ μετὰ τὸ

"Πιστεύω εἰς ἕνα Θεόν", καὶ ἔτι μετὰ τὸ τρισάγιον ἐκ τῶν δοξαστικῶν τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου· ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ». Ἀρχ. «Δόξα τῇ ἀπειροτάτῃ καὶ παναιτίῳ», φ. 61.

17. «Διήγησις Θεοδούλου μοναχοῦ περὶ τῶν θείων ὕμνων, ὅπως τὸ κατ' ἀρχὰς παρὰ τοῦ Θηκαρᾶ συνετάχθησαν». Ἀρχ. «Δέον ἡμῖν ἅπερ ἠκούσαμεν καὶ τῇ πείρᾳ ἔγνωμεν», φ. 211β.

18. «Κατήχησις περὶ τῆς ἀσκητικῆς ἀκολουθίας». Ἀρχ. «Δεῖ τοὺς μὴ εἰδότας ἐκ στήθους τὸ Ψαλτήριον», φ. 235.

19. «Στιχηρὰ δεσποτικὰ καὶ τῆς θ' τῆς ἑβδομάδος, ψαλλόμενα καθ' ἡμέραν», φ. 237β.

20. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου κεφάλαια περὶ ἀρετῶν, πάνυ ὡραῖα». Ἀρχ. «Ὁ φόβος τοῦ Θεοῦ ἐκδιώκει πάσας τὰς κακίας», φ. 246.

21. «Κανών· χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Θεοδώρου τοῦ Λάσκαρη». Ἀρχ. «Χαίροις ἱλαστήριον ψυχῶν», φ. 248.

22. «Στιχηρὰ προσόμοια δεσποτικά· ἦχος πλάγιος β'». Ἀρχ. «Ὁ Θεὸς ὁ θέλων πάντας σωθῆναι», φ. 251β.

23. «Ἐκ τοῦ θεοτοκαρίου τοῦ Εὐχαΐτων, κανὼν δεσποτικὸς φέρων ἀκροστιχίδα τήνδε: Ἕκτην ᾄδω σοι, παντάναξ, μελῳδίαν· μοναχὸς Ἰωάννης», φ. 252.

24. «Στιχηρὰ προσόμοια δεσποτικά· ἦχος πλάγιος δ'». Ἀρχ. «Τίνι, ψυχή, ἐξωμοίωσαι», φ. 255.

25. «Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα τοῦ Εὐχαΐτων κυροῦ Ἰωάννου, οὗ ἡ ἀκροστιχὶς αὕτη: Χαίροις χαρᾶς σκήνωμα, τῆς λύπης λύσις· ᾠδὴ Ἰωάννου», φ. 255β.

26. «Τροπάρια ψαλλόμενα εἰς παράκλησιν τῆς ὑπεραγίας Θεοτόκου· ἦχος πλάγιος β'». Ἀρχ. «Χαῖρε ἀνωτέρα τῶν οὐρανῶν», φ. 259.

27. «Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, λεγομένη καὶ αὐτὴ εἰς τὴν παράκλησιν». Ἀρχ. «Φιλάγαθε μῆτερ τοῦ φιλανθρώπου καὶ ἐλεήμονος Θεοῦ», φ. 260β.

28. «Ἀκολουθία εἰς τὴν ἁγίαν μετάληψιν», φ. 262.

29. Κανὼν κατανυκτικός, οὗ ἡ ἀκροστιχίς: Ἰακώβου Σερρῶν δέχου οἰκτρὰν ἀναγγελίαν», φ. 273β.

30. «Παύλου τοῦ ἁγιωτάτου Ἀμμορίου ποίημα· στιχηρὰ κατανυκτικὰ εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ἦχος δ': Ὡς γενναῖον ἐν μάρτυσιν». Ἀρχ. «Ἀφορμὰς μετανοίας», φ. 276β. Τοῦ αὐτοῦ δὲ Παύλου δύο κανόνας ᾀσματικοὺς ἴδε ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου, ἐκδ. Κ/πόλεως 1849, σ. 135 καὶ 181.

31. «Ἀκολουθία τῆς ἀκαθίστου». Ἀρχ. «Βουλὴν προαιώνιον», φ. 277β. Ὡρολόγιον τὸ μέγα, ἐν Ῥώμῃ 1876, σ. 277.

32. «Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς: Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ». Ἀρχ. «Χριστοῦ βίβλον ἔμψυχον», φ. 279. Ὡρολόγιον τὸ μέγα, σ. 282.

82. Τεῦχος μεμβράνινον, γραφὲν μὲν ἔτει 1027-ῳ, ἐκ δὲ φύλλων συνιστάμενον 162, ὧν τὸ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλόν ἐστι καὶ ἐκ γραμμῶν ἢ 27 ἢ 28 (0,25×0,164 = 0,18×0,12)· ὀκτὼ δὲ τῶν φύλλων τούτων, εἰ καὶ ἐκ χάρτου ἐστί, κατὰ τὴν τετάρτην καὶ δεκάτην ἐγράφη ἑκατονταετηρίδα (ὅρα τὰ φ. 2—5 καὶ 9—12). Ἔνδον δὲ τῆς πρώτης πινακίδος δύο πρόσθετα ὑπάρχει φύλλα, τὸ μὲν ἐκ διστήλου τινὸς κώδικος ἀποσπασθὲν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, τὸ δ' ἐκ τετραευαγγελίου τινὸς τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος· καὶ τὸ μὲν πρῶτον φύλλον μέρος τι σῴζει τοῦ παρ' Ἀμφιλοχίου συγγραφέντος βίου τοῦ μεγάλου Βασιλείου, ὅπερ τὴν ἀρχὴν αὐτοῦ ἀπὸ τῶν λέξεων ποιεῖται τῶνδε· «...ξεως, καὶ ἠξίου αὐτοὺς καταλῦσαι ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ τούτου τυχὼν ἠξίου κεχαρυκευμένην μεταλαβεῖν αὐτοὺς τροφήν· οἱ δὲ ἄρτου καὶ ὕδατος μετρίως ἐμφορηθέντες, κατὰ τὴν κρατοῦσαν παρ' αὐτοῖς ἀκολουθίαν ηὐχαρίστησαν τῷ τῶν ὅλων Θεῷ καὶ δοτῆρι τῶν ἀγαθῶν. Ἑτοιμότατα οὖν ὁ Λιβάνιος ἤρξατο συζητεῖν» κτλ. Τὸ δ' ἄλλο φύλλον μικρὰν ἔχει γραφήν, ἐπιγεγραμμένην ὧδε· «Δήλωσις διαλαμβάνουσα τὴν δι' ἔτους τῶν τεσσάρων εὐαγγελίων ἀνάγνωσιν, καὶ πότε εἷς ἕκαστος τῶν εὐαγγελιστῶν ἄρχεται, ποῦ τε καταλήγει. Ἰστέον ὅτι ἀναγινώ-

σκεται τὸ ὕφος τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου ἐν ἑβδομάδες ὅλαις ζ'» κτλ. Ἐν τῷ αὐτῷ φύλλῳ καὶ ἰβηρική τις ὑπάρχει σημείωσις. Καὶ ταῦτα μὲν περὶ τῶν προσθέτων φύλλων· αὐτὸς δὲ ὁ κῶδιξ εὐαγγέλιον ἐνέχει λειτουργικόν, τρισὶ τετραγώνοις κοσμούμενον κοσμήμασιν, ἐν οἷς αἱ προτομαὶ Ματθαίου καὶ Λουκᾶ καὶ Ἰωάννου τῶν εὐαγγελιστῶν ἀπεικάζονται. Ἐγράφη δὲ ἔτει 1027-ῳ, ὡς τὸ σημείωμα δηλοῖ τόδε (φ. 156)· «† Ἐπληρώθ(η) σῦν Θῶ το τα^δευαγγέλ(ιον) [- τετραευαγγέλιον] χειρὶ Νικολά(ου) πρ(εσβυτέρου), μη(νὶ) ἰαννουαρίω ἰνδ(ικτιῶνος) δεκάτ(ης), ἔτους ,ςφλε' επι βασιλ(έως) Κονσταντ(ίνου). Κ(ύρι)ε σώσον καὶ τό(ν) κτισαμε(νον) Ἰω(άννην) πρ(εσβύτερον) ἅμα καὶ τοῖς τέκνοις αὐτ(οῦ)». Διήρηται δὲ τὸ εὐαγγέλιον ὧδέ πως.

1. Ἀναγνώσματα ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

2. Ἀναγνώσματα ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, φ. 38.

3. «Ἀρχὴ τοῦ κατὰ Λουκᾶν. Σαββάτῳ α' τοῦ νέου ἔτους καὶ ἀρχὴ τῆς ἰνδίκτου», φ. 52β.

4. «Ἀρχὴ τοῦ κατὰ Μᾶρκον», φ. 72.

5. «Εὐγγέλια τῇ ἁγίᾳ παρασκευῇ τῆς λειτουργίας», φ. 92β.

6. «Μηνολόγιν σὺν Θεῷ ἀρχόμενον ἀπὸ μηνὸς σεπτεμβρίου ἕως αὐγούστου», φ. 97β.

7. «Εὐαγγέλιον εἰς λειτουργίαν τῶν ἑπτὰ πρεσβυτέρων, ἐκ τοῦ κατὰ Ἰωάννην», φ. 134β.

8. «Εὐαγγέλιον εἰς ἐξομολογουμένους ἄνδρας καὶ γυναῖκας, ἐκ τοῦ κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ ἄγουσιν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα» κτλ., φ. 135.

9. «Εὐαγγέλια ἑωθινὰ ἀναστάσιμα τῶν Κυριακῶν», φ. 135β.

10. «Εὐαγγέλια τῶν παθῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. 138β.

11. «Οἱ μακαρισμοὶ τοῦ μεγάλου κανόνος καὶ εὐθὺς προκείμενον, ἦχος δ'. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου. Στίχ. Κύριε, καταφυγὴ ἐγεννήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Καὶ εὐθὺς τὸ Πᾶσα πνοή· τοῦ εὐαγγελίου τῆς ἀκαθίστου. Κατὰ

Λουκᾶν. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον» κτλ., φ. 156.

12. «Εὐαγγέλιον τοῦ ἁγίου Ἠλιοὺ καὶ Ἐλισσαίου, ἐκ τοῦ κατὰ Λουκᾶν», φ. 161. Προσθήκη μεταγενεστέρα.

13. Ὑπόμνημά τι ἀραβικοῖς γεγραμμένον γράμμασι, φ. 162.

83. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἢ δυοκαιδεκάτης ἑκατονταετηρίδος, ὅπερ σύγκειται ἐκ φύλλων 223, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν ἐκκαίδεκα (0,208 × 0,168 = 0,13 × 0,125)· συνίστατο δ' ἐξ ἀρχῆς ἐκ τετραδίων κθ', ἀλλὰ νῦν τὸ πρῶτον τούτων ἐλλείπει. Καὶ ἐν μὲν τῷ 222-ῳ φύλλῳ τὸ ὑπόμνημα κεῖται τόδε· «† ἐτελειώθ(η) τὸ παρὸν | εἱρμολόγιον [sic] διὰ | χειρὸς Βασιλείου | ἀναγνώστου τοῦ Ἐπταΐ|του, | μηνὶ αὐγούστῳ θ' ἰνδικτιῶνος η'». Εἶτα δὲ προσετέθη τεμάχιον ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, ἀναγινωσκόμενον «τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ εἰς τὴν λειτουργίαν». Περιέχει τοίνυν τὸ τεῦχος εἱρμολόγιον ἀκέφαλον, πολλοῦ λόγου ἄξιον καὶ διὰ τὴν παρασήμανσιν τῶν εἱρμῶν καὶ διὰ τὸ ἔχειν ἐπιγεγραμμένους τοὺς ποιητὰς καὶ τοὺς μελοποιοὺς ἐκείνων· οὗτοι δ' εἰσὶν οἵδε: Γερμανὸς πατριάρχης, Στέφανος Ἁγιοπολίτης, Ἰωάννης Ἀντιοχεύς, Γεώργιος Ἀνατόλιος, Κυπριανὸς μοναχός, Κοσμᾶς μοναχὸς Ἁγιοπολίτης, Ἀνδρέας Ἱεροσολυμίτης, Ἠλίας πατριάρχης Ἱεροσολύμων, Ἀνδρέας Πηρός, Δαμιανός, Ἰωάννης μοναχός, Θεόδωρος Στουδίτης, Ἠλίας μοναχός. Ὑπάρχουσι δὲ καὶ εἱρμοὶ Σιναϊτικοὶ λεγόμενοι.

84. Μεμβράνινον εὐαγγέλιον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων 223 καὶ κείμενον ἐμπεριέχον δίστηλον ἐκ γραμμῶν ἢ 23 ἢ 24 (0, 25 × 0, 195 = 0, 175 × 0, 125)· ἔχει δὲ καὶ τέσσαρα κοσμήματα, προσόμοια τῷ Π στοιχείῳ (φ. 1, 59, 85 καὶ 157).

85. Πραξαπόστολος ἐκ χάρτου βαμβακεροῦ, γραφεὶς τῇ τρίτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενος νῦν ἐκ φύλλων 269, ὧν τινα μεταγενέστερά ἐστιν· ἄρχεται δὲ ἀπὸ τῆς Κυριακῆς τοῦ πάσχα. Ἀπὸ δὲ τοῦ 184-ου φύλλου συναξάριον ὑπάρχει τοῦ πραξαποστόλου, καὶ μετὰ τοῦτο α') «ἀνάγνωσμα εἰς πατριάρχην»,

β') «ἑτέρα ἀκολουθία γενομένη εἰς ἐγκαίνια ναοῦ», γ') «ἕτερος ἀπόστολος εἰς κοιμηθέντας», δ') «ἀπόστολος εἰς μνήμην φόβου», ε') «ἀνάγνωσμα εἰς ἀνομβρίαν», ς') «ἀνάγνωσμα εἰς ἀσθενεῖς» καὶ ζ') «ἀνάγνωσμα ἐπὶ ἐξομολογουμένου».

86. Νομοκάνων ἐκ χάρτου βαμβακεροῦ, γραφεὶς ἢ περὶ τὸ τέλος τῆς τρίτης καὶ δεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος· σύγκειται δ' ἐκ φύλλων 200. Ἔνδον δὲ τῶν πινακίδων καὶ ἐπὶ τοῦ πρώτου φύλλου τὰ ἐφεξῆς ὑπάρχει σημειώματα, ὧν παρέλιπον τὰ σφάλματα· α') «1548. † ἡ ἑβδομηκοστὴ ἐνάτη νεαρά· κεφάλαιον Λέοντος τοῦ σοφοῦ βασιλέως λέγει, ἤγουν διακελεύει νὰ εὐλογηθῇ ἱερεὺς ὅταν σφάλῃ, καθὼς εἰς τὴν Χίο ἐγένετο τοῦ παπᾶ Δημητρίου».—β') «† ͵αφοη' μηνὶ αὐγούστῳ κζ'· τὸ παρὸν βιβλίον ἐστὶν τῆς λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου, ἐν τῇ πανερήμῳ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ»· ἔγραψε δὲ ταῦτα Λεόντιος ἱερομόναχος. — γ') «͵αφλη' ἰουλίῳ κ'· τὸ παρὸ βιβλίον εἶνε ἐμοῦ Ἰωάννου Ῥάλη· τὸ ἐγόρασα ἀπὸ Τούρκους ἄσπρα κε'». — δ') «Εἰς πνευματικὴν διαγωγὴν ἔδωκέ μοι ὁ ἄρχων Καλογιάννης ὁ Ῥάλης τὸ αὐτὸ βιβλίον νόμιμον νὰ τοῦ κάμω ἕνα σαββατιανὸ καὶ ἔδωσάτονε καὶ ἄσπρα τριάκοντα· ἔγραψα δὲ καὶ αὐτὸν εἰς μνημόσυνον αὐτοῦ εἰς τὸ κονδάκιον νὰ ἀνακράζεται τὸ ὄνομα αὐτοῦ εἰς τὴν θείαν μυσταγωγίαν, καὶ νὰ τοῦ κάμω ἕνα σαββατιανό· ἀγοράστη καὶ ἐγράφτη ͵αφμη' Χριστοῦ εἰς τὴν Χίον, αὐγούστου ζ'. Νεῖλος ἱερομόναχος καὶ πνευματικὸς ἔγραψα· ἔχει φύλλα γραμμένα σ', τουτέστιν διακόσια, φύλλα 200». Σημειῶ δὲ κατ' ἐκλογὴν τὰ κείμενα ταῦτα.

1. Πίναξ τῶν ἐμπεριεχομένων κεφαλαίων, φ. 1-12.

2. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ νηστευτοῦ περὶ κληρικῶν καὶ ἱερωμένων». Ἀρχ. «Τοὺς ἱερεῖς καὶ ἀρχιερεῖς», φ. 13.

3. «Περὶ τῶν οἰκουμενικῶν ἑπτὰ συνόδων». Ἀρχ. «Ἡ πρώτη σύνοδος γέγονεν ἐν Νικαίᾳ», φ. 13β.

4. «Νομοκάνονον σὺν Θεῷ περιέχον συνοπτικῶς ὅλους τοὺς κανόνας τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων καὶ τῶν ἁγίων

ἀποστόλων καὶ τοῦ ἁγίου Βασιλείου καὶ ἑτέρων θεοφόρων πατέρων, ἑρμηνευθὲν προτροπῇ τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ παρὰ τοῦ λογιωτάτου διακόνου τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ νομοφύλακος κυροῦ Ἀλεξίου τοῦ Ἀριστινοῦ», φ. 15.

5. «Ἰωάννου μοναχοῦ καὶ διακόνου, μαθητοῦ τοῦ μεγάλου Βασιλείου, οὗτινος ἡ ἐπωνυμία Τέκνον-Ὑπακοῆς, κανονάριον διαγορεῦον περὶ πάντων λεπτομερῶς τῶν παθῶν καὶ τῶν τούτοις προσφόρων ἐπιτιμίων, περί τε τῆς θείας κοινωνίας βρωμάτων τε καὶ πομάτων καὶ εὐχῶν, λίαν συμπαθέστατα». Ἀρχ. «Τῆς θείας καὶ παναγάθου», φ. 130. J. Pitra, Jur. eccles. II, σ. 223. Spicilegium Solesmense IV, σ. 436, 440.

6. «Κεφάλαιά τινα ἀπὸ τῶν θείων καὶ ἱερῶν κανόνων τῆς ἐν Κωνσταντινουπόλει πρώτης συνόδου». Ἀρχ. «Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι», φ. 143β.

7. «Ἔκθεσις θαυμασία περὶ γάμων ἐνδεχομένων γενέσθαι καὶ μή». Ἀρχ. «Ὁ Ῥαδινὸς πατὴρ τοῦ Μιχαήλ», φ. 151—152. Πίνακες συγγενείας, περὶ ὧν ἰδὲ Ἀλέξιον Παύλωφ, 50-я глава Кормчей Книги, какъ историческій и практическій источникъ русскаго брачнаго права. Ἐν Μόσχᾳ 1887, σ. 332—340. Πρβλ. Zachariae, Prochiron auctum σ. 94.

8. «Περὶ βαθμῶν συγγενείας ἐκ τοῦ τρίτου βιβλίου τῶν ἰνστιτούτων». Ἀρχ. «Ἡ συγγένεια γενικόν ἐστιν ὄνομα· διαιρεῖται δὲ» κτλ., φ. 152β.

9. «Συνοδικὴ ἐπὶ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου, περὶ γάμων». Ἀρχ. «Προκαθημένου Ἀλεξίου τοῦ ἁγιωτάτου», φ. 154β. Ῥάλλη καὶ Ποτλῆ, Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. V, σ. 36.

10. «Ἐπιστολὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου πρὸς Ἀμμοῦν μονάζοντα, περὶ τῶν διαβαλλόντων τὴν καθ' ὕπνους συμβαίνουσαν ῥεῦσιν». Ἀρχ. «Πάντα μὲν καλὰ καὶ καθαρά», φ. 115. Migne τ. 26, σ. 1169. Ῥάλλη καὶ Ποτλῆ, Σύνταγμα, τ. IV, σ. 67. I. Pitra, Jur. eccles. τ. I, σ. 567.

11. «Ἄθροισις μαρτυριῶν εἴ τι μέγα ἀγαθὸν ὑπάρχει ἡ ἐξαγόρευσις», φ. 156β.

12. «Τάξις ἀρίστη τῶν ἐξαγορευόντων». Ἀρχ. «Χρὴ τὸν ἐξαγορεῦσαι μέλλοντα ἀκατακαλύπτῳ τῇ κεφαλῇ ἐν ἐκκλησίᾳ ἑστάναι ἢ ἐν ἀνακεχωρισμένῳ τόπῳ, καὶ συνεύχεσθαι αὐτῷ τὸν τὰς ἐξομολογήσεις δεχόμενον» κτλ., φ. 163β.

13. «Τῶν ἁγίων πατέρων νουθεσίαι». Ἀρχ. «α' Εἴ τις ἐξέρχεται τῆς ἐκκλησίας πρὸ τῆς ὑστεραίας εὐχῆς, τουτέστιν τῆς ἀπολύσεως, ἐκτὸς εὐλόγου αἰτίας, ξηροφαγείτω τῇ αὐτῇ ἡμέρᾳ ποιῶν καὶ μετανοίας ν'», φ. 169.

10. «Κανὼν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τοὺς ἁγίους πάντας», φ. 17. Μετὰ δὲ τὸ τέλος αὐτοῦ γέγραπται τοῦτο, φ. 20β. «† Αὕτη ἡ βίβλος ἐπονομάζεται Θηκαρᾶς· ἐτελειώθη δὲ διὰ χειρὸς κἀμοῦ Γερμανοῦ εὐτελοῦς καὶ τῶν ἐλαχίστων ἐλαχιστοτέρου· καὶ οἱ μέλλοντες ἀναγινώσκειν αὐτὴν εὔχεσθέ μοι διὰ τὸν Κύριον· ἔτι δὲ ἐπροσήλωσα αὐτὴν μετὰ καὶ ἑτέρων πεντήκοντα πέντε βιβλίων καὶ ἐπέκεινα εἰς τὴν ἁγίαν λαύραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ Ἱεροσολυμίτου» κτλ.

11. «Εὐχὴ ἐξομολογητικὴ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν γλυκύτατον, ἐρανισθεῖ(σα) ἐκ πολλῶν καὶ συντεθεῖσα· ἣν ὀφείλει λέγειν πάντοτε ὁ ποθῶν συγχωρήσεως τεύξασθαι τῶν αὐτοῦ ἀγνοημάτων καὶ παραβάσεων τῶν ἑαυτοῦ συνθηκῶν, ἐξαιρέτως δὲ ὑπὸ τῶν μοναχῶν καὶ μεγαλοσχήμων ἐν τῇ τῶν θείων μυστηρίων μεταλήψει». Ἀρχ. «Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ, ἐλεησόν με τὸν ἀνάξιον», φ. 21. Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς γέγραπται τόδε· «† Ἀεὶ ἁμαρτάνοντες ἀεὶ ὀφείλομεν ἐξομολογεῖσθαι, καὶ εἰ οὐ πάντα πεπράχαμεν ὅσα εἴρηνται, ἀλλ' οὖν διὰ τοῦ λογισμοῦ ἀεὶ αὐτὰ πράττομεν· ἐγὼ δὲ αὐτὰ καὶ λόγῳ καὶ ἔργῳ ἔπραξα καὶ πράττω αὐτά, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ, πατέρες ἅγιοι, τοῦ ἐν μονοτρόποις ἀλλ' οἰκτροῦ Θεοφίλου:—Εὔχου μοι, θύτα, παντλήμονι Γερασίμῳ, ὅταν τῷ Θεῷ τὴν λατρείαν προσφέρεις· δέομαί σου δουλικῶς».

12. «Εὐχή, ἥτις λέγεται παρὰ ἀρχιερέως ἢ πνευματικοῦ ἐπὶ τὸν μέλλοντα κοινωνῆσαι, συγχωρῶν αὐτῷ πάντα. Τοῦ Κυρίου δεηθῶμεν, Κύριε ἐλέησον, εἶτα τὴν εὐχήν. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, υἱὲ καὶ λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ», φ. 26β. Goar, Εὐχολόγιον σ. 536.

13. «Ὑπόθεσις Εὐσεβίου τοῦ Παμφίλου» εἰς τὴν βίβλον τῶν ψαλμῶν, φ. 28β. Καὶ μετ' αὐτὴν τοῦτο· «† Γερμανὸς δὲ γέγραφε τὴν βίβλον ταύτην· | ἔγραψεν ὧδε, κἂν ἐπταισμένως ἔχει· | σὺ δὲ τρυγῶν τοὺς καρποὺς τῆς σωτηρίας | μνήσθητι κά-

μοῦ τοῦ ταπεινοῦ γραφέως· | κάμπτου πρὸς οἶκτον τὸν φιλάνθρωπον Λόγον | ἀμνηστείαν μοι τῶν κακῶς πεπραγμένων | θᾶττον παρασχεῖν καὶ κατάγνωσιν βίου· | ἀλλήλοις γὰρ εὔχεσθαι φιλῶν Κυρίῳ, | Χριστὲ παράσχου τοῖς ἐμοῖς πόνοις χάριν».

14. «Διονυσίου μοναχοῦ γνωστικὰ κεφάλαια τριάκοντα πέντε, περὶ διαφορᾶς τῶν θείων ὕμνων». Ἀρχ. «Δέδωκεν ἡμῖν ὁ Θεὸς ἀντὶ δέλτου», φ. 29.

15. «Τοῦ αὐτοῦ ἑρμηνεία περὶ διαφορᾶς τῆς νηπτικῆς εὐχῆς». Ἀρχ. «Ταύτην τὴν εὐχήν», φ. 36β.

16. Τεμάχια δύο Νείλου τοῦ ἀσκητοῦ καὶ Βασιλείου, φ. 38.

17. «Μητροφάνους, ὕμνοι πρὸς τὸ θεῖον ἐρωτικοί», ὧν ἡ ἀρχή· «Πλήρης τῶν θαυμασίων αὐτοῦ», φ. 39.

18. «Ἑρμηνεία Μητροφάνους πῶς δεῖ καὶ ὅθεν δεῖ μεταγράφειν τοὺς ὕμνους, καὶ ὅτι οὐ δεῖ ἀφιέναι τι ἀπὸ τῆς ὅλης ἀκολουθίας ταύτης καὶ πότε δεῖ λέγειν τὴν ἀσκητικὴν τῆς ἡμέρας ἀκολουθίαν, καὶ πῶς δεῖ λέγειν τοὺς ὕμνους· ἔστι δὲ αὕτη ἡ ἑρμηνεία ὡς πίναξ τοῦ παρόντος βιβλίου. Εἴ τις οὖν βουληθῇ μεταγράψαι τοὺς ὕμνους ἢ καὶ ὅλον» κτλ. Ἀρχ. «Ὅσοι τὸν ὄγκον τοῦ παρόντος βιβλίου», φ. 39β.

19. «Ὡρολόγιον σὺν Θεῷ τῶν ὕμνων καὶ εὐχαὶ μετὰ τροπαρίων εἰς τὸ Ψαλτήριον· εἰσὶ δὲ πόνημα Θηκαρᾶ μοναχοῦ. Προοίμιον τοῦ Θηκαρᾶ περὶ πίστεως λόγων». Ἀρχ. «Τὸν ἀσχολούμενον περὶ τὴν καθαράν», φ. 41β. Μετὰ δὲ τὸ προοίμιον τεμάχιά ἐστι Διονυσίου τοῦ Ἀρεοπαγίτου, Ἰουστίνου τοῦ μάρτυρος, Ἀναστασίου τοῦ Σιναΐτου, Γρηγορίου τοῦ Νύσσης, Θεοδωρήτου τοῦ Κύρρου, Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Γρηγορίου τοῦ Θεολόγου.

20. «Μιχαὴλ συγκέλλου Ἱεροσολύμων, λίβελλος ἤγουν ὁμολογία περὶ τῆς ὀρθοδόξου πίστεως». Ἀρχ. «Πιστεύω εἰς ἕνα Θεόν», φ. 50β.

21. Ἰωάννου τοῦ Χρυσοστόμου τεμάχιον, οὗ ἡ ἀρχή· «Ὁμολογῶ τὸν Χριστὸν Θεὸν τέλειον», φ. 54. Εἰσὶ δὲ αὐτόθι καὶ εἰκόνες δύο, ἡ μὲν τὸν Χρυσόστομον ἀπεικάζουσα, ἡ δὲ τρεῖς κίονας σφόδρα ἐρυθρούς, πράσινα τὰ ἐπιστύλια ἔχοντας (φ. 54β—55α).

22. Ἀθανασίου τοῦ μεγάλου «ἐρώτησις καὶ ἀπόκρισις», ἧς ἡ ἀρχή· «Πιστεύσαντες καὶ βαπτισθέντες», φ. 55β.

23. Μαξίμου τοῦ ὁμολογητοῦ τεμάχιον, οὗ ἡ ἀρχή· «Εἷς Θεός, ὅτι μία θεότης», φ. 56.

24. «Στίχοι τοῦ Θηκαρᾶ», ὧν ἡ ἀρχή· «Σύνταξις ὕμνων πυριπνόων», φ. 57. Καὶ πάλιν «τοῦ αὐτοῦ πρόλογος», οὗ ἡ ἀρχή· «Πάντες μὲν ὅσοι παιδείαν». Καὶ πάλιν «τοῦ αὐτοῦ περὶ τῆς προσηκούσης τυπώσεως καὶ συντάξεως τῶν ὕμνων, καὶ ἑρμηνεία μερικὴ ἐπὶ τούτοις». Ἀρχ. «Ἰστέον ὅτι πάντες οἱ ὕμνοι».

25. «Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ μεσονυκτικόν· λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸν τρισάγιον ἢ μετὰ τὸ Πιστεύω εἰς ἕνα Θεόν, καὶ ἔτι μετὰ τὸν τρισάγιον. Ἐκ τῶν δογμάτων τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ». Ἀρχ. «Δόξα τῇ ἀπειροτάτῃ», φ. 65β.

26. Νικηφόρου τοῦ Βλεμμίδου ὕμνος εἰς τὸν ὄρθρον, οὗ ἡ ἀρχή· «Σὺ Κύριε μόνος ἀγαθός», φ. 80.

27. «Κανών· χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα τοῦ εὐσεβεστάτου κυροῦ Θεοδώρου τοῦ Λάσκαρι», φ. 121.

28. «Κανὼν τῆς ἀκαθίστου φέρων ἀκροστιχίδα τήνδε: Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ», φ. 125.

29. Κατήχησις περὶ τῆς ἀσκητικῆς ἀκολουθίας ἀκέφαλος, ἀρχομένη νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «πάντες ὅτι ἔστι Θεὸς ἡ ἁγία τριάς», φ. 129.

30. «Στιχηρὰ καὶ εὐχαὶ συνταχθέντα μετὰ τῶν ὕμνων τῆς ἡμέρας παρὰ τοῦ ποιήσαντος τοὺς ὕμνους μοναχοῦ Θηκαρᾶ τοῖς κατ' ἰδίαν βουλομένοις ἀσκῆσαι», φ. 133β.

31. «Τοῦ αὐτοῦ εὐχαὶ συλλεχθεῖσαι ἀπὸ τῆς θείας γραφῆς, τὰ πλεῖστα δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραίμ, τοῖς βουλομένοις πολεμῆσαι τὴν ἑαυτῶν πρὸς τὰ πάθη καὶ τὰς ἡδονὰς ἐγκειμένην προαίρεσιν». Ἀρχ. «Δέξαι δέησιν ῥυπαροῦ», φ. 186.

32. Συμεὼν τοῦ νέου θεολόγου «περὶ ἀρχῆς βίου λίαν ἐπωφελοῦς καὶ σωτηρίου, ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποτασσομένοις καὶ πρὸς τὸν μοναδικὸν ἀποτρέχουσι

βίον καὶ διδασκαλία εἰς ἀρχαρίους λυσιτελεστάτη». Ἀρχ. «Πᾶς ἄνθρωπος, ἀδελφοί, ὁ ἄρτι τῷ κόσμῳ», φ. 216β.

33. «Περὶ τάξεως ἀρχαρίων καὶ κατηχήσεως πάνυ ἀναγκαιοτάτης, κοσμούσης τὰ ἤθη τοῦ ἀνθρώπου». Ἀρχ. «Αὕτη ἐστὶν ἡ τάξις ἡ σώφρων καὶ Θεῷ προσφιλής», φ. 221. Ἱεροσολυμιτικῆς Βιβλιοθήκης τ. I, σ. 294.

34. «Ἐκ τοῦ μεγάλου Βασιλείου ὠφέλιμα πάνυ». Ἀρχ. «Πολλοὺς τῶν ἀνθρώπων ἀκήκοα ἐπιζητοῦντας», φ. 223.

35. «Ἐκ τῆς βίβλου Πέτρου μοναχοῦ τοῦ Δαμασκηνοῦ ἡ πρώτη ἀρχὴ τοῦ λόγου». Ἀρχ. «Ἀρχὴ μὲν παντὸς ἀγαθοῦ ἡ ἐκ Θεοῦ διδομένη», φ. 224. Ἱεροσολ. Βιβλιοθ. I, σ. 294.

36. «Περὶ τηρήσεως πρώτης ἐντολῆς». Ἀρχ. «Καὶ τούτου χάριν ὀφείλει», φ. 229.

37. Συμεὼν τοῦ νέου θεολόγου, «λόγος ἀσκητικὸς περὶ τοῦ φεύγειν τοὺς λοιμοὺς καὶ φθοροποιοὺς τῶν ἀνθρώπων, καὶ τοὺς λόγους αὐτῶν ἀποπέμπεσθαι καὶ πρὸς ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι· τί δὲ τὸ σημεῖον τῆς ψυχικῆς ἐλευθερίας; τίς ὁ τὸν σταυρὸν αἴρων καὶ ἀκολουθῶν τῷ Χριστῷ; πῶς δὲ τῶν ἀπορρήτων τοῦ Θεοῦ ἀγαθῶν ἀπολάβουσιν οἱ πιστοὶ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι; καὶ περὶ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως δικαίων καὶ ἁμαρτωλῶν». Ἀρχ. «Πᾶς ὅστις τὸν Θεὸν εὑρεῖν βούλεται», φ. 231β. Fabricii, Biblioth. Gr. τ. XI, σ. 304.

38. Ἀθανασίου τοῦ μεγάλου ἐπιστολὴ πρὸς τοὺς ἀποταξαμένους, ἧς ἡ ἀρχή· «Ἀδελφέ μου, εἰ ἀπετάξω τῷ κόσμῳ τούτῳ», φ. 237β.

39. Τοῦ αὐτοῦ «πρὸς Ἀντίοχον περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων τῶν ἐν ταῖς θείαις γραφαῖς ἀπορουμένων καὶ παρὰ πᾶσι χριστιανοῖς ἀναγινώσκεσθαι ὀφειλομένων». Ἀρχ. «Τί ἐστι Θεός», φ. 238β.

40. Γρηγορίου τοῦ Θεολόγου κεφάλαια περὶ πίστεως, ὧν ἡ ἀρχή· «Τί ἐστι Θεὸς καὶ κατὰ τί Θεὸς καὶ ποσαχῶς εἴρηται Θεός», φ. 244β.

41. «Ἕτερα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιε-

πισκόπου Ἀλεξανδρείας». Ἀρχ. «Πιστεύσαντες καὶ βαπτισθέντες», φ. 245β. Migne τ. 28, σ. 597.

42. Τοῦ αὐτοῦ «κεφάλαια ρε΄ περὶ διαφόρων ζητημάτων, κατ' ἐρώτησιν καὶ ἀπόκρισιν». Ἀρχ. «Ἀμφιβάλλεται πολλοῖς», φ. 247.

43. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου μητροπολίτου Ῥουσίας πρὸς Κλήμεντα πάπαν Ῥώμης ἐπιστολή», ἧς ἡ ἀρχή· «Ἀπεδεξάμην τὴν ἐν Κυρίῳ ἀγάπην σου, ὦ τοῦ Θεοῦ ὡς ἀληθῶς ἄνθρωπε», φ. 261β. Ἀλεξίου Παύλωφ, Критическіе опыты по исторіи древнѣйшей грекорусской полемики противъ Латинянъ. Ἐν Πετρουπόλει 1878, σ. 169.

44. Βασιλείου τοῦ μεγάλου ἐρωταποκρίσεις, ὧν ἡ ἀρχή· «Ὅταν ὑπερβῇ τις τοῦ νόμου τὸν ὅρον», φ. 266.

45. «Ἑπτὰ πράξεις τῆς ἀρετῆς, ἃς εἶπον οἱ ἅγιοι». Ἀρχ. «Πρώτη· ἡσυχία ἤγουν ἀπερίσπαστος διαγωγή», φ. 268. Καὶ πάλιν «ὀκτὼ πνευματικαὶ θεωρίαι, ἃς ὁμοίως εἶπον οἱ ἅγιοι, ὧν αἱ μὲν ἑπτά εἰσι τοῦ αἰῶνος τούτου» κτλ.

46. Ἀποσπασμάτια Δωροθέου τοῦ ἀββᾶ καὶ Συμεὼν τοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης, φ. 268β.

47. «Ἐκ τῶν ἀποκρίσεων Ἰωάννου τοῦ ἱερωτάτου ἐπισκόπου Κίτρους». Ἀρχ. «Τὰ μὲν ἔκφυλα τῶν Λατίνων δόγματα», φ. 270.

48. Κανόνες τοῦ μεγάλου Βασιλείου οἱ ἀπὸ τοῦ πη΄ μέχρι τοῦ ριγ΄ ἀριθμοῦ, φ. 270β.

49. Κανὼν ὁ ιη΄ Νικηφόρου τοῦ Κωνσταντινουπόλεως καὶ ἄλλοι πάλιν κανόνες Βασιλείου τοῦ μεγάλου, φ. 271β.

50. «Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου στίχοι περὶ διαίτης εἰς τὸν πρῶτον τοῦ ἁγίου ὄρους κῦρ Ἰωαννίκιον». Ἀρχ. «Πολλάκις με ἠξίωσας», φ. 272. J. Pitra, Spicileg. Solesmense τ. IV, σ. 489.

51. «Συνοδικαὶ λύσεις καὶ προτροπὴ περὶ μεγαλοσχήμων τοῦ λειτουργεῖν». Ἀρχ. «Ὁ ἁγιώτατος οἰκουμενικὸς» κτλ., φ. 274. Ἱεροσολυμιτ. Βιβλιοθ. τ. I, σ. 270-271.

52. Τεμάχια Βασιλείου καὶ Ἀναστασίου τοῦ Σιναΐτου, φ. 274.

53. Περὶ κοινοβίων. Ἀρχ. «Οἱ τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα φοροῦντες, οὐ μόνον ἔχειν ἴδιόν τι», φ. 275. Ἱεροσολ. Βιβλιοθήκη I, σ. 294.

54. «Ῥήματα καὶ ἀποφθέγματα ἁγίων πατέρων τοῖς βουλομένοις διεξιέναι». Ἀρχ. «Ἀγάπα τὸ συνεχῶς προσεύχεσθαι», φ. 276.

55. Τεμάχια Ἰωάννου τοῦ Σχολαστικοῦ, Ἰωάννου τοῦ Κίτρους, Λουκᾶ τοῦ Κωνσταντινουπόλεως, Συμεὼν τοῦ Θεσσαλονίκης.

56. «Ἐκ τῆς βίβλου Καλλίστου καὶ Ἰγνατίου τῶν Ξανθοπούλων μέρος κεφαλαίων περιεχόντων τὸ χρειῶδες», ἤτοι τὰ κεφάλαια τὰ ἀπὸ τοῦ ιθ' μέχρι τοῦ ρ' ἀριθμοῦ. Ἀρχ. «Μέθοδος φυσικὴ περὶ τῆς ἔνδον καρδίας», φ. 278^{β}.

57. «Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων πῶς θεόθεν δεδώρηνται, καὶ ὅτι χρὴ τοὺς αἱρουμένους λέγειν αὐτοὺς τηρεῖν ἑαυτοὺς ἀπὸ τῶν παθῶν· εἶτα καὶ μαρτυρίαι ἀπὸ τῶν ἁγίων διδασκάλων περὶ τῆς πρὸς Θεὸν αἰνέσεως καὶ περὶ τῆς πρὸς αὐτὸν εὐχαριστίας καὶ περὶ ἀρετῆς καὶ κακίας». Ἀρχ. «Δέον ἡμῖν ἅπερ ἠκούσαμεν καὶ τῇ πείρᾳ ἐγνώκαμεν», φ. 318.

58. Ἀρχιερέως τινὸς ἢ πατριάρχου ἐπιστολαὶ δύο, ἡ μὲν ἀνωνύμῳ, ἡ δὲ Ἀποστόλῃ τῷ Βάμεσσι, φ. 340· ἡ δὲ πρώτη τῶν ἐπιστολῶν τούτων ἐγράφη τῇ 20 αὐγούστου τοῦ 1549-ου ἔτους.

59. Στίχοι, ὧν ἡ ἀρχή· «Ἐρωδιὸς εὐφραίνεται τῆς οἰκουμένης ἔξω, | ὄναγρος γήθεται σκιρτῶν ἐρήμοις ἐν ἀβάτοις, | ἄζυξ τρυγῶν φιλήσυχος φιλοπενθὴς ὁρᾶται, | Σειρὴν τὸν ἐπακούοντα μέχρι θανεῖται θέλγει» κτλ., φ. 343^{β}. Τέλος· «ὁ κόπτων γὰρ ἀείποτε πρὸς τὴν ἀξίνην βλέπει· | μὴ θέλε ξένην γύμνωσιν ποτὲ καταμανθάνειν».

60. Ἐκ τοῦ βίου τοῦ ὁσίου Σάβα τεμάχιον, οὗ ἡ ἀρχή· «Οὕτω δ' ἐπιθυμίας ἔχων ὁ μακάριος Σάβας», φ. 344^{β}.

107. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος, διῃρημένον εἰς τετράδια τριάκοντα καὶ νῦν ἐκ φύλλων συνιστάμενον 233, ὧν τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τριῶν ($0,242 \times 0,198 = 0,172 \times 0,13$). Περιέχει δὲ τὰς πράξεις καὶ τὰς ἐπιστολὰς τῶν ἀποστόλων μετά τε τῶν ὑποθέσεων καὶ τῶν

πινάκων τῶν κεφαλαίων αὐτῶν· ὑπάρχει δ' ἐν τῷ τεύχει καὶ κοσμήματα ἑπτά, ὧν ἓξ μὲν παρεμφερῆ ἐστι τῷ Π στοιχείῳ (φ. 3, 11, 103, 128, 150, 194), ἓν δὲ σχῆμα ἔχει τὸ παραλληλόγραμμον τετράγωνον (φ. 217). Καὶ τὰ μὲν δύο πρώτιστα φύλλα, εἰ καὶ διάτρητα νῦν ἐστιν, ἄγραφα ἐξ ἀρχῆς ἀφέθη· ἀπὸ δὲ τοῦ τρίτου φύλλου ἄρχεται «ὑπόθεσις τῆς βίβλου τῶν πράξεων τῶν ἀποστόλων», ἧς ἡ ἀρχή· «Πράξεις ἀποστόλων τὸ βιβλίον καλεῖται» κτλ. Μετὰ δὲ ταύτην γέγραπται «ἀποδημία Παύλου», ἧς ἡ ἀρχή· «Ἀπὸ Δαμασκοῦ ἤρξατο καὶ ἀνῆλθεν εἰς Ἱερουσαλήμ». Καὶ μετ' αὐτὴν κεῖται «ἔκθεσις κεφαλαίων τῶν ἁγίων ἀποστόλων», ἧς ἡ ἀρχή· «Ἐκ πατέρων ἡμεῖς καὶ διδασκάλων». Ὕστερον δ' ἐστὶν ἡ τῶν κεφαλαίων ἀναγραφή, καὶ μετ' αὐτὴν αἱ «Λουκᾶ εὐαγγελιστοῦ πράξεις τῶν ἁγίων ἀποστόλων», αἳ λήγουσιν εἰς τὸ 71-ον φύλλον. Πλὴν ἀλλὰ τὸ κείμενον τοῦτο Πορφύριος ὁ Οὐσπένσκης ἔφθειρε, δύο φύλλα κατακόψας καὶ ἀναιρέσας, ἃ νῦν ἐν τῇ κατὰ Πετρούπολιν αὐτοκρατορικῇ εὕρηται βιβλιοθήκῃ (ἀριθ. CCCXVII). Μετὰ μὲν οὖν τὰς πράξεις αἱ ἐπιστολαί εἰσιν αἱ καθολικαὶ λεγόμεναι, καὶ μετ' αὐτὰς αἱ Παύλου τοῦ ἀποστόλου, ὧν ἐσχάτη ἐστὶν ἡ πρὸς Ἑβραίους· μετὰ δὲ ταύτην φύλλον πρόσθετον ὑπάρχει μεμβράνινον, ἐν ᾧ μέρος ἐστὶ λειτουργικοῦ τινος εὐαγγελίου.

108. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, κείμενον ἔχον μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων (0, 243×0,18=0,173×0,13). Καὶ ἐν μὲν τῇ ἀρχῇ δύο πρόσθετα ὑπάρχει μεμβράνινα φύλλα (ἀπεσπασμένα, ὡς φαίνεται, ἐκ μηναίου τινὸς τῆς δωδεκάτης ἑκατονταετηρίδος), ἅπερ τὴν ἀρχὴν περιέχει τῆς ᾀσματικῆς ἀκολουθίας τῆς ψαλλομένης τῇ πρώτῃ σεπτεμβρίου· μετὰ δὲ ταῦτα τὸ κύριον ὑπάρχει τεῦχος, οὗ τὸ πρῶτον δυστυχῶς ἐλλείπει τετράδιον, εἰ καὶ τοῦτο μέχρι τοῦ 1792-ου ἔτους ἐσῴζετο, ὡς δηλοῖ σημείωμά τι μικρὸν τὸ ποσὸν τῶν τότε ὑπαρχόντων ἀπαριθμοῦν φύλλων. Αὐτὸ μὲν οὖν τὸ πρῶτον τετράδιον ἐλλείπει νῦν, ἀπὸ δὲ τοῦ δευτέρου, ἤτοι ἀπὸ τοῦ πρώτου φύλλου τοῦ κυρίου τεύχους, ἄρχεται κείμενον ἐκτενέστατον,

εἰς κεφάλαια διῃρημένον σνθ' καὶ ἐπιγραφὴν ἔχον τοιάνδε· «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῷ Θαυμαστῷ ὄρει», οὗ ἡ ἀρχή· «Εὐλογητὸς ὁ Θεὸς ὁ πάντας ἀνθρώπους» κτλ. [1]. Λήγει δ' εἰς τὸ 162-ον φύλλον. Ἀπὸ δὲ τοῦ ἐφεξῆς φύλλου μέχρι τοῦ 198-ου γέγραπται «Βίος καὶ πολιτεία τῆς μακαρίας Μάρθας μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ ἀγωνισαμένου ἐκ νηπίας ἡλικίας τὰ τῆς ἀσκήσεως ἆθλα ἐν τῷ Θαυμαστῷ ὄρει»· ἄρχεται δὲ ὧδε· «Ὅσοι τῆς μακαρίας καὶ ἀπεράντου» (Acta Sanct. μαΐου τ. V, σ. 398-425). Καὶ μέχρι μὲν τοῦ 198-ου φύλλου ταῦτα ὑπάρχει, μιᾷ καὶ τῇ αὐτῇ γεγραμμένα χειρὶ ἀνωνύμου τινὸς καλλιγράφου· ἄλλος δέ τις, ὄνομα Γεράσιμος μοναχός, προσέθηκε τῷ τρίτῳ καὶ δεκάτῳ αἰῶνι κείμενον τρίτον, οὗ ἡ ἐπιγραφή· «Ἀποκάλυψις ἣν ἑώρακε Συμεὼν μοναχὸς καὶ πρῶτος τῶν ἱερέων τῆς μονῆς τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ ἐν τῇ αὐτῇ ἁγίᾳ μονῇ, ἐν ἔτει ,ςφμα'» (1032-1033)· ἄρχεται δὲ τὸ κείμενον τοῦτο ἀπὸ τῶν λέξεων «Ὁ ἐλάχιστος ἀδελφὸς ἡμῶν», καὶ εἰς τὸ 200-ον λήγει φύλλον, ἔνθα καὶ τὰ σημειώματα ταῦτα ὑπάρχει· α') «Ἐτελοἰῶθη τῶ παρῶν βιβλίων τοῦ ὁσίου καὶ θεοφώρου Συμεῶν τοῦ θαυματοῦργοῦ διά χειρὸς ἐμοῦ καὶ ἁμαρτῶλοῦ Γερασίμοὺ (μον)αχ(οῦ)». β') «Ἡ βίβλος αὕτη ὑπάρχει τῆς σεβασμίας μονῆς τοῦ ἁγίου καὶ θεοφόρου πατρὸς ἡμῶν Συμεὼν τοῦ θαυματουργοῦ τοῦ ἐν τῷ Θαυμαστῷ ὄρει». γ') «Ἡ βίβλος αὔτη ὑπάρχει τῆς σεβασμίας μονῆς τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ τοῦ ἐν τῷ Θαυμαστῷ ὄρει· αἰχμαλωτευθὲν δὲ κατήντησεν εἰς τοῦ τιμίου Προδρόμου τὴν μονήν, καὶ πάλιν ἔδωκεν τοῦτο ὁ ὁσιώτατος καθηγούμενος κῦρ Ἰγνάτιος, ἵνα ἐπιδοθῇ εἰς τὴν μονὴν τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεών· ἐπεδόθη δὲ κατενώπιον τοῦ πανιερωτάτου μητροπολίτου τῆς Δαμασκοῦ πόλεως κῦρ Ἰωακείμ» κτλ. Τὸ δὲ ὄνομα τοῦ ἀναθέντος τὸ τεῦχος εἰς τὴν μονὴν τοῦ Προδρόμου τὴν παρὰ τὸν Ἰορδάνην

[1] Ἕτερα δὲ ἀντίγραφα τοῦ αὐτοῦ βίου ἐν τοῖς ἐφεξῆς καταγράφεται βιβλίοις: Coxe Catal. cod. mss. bibl. Bodleianae σ. 412. Hardt, Catal. cod. mss. graecorum bibl. reg. Bavaricae IV, σ. 83. Ἀ. Π. Κεραμέως, Μαυρογορδάτειος Βιβλιοθήκη I, σ. 53.

ποταμόν, τὸ ἐφεξῆς ἀραβικὸν γνωρίζει σημείωμα, ὅπερ ἐν τῷ 162·ῳ γέγραπται φύλλῳ· ἦν δὲ οὗτος Γεώργιος Ἱεροσολυμίτης ὁ υἱὸς Ἰωσὴφ τοῦ Σάβα.

اعلي من الرب عفوه تبارك اسمه الا بد (sic) امين
هازاما اوتفه العبد المسكين الكثير الزنوب
واخطا من شعب السيد المسيح باسره الراجى
المغره منه وحوجريس ابن يوسف ابن سابا
من اهل القدس الشريفا نعمه الرب بمافيه امين
على دير القديس العضم (sic) ماريحنا (sic) المصدان
عل بحر الاردن المقدس فرجم الله من
قرافيه واقحم عليه وعلى والديه بالرحمه
ويكون له ولمن ترحم عليه حضى (sic) مع القديس
ماريحنا (sic) فملعون ابن ملعون من يسرقه او
يوحيه (sic) او بلع (sic) فيه او يشترى ويكون القديس
ماريحنا (sic) خصمه قدام المسيح امين امين

109. Τεῦχος ἐκ χάρτου τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐξ ἀρχῆς φύλλα περιεῖχε 231· ἐλλείπει δὲ νῦν τό τε πρῶτον καὶ τὸ ὄγδοον φύλλον. Περιέχει δὲ ὑπόμνημά τι Θεοφίλου τοῦ Κορυδαλλέως, τὸ περὶ τῶν μεταφυσικῶν τοῦ Ἀριστοτέλους, καὶ διὰ τὸ εἶναι τὸ τεῦχος ἀκέφαλον, ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τούτων· «ἀπὸ τοῦ ζ′ καὶ ὑφ' ὅλου τοῦ λ′ περατουμέναις, καί γε οὐδὲν ἀπεικός· τῶν γὰρ ἐκτὸς ὕλης» κτλ. Ὑπάρχει δὲ καὶ σχόλιά τινα ἐν τοῖς κρασπέδοις· καὶ τὸ μὲν κείμενον μονόστηλόν ἐστι καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἕξ (0,226×0,165=0,17×0,105), ἐν δὲ τῷ ἐσχάτῳ φύλλῳ γέγραπται τὸ σημείωμα τοῦτο· «Ἀγόρασα τὴν παροῦσαν βίβλον τὴν κόλαν παράδες ὀκτὼ καὶ εἶναι κόλαις 59· ἐκάμασι παράδες 462 [sic] καὶ γίνονται γρόσια 9 καὶ παράδες 28. Ἰωακεὶμ Σμυρναῖος ὁ τῷ γένει Μαχαιρᾶς, υἱὸς τοῦ Κυρια-

κοῦ τοῦ Φότζαλη, ἀδελφοῦ τοῦ Σταμάτη, Κωνσταντῆ καὶ Ἀντώνη καὶ Ἀργέδας καὶ Ἀσημήνας, πρώην μὲν Ἰάκωβος, τανῦν δὲ Ἰωακείμ. Μνησθείη Κύριος οὗ ἦν ἡ βίβλος, τοῦ τε γραφέως καὶ οὗπερ ἐστί· ἅπαντες γὰρ κεκοπιάκασι τῆσδε ἕνεκα». Περὶ δὲ τοῦ Ἰωακεὶμ τούτου ὅρα τὸν πρῶτον τόμον τῆς Ἱεροσολ. Βιβλιοθήκης, σ. 199, 201, 254, 321, 404 καὶ 518.

110. Τεῦχος ἐκ χάρτου τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, συγκείμενον ἐκ σελίδων 406, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ μιᾶς (0,218×0,163=0,165 ×0,111)· ἦν δὲ καὶ τοῦτο κτῆμα «τοῦ Ἰωακείμ», καὶ περιέχει «τοῦ σοφωτάτου Θεοφίλου τοῦ Κορυδαλλέως ὑπόμνημα συνοπτικὸν καὶ ζήτημα εἰς τὴν περὶ οὐρανοῦ πραγματείαν» Ἀριστοτέλους, οὗ ἡ ἀρχή· «Οἷόν τις νέηλυς εἰς πόλιν μεγίστην». Ἱεροσολυμιτικῆς Βιβλιοθήκης τ. Ι, σ. 171, 199, 411.

111. Τεῦχος ἐκ χάρτου τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, συγκείμενον ἐκ φύλλων 401, ὕψους μὲν 0,222, πλάτους δὲ 0,16· περιέχει δὲ καὶ τοῦτο Θεοφίλου τοῦ Κορυδαλλέως ὑπόμνημα, τὸ περὶ τῆς φυσικῆς ἀκροάσεως Ἀριστοτέλους, οὗ ἡ ἀρχή· «Εἰς φιλοσοφίαν προδιοίκησις· προοίμιον. Τῶν ὅσα θηράσιμα πέφυκε» κτλ. Ἱεροσολυμιτ. Βιβλιοθ. Ι, σ. 260.

112. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1745-ῳ καὶ ἐκ σελίδων συνιστάμενον 787, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ πέντε (0,223×0,168=0,173×0,113). «Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλλέως εἰς φιλοσοφίαν προδιοίκησις· ὁποῖον τὸ τῆς φιλοσοφίας ἀξίωμα· προοίμιον. Τῶν ὅσα τοῖς ἀνθρώποις θηράσιμα» κτλ. Ἐν δὲ τῇ 786-ῃ σελίδι γέγραπται τοῦτο· «Τέλος τῶν η′ τῆς φυσικῆς βιβλίων. Ἰωακεὶμ ἱερομόναχος ὁ ἐκ Σμύρνης ὁ γράψας· ͵αψμε′: ὀκτωμβρίου ιζ′».

113. Τεῦχος ἐκ χάρτου τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, φύλλα συμπληροῦν 283, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ πέντε (0,212×0,163=0,174×0,11)· περιέχει δὲ «προλεγόμενα ἐν τῷ περὶ ψυχῆς βιβλίῳ τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλλέως», ἤτοι τὴν ἑρμηνείαν

αὐτοῦ τὴν εἰς τὸ περὶ ψυχῆς βιβλίον τοῦ Ἀριστοτέλους. Ἀρχ. «Τὸ φυσιολογικὸν τῆς θεωρίας μέρος μάλιστα συντείνει εἰς γνῶσιν τῆς ἀνθρωπίνης φύσεως» κτλ. Μετὰ δὲ τὸ τέλος τῆς ἑρμηνείας εὕρηται τὸ «Ἐγράφη παρ' ἐμοῦ τοῦ Σμυρναίου Ἰωακεὶμ ἱερομονάχου, τὸ μὲν δι' ἐξόδων, τὸ δὲ δι' ἰδίας χειρός».

114. Τεῦχος ἐκ χάρτου τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, φύλλα συμπληροῦν 366, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἑπτά ($0,22 \times 0,163 = 0,166 \times 0,10$)· περιέχει δὲ καὶ τοῦτο τὴν ἑρμηνείαν Θεοφίλου τοῦ Κορυδαλλέως εἰς τὰ περὶ ψυχῆς Ἀριστοτέλους, πληρεστέραν μέντοι κατὰ ἓν ἐδάφιον καὶ σημειώσεσιν ἐν τοῖς κρασπέδοις πεπλουτισμένην.

115. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἔτει 1678-ῳ, φύλλα δὲ περιέχον 410, πεντήκοντα καὶ ἓν συμπληροῦντα τετράδια, ὕψους μὲν 0,22, πλάτους δὲ 0,157· ἐπιγράφεται δὲ ὧδε· «Τοῦ σοφωτάτου καὶ λογιωτάτου Θεοδοσίου τοῦ Κορυδαλλέως, πρώην μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης, εἰς φιλοσοφίαν προδιοίκησις», ἤτοι ἑρμηνεία τῶν ὀκτὼ περὶ φυσικῆς ἀκροάσεως βιβλίων τοῦ Ἀριστοτέλους. Καὶ ἡ μὲν ἀρχὴ αὐτῆς ἔχει ὧδε· «Τῶν ὅσα θηράσιμα πέφυκεν»· μετὰ δὲ τὸ τέλος τοῦ κειμένου γέγραπται τὸ σημείωμα τοῦτο· «Ὑπάρχει καὐτὸ τοῦτο πόνος τε καὶ δαπάνη τοῦ ταπεινοῦ καὶ ἐλαχίστου Χριστοδούλου τοῦ τῆς Γαζαίων (-Γαζέων πόλεως ἀρχιεπισκόπου)· εἴληφεν οὖν τέρμα ἐν τῇ ἁγίᾳ πόλει, ἐν τῇ Ἀρχαγγέλου μονῇ, κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν ὄγδοον ἔτος τὸ σωτήριον, θαργηλιῶνος τρίτῃ ἱσταμένου». Περὶ δὲ τοῦ Χριστοδούλου τούτου ἴδε τὴν 473-ην σελίδα τοῦ πρώτου τόμου τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης.

116. Τεῦχος ἐκ φύλων χάρτου 239, γραφὲν ἔτει 1674-ῳ. Καὶ φύλλα μὲν ἄγραφα τάδ' ἐστι: 5-7, 119-123, 155 καὶ 231^{β}-232^{α}, τὰ δὲ λοιπὰ φύλλα τὰ κείμενα περιέχει ταῦτα.

1. Συνταγαὶ διάφοροι. Ἀρχ. «Περὶ πῶς νὰ κάμῃς μελάνην μαύρην καλὴν καὶ ἐγλήγορα», φ. 1.

2. «Σύνταγμα ψηφοφορικὸν καὶ σύνοδος πανσέληνος, (δι' ἧς)

εὑρήσεις ἀκριβῶς περὶ τῆς σελήνης, ἐκτεθεῖσα δὲ παρὰ τοῦ πανιερωτάτου μητροπολίτου Θεσσαλονίκης, φιλοσόφου καὶ ῥήτορος καὶ τὴν ἀστρονομικὴν τέχνην ἄριστος Πτολεμαίου βασιλέως Ἀνατολῆς εἰς ἄκρον ἐμμαθηκώς, καὶ συνεγράψατο τοὺς δεκαεννέα κύκλους τῆς σελήνης», φ. 2-4. Ὅρα καὶ ἔμπροσθεν σελίδι 87.

3. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου κυρίου Θεοδοσίου τοῦ Κορυδαλλέως, πρώην μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης, ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας». Ἀρχ. «Ὅσα ἕνεκά του κινεῖται», φ. 8-32. Τέλος· «κἀνταῦθα πέρας ἐχέτω τὸ κατὰ Πορφύριον σύνταγμα».

4. «Τοῦ αὐτοῦ σοφωτάτου Κορυδαλλέως εἰς τὴν κατὰ Ἀριστοτέλην λογικὴν σχολαστικαὶ ἀποσημειώσεις». Ἀρχ. «Συγγραμμάτων ἐμβατεύειν μέλλουσι φιλοσόφων», φ. 33-117.

5. (Τοῦ αὐτοῦ) «διαγράμματα τῶν ἓξ ὑπολοίπων γενῶν τοῦ ὄντος», φ. 118.

6. «Τοῦ σοφωτάτου Κορυδαλλέως συνοπτικαὶ ἀποσημειώσεις εἰς τὸ περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους». Ἀρχ. «Ἐπὶ πάσης διδασκαλίας καὶ τέχνης πρὸ τῶν ἄλλων ἁπάντων», φ. 124-154.

7. «Τοῦ αὐτοῦ σοφωτάτου Κορυδαλλέως σύντομοι σχολαστικαὶ ἑρμηνεῖαι εἰς τὰ τοῦ Ἀριστοτέλους πρότερα ἀναλυτικά». Ἀρχ. «Φωναὶ μὲν ἡ πᾶσα της λογικῆς πραγματείας ὕλη», φ. 156-201.

8. «Τοῦ αὐτοῦ Κορυδαλλέως εἰς τὰ ὕστερα τοῦ Ἀριστοτέλους ἀναλυτικά». Ἀρχ. «Τὸ ἀναγκαιότατον εἰς θήραν τοῦ ἀληθοῦς φ. 202-228. Μετὰ δὲ τὸ τέλος κεῖται τὸ σημείωμα τοῦτο· «Ἐτελειώθη τὸ παρὸν ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ, ἐν τῇ τοῦ Ἀρχαγγέλου μονῇ· πόνος τε καὶ δαπάνη τοῦ ταπεινοῦ καὶ ἐλαχίστου Χριστοδούλου τοῦ τῆς Γαζαίων προέδρου, κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν τέταρτον ἔτος τὸ σωτήριον».

9. Ἰατρικαί τινες συνταγαί, φ. 229-231^{α}.

10. Στίχοι τινὲς ἀνεπίγραφοι περὶ ἀνθρώπου ἁμαρτωλοῦ μέν, μετανοήσαντος δέ. Ἀρχ. «Ἠθέλησα μὲ δάκρυα καὶ τὴν μετάνοιάν μου», φ. 232^{β}-233.

11. Συνταγαὶ διὰ τὴν κατασκευὴν μέλανος, ἀραβικοῖς γεγραμμέναι γράμμασιν, φ. 234.

12. Ἀποσπασμάτια χριστιανικοῦ τινος νομοκάνονος, ἀραβικοῖς γεγραμμένα γράμμασιν, φ. 234β-239.

117. Τεῦχος ἐκ χάρτου, ἐν ᾧ τέσσαρα συνυπάρχει βιβλία παρὰ μιᾶς καὶ τῆς αὐτῆς γεγραμμένα χειρὸς ἔτει 1645-ῳ· ἔστι δὲ ὕψους μὲν 0,198, πλάτους δὲ 0,15.

α') «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Θεοδοσίου τοῦ Κορυδαλλέως, πρώην μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης, ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας», σελίδες 1-34.

β') «Τοῦ αὐτοῦ σοφωτάτου Κορυδαλλέως εἰς τὴν κατὰ Ἀριστοτέλην λογικὴν σχολαστικαὶ ἀποσημειώσεις», ὧν ἡ ἀρχή· «Συγγραμμάτων ἐμβατεύειν μέλλουσι φιλοσόφων», σελίδες 1-124· μετὰ δὲ τὸ τέλος τῶν σημειώσεων εὕρηται τοῦτο· «Τέλος τῶν εἰς τὰς Ἀριστοτέλους κατηγορίας σχολαστικῶν ἀποσημειώσεων: Ἐξεδόθη ἐν Ἀθήναις κατὰ τὸ ͵αχμεον ἔτος τὸ σωτήριον, μεταγειτνιῶνος ζ' φθίνοντος». Καὶ πάλιν ἐν ἀσελιδώτῳ τινὶ φύλλῳ «διαγράμματα τῶν ἓξ ὑπολοίπων γενῶν τοῦ ὄντος» ὑπάρχει.

γ') Τεῦχος συνδεδεμένον, ἐκ σελίδων συνιστάμενον 177, ὧν τινες ἐξ ἀρχῆς ἀφέθησαν ἄγραφοι· ὑπάρχει δ' ἐν αὐτῷ τὰ ἐφεξῆς πονημάτια· 1) «Τοῦ σοφωτάτου Κορυδαλλέως συνοπτικαὶ ἀποσημειώσεις εἰς τὸ περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους». Ἀρχ. «Ἐπὶ πάσης διδασκαλίας καὶ τέχνης», σελίδες 1-43.—2) «Τοῦ αὐτοῦ σοφωτάτου Κορυδαλλέως σύντομοι σχολαστικαὶ ἑρμηνεῖαι εἰς τὰ Ἀριστοτέλους πρότερα ἀναλυτικά», σελίδες 49-122. — 3) «Τοῦ αὐτοῦ Κορυδαλλέως εἰς τὰ ὕστερα τοῦ Ἀριστοτέλους ἀναλυτικά». Ἀρχ. «Τὸ ἀναγκαιότατον εἰς θήραν τοῦ ἀληθοῦς», σελίδες 129-175. — 4) «Τοῦ αὐτοῦ Κορυδαλλέως περὶ φιλοσοφικῶν ἐλέγχων» Ἀριστοτέλους τὸ προοίμιον, οὗ ἡ ἀρχή· «Εἰ μὲν ἦν χρῆσθαι τῇ σημαντικῇ», σελ. 177.

δ') «Συναγωγὴ μερικὴ ὀνομάτων ἐπιθέτων, συλλεγεῖσα ἐκ τοῦ ἐκδοθέντος τύπῳ ἐπιθεταρίου». Ἀρχ. «Ἄβαντες, λαὸς Εὐβοίας» κτλ., σελίδες 1-40.

118. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ὑπὸ Κυρίλλου τινὸς ἱερομονάχου κατὰ τὴν ἑπτακαιδεκάτην ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων συνιστάμενον 108 καὶ τὰ ἐφεξῆς ἐμπεριέχον πονημάτια [1].

1. «Κωνσταντίνου Ῥεσινοῦ τοῦ Κορίνθου, διδαχαὶ ὡραῖαι ἐν ἁπλῇ γλώσσῃ, πολλὰ ὠφέλιμαι». Ἀρχ. «Ἡ δίδαξις ὁποῦ θέλομεν νὰ διδάξωμεν», φ. 1. Ὅρα καὶ ἔμπροσθεν περὶ τοῦ συγγραφέως Ῥεσινοῦ, σελίδι 97.

2. «Τοῦ αὐτοῦ Κωνσταντίνου Ῥεσινοῦ τοῦ Κορίνθου διδαχαὶ καὶ ἐξήγησις καὶ διδασκαλία εἰς τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα, καὶ περὶ μετανοίας πάλιν καὶ ἐξομολογήσεως». Ἀρχ. «Ἡ ἄλλη δίδαξις ὁποῦ ἐδιδάξαμεν», φ. 31.

3. «Τοῦ αὐτοῦ Κωνσταντίνου Ῥεσινοῦ διδαχὴ καὶ ἐξήγησις διδασκαλικὴ εἰς τοὺς ἐννέα μακαρισμοὺς τοῦ Χριστοῦ καὶ εἰς τὰς πέντε αἰσθήσεις τοῦ ἀνθρώπου, καὶ περὶ χριστιανικῆς καταστάσεως». Ἀρχ. «Μὲ βοήθειαν τοῦ Θεοῦ», φ. $70^{β}$.

4. «Τοῦ αὐτοῦ εἰς τὸ εὐαγγέλιον τοῦ Λουκᾶ· προοίμιον τῆς ἐκκλησίας». Ἀρχ. «Ἄβυσσος λέγεται», φ. $88^{β}$.

119. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἔτει 1674-ῳ, ἐκ δὲ φύλλων συνιστάμενον 353 καὶ τὰ ἐφεξῆς ἐμπεριέχον συνταγμάτια.

1. «Εἰσαγωγὴ λογικῆς, ἐκτεθεῖσα παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου κυρίου κυρίου Γερασίμου Βλάχου τοῦ τῶν ἐπιστημῶν κατ' ἀμφοτέρας τὰς διαλέκτους διδασκάλου, κήρυκός τε τοῦ θείου καὶ ἱεροῦ εὐαγγελίου». Ἀρχ. «Λειμῶνος πολυανθοῦς», φ. 1· ἐν δὲ τῷ 12-ῳ φύλλῳ γέγραπται τὸ «Τέλος σὺν Θεῷ ἁγίῳ τῶν προοιμιακῶν ἁπάντων ζητημάτων ἐν ἔτει ͵αχοδ', μηνὶ νοεμβρίῳ 12». Ἀ. Δημητρακοπούλου, Προσθῆκαι καὶ διορθώσεις εἰς τὴν νεοελληνικὴν φιλολογίαν Κωνσταντίνου Σάθα. Ἐν Λειψίᾳ 1871, σ. 57.

2. «Εἰς τὴν τοῦ Πορφυρίου εἰσαγωγὴν παράφρασις καὶ ζητήματα παρὰ τοῦ σοφωτάτου κυρίου κυρίου Γερασίμου Παλλαδᾶ τοῦ Κρητὸς ἐκτεθέντα». Ἀρχ. «Εἰώθασι πρὸ τῶν φιλοσόφων»,

[1] Ἀντωνῖνος ὁ ἀρχιμανδρίτης λέγει, ὅτι τὸ τεῦχος τοῦτο ἐγράφη ἔτει 1680· ἀλλ' ἐγὼ τοῦ ἔτους τούτου τὸν ἀριθμὸν οὐχ εὗρον ἐν ἐκείνῳ σεσημασμένον.

φ. 120β. Οὕτως ἐπιγέγραπται καὶ σύγγραμμά τι Γερασίμου τοῦ Βλάχου, ὅπερ καὶ τὴν δευτέραν τάξιν τῶν λογικῶν αὐτοῦ πονημάτων ἐπέχει.

3. «Εἰς τὰς δέκα κατηγορίας τοῦ Ἀριστοτέλους παράφρασίς τε καὶ ζητήματα παρὰ Γερασίμου Παλλαδᾶ τοῦ Κρητὸς ἐκτεθέντα». Ἀρχ. «Καὶ ἐνταῦθα τὰ πρὸ παντὸς βιβλίου ζητούμενα», φ. 219-267· μεταξὺ δὲ τοῦ 267-ου καὶ τοῦ 268-ου φύλλου δύο φύλλα ἐλλείπει, ἃ τὴν ἀρχὴν τοῦ ἐχομένου περιεῖχε πονήματος.

4. Τοῦ αὐτοῦ παράφρασίς τε καὶ ζητήματα εἰς τὸ περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους· πονημάτιον ἀκέφαλον, οὗ αἱ πρῶται λέξεις ἔχουσι νῦν ὧδε· «. . διαφέρει δ', ὅτι ἐν μὲν τοῖς συνωνύμοις διὰ τῆς αὐτῆς ἐρωτήσεως» κτλ., φ. 268-353.

120. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἀμφὶ τὴν ἀρχὴν τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, φύλλα δὲ νῦν σῷζον 379, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ μιᾶς $(0,217 \times 0,15 = 0,15 \times 0,085)$· περιέχει δὲ τὴν κατὰ στοιχεῖον ἐκλογὴν καὶ σύνοψιν τῶν βασιλικῶν ἑξήκοντα βιβλίων, ἣ διὰ τὴν ἀπώλειαν ἱκανῶν φύλλων ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τούτων· «οὐκ ἔρρωται· εἰ δὲ δωρεᾶς αὐθεντίᾳ προσθῇ τι ἥττονος τιμήματος, ἰσχύει· μεταξὺ δὲ ἀνδρὸς καὶ γυναικὸς οὐδὲ τοῦτο ἔρρωται, ἀλλ' ἄκυρος ἡ πρᾶσις. Τὰ εἰς ἔπαινον τοῦ πιπρασκομένου λεγόμενα παρὰ τοῦ πράτου, εἰ μὲν φαίνονται, οὐκ ἐνοχοποιοῦσιν αὐτὸν» κτλ. Λήγει δὲ εἰς τὸ κεφάλαιον τὸ ἐπιγεγραμμένον ὧδε· «Περὶ συστημάτων καὶ σωματείων θεμιτῶν, ἤτοι χαρακτῶν χαλκέων μαγκίπων χοιρεμπόρων καὶ λοιπῶν, καὶ περὶ συστημάτων ἀθεμίτων». Ἀρχ. «Οὐ πᾶσιν ἐφεῖται ποιεῖν ἑταιρείας» κτλ. (Synopsis Basilicorum edidit C. E. Zachariae a Lingenthal. Lipsiae 1869, σ. 611). Ἔνδον δὲ τῆς δευτέρας τοῦ κώδικος πινακίδος τέσσαρα προσετέθη φύλλα τῆς πέμπτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἐν οἷς μέρος ὑπάρχει νεκρωσίμου τινὸς ᾀσματικῆς ἀκολουθίας.

121. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν κατὰ τὴν τετάρτην καὶ δεκάτην ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων συνιστάμενον 219, ὧν

τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἐννέα (0,158×0,093)· περιέχει δὲ τὰ ἐφεξῆς κείμενα.

1. Πίναξ ἀκέφαλος τῶν κεφαλαίων τοῦ κατὰ στοιχεῖον καλουμένου νομίμου, ἀρχόμενος νῦν ἀπὸ τοῦ ιδ' κεφαλαίου τοῦ Μ στοιχείου, φ. 10.

2. Τὸ κατὰ στοιχεῖον νόμιμον, οὗ ἡ ἀρχή· «Οἱ ἄνθρωποι πάντες ἢ δοῦλοι εἰσὶν ἢ ἐλεύθεροι ἢ ἀνελεύθεροι» κτλ., φ. 10—199. Τέλος· «οἱ δὲ ἐν Ἀρμενίᾳ ὠρειάριοι καὶ ἀπὸ σίτου καὶ κριθῆς ἐλάμβανον κατὰ τεσσαράκοντα ἕν» (Liber juridicus alphabeticus ed. C. E. Zachariae a Lingenthal. Lipsiae 1856, σ. 9-264). Εἶτα δὲ σημείωμά τι κεῖται τοῦ ἑπτακαιδεκάτου αἰῶνος, λέγον τάδε· «† Ἐτοῦτο τὸ νόμιμα εἶναι τοῦ διδασκάλου τοῦ υἱοῦ τοῦ παπᾶ Ἀρσενίου ἀπὸ τὴν παλαιὰν Πάτραν».

3. «Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς: Ὕστατος ἦχος ὕστατον πλέκει μέλος. Ἰωάννου μοναχοῦ πρωτασηκρήτου τοῦ Ζωναρᾶ», φ. 200. Cotelerii, Ecclesiae graecae monumenta τ. III, σ. 465. Migne τ. 135, σ. 413. Πρβλ. Fabricii, Bibl. Gr. τ. XI, σ. 227.

4. «Στιχηρὰ δογματικὰ εἰς ἔλεγχον καὶ ἀποτροπὴν τῶν νέων πνευματομάχων Ἰταλῶν τῶν καὶ ἐκ τοῦ υἱοῦ λεγόντων τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· ποίημα Ἱεροθέου πρεσβυτέρου καὶ μοναστοῦ· ἦχος γ'». Ἀρχ. «Ἴτε νῦν τῶν πιστῶν ἅπαν τὸ πλήρωμα», φ. 202. Ποίημα τὸ πρόσθεν ἀμνημόνευτον, οὗ ὁ ποιητὴς ἤκμαζεν ἐπὶ πατριάρχου Ἰωάννου τοῦ Βέκκου· ἴσως δὲ αὐτὸς ἐκεῖνός ἐστιν Ἱερόθεος ὁ ἱερομόναχος, περὶ οὗ κατ' ἔκτασιν Ἀνδρόνικος ἔγραψεν ὁ Δημητρακόπουλος (Ὀρθόδοξος Ἑλλάς, ἤτοι περὶ τῶν Ἑλλήνων τῶν γραψάντων κατὰ Λατίνων καὶ τῶν συγγραμμάτων αὐτῶν. Ἐν Λειψίᾳ 1872, σ. 53 - 57).

5. «Κανὼν δογματικὸς εἰς ἔλεγχον τῶν λεγόντων καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι καὶ ποιούντων δύο αἴτια τὸν πατέρα καὶ τὸν υἱὸν ἐπὶ τῇ ὑπάρξει τοῦ πνεύματος, ἢ ἓν σύνθετον ἐπὶ αὐτοὺς ἐπὶ τοῦ αὐτοῦ καὶ κατὰ Σαβέλλιον συγχεόντων τὰ πρόσωπα· ποίημα Ἱεροθέου μοναχοῦ, φέρον ἀκροστιχίδα τήνδε:

Πίστις ἀπίστοις μαρτυροῦσα Λατίνοις | πνευματορητόρευτος Ἱεροθέου»· ἦχος πλάγιος δ', φ. 203 - 209. Μεταξὺ δὲ τῆς ἕκτης καὶ τῆς ἑβδόμης τοῦ κανόνος ᾠδῆς εὕρηται «Τοῦ αὐτοῦ πίστις ὡς ἐν τόπῳ συναξαρίου ἀκλινὴς καὶ ὀρθόδοξος», καὶ μετὰ τοῦτο «ἑτέρα πίστις ὀρθόδοξος ἀκλινής».

6. «[Τοῦ σοφωτάτου Μαξίμου του Πλανούδη] περὶ τῶν ὑελίων τῶν ἁπάντων [ἀσθενειῶν] στιχηρὰ» τρία κατ' ἦχον α', ὧν ἡ ἀρχή· «Τῶν ἀσθενῶν ὑελία μάθε τρισκαίδεκα, τὸ μὲν λευκὸν τὸ πρῶτον» κτλ., φ. 211 *. Καὶ πάλιν κανὼν ᾀσματικὸς περὶ τῶν ὑελίων εἰς ἦχον β', οὗ ἡ ἀρχή· «Τὸ λευκὸν ἐκ ψύξεώς ἐστι καὶ νεφροαλγήσεως· ἰατρευέσθω δ' ὁ πάσχων κλυστήρια δραστικὰ τὰ ἔχοντα» κτλ. Μετὰ δὲ τὸν κανόνα τοῦτον ὑπάρχει «περὶ αἱμάτων τοῦ αὐτοῦ στιχηρὰ» τέσσαρα κατ' ἦχον β', ὧν ἡ ἀρχή· «Μάθε καὶ τὰ αἵματα λοιπὸν τῆς φλεβοτομίας» κτλ., φ. 213[β]. Πρβλ. Ideler, Physici et medici graeci minores, τ. II, 318 κἑ. Fabricii. Harles, Bibl. Graeca XI, σ. 692. Hardt, Catal. cod. MSS bibl. Bavar. I, σ. 437 καὶ 447. Matthaei, Accurata notitia σ. 259.

7. «Ἱπποκράτους περὶ τῶν δ' στοιχείων καὶ χυμῶν, δι' ὧν συνίσταται ὁ ἄνθρωπος». Ἀρχ. «Ἰστέον ὅτι ὁ ἄνθρωπος συνίσταται ἐκ τεσσάρων στοιχείων», φ. 214.

8. Τῶν ὀφφικίων τῆς μεγάλης ἐκκλησίας ἑρμηνεία τις ἀνώνυμος, ἧς ἐλλείπει τὸ τέλος, φ. 217[β].

122. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ὑπὸ δύο διαφόρων χειρῶν τῆς ἑπτακαιδεκάτης ἀκμαζούσης ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων συνιστάμενον 195, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν ὀκτωκαίδεκα $(0,214 \times 0,155 = 0,14 \times 0,9)$· περιέχει δὲ ταῦτα.

1. «Ἑρμηνεία ὅταν θέλουσι νὰ ποιήσουν ἀρχιερέα», ἥπερ μηνὶ

* Τὰ αὐτὰ στιχηρὰ καὶ ἐν κώδικί τινι τῆς Καλλιπόλεως κεῖται, περὶ οὗ ὅρα Ἀ. Π. Κεραμέως Ἔκθεσιν παλαιογρ. ἐρευνῶν ἐν Θρᾴκῃ καὶ Μακεδονίᾳ (ἐν Κωνσταντινουπόλει 1886, σ. 8). Καὶ ἐν μὲν τῷ κώδικι τούτῳ ἀνώνυμα τὰ στιχηρὰ ὑπάρχει, ἐν δὲ τῷ τῶν Ἱεροσολύμων ὑπῆρχε μὲν ἐξ ἀρχῆς τὸ ὄνομα τοῦ συγγραφέως, ἀλλὰ τοῦτο νῦν ἐλλείπει διὰ τὴν ἀποκοπὴν μέρους τινὸς τοῦ φύλλου, ἀφ' οὗ τὴν ἀρχὴν τὰ στιχηρὰ ποιεῖται.

συνετάχθη νοεμβρίῳ τοῦ 1661-ου ἔτους. Ἀρχ. «Δίδει ὁ πατριάρχης εἴδησιν τῶν εὑρισκομένων ἐκεῖσε ἀρχιερέων πάντων», φ. 1.

2. «Ἀπολογητικὸν εἰς μετάθεσιν μητροπολίτου ἢ ἐπισκόπου», φ. 2β.

3. «Περὶ τοῦ πῶς γράφει ὁ μητροπολίτης τὴν πρᾶξιν τοῦ ἐπισκόπου»· παράδειγμα γραφῆς τοῦ 1669-ου ἔτους, φ. 3.

4. Μαλαξοῦ νομοκάνων ἐν κεφαλαίοις σξα΄. Ἀρχ. «Θησαυρὸς κεκρυμμένος», φ. 4. — «Πρέπει τὸν κριτήν, τουτέστι τὸν ἀρχιερέα», φ. 20 - 194.

5. Εὐχὴ λεγομένη ἐπὶ τῶν μετανοούντων, φ. 195.

123. Τεῦχος ἐκ χάρτου τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐκ φύλλων σύγκειται 225, ὕψους μὲν 0,219, πλάτους δὲ 0,152· περιέχει δὲ ἀνώνυμόν τινα νομοκάνονα, εἰς κεφάλαια διῃρημένον σε΄, ὧν τὸ πρῶτον ἐπιγέγραπται «περὶ πνευματικῆς διαγωγῆς καὶ ἐξομολογήσεως»· ἄρχεται δὲ ὧδε· «Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων». Μετὰ δὲ τὸν νομοκάνονα ῥήσεις καὶ διηγήσεις ὑπάρχουσιν ἀββάδων διαφόρων.

124. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν ἀμφὶ τὴν ἀρχὴν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος, ἐκ δὲ φύλλων ἀποτελούμενον 238, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ μιᾶς (0,203×0,148=0,146×0,098). Καὶ ἔνδον μὲν τῆς πρώτης αὐτοῦ πινακίδος εὕρηται τὸ ὄνομα παλαιοῦ τινος τοῦ τεύχους κτήτορος, ὃς ἤκμαζε μὲν ὡς ἔοικε τῷ ἑπτακαιδεκάτῳ αἰῶνι, ὄνομα δὲ αὐτῷ Συμεὼν ἦν ὁ μητροπολίτης Πτολεμαΐδος, ὁ «ἐκ κώμης Ἀντιοχείας τῆς Πισιδίας, (ἣ) τανῦν λέγεται Σπάρτα»· αὐτὸ δὲ τὸ τεῦχος τὰ ἐφεξῆς ἐμπεριέχει κείμενα.

1. Τάξις τις ἀκέφαλος τῆς ἱερᾶς ἐξομολογήσεως, φ. 1.

2. «Συνοδικοὶ κανόνες καὶ τῶν ἁγίων ἀποστόλων καὶ τοῦ μεγάλου Βασιλείου» καὶ ἄλλων τινῶν ἁγίων ἀνδρῶν, φ. 5.

3. «Πίναξ τῆς θείας καὶ ψυχωφελοῦς ταύτης βίβλου», φ. 35.

4. Ἰωάννου τοῦ Νηστευτοῦ «πρόλογος εἰς τὴν ψυχωφελῆ ταύτην βίβλον», οὗ ἡ ἀρχή· «Τῆς θείας καὶ παναγάθου τοῦ ὑπεραγάθου καὶ ἀληθινοῦ Θεοῦ», φ. 45β.

5. Τοῦ αὐτοῦ «περὶ ἐξαγορεύσεως διαφορῶν καὶ διαθέσεων τῶν ἐξομολογουμένων ἀληθινῆς καὶ ἀπταίστου πρὸς Θεὸν καὶ ὑπὸ Θεοῦ καὶ ἐκ Θεοῦ διακρίσεως ὡς οἶμαι ὁ ταπεινός». Ἀρχ. «Ὅτι δεῖ τὸν ἐξομολογούμενον κρύφια πταίσματα», φ. 66.

6. Ἰωάννου τοῦ Δαμασκηνοῦ «περὶ τῶν ὀκτὼ λογισμῶν καὶ τὸ τριμερὲς τῆς ψυχῆς». Ἀρχ. «Χρὴ γινώσκειν πάντες οἱ χριστιανοί», φ. 81. Πρὸ δὲ τοῦ κειμένου τούτου τεμάχια διαφόρων ὑπάρχει τῆς ἐκκλησίας πατέρων.

7. «Κανόνες ἐκτεθέντες παρὰ τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ τῶν ἁγίων ζ′ καὶ οἰκουμενικῶν συνόδων, ἔτι μὴν καὶ τῶν κατὰ καιρὸν γενομένων τοπικῶν συνόδων καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου, Ἰωάννου τοῦ Νηστευτοῦ, πατριάρχου Κωνσταντινουπόλεως, καὶ ἑτέρων ἁγίων πάνυ μεγάλων κεφάλαια διάφορα καὶ ἀναγκαῖα πρὸς τοὺς δεσμεῖν καὶ λύειν ἐξουσίαν εἰληφότας. Ἐπεὶ οὖν πάλαι κατὰ καιροὺς ὑπὸ διαφόρων καὶ διαφόροις ἁρμόζοντες οἱ νόμοι καὶ κανόνες τῆς ἐκκλησίας ἐτέθησαν — δέκα γὰρ μετὰ τοὺς ἀποστόλους αἱ μεγάλαι τῶν πατέρων γεγόνασι σύνοδοι—πρὸς τούτοις δὲ αὖ Βασίλειος ὁ μέγας περὶ πολλῶν ἐκανόνισεν, ἔτι μὴν καὶ Ἰωάννης ὁ Νηστευτὴς καὶ ἕτεροι ἅγιοι πατέρες, εἰκότως δὲ διὰ τοῦτο σποράδην ὑπ᾿ αὐτῶν ὡς ἀπῄτει τὰ κατὰ χρόνους ἀναφυόμενα καὶ οὐ τεύξει τινὶ πραγμάτων ὡς ἐν κεφαλαίοις διῃρημένων οἱ κανόνες ἐγράφησαν, ὡς ἐκ τούτου δυσεύρετον τὸ πρός τινων ἀθρόως περὶ κανόνων ἐπιζητούμενον κεφάλαιον· καὶ διά τοι τοῦτο χάριτι τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ τὰ σποράδην ὑπ᾿ αὐτῶν ὁρισθέντα κατὰ καιροὺς εἰς ἓν ἡμεῖς συναθροῖσαι σπουδάσαντες καὶ ταῦτα διελόντες, Συμεὼν ἱερομόναχος ὁ Σχολάριος, ἐκτεθήκαμεν ἕνα ἕκαστον κανόνα τῶν αὐτῶν ἁγίων εἰς τὴν ἰσότητα τῶν εἰκοσιτεσσάρων στοιχείων, πρὸς τὸ ἀνενοχλήτως καὶ ἀνεμποδίστως εὑρίσκειν εὐθὺς τοὺς τῶν ψυχῶν οἰκονόμους». Ἀρχ. «Ἀρχὴ τῆς ἄλφας, περὶ τῶν ἀρνηθέντων τοῦ Χριστοῦ ἑκουσίως ἢ διὰ φόβον ἢ διὰ τιμωρίας ἀνθρώπων. Ἀποστόλων κανὼν ξβ′ Εἴ τις κληρικὸς διὰ φόβον» κτλ., φ. 88-229· περιλαμβάνει δὲ τὸ κανο-

νικὸν τοῦτο βιβλίον καὶ εὐχὰς διαφόρους καὶ τάξεις τινὰς ἐκ τοῦ εὐχολογίου. P. Lambecii, Commentar. liber VI, σ. 197. Πρβλ. Fabricii, Bibl. Gr. τ. XI, σ. 299.

8. «Μεθοδίου τοῦ ἁγιωτάτου πατριάρχου περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων». Ἀρχ. «Εἰ μὲν παιδίον συνελήφθη καὶ ἠρνήσατο», φ. 229. Goar, Εὐχολόγιον σ. 689.

9. «Εὐχὴ εἰς τὸν ἀπὸ ἀρνήσεως ἐπιστρέφοντα», ἧς ἡ ἀρχή· «Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου», φ. 229β. Goar, Εὐχολόγιον σ. 689.

10. «Εὐχὴ εἰς ἱλασμόν», ἧς ἡ ἀρχή· «Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὰς κλεῖς», φ. 230β. Goar σ. 690.

11. «Εὐχὴ πρὸς χριστιανοὺς ὑπαχθέντας ἐθνικῇ πλάνῃ καὶ τῇ ἐκκλησίᾳ προσδραμόντας». Ἀρχ. «Κύριε ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης», φ. 231. Goar σ. 690.

12. «Εὐχὴ ἐπὶ ἀποστατήσαντος παιδὸς καὶ μαγαρίσαντος καὶ μετανοοῦντος». Ἀρχ. «Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. 231β. Goar σ. 691.

13. «Εὐχαὶ ἱλαστήριοι εἰς τοὺς ἀρνησαμένους καὶ πάλιν ἐπιστρέφοντας». Ἀρχ. «Ὁ ὢν δέσποτα παντοκράτωρ, ὕψιστε βασιλεῦ, ἀόρατε» κτλ. φ. 232β.

14. «Εὐχὴ τοῦ ἁγίου Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως, ἐπὶ λύσεως ναοῦ ὑπὸ αἱρέσεως μιανθέντος, λεγομένη ἔξω τοῦ πυλῶνος τῆς ἐκκλησίας». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ», φ. 234. Goar σ. 494.

15. «Ἑτέρα εὐχὴ λεγομένη ἔμπροσθεν τῆς ἁγίας τραπέζης». Ἀρχ. «Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν», φ. 234β.

16. «Εὐχὴ ἐπὶ ἀνοίξει ναοῦ βεβηλωθέντος ὑπὸ ἐθνικῶν (καὶ) ὑπὸ αἱρετικῶν καθυβρισθέντος». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὸν ναὸν τοῦτον ἀναδείξας», φ. 235. Goar σ. 494.

17. «Εὐχὴ λεγομένη ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπος βιαίως, ἢ ζῷον ἄλογον κατὰ τὸν πάλαι νόμον ἀκάθαρτον ἢ ἄθυτον ἔθανεν ἢ ἐγέννησεν». Ἀρχ. «Δέσποτα

Κύριε ὁ Θεὸς ἡμῶν· ὁ διὰ πολλὴν καὶ ἄφατον ἀγαθότητα», φ. 235β. Goar σ. 496.

18. «Εἰ συμβῇ χεθῆναι ἐν εἰσόδῳ τὰ ἅγια, ἢ βρωθῆναι ὑπό τινος ζώου· τοῦ ποιητοῦ κυροῦ Συμεὼν Θεσσαλονίκης». Ἀρχ. «Ὅτε συμβῇ τὰ τοιαῦτα καὶ ἐκχεῖται τὰ ἅγια», φ. 236.

19. «Περὶ τῆς θείας μεταδόσεως πῶς ὀφείλει γενέσθαι». Ἀρχ. «Καὶ ἐν τῷ μέλλειν δέ τινα κοινωνεῖν, μὴ εἰς κόλπον λαμβάνειν καὶ ἀπέρχεσθαι, ὥς τινες νῦν καταφρονητικῶς», φ. 238.

20. «Περὶ τοῦ εἰ λήθη ἔγινεν καὶ οὐκ ἐποίησεν ὁ ἱερεὺς ἕνωσιν ἐξ ἀρχῆς». Ἀρχ. «Ἐὰν τῇ λήθῃ τοῦ ἱερέως συμβαίῃ», φ. 238. Ἐλλείπει τὸ τέλος.

125. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1613-ῳ καὶ συνιστάμενον νῦν ἐκ φύλλων 301, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν ἑπτακαίδεκα (0,201 × 0,148 = 0,142 × 0,087)· πρότερον δὲ φύλλα περιπλέον εἶχε δύο, ἅπερ Πορφύριος ἀφείλετο ὁ Οὐσπένσκης ἀποσπάσας (μετὰ τὸ 150-ον φύλλον)· ἅπερ ὕστερον ἐν τῇ κατὰ Πετρούπολιν αὐτοκρατορικῇ κατέθετο βιβλιοθήκῃ, ἔνθα καὶ φυλάττεται νῦν τὸν ἀριθμὸν ἔχοντα 471-ον.

1. Πίναξ ἀκέφαλος σϟθ' κεφαλαίων, ἀρχόμενος ἤδη ἀπὸ τοῦ λς' κεφαλαίου, φ. 1-22.

2. «Κεφάλαιον κανονικὸν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· πῶς δεῖ συνάγειν τὰ ἐπιτίμια τῶν ἁμαρτανόντων». Ἀρχ. «Οὐ γὰρ ἁπλῶς πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον», φ. 22β.

3. Μαλαξοῦ νομοκάνων, οὗ ἡ ἀρχή· «Πρέπει τὸν κριτήν, τουτέστι τὸν ἀρχιερέα νὰ μιμεῖται», φ. 24-273. Μετὰ δὲ τὸ τέλος αὐτοῦ γέγραπται τοῦτο· «Ἐτελειώθη τὸ παρὸν νόμιμον διὰ χειρὸς Ἀκακίου ἱερομονάχου Βλαστοῦ τὸ ἐπίκλη Πούλου, εἰς ,αχιγ' μαΐῳ ἐσχάτῃ ἰνδικτιῶνος ια', δι' ἐξόδου τοῦ εὐλαβεστάτου καὶ πνευματικοῦ παπᾶ κῦρ Μανουὴλ τοῦ Διμητρόπουλου ἐν χώρᾳ Σφακία, ἐπάνωθεν Γεωργίτζη, ἐν μονῇ τοῦ μεγάλου Γεωργίου». Καὶ ὄπισθεν ὑπογραφή τις ὑπάρχει μονοκόνδυλος, ἣν ἀνέγνων ὧδε· «✝ Ὁ ταπεινὸς ἐπίσκοπος Ἀρσένιος μηνὶ σεπτεβρίῳ ἰνδικτιῶνος ιδ'».

4. «Περὶ ἐξομολογήσεως τοῦ πῶς δεῖ γενέσθαι». Ἀρχ. «Εἰς τὴν ἐκκλησίαν δεῖ γενέσθαι τὰς ἐξομολογήσεις εἰ δυνατόν», φ. 274. Ἐλλείπει τὸ τέλος.

126. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1669-ῳ καὶ τετράδια περιέχον τεσσαράκοντα, φύλλα νῦν συναποτελοῦντα 316· τούτων δὲ τὸ κείμενον μονόστηλόν ἐστι καὶ ἐκ γραμμῶν εἴκοσι (0,201 × 0,155 = 0,153 × 0,10). Καὶ ἐν μὲν τῷ πρώτῳ φύλλῳ γέγραπται τὸ σημείωμα τοῦτο· «Καὶ τόδε νόμιμον ἐκ τῶν τῆς βιβλιοθήκης τοῦ παναγίου Τάφου, δωρηθὲν τῷ πρωτοσυγκέλλῳ Παρθενίῳ». Ἀπὸ δὲ τοῦ δευτέρου μέχρι τοῦ 26-ου φύλλου πίναξ ὑπάρχει κεφαλαίων 637, οἷς τὸ νόμιμον συνίσταται βιβλίον, οὗ ἡ μὲν ἐπιγραφὴ ἔχει ὧδε· «Νέον νόμιμον πάνυ πλουσιώτατον, συναθροισθὲν ἐκ πολλῶν καὶ διαφόρων νομίμων»· ἡ δὲ ἀρχὴ τοιάδ' ἔστιν· «Νουθεσία πρὸς πνευματικὸν πατέρα καὶ ἀσφάλεια. Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων» κτλ. Μετὰ δὲ τὸ τελευταῖον κεφάλαιον ὑπάρχει τὸ σημείωμα τόδε· «ἐτελειώθη ἡ παροῦσα βίβλος διὰ χειρὸς εὐτελοῦς Γερασίμου ἐν ἔτει ,ζροη', ἐν μηνὶ νοεμβρίῳ ια'» κτλ. Ῥητέον δ' ἔτι, ὅτι τὰ ἐλλείποντα τῷ κώδικι φύλλα Πορφύριος ἀπέσπασεν ὁ Οὐσπένσκης, ἐπιγράψας ἐσφαλμένως τὸ ἔτος 1667 (ἀντὶ 1669)· ταῦτα δὲ νῦν ἐν τῇ βιβλιοθήκῃ κεῖται τῆς Πετρουπόλεως, τὸν 472-ον ἐν αὐτῇ ἀριθμὸν ἐπέχοντα (ὅρα Отчетъ за 1883 годъ, σ. 156).

127. Τεῦχος ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ φύλλα νῦν σῷζον 204, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τριῶν (0,20 × 0,14 = 0,142 + 0,10)· ἐγράφη δὲ πιθανῶς ὑπὸ τοῦ «ταπεινοῦ Ἀθηνῶν Θεοφάνους» τοῦ Καρύκη, οὗ καὶ κτῆμα τὸ τεῦχος ὑπῆρξε κατὰ τὴν ἐν τῷ πρώτῳ φύλλῳ αὐτόχειρον ἐκείνου ὑπογραφήν· περὶ δὲ τοῦ Θεοφάνους τούτου τὴν ἐμὴν ἀνάγνωθι ἐπιστολὴν τὴν ἐν τοῖς Μνημείοις τῆς ἱστορίας τῶν Ἀθηναίων καταχεχωρισμένην, ἃ Δημήτριος ὁ Καμπουρόγλους περιοδικῶς ἐν Ἀθήναις τύποις ἐκδίδωσι (τ. II, 1891, σ. 193-233). Περιέχει δὲ τὸ τεῦχος τὸν νομοκάνονα τοῦ Μαλαξοῦ, διῃρημένον μὲν εἰς σϟγ' κεφάλαια,

ἀρχόμενον δὲ ἀπὸ τῶν λέξεων τῶνδε· «Πρέπει τὸν κριτήν, τουτέστι τὸν ἀρχιερέα» κτλ. Ἀλλὰ νῦν ἐλλείπει καὶ τὸ τέλος τοῦ ἐσχάτου κεφαλαίου καὶ ἡ μετὰ τοῦτο παρακειμένη συνήθως «εὐχὴ τῶν ἐξομολογουμένων».

128. Τεῦχος ἐκ χάρτου, διῃρημένον εἰς βιβλιάρια τρία, ὧν τὸ μὲν πρῶτον ἐκ φύλλων συνίσταται ὀκτὼ (γεγραμμένων περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ Ἰωαννικίου τοῦ Σαβαΐτου), τὸ δὲ δεύτερον ἐκ φύλλων ἑκκαίδεκα τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, τὸ δὲ τρίτον αὖ ἐκ φύλλων ἐννεακαίδεκα τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· ἅπαντα δ' ὁμοῦ τὰ ἐφεξῆς ἐμπεριέχει κείμενα.

1. «Ἀναστασίου τοῦ Σιναΐτου περὶ διαφόρων τρόπων μετανοίας καὶ σωτηρίας ψυχῶν ἐν κεφαλαίοις ι'», ὧν ἡ ἀρχή· «Γινώσκων ὁ Θεὸς τὸ ἀσθενὲς» κτλ.

2. «Ἐκ τῶν ἐρωτήσεων τοῦ ἁγίου Ἀθανασίου».

3. «Νομοκάνονον τοῦ ἁγίου Ἰωάννου τοῦ Νηστευτοῦ, γενομένου πατριάρχου Κωνσταντινουπόλεως τῆς νέας Ῥώμης». Ἀρχ. «Καὶ μετὰ τὸ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς» κτλ.

4. «Κανονικὸν Ἰωάννου τοῦ Νηστευτοῦ, μαθητοῦ τοῦ μεγάλου Βασιλείου, περὶ ἐξαγορεύσεως διαφορὰς διαφόρων [sic], καὶ διάθεσις τῶν ἐξομολογουμένων κρύφια ἁμαρτήματα καὶ (περὶ) τῶν τούτων ἀναδόχων». Ἀρχ. «Δεῖ τὸν ἐξομολογούμενον κρύφια πταίσματα» κτλ.

5. Χρησμὸς ἀνεπίγραφος, οὗ ἡ ἀρχή· «Τὴν ἀλώπεκος ὑποκριθεὶς φιλίαν» κτλ.

6. «Ἕτερος τοῦ χυροῦ Λέοντος τοῦ σοφοῦ περὶ τῆς Πόλεως».

7. «Ὅρασις τοῦ μεγάλου Παχωμίου», ἧς ἡ ἀρχή· «Ἐθεάσατο δὲ καὶ πλῆθος ἄπειρον ἀδελφῶν ἐν κοιλάδι βαθυτάτῃ» κτλ.

8. Ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ἐν ταῖς ἡμέραις ἐκείναις ἐλθόντες οἱ ἀπόστολοι πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπηρώτησαν λέγοντες· εἰπὲ ἡμῖν τὸ τέλος καὶ τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος τούτου». Τέλος· «δεῖ καὶ δεῖ πρέπει νὰ διάγωσιν οἱ ἀσκεπεῖς τοῦ τόπου καὶ τὸ καῦμα·

ἥλιος περικυκλώσει αὐτοὺς ἐπὶ πολύ· τοῦτο δὲ ὅλον μέλλει γενέσθαι».

9. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐκ τῶν ὁράσεων τοῦ προφήτου Δανιὴλ καὶ περὶ τῆς Κωνσταντινουπόλεως καὶ περὶ τῆς συντελείας τοῦ κόσμου καὶ περὶ τοῦ ἀντιχρίστου». Ἀρχ. «Ἄκουε οὐρανὲ μετὰ ἀκριβείας» κτλ.

129. Νομοκάνων τοῦ Μαλαξοῦ, διῃρημένος κατὰ τὸν πίνακα εἰς κεφάλαια 294, ὧν τὰ πρῶτα μόνον ρμδ' ἐσώθη· ἐγράφη δὲ κατὰ τὴν ἑπτακαιδεκάτην ἑκατονταετηρίδα καὶ φύλλα νῦν ἐκ χάρτου περιλαμβάνει 124, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν ἐννεακαίδεκα (0,215 × 0,155 = 0,14 × 0,10).

130. Νομοκάνων τοῦ Μαλαξοῦ, διῃρημένος εἰς κεφάλαια σοδ'· φύλλα δὲ περιέχει 272, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσιν ἢ εἴκοσι καὶ ἑνός (0,206 × 0,148 = 0,136 × 0,10)· ἐγράφη δὲ καὶ οὗτος κατὰ τὴν ἑπτακαιδεκάτην ἑκατονταετηρίδα.

131. Τεῦχος ἐκ χάρτου, περὶ τὸ τέλος γραφὲν τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, ἀκέφαλον δὲ καὶ ἀτελὲς νῦν ὑπάρχον· ἔστι δὲ ὕψους μὲν 0,215, πλάτους δὲ 0,162. Μέχρι δὲ τοῦ τέλους ἀριθμεῖ σελίδας 590, ἀλλὰ τούτων αἱ πρῶται δέκα καὶ ἐννέα ἐλλείπουσιν ἤδη.

1. Πίναξ ἀκέφαλος 295 κεφαλαίων, ἀρχόμενος ἀπὸ τοῦ ρπε' κεφαλαίου, σελ. ιθ'—κς'.

2. Νομοκάνων τοῦ Μαλαξοῦ, ἀρχόμενος νῦν ἀπὸ τοῦ β' κεφαλαίου, οὗ ἡ ἐπιγραφή· «περὶ δικαιοσύνης καὶ περὶ τοῦ ποιεῖν δικαιοσύνην», σελ. κζ'—φμη'.

3. «Φοβερὸν διήγημα καὶ παράδοξον περὶ ἱερέων ἀναξίων», σελ. φμθ'.

4. Τεμάχιον Ἰωάννου τοῦ Χρυσοστόμου, σ. φνγ'.

5. «Τοῦ ἀοιδίμου πατριάρχου κῦρ Γενναδίου τοῦ Σχολαρίου ὡραῖα περὶ πίστεως» ἑλληνικῇ καὶ τουρκικῇ γεγραμμένα γλώσσῃ, σ. φξ'. Ὅλον δὲ τὸ κείμενον ὑπάρχει παρὰ τῷ Κρουσίῳ, Turcograeciae libri tres. Basileae 1584, σ. 109—119.

6. «Γρηγορίου τοῦ Μαλαξοῦ ἐξήγησις τοῦ πρώτου κεφαλαίου εἰς πεζὴν φράσιν». Ἀρχ. «Τὸ πρῶτον κεφάλαιον τῆς πίστεως τῶν χριστιανῶν», σελ. φξβ'.

7. Γενναδίου τοῦ Σχολαρίου τὸ β', τὸ γ', τὸ δ', τὸ ε' καὶ τὸ ς' κεφάλαιον τοῦ περὶ πίστεως τῶν χριστιανῶν λόγου, καὶ ἡ τῶν αὐτῶν κεφαλαίων τουρκικὴ μετάφρασις τοῦ Ἀχμέτ, σελ. φξζ'—φπζ'.

132. Τεῦχος ἐκ χάρτου, γραφὲν κατὰ τὴν πεντεκαιδεκάτην ἑκατονταετηρίδα καὶ συνιστάμενον ἐκ φύλλων υμη', ὧν τὸ κείμενόν ἐστι μονόστηλον, γραμμὰς κατὰ μίαν ἑκάστην τῶν σελίδων εἴκοσι καὶ δύο ἀριθμοῦν (0,21 × 0,158 = 0,157 × 0,096)· ἐλλείπει δὲ νῦν τό τε ἑξηκοστὸν καὶ τὸ ἑξηκοστὸν πρῶτον φύλλον, ἅπερ κατὰ τὸν πίνακα τρία περιεῖχε κεφάλαια, τὸ «περὶ δακρύων φυσιολογία», τὸ ἐπιγραφόμενον Μεθοδίου τοῦ ἐπισκόπου Πατάρων περὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, καὶ τὸ περὶ τοῦ δεκάτου λόγου τῆς Σιβύλλας. Πλὴν ἀλλὰ ἐν τῇ ἀρχῇ τοῦ τεύχους ἑπτὰ φύλλα κεῖται ἄνευ ἀριθμοῦ, καὶ τούτων τὸ μὲν πρῶτον ἐνέχει τὸ σημείωμα τόδε· «Αὔτη ἡ βίβλος εἶναι τοῦ Παφνουτίου ἀπὸ τὴν Κύπρον· ἔδωσά του ἕνα δουκάτο δανεικὸν καὶ ὅποτε δώσει τὸ δουκάτον νὰ τὴν ἐπάρῃ· ἔτους ,ζξε', σεπτεβρίῳ (-1556). Θεόδουλος μοναχὸς ἔδωσα τὸ φλουρί.—Ὁ αὐτὸς Παφνούτιος ἐκοιμήθην καὶ ὁ Θεὸς νὰ τὸν μακαρίσῃ». Τὰ δὲ λοιπὰ ἓξ φύλλα πίνακα περιέχει τῶν ἐν τῷ τεύχει περιειλημμένων κεφαλαίων, ἐξ ὧν ἐγὼ κατ' ἐκλογὴν ὀλίγα νῦν ἀναγράφω.

1. «Μαρτυρίαι ἐκ τῆς θείας γραφῆς, ὅτι οὐκ ἔχει τέλος ἡ κόλασις», φ. α'.

2. «Ὅτι πολλάκις τῶν ἐναρέτων αἱ ψυχαὶ ἐν τῷ θανάτῳ θείᾳ τινὶ ἐπισκιάσει παρακαλούμεναι οὕτω τοῦ σώματος διαζεύγνυνται». Ἀρχ. «Ἐν τῇ τῆς Νουρσίας χώρᾳ», φ. ιβ'.

3. «Περὶ τῶν ἐκλιπόντων καὶ πάλιν ἐπιστρεφόντων, ὅτι κατὰ θείαν οἰκονομίαν τοῦτο γίνεται καὶ ὅτι πολλάκις οἱ ἁμαρτωλοὶ ἔτι ἐμπνέοντες τὰ ἐν Ἅδου ὁρῶντες δικαιωτήρια καὶ τοὺς δαίμονας, τρέμουσιν· οὕτω καὶ τοῦ σώματος διαζεύγνυνται», φ. κδ'.

4. Ἑρμηνεία Νικήτα εἰς τὰ τετράστιχα Γρηγορίου τοῦ Θεολόγου, φ. ξβ'.

5. «Ὅτι πρὸ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ἥξει ὁ Ἀντίχριστος», φ. πε'.

6. «Περὶ τῶν πέντε διαλέκτων». Ἀρχ. «Ἀρχὴ τῆς πρώτης διαλέκτου, τῆς ἰάδος. Ἡ ἰάς ἐστιν διάλεκτος, ᾗ κέχρηνται Ἴωνες· δοκεῖ δὲ ἀρχαία εἶναι αὐτοῖς» κτλ., φ. ρκη'. Grammaticus Leidensis παρὰ τῷ Schaefer, Gregorius Corinthius σ. 628 κέ.

7. «Περὶ τῶν ἑορτῶν ἐν αἷς ψάλλεται (τὸ) Θεὸς Κύριος, καὶ περὶ μεγάλων ἑορτῶν καὶ μεσαίων καὶ μικρῶν». Ἀρχ. «Εἰδέναι χρὴ ὅτι εἰς τρεῖς τάξεις», φ. ρλβ'.

8. «Περὶ τοῦ ἐξαγορεύσαντος εἰς γέροντα ἅγιον ἐν ὄρει τοῦ Ὀλύμπου». Ἀρχ. «Μοναχός τις Σωφρόνιος λεγόμενος», φ. ρλγ'.

9. «Περὶ τῆς γυναικὸς τῆς ἀπελθούσης εἰς μοναχόν τινα, ὀνόματι Νεόφυτον, τοῦ ἐξαγγεῖλαι τὰς ἁμαρτίας αὐτῆς». Ἀρχ. «Ὁ ἀοίδιμος Εὐθύμιος, ὁ ἐνάρετος μοναχός», φ. ρλδ'.

10. «Περὶ τοῦ Ἑβραίου τοῦ ἐγκαταμίξαντος ἑαυτὸν ὡς χριστιανὸν τῷ λαῷ». Ἀρχ. «Τοῦ δὲ γενομένου καὶ ἐπαγγειλαμένου», φ. ρλζ'.

11. «Περὶ τοῦ πρεσβυτέρου Ἀναστασίου καὶ τῆς τούτου γυναικός». Ἀρχ. «Διηγήσατό μοι καὶ τοῦτο ὁ προρρηθεὶς ἀοίδιμος ἀνὴρ Ἑλλάδιος», φ. ρλθ'.

12. «Περὶ τοῦ μακαρίου Ἐφραὶμ τοῦ Σύρου». Ἀρχ. «Ἀδελφοί, διήγησίν τινα βούλομαι ποιήσασθαι», φ. ρμβ'. Assemani τ. I, σ. XXXIV—XXXIX, ἐπ' ὀνόματι Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου.

13. «Περὶ Πέτρου τοῦ ἁγιωτάτου ἐπισκόπου Σεβαστιανῶν». Ἀρχ. «Καλῶς προέφη ὁ θεῖος Δαυίδ», φ. ρμε'.

14. «Περὶ τῆς ἁμαρτωλοῦ γυναικός». Ἀρχ. «Ἐν τοῖς χρόνοις τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου Βασιλείου», φ. ρμς'.

15. «Περὶ τοῦ Ἰωσὴφ τοῦ Ἑβραίου καὶ τοῦ μεγάλου πατρὸς ἡμῶν Βασιλείου». Ἀρχ. «Ἰωσὴφ δέ τις τῷ γένει Ἑβραῖος», φ. ρνβ'.

16. Ἐγχειρίδιον μετρικῆς ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ποῦς ἐστι μετρικῶν σύστημα συλλαβῶν, ὁ μὲν ἁπλοῦς δύο ἢ τριῶν, ὁ

δὲ σύνθετος ἀπὸ τεσσάρων μέχρι ἕξ», φ. ρνς'. Πρβλ. G. Mangelsdorf, Anecdota Chisiana de re metrica. Carolsruhae 1876, σ. 29.

17. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν ἐρωτημάτων τοῦ κῦρ Μανουὴλ τοῦ Μοσχοπούλου». Ἀρχ. «Ἐρώτησις· τί ἐστι προσῳδία; Ἀπόκρισις· ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς» κτλ., φ. ρξα'—ρξδ' καὶ ρϟγ'—σε'.

18. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν, καὶ περὶ σημείων τῆς συντελείας τοῦ αἰῶνος τούτου· ἐρρέθη μέλλοντος αὐτοῦ ἐκδημεῖν ἐκ τοῦ σώματος ὁ ἅγιος». Ἀρχ. «Ὀδυνηρὸς ὁ λόγος, καθότι καὶ ἔσχατος», φ. ρξε'. Migne τ. 59, σ. 553.

19. «Ἐκ τῶν γερόντων», ὅ ἐστι τοῦ Γεροντικοῦ ἐκλογαί τινες, φ. τς'.

20. «Διήγησις καὶ πολιτεία ψυχωφελὴς καὶ θαυμάσια τοῦ ὁσίου πατρὸς ἡμῶν Νίφοντος», συγγραφεῖσα μὲν ὑπὸ Πέτρου τοῦ μαθητοῦ αὐτοῦ, ἀπὸ δὲ τῶν λέξεων ἀρχομένη τῶνδε· «Μυστήριον μὲν βασιλέως κρύπτειν καλόν», φ. σκ'—υμη'. Διῄρηται δὲ εἰς κεφάλαια ρξδ'. Δεύτερον ἀντίγραφον ἐδήλωσεν ὁ Montfaucon, Bibliotheca Coisliniana σ. 416. Τρίτον δὲ ἀντίγραφον ἴδε παρὰ τῷ Coxe, Catal. cod. MSS. bibliothecae Bodleianae I, σ. 445.

133. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1785-ῳ καὶ διῃρημένον εἰς μέρη δύο, ὧν ἑκάτερον ἰδίαν ἔχει τῶν σελίδων ἀρίθμησιν· πᾶσα δὲ σελὶς ἀριθμεῖ γραμμὰς εἴκοσιν (0,202 × 0,15).

α') (Ἀνθίμου πατριάρχου Ἱεροσολύμων) «Βιβλίον τέταρτον περί τινων ἀναγκαίων ζητημάτων» θεολογικῶν τε καὶ φυσικῶν. Ἀρχ. «Κεφάλαιον α' περὶ προνοίας. Πρόνοιά ἐστιν ἡ ἐκ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια κατὰ τὸν Δαμασκηνόν», σελίδες 358.

β') «Βιβλίον πέμπτον περὶ μυστηρίων». Ἀρχ. «Κεφάλαιον α' περὶ τῶν δεικνύντων τὴν πίστιν τῶν χριστιανῶν ἀληθῆ· ἐρώτησις. Ἐν κεφαλαίῳ τρίτῳ τῆς πρώτης τοῦ Πέτρου ἐπιστολῆς γέγραπται» κτλ., σελίδες 283. Ἔνδον δὲ τῆς δευτέρας τοῦ τεύχους πινακίδος ὑπάρχει τοῦ γραφέως αὐτοῦ σημείωσις, ἥπερ ἔχει ὧδε·

«Καὶ τόδε σὺν τοῖς ἄλλοις βιβλίοις ὑπάρχει Σαμουὴλ Κυπραίου ἀπὸ χωρίον Εὐρίχου ἔτει 1785».

134. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν περὶ τὴν ἑπτακαιδεκάτην ἑκατονταετηρίδα, ἐκ δὲ φύλλων συγκείμενον 147, ὕψους μὲν 0,19, πλάτους δὲ 0, 142· καὶ ἡ μὲν γραφὴ μεγαλόσχημός ἐστι καὶ χαρίεσσα, μεγίστοις που καὶ κεφαλαιώδεσι διεσκευασμένη γράμμασι, περιπεποικιλμένοις τε καὶ κεχρωματισμένοις. Ἐπὶ δὲ φύλλου τινὸς προσθέτου τὸ σημείωμα γέγραπται τοῦτο· «τὸ παρὸν βιβλίον ὑπάρχει καὶ εἶναι τοῦ Σταύρου Κολαρᾶ, ἀπὸ χωρίον Ἅγιον Ὄρη, καὶ τὸ γράφω διὰ ἐνθύμησιν». Ἃ δὲ τὸ βιβλίον ἐμπεριέχει, τάδ' ἐστιν.

1. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Ῥωμαίου, τοῦ συνασκήσαντος εἴκοσι μίλια πλησίον τοῦ παραδείσου». Ἀρχ. «Μέγα τίποτες καλὸ εἶναι διὰ τὸν χριστιανόν», φ. 1.

2. «Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Τὸν παλαιὸν καιρὸν εἶχαν συνήθειαν», φ. 18.

3. «Θαῦμα φοβερὸν καὶ παράδοξον ὁποῦ ἔκαμεν ὁ μέγας Γεώργιος εἰς τὴν κόρην Σελβίου τοῦ βασιλέως καὶ τὴν ἐγλύτωσεν ἀπὸ τὸν δράκοντα, καὶ αὐτὸ τὸ θαῦμα τὸ ἔκαμεν ὁ ἅγιος πριχοῦ νὰ μαρτυρήσῃ». Ἀρχ. «Εἰς τὰ μέρη τῆς Ἀτάλιας εἰς τὴν Ἀνατολὴν χώρα εὑρίσκεται καὶ ὀνομάζεται Ἀλαγία», φ. 33β.

4. «Διήγησις θαυμαστὴ κατὰ πολλὰ περί τινος ἱερέως, ὅτι πῶς ἀφώρισεν τὸν ἄγγελον καὶ ὁ ἄγγελος ἀφώρισεν αὐτόν». Ἀρχ. «Εἰς τὸν καιρὸν ὁποῦ ἐμαρτύρησεν ὁ μεγαλομάρτυς Μερκούριος», φ. 47β.

5. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ μετανοίας καὶ ὅταν ἡ ψυχὴ χωρίζεται ἐκ τοῦ ἰδίου σώματος». Ἀρχ. «Ὅταν τὸ εὐδαπάνητον τῆς ζωῆς ἡμῶν», φ. 57.

6. «Περὶ ἱερέως καὶ διακόνου ὁποῦ εἶχαν ἔχθραν». Ἀρχ. «Ἕνας ἱερεὺς μὲ ἕναν εὐλαβῆ διάκονον», φ. 63β.

7. «Διήγησις τινὸς μεγάλου γέροντος ἀσκητοῦ, ὡραία τε καὶ ὠφέλιμος καὶ λίαν κατανυκτικὴ εἰς τοὺς ἀκούοντας». Ἀρχ. «Εἰς τὸν καιρὸν ἐκεῖνον εὑρισκόμενος», φ. 69β.

8. «Βίος καὶ πολιτεία τῆς ὁσιομάρτυρος Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ». Ἀρχ. «Ἐν ταῖς ἡμέραις ὁποῦ ἐβασίλευεν εἰς τὴν Κωνσταντινούπολιν Ζήνων ὁ βασιλεύς», φ. 81.

9. «Διήγησις ὀπτασίας Ἰωάννου τινὸς πάνυ ὠφέλιμος». Ἀρχ. «Ἦτον κάποιος ἄνθρωπος», φ. 102.

10. Περὶ τοῦ ἱερομάρτυρος Πολυκάρπου τοῦ ἐπισκόπου Σμύρνης. Ἀρχ. «Ὁ μακάριος Πολύκαρπος οὐ μόνον δὲ ὑπὸ τῶν ἀποστόλων μαθητευθείς», φ. $105^β$.

11. Περὶ Ἰωάννου τοῦ εὐαγγελιστοῦ διήγησις, ἧς ἡ ἀρχή· «Οὗτος ἦτον υἱὸς τοῦ Ζεβεδαίου», φ. $114^β$.

12. Βίος τοῦ ἀποστόλου Θωμᾶ, οὗ ἡ ἀρχή· «Οὗτος ὁ μέγας ἀπόστολος», φ. 129.

13. Βίος τοῦ ἀποστόλου Φιλίππου, οὗ ἡ ἀρχή· «Οὗτος ὁ φαεινότατος ἀστήρ», φ. $136^β$. Combefisii, Auctarium novissimum τ. I, σ. 387.

135. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, γραφὲν ἢ περὶ τὴν ἀρχὴν ἢ περὶ τὸ μέσον τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος καὶ φύλλα νῦν σῷζον 137, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν ἑπτακαίδεκα ($0,212 \times 0,152 = 0,15 \times 0,10$)· περιέχει δέ τινας ᾀσματικοὺς κανόνας, ψαλλομένους τὸ πάλαι ὑπὸ τῶν κληρικῶν τοῦ ἐν Ἱεροσολύμοις πατριαρχείου.

1. «Ἀκολουθία εἰς τὸν μέγαν Ἰάκωβον τὸν ἀδελφόθεον», φ. 1· ἡ δὲ τοῦ κανόνος ἀκροστιχὶς ἐν μὲν τοῖς τροπαρίοις λέγει «Ἰάκωβον μέλποιμι τὸν Αἰλίας», ἐν δὲ τοῖς θεοτοκίοις «Δέσποινα».

2. «Ἑτέρα ἀκολουθία εἰς τὸν αὐτὸν μέγαν Ἰάκωβον», ἧς ὁ κανὼν ἀκροστιχίδα φέρει τήνδε· «Δίσσοι [sic] τὸν ὕμνον τῷ θεαδέλφῳ πλέκω», χωρὶς τῶν θεοτοκίων, φ. 10.

3. «Ἑτέρα ἀκολουθία εἰς τὸν αὐτὸν μέγαν Ἰάκωβον», ἧς ὁ κανὼν ἀκροστιχίδα φέρει τήνδε· «Καὶ τρίτον ἰδοὺ προσλαλῶ σοι, τρισμάκαρ», φ. 20.

4. «Ἑτέρα ἀκολουθία εἰς τὸν αὐτὸν μέγαν θεάδελφον», ἧς ὁ κανὼν ἀκροστιχίδα φέρει τήνδε· «Τέταρτον Ἰάκωβε δέχνυσω μέλος», χωρὶς τῶν θεοτοκίων, φ. 29.

5. «Ἀκολουθία ἑτέρα εἰς τὸν αὐτὸν μέγαν Ἰάκωβον τὸν ἀδελφόθεον», ἧς ὁ κανὼν ἀκροστιχίδα φέρει ταύτην· «Πέμπτον μελῴδημα δέχου Ἰάκωβε», φ. 38.

6. «Ἑτέρα ἀκολουθία εἰς τὸν αὐτὸν μέγαν Ἰάκωβον», ἧς ὁ κανὼν ἀκροστιχίδα φέρει τήνδε· «Ἕκτον μέλος σοι τῷ θεαδέλφῳ τόδε», φ. 47.

7. «Ἑτέρα ἀκολουθία εἰς τὸν αὐτὸν μέγαν Ἰάκωβον», ἧς ὁ κανὼν ἀκροστιχίδα φέρει ταύτην· «Καὶ ἕβδομον μέλισμα τρισμάκαρ δέχου», φ. 57.

8. «Ἑτέρα ἀκολουθία εἰς τὸν αὐτὸν μέγαν Ἰάκωβον», ἧς ὁ κανὼν ἐν μὲν τοῖς τροπαρίοις ἀκροστιχίδα συμπληροῖ λέγουσαν «Κανὼν ὅδε ἐστὶν ὄγδοος Ἰακώβῳ», ἐν δὲ τοῖς θεοτοκίοις τὸ «Δέσποινα», φ. 66.

9. «Στιχηρὰ ψαλλόμενα εἰς τὴν μνήμην τῶν ἀοιδίμων πάντων πατριαρχῶν Ἱεροσολύμων», φ. 77. Ἀ. Π. Κεραμέως, Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας, τ. I, σ. 124-126.

10. «Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε: Ὕμνοις γεραίρω τῆς Σιὼν τοὺς ποιμένας· ἐν δὲ τοῖς τριαδικοῖς καὶ τοῖς θεοτοκίοις: Τοῦ ἀναξίου Νείλου», φ. 80. Ἀνάλεκτα ἱεροσολυμ. σταχυολογίας, τ. I, σ. 126-134.

11. «Ἕτερος κανὼν φέρων ἀκροστιχίδα τήνδε, χωρὶς τῶν τριαδικῶν καὶ τῶν θεοτοκίων: Ἀρχιερέων Θεοῦ πόλει αἰνῶ τοὺς ἄθλους», φ. 93. Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας I, σ. 134-141.

12. «Μηνὶ ἰανουαρίῳ κα' μνήμην ἐπιτελοῦμεν τῶν κεκοιμημένων κληρικῶν τῆς ἁγίας Ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἦχου πλαγίου β', πρὸς τὸ Αἱ ἀγγελικαί». Ἀρχ. «Ἀρξώμεθα θρηνεῖν», φ. 103β.

13. «Στιχηρὰ ψαλλόμενα εἰς τὴν παννυχίδα τῶν ἁγίων πατέρων ἡμῶν, ἀρχιερέων ἱερέων καὶ διακόνων τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, τῶν ἐκδημησάντων· ἦχος δ'· κατὰ ἀλφάβητον». Ἀρχ. «Ἅπαντες δεῦτε πιστοί», φ. 116.

14. «Ἕτερος κανὼν ἀναπαύσιμος εἰς ἱερεῖς, φέρων ἀκροστιχίδα τήνδε: Ἱερεῖς καὶ λειτουργοὶ Σιών, αἰνῶ τὴν μνήμην», φ. 124

15. «Ἕτερα στιχηρὰ ψαλλόμενα εἰς κοιμηθέντας ἱερεῖς· ἦχος πλ. α'· κατὰ ἀλφάβητον». Ἀρχ. «Ἀνάπαυσον Σωτὴρ ἡμῶν», φ. 132β.

16. «Εἶτα ἄρχονται τῆς θείας ἐκτενοῦς ἱκεσίας» καὶ τῆς ἀναγνώσεως τῶν διπτύχων, φ. 137β· ὅρα δὲ ταῦτα ἐν τῇ 141-ῃ σελίδι τῶν Ἀναλέκτων τῆς ἱεροσολυμιτικῆς σταχυολογίας.

136. Τεῦχος ἐκ χάρτου, γραφὲν μὲν τῇ τεσσαρεσκαιδεκάτῃ ἑκατονταετηρίδι, ἐκ δὲ φύλλων συνιστάμενον 196, ὧν τὸ κείμενον ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 28 ἢ 29 (0,315 × 0,145= 0,156 × 0,095). Καὶ ἔνδον μὲν τῆς πρώτης πινακίδος ὁ βιβλιοδέτης ὀκτωκαίδεκα πάνυ μεταγενέστερα προσέθετο φύλλα, μαθηματαρίου τινὸς ὄντα μέρη, ἅπερ Γρηγορίου τοῦ Θεολόγου ἐπιγράμματά τινα περιέχει καὶ στίχους πολλοὺς περὶ διαφόρων ὑποθέσεων, οἷον α') «1782 ἰανουαρίου 22, περὶ λαιμαργίας τῶν παπάδων» στίχοι 28, ὧν ἡ ἀρχή· «Πᾶσα ἕνας κάμνει χρεία νὰ μὴ ἔχῃ λαιμαργία» κτλ. β') περὶ συμβουλῆς στίχοι 13, γ') περὶ ἀληθείας στίχοι 9 καὶ δ') στίχοι 20 «περὶ μοναχῶν ὁποῦ ἀγαποῦν νὰ ζοῦν κοσμικὰ καὶ περιπατοῦν εἰς τὲς ροῦγες τῆς Πόλεως». Ἐν δὲ τῷ κώδικι τῷ ἀρχαίῳ, ἐπὶ μὲν τοῦ πρώτου φύλλου γέγραπται τὸ «Κύρου παιδεία Ἰωάννου τοῦ Κωνσταντῆ ἰνδικτιῶνος ε'» καί τις περίληψις τῆς Ἑρμογένους ῥητορικῆς, ἐν δὲ τῷ τρίτῳ φύλλῳ σημείωμά τι κεῖται τοῦ ὀκτωκαιδεκάτου αἰῶνος ἔχον ὧδε· «Τὸ βιβλίον τοῦτο ἠγοράσθην ἀναλώμασιν Κωνσταντίνου Ζωγράφου παρὰ τοῦ ἐντιμοτάτου πρεσβυτέρου Ἰωάννου καὶ πρωτοπαπᾶ ἐν τῷ Ἀνικητιάτον». Ἀπὸ δὲ τοῦ τετάρτου φύλλου καὶ ἑξῆς τετράδια ὑπάρχει εἴκοσι καὶ ἕν, ἐν οἷς τὰ κείμενα περιέχεται τάδε.

1. Ξενοφῶντος Κύρου παιδείας ὅλον τὸ κείμενον, φ. 4-179.

2. «Ἡρωδιανοῦ τῶν ζητουμένων κατὰ κλίσιν τῶν τοῦ λόγου μερῶν». Ἀρχ. «Πολλῶν σφαλλομένων κατὰ κλίσιν» φ. 180-183. Τέλος· «εἴτε κατὰ συνήθη διαίρεσιν αὐτῶν, ὥς που ἔφη καὶ πώεα μήλων». J. Cramer, Anecdota Graeca e codd. manuscriptis biblioth. Oxoniensium τ. III, σ. 246—255.

3. «Τοῦ αὐτοῦ περὶ ῥημάτων». Ἀρχ. «Ἔτι ἁμαρτάνουσιν

οἱ λέγοντες ζέζηκα καὶ ἀπέψυχα», φ. 183-185. Τέλος· «ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν». Cramer ἔ. ἀ. σ. 256—262.

4. «Φρύνιχος Κορνηλιανῷ εὖ πράττειν. Τήν τε ἄλλην σου παιδείαν θαυμάζων» κτλ., φ. 185-191. Τέλος· «τάδε φυλαττόμενός τις βελτίων καὶ δοκιμώτατος εἴη ἄν». Phrynichi eclogae nominum ἐκδ. Lobeck, Lipsiae 1820, σ. 1-261. Πρβλ. L. Bachmann, Anecdota graeca. Lipsiae 1828, τ. II, σ. 382—392.

5. «Τοῦ αὐτοῦ τμῆμα δεύτερον». Ἀρχ. «Ἀντίρρησιν μὴ λέγε, ἀντιλογίαν δέ», φ. 192-196. Τέλος· «διαλύων οὖν λέγε αἰχμάλωτος γενέσθαι. Τέλος Φρυνίχου». Ἐκδ. Lobeck σ. 265—442. Πρβλ. Bachmann, Anecdota graeca II, σ. 393—401.

137. Τεῦχος ἐκ χάρτου, συγκείμενον ἐκ φύλλων 169, ὧν τὰ μὲν πρῶτα τέσσαρα καὶ τὰ ἀπὸ τοῦ 80-ου ἄχρι τοῦ 107-ου φύλλου περὶ τὴν πεντεκαιδεκάτην ἐγράφη ἑκατονταετηρίδα, τὰ δὲ λοιπὰ κατὰ τὴν τεσσαρεσκαιδεκάτην· τούτων δ' αὖ ὀκτὼ φύλλα τὰ τελευταῖα συμπληροῖ ἄλλου τινὸς κώδικος τὸ τρίτον τετράδιον. Ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0,205, πλάτους δὲ 0,141.

1. Σύνοψις ἱστορικὴ τῆς τε παλαιᾶς καὶ τῆς νέας Διαθήκης ἀκέφαλος, ἧς αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «...ρηγμα, δι' ἧς τὸ θήραμα γέγονεν· ὅτε τοίνυν ἔδωκεν αὐτοῖς τὸν ἄρτον» κτλ., φ. 1—4 καὶ 80—140.

2. «Ἀρχὴ σὺν θεῷ τὸ λεξικόν. Ἀρχὴ τοῦ ἄλφα. Ἀάπτους, ἀπροσπελάστους χαλεπούς· ἄσθη, ἐβλάβη· ἀάσατο, ἐβλάβη» κτλ., φ. 5—69. Τέλος· «Σώζω, φυλάττω συντηρῶ».

3. Διάλογός τις ἀκέφαλος περὶ πίστεως, οὗ ἡ ἀρχή· «Ἰουδαῖε, ὅτε οὐ κατέσχε Σολομῶν οὐδὲ τὸ ἥμισυ τῆς γῆς οὐδὲ τὸ τρίτον, πότε κατέσχε τὰ πέρατα τῆς γῆς» κτλ., φ. 70—73.

4. «Τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν Παναρίων». Ἀρχ. «Ἡ μὲν περιτομὴ διὰ τὴν παροικίαν δέδοται», φ. 74—75β.

5. Ἀνεπίγραφος περιγραφὴ τῶν ἐν Παλαιστίνῃ προσκυνημάτων (φ. 75β — 79), τύποις ἐντεῦθεν ἐκδοθεῖσα τῇ ἐπιγραφῇ ταύτῃ: Ἀνωνύμου περιγραφὴ τῶν ἁγίων Τόπων περὶ τὰ τέλη τῆς ιδ' ἑκατονταετηρίδος, ἐκδιδομένη νῦν τὸ πρῶτον μετὰ προλόγου ὑπὸ

Ἀ. Παπαδοπούλου Κεραμέως καὶ συνοδευομένη μετὰ ρωσσικῆς μεταφράσεως τοῦ κ. Γαβριὴλ Σ. Δεστούνη. Ἐν Πετρουπόλει 1890 (τεῦχος 26-ον τῆς συλλογῆς: Православный Палестинскій Сборникъ).

6. Ἀκέφαλος ἑρμηνεία στιχηρῶν τινων τροπαρίων, φ. 141-147.

7. «Ἀρχὴ σὺν θεῷ λέξεις τοῦ Σουΐδα, ὅτι τὸ ᾱ ὡς αὐτοτελὲς μὲν παραλαμβανόμενον σημαίνει ζʹ, διαφόροις πνεύμασι καὶ τόνοις ὑποβαλλόμενον· ὡς δὲ μέρος λέξεως, πέντε». Ἀρχ. «Ἀθανάτους, τοὺς ἀεὶ ζῶντας· ἔστι γὰρ ἡ ἀθανασία ζωὴ ἀΐδιος» κτλ., φ. 148-149. Τέλος· «Θεὸς ἄμβροτος, τοῖς ἀεὶ οὖσι θεοῖς ὅμοιος καὶ μιμούμενος ἐκείνους διὰ τῆς θείας ζωῆς καὶ ἀπαθείας».

8. «Ῥήσεις τῆς ὀκτατεύχου κατὰ στοιχεῖον». Ἀρχ. «Ἐπειδή περ εὑρίσκονταί τινες λέξεις», φ. 150.

9. «Ῥήσεις ἑβραϊκαὶ τοῦ τετραβασιλείου». Ἀρχ. «Βασιλειῶν ὧδε αʹ. Ἄμαφε, βαθμόν· ἐξήτασεν, εἰς ἕδρας», φ. 153β.

10. «Ἑρμηνεία λέξεων τοῦ ψαλτῆρος». Ἀρχ. «Ἀλληλούια, αἰνεῖτε τὸν ὄντως ὄντα Θεόν», φ. 155.

11. «Ἑρμηνεῖαι λέξεων τῶν ᾠδῶν». Ἀρχ. «Ὠδὴ αʹ· ἀναβάτας, τριστάτας, τοὺς τρεῖς ἄνδρας τοὺς ἐπὶ ἁρμάτων καθημένους», φ. 156β.

12. «Λέξεις τῶν εὐχῶν τῶν βασιλέων Ἐζεκίου καὶ Μανασσῆ καὶ τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ» καὶ «αἱ ἐν τῷ Ἰὼβ κείμεναι λέξεις». Ἀρχ. «Σκηνή, τέντα ἢ καλύβα» — «Αἴθριος, ἔξω ὑπὸ τὸν αἰθέρα», φ. 157β—158β.

13. «Λέξεις τῶν παροιμιῶν». Ἀρχ. «Παροιμίαι, παραινέσεις, νουθεσίαι, παρηγορίαι», φ. 158β.

14. «Τῆς παναρέτου· λέξεις Σοφίας Σολομῶντος». Ἀρχ. «Αὐτοσχεδίως, ἐκ τοῦ παρατυχόντος ἢ αὐτομάτως ἢ αὐτοφυῶς», φ. 160.

15. Λεξικὸν ἀκέφαλον καὶ ἀτελές, οὗ αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «Αὔξησις Πλάτων ιαʹ», φ. 162—169. Τέλος· «ἐξαιρέσεως δίκην τυγχάνειν τῷ εἰς ἐλευθερίαν». Lexicon Sabbaiticum nunc primum edidit et apparatu critico instruxit A. Papadopulos-Kerameus. Petropoli 1892.

138. Τεῦχος μεμβράνινον, ἢ περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δυοκαιδεκάτης γραφὲν ἑκατονταετηρίδος καὶ ἐκ φύλλων συγκείμενον 340, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα πᾶσαν δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἑπτά $(0{,}312 \times 0{,}23 = 0{,}215 \times 0{,}15)$· περιέχει δὲ τὰς πρώτας εἴκοσι καὶ ἐννέα ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ὧν ἡ πρωτίστη ἐπιγέγραπται· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλία παραινετικὴ εἰς τὴν εἴσοδον τῆς ἁγίας τεσσαρακοστῆς»· ἡ δὲ ἀρχὴ αὐτῆς ἔχει ὧδε· «Χαίρω καὶ εὐφραίνομαι νῦν ὁρῶν» κτλ. Σημειωτέον δ' ἔτι, ὅτι ἐν τῷ κάτω κρασπέδῳ τοῦ πρώτου φύλλου γέγραπται τοῦτο· «† Ἐτοῦτο τὸ βιβλίο ὑπάρχει τοῦ Ἁγίου Τάφου».

139. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης, ὡς ἔοικεν, ἑκατονταετηρίδος, εἰ καὶ ὁ γραφεὺς αὐτοῦ γραφὴν ἀπεμιμήσατο τοῦ ἐνάτου ἢ τοῦ δεκάτου αἰῶνος· συνίσταται δ' ἐκ τετραδίων μα', φύλλα συναποτελούντων 328 μεῖον ὀκτώ, ἤτοι 316, διὰ βλάβην τινὰ τοῦ τεύχους γενομένην ἴσως ὑπὸ περιηγητοῦ τινος. Ἔστι δὲ τὸ κείμενον κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ὀκτώ $(0{,}31 \times 0{,}21 = 0{,}24 \times 0{,}15)$. Τὸ μὲν οὖν τεῦχος ὁμιλίας ἐμπεριέχει Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, τὰς ἀπὸ τοῦ μς' μέχρι τοῦ πδ' ἀριθμοῦ· ἀλλ' ἥ τε ἀρχὴ τῆς πρώτης καὶ τὸ τέλος τῆς ἐσχάτης ἐλλείπουσι νῦν, καὶ ἐκ τούτου τὸ κείμενον ἤδη ἄρχεται ἀπὸ τῶν λέξεων τῶνδε· «λέγουσι πόλεμος ἡμῖν ὑπεροράᾳ» κτλ. Σημειωτέον δ' ἔτι, ὅτι καὶ τὸ τεῦχος τοῦτο τῆς μονῆς ἦν τὸ πάλαι τοῦ ἀββᾶ Γερασίμου.

140. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ἐκ τετραδίων μὲν ἐξ ἀρχῆς συναποτελεσθὲν τριάκοντα καὶ ἑνός· ἀλλ' ὕστερον ἐν μὲν τῇ ἀρχῇ προσετέθη φύλλα ἐννέα, μέρη ὄντα κώδικος ἄλλου τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· μετὰ δὲ τὸ 254-ον φύλλον ἑτέρου τινὸς πάλιν βιβλίου φύλλα προσετέθη τεσσαράκοντα, κατὰ τὸν τρισκαιδέκατον αἰῶνα γεγραμμένα. Τὸ μὲν οὖν τεῦχος, ὡς νῦν ἔχει, φύλλα συναριθμεῖ 294, ὕψους μὲν 0,312,

πλάτους δὲ 0,255· τὸ δ' ἐν αὐτοῖς κείμενον κατὰ σελίδα πᾶσαν δίστηλόν ἐστιν· ὅπερ ἐν μὲν τοῖς προσθέτοις ἐννέα φύλλοις ἀριθμεῖ γραμμὰς τριάκοντα, ἐν δὲ τοῖς λοιποῖς προσθέτοις τριάκοντα καὶ τρεῖς, ἐν δὲ τῷ κυρίῳ τεύχει εἴκοσι καὶ ὀκτώ. Ἃ δὲ τὸ τεῦχος ἐμπεριέχει, τάδ' ἔστιν.

1. Ἀπόσπασμα διηγήσεως περὶ τοῦ βίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, οὗ αἱ μὲν πρῶται λέξεις ἔχουσιν ὧδε· «ἐμῆς διηγήσεως ἡ μερίς· σὺ δέ μοι λέγε τὸν σὸν Λοξίαν, τοῦ σοῦ χρυσηλάτου τρίποδος τὸν θεσπιῳδόν»· τελευταῖαι δὲ λέξεις εἰσὶν αἵδε· «καὶ ὁ καιρὸς ἐφέστηκέ μου τῆς ἀναλύσεως· ὁ Σατανᾶς οὐ φέρει τοὺς ἐμοὺς κατ' αὐτοῦ λόγους», φ. 1—9.

2. Σελὶς ἄγραφος (φ. 10α), ἐν ᾗ κατὰ τὸν πεντεκαιδέκατον αἰῶνα τὰ ἐφεξῆς ἐγράφη σημειώματα· α') «τιμιώτατε καθηγούμενε τῆς σεβασμίας καὶ θείας μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου». — β') «τιμιώτατε καθηγούμενε τῆς σεβασμίας μονῆς τῶν Σερβῶν κῦρ Παχώμιε».—γ') «τοῦ ἁγίου Τάφου».

3. «Τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ», ἡ πίναξ τῶν ἐμπεριεχομένων τῷ τεύχει τούτῳ γραφῶν, φ. 11.

4. «Βίος καὶ πολιτεία καὶ ἀνάπαυσις τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ». Ἀρχ. «Ἄρτι τῆς εὐσεβείας ἀναλαμπούσης», φ. 12. Analecta Bollandiana I, σ. 586.

5. «Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Ἀκινδύνου Πηγασίου Ἀνεμποδίστου καὶ Ἐλπιδηφόρου». Ἀρχ. «Εἰ καὶ πρῶτοι Πέρσαι», φ. 17. Migne τ. 116, σ. 9. Acta Sanctorum, νοεμβρίου τ. I, σ. 491.

6. «Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων μαρτύρων Ἀκεψιμᾶ Ἰωσὴφ καὶ Ἀειθαλᾶ». Ἀρχ. «Ἐλύττα κατὰ χριστιανῶν», φ. 30β. Migne τ. 116, σ. 831.

7. «Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου». Ἀρχ. «Τὴν πρὸς ἀρετὴν ὁδὸν φέρουσαν», φ. 45β. Migne τ. 116, σ. 36.

8. «Βίος καὶ πολιτεία καὶ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων

138. Τεῦχος μεμβράνινον, ἢ περὶ τὸ τέλος τῆς ἐνδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δυοκαιδεκάτης γραφὲν ἑκατονταετηρίδος καὶ ἐκ φύλλων συγκείμενον 340, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα πᾶσαν δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἑπτά (0,312 × 0,23 = 0,215 × 0,15)· περιέχει δὲ τὰς πρώτας εἴκοσι καὶ ἐννέα ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ὧν ἡ πρωτίστη ἐπιγέγραπται· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλία παραινετικὴ εἰς τὴν εἴσοδον τῆς ἁγίας τεσσαρακοστῆς»· ἡ δὲ ἀρχὴ αὐτῆς ἔχει ὧδε· «Χαίρω καὶ εὐφραίνομαι νῦν ὁρῶν» κτλ. Σημειωτέον δ' ἔτι, ὅτι ἐν τῷ κάτω κρασπέδῳ τοῦ πρώτου φύλλου γέγραπται τοῦτο· «† Ἐτοῦτο τὸ βιβλίο ὑπάρχει τοῦ Ἁγίου Τάφου».

139. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης, ὡς ἔοικεν, ἑκατονταετηρίδος, εἰ καὶ ὁ γραφεὺς αὐτοῦ γραφὴν ἀπεμιμήσατο τοῦ ἐνάτου ἢ τοῦ δεκάτου αἰῶνος· συνίσταται δ' ἐκ τετραδίων μα', φύλλα συναποτελούντων 328 μεῖον ὀκτώ, ἤτοι 316, διὰ βλάβην τινὰ τοῦ τεύχους γενομένην ἴσως ὑπὸ περιηγητοῦ τινος. Ἔστι δὲ τὸ κείμενον κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ὀκτώ (0,31 × 0,21 = 0,24 × 0,15). Τὸ μὲν οὖν τεῦχος ὁμιλίας ἐμπεριέχει Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, τὰς ἀπὸ τοῦ μς' μέχρι τοῦ πδ' ἀριθμοῦ· ἀλλ' ἥ τε ἀρχὴ τῆς πρώτης καὶ τὸ τέλος τῆς ἐσχάτης ἐλλείπουσι νῦν, καὶ ἐκ τούτου τὸ κείμενον ἤδη ἄρχεται ἀπὸ τῶν λέξεων τῶνδε· «λέγουσι πόλεμος ἡμῖν ὑπεροράᾳ» κτλ. Σημειωτέον δ' ἔτι, ὅτι καὶ τὸ τεῦχος τοῦτο τῆς μονῆς ἦν τὸ πάλαι τοῦ ἀββᾶ Γερασίμου.

140. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ἐκ τετραδίων μὲν ἐξ ἀρχῆς συναποτελεσθὲν τριάκοντα καὶ ἑνός· ἀλλ' ὕστερον ἐν μὲν τῇ ἀρχῇ προσετέθη φύλλα ἐννέα, μέρη ὄντα κώδικος ἄλλου τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· μετὰ δὲ τὸ 254-ον φύλλον ἑτέρου τινὸς πάλιν βιβλίου φύλλα προσετέθη τεσσαράκοντα, κατὰ τὸν τρισκαιδέκατον αἰῶνα γεγραμμένα. Τὸ μὲν οὖν τεῦχος, ὡς νῦν ἔχει, φύλλα συναριθμεῖ 294, ὕψους μὲν 0,312,

πλάτους δὲ 0,255· τὸ δ' ἐν αὐτοῖς κείμενον κατὰ σελίδα πᾶσαν δίστηλόν ἐστιν· ὅπερ ἐν μὲν τοῖς προσθέτοις ἐννέα φύλλοις ἀριθμεῖ γραμμὰς τριάκοντα, ἐν δὲ τοῖς λοιποῖς προσθέτοις τριάκοντα καὶ τρεῖς, ἐν δὲ τῷ κυρίῳ τεύχει εἴκοσι καὶ ὀκτώ. Ἃ δὲ τὸ τεῦχος ἐμπεριέχει, τάδ' ἐστιν.

1. Ἀπόσπασμα διηγήσεως περὶ τοῦ βίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, οὗ αἱ μὲν πρῶται λέξεις ἔχουσιν ὧδε· «ἐμῆς διηγήσεως ἡ μερίς· σὺ δέ μοι λέγε τὸν σὸν Λοξίαν, τοῦ σοῦ χρυσηλάτου τρίποδος τὸν θεσπιῳδόν»· τελευταῖαι δὲ λέξεις εἰσὶν αἵδε· «καὶ ὁ καιρὸς ἐφέστηκέ μου τῆς ἀναλύσεως· ὁ Σατανᾶς οὐ φέρει τοὺς ἐμοὺς κατ' αὐτοῦ λόγους», φ. 1—9.

2. Σελὶς ἄγραφος (φ. 10^{α}), ἐν ᾗ κατὰ τὸν πεντεκαιδέκατον αἰῶνα τὰ ἐφεξῆς ἐγράφη σημειώματα· α') «τιμιώτατε καθηγούμενε τῆς σεβασμίας καὶ θείας μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου». —β') «τιμιώτατε καθηγούμενε τῆς σεβασμίας μονῆς τῶν Σερβῶν κῦρ Παχώμιε».—γ') «τοῦ ἁγίου Τάφου».

3. «Τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ», ἢ πίναξ τῶν ἐμπεριεχομένων τῷ τεύχει τούτῳ γραφῶν, φ. 11.

4. «Βίος καὶ πολιτεία καὶ ἀνάπαυσις τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ». Ἀρχ. «Ἄρτι τῆς εὐσεβείας ἀναλαμπούσης», φ. 12. Analecta Bollandiana I, σ. 586.

5. «Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Ἀκινδύνου Πηγασίου Ἀνεμποδίστου καὶ Ἐλπιδηφόρου». Ἀρχ. «Εἰ καὶ πρῶτοι Πέρσαι», φ. 17. Migne τ. 116, σ. 9. Acta Sanctorum, νοεμβρίου τ. I, σ. 491.

6. «Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων μαρτύρων Ἀκεψιμᾶ Ἰωσὴφ καὶ Ἀειθαλᾶ». Ἀρχ. «Ἐλύττα κατὰ χριστιανῶν», φ. 30^{β}. Migne τ. 116, σ. 831.

7. «Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου». Ἀρχ. «Τὴν πρὸς ἀρετὴν ὁδὸν φέρουσαν», φ. 45^{β}. Migne τ. 116, σ. 36.

8. «Βίος καὶ πολιτεία καὶ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων

τοῦ Χριστοῦ μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης». Ἀρχ. «Τῆς πρὸς τῷ Λιβάνῳ ὄρει», φ. 74. Migne τ. 116, σ. 93.

9. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ὁμολογητοῦ». Ἀρχ. «Ἡνίκα Κωνστάντιος ὁ τοῦ μεγάλου», φ. 82β. Migne τ. 116, σ. 884.

10. «Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἁγίων τῶν ἐν Μελιτηνῇ ἀθλησάντων». Ἀρχ. «Ἱέρωνι τῷ γενναίῳ», φ. 88β. Migne τ. 116, σ. 109.

11. «Βίος καὶ πολιτεία καὶ ἄσκησις τῆς ὁσίας Ματρώνης». Ἀρχ. «Τοὺς σώφρονας τὸν βίον», φ. 94. Migne τ. 116, σ. 920.

12. «Βίος καὶ πολιτεία τῆς ὁσίας καὶ ἀειμνήστου Θεοκτίστης τῆς Λεσβίας». Ἀρχ. «Εἰκόνες καὶ στῆλαι καὶ ἀνδριάντες», φ. 112β. Θεοφίλου Ἰωάννου, Ἁγιολογικὰ μνημεῖα, σ. 18.

13. «Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Μηνᾶ τοῦ Αἰγυπτίου, τοῦ ἐν τῷ Κοτυαείῳ μαρτυρήσαντος». Ἀρχ. «Βασιλεύοντος Διοκλητιανοῦ τε καὶ Μαξιμιανοῦ», φ. 122β. Analecta Bollandiana τ. III, σ. 258.

14. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Ἀλεξανδρείας, τοῦ ἐλεήμονος». Ἀρχ. «Τὰς τῶν ἀγαθῶν ἀνδρῶν ἀναγράπτους», φ. 128. Migne τ. 114, σ. 896.

15. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου γενομένου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου». Ἀρχ. «Καὶ πάντων μὲν τῶν κατὰ Θεόν», φ. 164β. Migne τ. 114, σ. 1045.

16. «Παντολέοντος διακόνου καὶ χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας, διήγησις θαυμάτων τοῦ παμμεγίστου ἀρχαγγέλου Μιχαήλ», [1] ἧς ἡ ἀρχή· «Μεγάλαι καὶ ποικίλαι καὶ πολλαὶ τῆς ἀσωμάτου», φ. 255—275. Κείμενον ἀνέκδοτον μὲν τύποις, ἀλλὰ γνωστὸν τοῖς πᾶσι διὰ λατινικῆς μεταφράσεως. Migne τ. 140, σελ. 573.

[1] Ὑπεράνω δὲ τῆς ἐπιγραφῆς ταύτης κόσμημα καλὸν κεῖται, ἐπίχρυσόν τε καὶ ἄνθεσι πεποικιλμένον· καὶ αὐτὴ δὲ ἡ ἐπιγραφὴ χρυσοῖς γέγραπται γράμμασιν.

17. «Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον τοῦ Χριστοῦ Φίλιππον», οὗ ἡ ἀρχή· «Ὁ τοῦ Θεοῦ Θεὸς Λόγος», φ. 276. Acta Sanctorum, μαΐου τ. I, σ. XI. Migne τ. 115, σ. 188.

18. «Μαρτύριον τῶν ἁγίων τριῶν ὁμολογητῶν Γουρία Σαμωνᾶ καὶ Ἀβίβου, καὶ μερικὴ διήγησις τοῦ γεγονότος θαύματος εἰς Εὐφημίαν τὴν κόρην». Ἀρχ. «Ἔτος μὲν ἀπὸ τῆς Ἀλεξάνδρου», φ. 280. Migne τ. 11, σ. 128.

141. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἦν ἄλλοτε τοῦ παναγίου Τάφου· σύγκειται δ' ἐκ φύλλων 217 (ὕψους μὲν 0,324, πλάτους δὲ 0,26), ὧν τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν ἑπτὰ καὶ τριάκοντα· τοῦτο δὲ ὑπομνήματα περιέχει τοῦ νοεμβρίου μηνὸς περὶ διαφόρων ἁγίων, ἅπερ κατὰ τὴν τρισκαιδεκάτην ἑκατονταετηρίδα παρέβαλέ τις πρὸς ἕτερον ἀπόγραφον· τὰς δὲ διαφερούσας λέξεις ἐν τοῖς μετώποις οὗτος τῶν φύλλων παρέγραψε.

1. «Μηνὶ νοεμβρίῳ ιζ'». Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ ἐπισκόπου Νεοκαισαρείας, συγγραφεὶς ὑπὸ Γρηγορίου τοῦ Νύσσης. Ἀρχ. «Ὁ μὲν σκοπὸς εἷς ἐστι», φ. 1. Migne τ. 46, σ. 893.

2. «Μηνὶ τῷ αὐτῷ ιη'· μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Πλάτωνος», οὗ ἡ ἀρχή· «Οὐ ξένα Γαλατῶν τὰ παρόντα», φ. 26. Migne τ. 115, σ. 404.

3. «Μηνὶ τῷ αὐτῷ κ'· βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμφιλοχίου, ἐπισκόπου τοῦ Ἰκονίου». Ἀρχ. «Καὶ τί τῶν καλῶν», φ. 31. Migne τ. 116, σ. 950.

4. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Ἀκραγαντίνων», οὗ ἡ ἀρχή· «Κάλλιστόν τι χρῆμα ἡ ἀρετή», φ. 37. Migne τ. 116, σ. 189.

5. «Μαρτύριον τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Αἰκατερίνης», οὗ ἡ ἀρχή· «Βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξεντίου», φ. 69β. Migne τ. 116, σ. 276.

6. «Μηνὶ τῷ αὐτῷ κε'· βίος τοῦ ἁγίου μάρτυρος Κλήμεντος, ἐπισκόπου Ῥώμης, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Πέτρου». Ἀρχ.

«Κλήμης Ἰακώβῳ τῷ κυρίῳ καὶ ἐπισκόπῳ», φ. 80. Migne τ. 2, σ. 469.

7. «Τῇ αὐτῇ ἡμέρᾳ· μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος ἀρχιεπισκόπου Ἀλεξανδρείας Πέτρου», οὗ ἡ ἀρχή· «Εἶχε μὲν ἡ ἐπιφανὴς Νικομήδεια», φ. 128β. Combefis, Illustrium Christi lecti triumphi, σ. 189—221.

8. «Τῇ αὐτῇ ἡμέρᾳ· μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Μερκουρίου», οὗ ἡ ἀρχή· «Δέκιος ἡνίκα καὶ Βαλεριανός», φ. 136β. Κείμενον ἀνέκδοτον, οὗ ἀπόγραφά τινα ἐν τοῖς ἐφεξῆς ἴδε βιβλίοις. Fabricii-Harles, Biblioth. Graeca, τ. X, σ. 293. Νικοδήμου, Συναξαριστοῦ τ. I, σ. 251. Ἀ. Π. Κεραμέως, Μαυρογορδ. Βιβλιοθ. τ. I, σ. 35. E. Miller, Catalogue des MSS grecs de la bibliothèque de l' Escurial, σ. 19.

9. «Μηνὶ τῷ αὐτῷ κϛ'· βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλυπίου». Ἀρχ. «Καλοὶ μὲν καὶ οἱ τῶν μαρτύρων ἆθλοι», φ. 145β. Κείμενον ἀνέκδοτον, οὗ ἀπόγραφά τινα ἴδε ἐν τοῖς ἐφεξῆς βιβλίοις. Fabricii-Harles, Bibl. Graeca X, σ. 192. Νικοδήμου, Συναξαρ. I, σ. 252. Ἀ. Π. Κεραμέως, Μαυρογορδ. Βιβλιοθ. I, σ. 36. Ἱεροσολυμ. Βιβλιοθ. I, σ. 36. E. Miller, Catalogue de l' Escurial, σ. 19.

10. «Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Ἰακώβου τοῦ Πέρσου». Ἀρχ. «Ἀρκαδίου τὰ Ῥωμαίων», φ. 157. Ὅρα ἔμπροσθεν, σελίδι 50.

11. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ νέου». Ἀρχ. «Θεῖόν τι χρῆμα ἡ ἀρετή», φ. 164β. Ὅρα ἔμπροσθεν, σελίδι 50.

12. «Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ἀνδρέαν τὸν πρωτόκλητον». Ἀρχ. «Ἄρτι τοῦ παιδὸς Ζαχαρίου», φ. 202. C. Tischendorf, Acta apostolorum apocrypha, σ. 132.

13. «Μηνὶ νοεμβρίῳ κ'· βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνατολίου ἐπισκόπου Κωνσταντινουπόλεως». Ἀρχ. «Ἀνατολίου τὴν ἡλίου δίκην λάμψασαν πολιτείαν», φ. 211. Acta Sanctorum, ἰουλίου τ. I, σ. 578—585.

142. Τεῦχος μεμβράνινον, γραφὲν τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐκ φύλλων 159, μήκους 0,312, πλάτους 0,245. Κείμενον κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα (0,21 × 0,16). Πολλῶν φύλλων τὰς ἄκρας ἔφθειρεν ὕδατος εἰσβολή· τινῶν δ' ἄλλων (153 - 155, 157, 158) ἀνεπληρώθησαν αἱ ἄκραι τῇ προσκολλήσει μεμβρανίνων τεμαχίων, ὧν ἓν ἀποσῴζει μέρος ἐπιστολιμαίου γράμματος ἀποσταλέντος εἰς τὴν ἁγίαν λαύραν Σάβα τοῦ ἡγιασμένου (φ. 153)· ὀκτὼ δ' ὅλα φύλλα τοῦ κώδικος (145 - 152) ἀναπληροῖ μέρος αὐτοῦ προεκπεσόν· ταῦτα δ' ἐστὶ τετράδια δύο μικροῦ τινος κώδικος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἅπερ εἰς διπλοῦν ἀνέπτυξεν ὁ τοῦ βιβλίου συμπληρωτής, ἀποτελέσας οὕτω μεγάλου σχήματος τετράδιον ἕν, ἐκ τοῦ προτέρου τὴν ἀρχαίαν ἀποσβέσας ὡς εἰκὸς γραφήν. Ἔστι μὲν οὖν τὰ φύλλα ταῦτα παλίμψηστα, καὶ τὸ μὲν ἀρχαῖον αὐτῶν κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ὂν προσήκει, καθὰ φαίνεται, μηναίῳ τινί· τούτων δὲ τὸ νεώτερον γράψιμον ἐχαράχθη τῇ δυοκαιδεκάτῃ ἑκατονταετηρίδι· τὸ δὲ πρώτιστον φύλλον αὐτοῦ τοῦ κώδικος, ὃν ἤδη περιγράφω, χάρτινόν ἐστι, προστεθὲν ὑπὸ Ἰωαννικίου τοῦ Σαβαΐτου διὰ τὴν ἐλλείψασαν ἀρχὴν ἐκ παλαιοῦ τῆς νῦν πρώτης ἐν τῷ τεύχει συγγραφῆς· ἐν ᾧ τὸ λεῖπον αὐτὸς εἰς νέαν ἑλληνικὴν ἔγραψε γλῶσσαν· τοῦτο δὲ τὸ προοίμιόν ἐστι βίου καὶ πολιτείας Θεοδοσίου τοῦ κοινοβιάρχου παρὰ Συμεῶνος τοῦ Μεταφράστου συνταχθέντος καὶ πρὸς τὴν κοινὴν γλῶσσαν ὑπὸ τοῦ Κρητὸς Ἀγαπίου τοῦ Λάνδου μετενεχθέντος (Νέος Παράδεισος. Ἐν Βενετίᾳ 1872, σ. 272)· λείπει δὲ καὶ τὸ πέρας τοῦ κώδικος, ὃς ἦν ἐξ ἀρχῆς τῆς νῦν ἐρηριμμένης ἐν Παλαιστίνῃ περιδόξου λαύρας Θεοδοσίου τοῦ κοινοβιάρχου, καθὰ σημείωμά τι δηλοῖ γεγραμμένον ἐν τῷ κρασπέδῳ τῆς δευτέρας αὐτοῦ τοῦ βιβλίου σελίδος. Καὶ ταῦτα μὲν ἱκανά· αὐτὸ δὲ τὸ τεῦχος, οὗ τὰ σῳζόμενα τετράδια φέρει νῦν ἀριθμοὺς ἀπὸ τοῦ γ' μέχρι τοῦ κδ', περιέχει τὸ τελευταῖον τὰ κείμενα ταῦτα.

1. Βίος ἀκέφαλος τοῦ ὁσίου Θεοδοσίου τοῦ κοινοβιάρχου, οὗ τὴν ἀρχὴν ἀποτελοῦσι νῦν αἱ λέξεις αἵδε· « - - - αὐτὴν ἐξενεγ-

κόντος ἀλήθειαν, Θεοῦ τε δόσις, ἀνθρώποις ἀληθῶς ὀφθέντος καὶ βίῳ παντὶ φιλαρέτῳ» κτλ., φ. 2. Κείμενον τοῦ Μεταφράστου, τὸ καταχεχωρισμένον ἐν τοῖς Act. Sanctorum τ. II τοῦ μαρτίου μηνός, σ. 898 κἑ. Migne τ. 114, σ. 469. Τὸ πρωτότυπον ἐγράφη παρὰ Θεοδώρου Πετρῶν ἐπισκόπου· ὑπάρχει δὲ περὶ τοῦ αὐτοῦ Θεοδοσίου καὶ σύντομον ὑπόμνημα Κυρίλλου τοῦ Σκυθοπολίτου: Der heilige Theodosios; Schriften des Theodoros und Kyrillos herausgegeben von H. Usener. Leipzig, 1890. Περὶ δὲ τῆς ἀξίας ἀμφοτέρων καὶ περὶ πολλῶν ἑτέρων ἀντιγράφων τῶν αὐτῶν συγγραφῶν ὅρα K. Krumbacher, Studien zu den Legenden des H. Theodosios, München 1892.

2. «Μηνὶ τῷ αὐτῷ ιγ′ [= ἰανουαρίῳ]. Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ Ἑρμύλου καὶ Στρατονίκου», οὗ ἡ ἀρχή· «Βασιλεύοντος Λικιννίου τοῦ δυσσεβοῦς», φ. 44. Migne τ. 114, σ. 554.

3. «Νείλου μοναχοῦ εἰς τὴν ἀναίρεσιν τῶν ἐν Σινᾷ καὶ τῇ Ῥαϊθοῖ ἁγίων πατέρων» (ἰαν. ιδ′). Ἀρχ. «Ἁλώμενος ἐγὼ μετὰ τὴν ἔφοδον τῶν Βαρβάρων», φ. 51. Migne τ. 79, σ. 589 κἑ.

4. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ διὰ Χριστὸν πτωχοῦ» (ἰαν. ιε′). Ἀρχ. «Τυραννικόν τι χρῆμα τεκόντων», φ. 84β. Κείμενον τύποις ἀνέκδοτον, γνωστὸν δὲ μόνον ἐκ λατινικῆς μεταφράσεως (Acta Sanct. τ. I ἰαν. σ. 1029 κἑ) καὶ παραφράσεως εἰς νέαν ἑλληνικὴν γλῶσσαν Ἀγαπίου Λάνδου τοῦ Κρητὸς (Παράδεισος, ἐκδ. Βενετίας 1855, σ. 287).

5. «Λόγος εἰς τὴν προσκύνησιν τῆς τιμίας ἁλύσεως τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου» (ἰαν. ις′). Ἀρχ. «Ὅσοι τῷ τοῦ κορυφαίου τῶν ἀποστόλων θείῳ ἔρωτι», φ. 97. Κείμενον Συμεῶνος τοῦ Μεταφράστου, ψευδῶς εἰς λατινικὴν μετάφρασιν ἐπιγεγραμμένον Ἰωάννῃ τῷ Χρυσοστόμῳ (L. Surii Vitae Sanctorum, αὐγ. 1).

6. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου, συγγραφεὶς καὶ ἀποσταλεὶς πρὸς τοὺς ἐν τῇ ξένῃ μοναχοὺς παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας». Ἀρχ. «Ἀγαθὴν ἅμιλλαν ἐνεστήσασθε», φ. 115 - 149 (Migne τ. 26, σ. 835). Τελος· «καὶ γὰρ καὶ τὰ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν τὰ σώματα μέχρι νῦν - - - ».

142. Τεῦχος μεμβράνινον, οὗ τὰ μὲν φύλλα συναποτελεῖ λείψανα δύο ἑτερογενῶν βιβλίων, αἱ δὲ πινακίδες φύλλα περικλείουσι πολλῶν καὶ διαφόρων κωδίκων ὑπὸ βιβλιοδέτου τινὸς ἐν τῇ λαύρᾳ καταστραφέντων· καὶ ἡ μὲν ἐμπρόσθιος πινακὶς ἐγκλείει τάδε· α΄) ἓν μεμβράνινον φύλλον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενόν ἐστι μονόστηλον, περὶ τοῦ βίου διαλαμβάνον γυναικός τινος ὁσίας· ἀναφέρονται δ' ἐν αὐτῷ Ζωτικὸς ὁ τίμιος καὶ πόλεις τινές, οἷον ἡ Ἀλεξάνδρεια καὶ τὰ Ἱεροσόλυμα· β΄) φύλλα τινὰ ἐκ χάρτου βαμβακεροῦ, ἅπερ ἐκ διαφόρων ἀπεσπάσθη κωδίκων τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος· τούτων δὲ τὸ περιεχόμενον ἀπαρατήρητον εἴασα· γ΄) φύλλον μεμβράνινον ἐκ διστήλου τινὸς ἀποσπασθὲν εὐαγγελίου τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· δ΄) τεμάχιον θεολογικῆς ὁμιλίας ἐκ διστήλου τινὸς κώδικος τῆς δεκάτης ἑκατονταετηρίδος· ε΄) δύο φύλλα μεμβρανίνου τινὸς εὐαγγελίου τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, τὸ μὲν ἔχον τεμάχιον τοῦ μηνολογίου, τὸ δὲ τὴν ἀρχὴν τοῦ κειμένου τούτου· «Δήλωσις ὅπως δεῖ εὑρίσκειν τὰ ζητούμενα εὐαγγέλια». Ἀρχ. «Ἐπειδή σοι διῄρηται εἷς ἕκαστος» κτλ. Καὶ ταῦτα μὲν ἡ πρώτη πινακὶς ἐγκλείει, ἡ δ' ἑτέρα τάδε· α΄) τεμάχιον ἐκκλησιαστικῆς τινος ὁμιλίας, ἐκ φύλλων συνιστάμενον δύο μεμβρανίνου τινὸς κώδικος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· β΄) τεμάχιον μεμβρανίνου τινὸς εὐαγγελίου. Καὶ ταῦτα μὲν οὖν περὶ τῶν πινακίδων τοῦ τεύχους· αὐτὸ δὲ τὸ τεῦχος ἐμπεριέχει

α΄) Φύλλα ἑβδομήκοντα καὶ ἐννέα, συναποτελοῦντα τετράδια συνεχῆ (κε΄—λδ΄) μεμβρανίνου τινὸς κώδικος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα $(0{,}32 \times 0{,}244 = 0{,}22 \times 0{,}16)$. Περιέχει δὲ ταῦτα· 1) βίον ἀκέφαλον τοῦ ὁσίου Ἀλυπίου, οὗ αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «ὑπάρχουσαν, Ἀδριανούπολις οὕτω καλουμένη, ἥτις οὐ τοσοῦτον ἐπὶ τῷ ταύτην δειμαμένῳ» κτλ. 2) «Μαρτύριον τοῦ ἁγίου Ἰακώβου τοῦ Πέρσου», οὗ ἡ ἀρχή· «Ἀρκαδίου τὰ Ῥωμαίων διέποντος» κτλ. 3) «Βίον καὶ πολιτείαν τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ νέου». Ἀρχ. «Θεῖόν τι χρῆμα»

κτλ. 4) «Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον καὶ πρωτόκλητον Ἀνδρέαν», οὗ ἡ ἀρχή· «Ἄρτι τοῦ παιδὸς Ζαχαρίου». Τέλος· «ὃ δὴ καὶ πρὸς τὸν ἐκείνου λόγον κατὰ πόδας ἀπήντα· ὁ μὲν γὰρ θεῖος ἀπόστολος....».

β') Φύλλα τεσσαράκοντα καὶ πέντε, συναποτελοῦντα συνεχῆ τετράδια (κη'—λγ') μεμβρανίνου τινὸς προφητολογίου τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενόν ἐστι μονόστηλόν τε καὶ τετονισμένον καὶ ἐκ γραμμῶν εἴκοσιν (0,306×0,223=0,22×0,15)· ἄρχεται δ' ἀπὸ μέρους τοῦ τετάρτου προφητικοῦ ἀναγνώσματος τῆς ἀκολουθίας τοῦ μεγάλου Σαββάτου. Σημειωτέον δέ, ὅτι μετὰ τὸ ς' ἀνάγνωσμα γέγραπται τοῦτο· «Σχίσμα ἀναγνώσεως: Ἔλαβε δὲ Μαριὰμ ἡ προφῆτις ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξῆλθον πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμπάνων καὶ χορῶν· ἐξῆρχε δὲ αὐταῖς Μαριὰμ λέγουσα: — Καὶ μετὰ τοῦτο δίδοται Σοφία καὶ λέγει ὁ ψάλτης "ᾠδὴ τῆς Ἐξόδου" καὶ ἄρχεται ἐμμελῶς τοῦ "Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως" εἰς ἦχον πλάγιον α', ὑπακούοντος αὐτῷ τοῦ λαοῦ "ἐνδόξως γὰρ δεδόξασται" κτλ. Καὶ πάλιν μετὰ τὴν ις' προφητείαν· «Καὶ εὐθέως ποιοῦσιν οἱ ἱερεῖς μετὰ τῶν διακόνων καὶ τῶν νεοφωτίστων εἴσοδον· λέγει δὲ ὁ ψάλτης "Προκείμενον· ἦχος βαρύς. Μακάριοι" κτλ. [Μετὰ δὲ τρία στιχηρά]· Καὶ ὅτε πληρώσει ὁ στιχολογῶν, εὐθέως γίνεται εἴσοδος βωβὴ καὶ εὐθέως ἀντὶ τοῦ τρισαγίου "ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε"· προκείμενον δὲ οὐ λέγει, ἀλλ' εὐθὺς ὁ ἀπόστολος πρὸς Ῥωμαίους· "Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε" κτλ. Ἀντὶ δὲ τοῦ Ἀλληλούια ἦχος βαρύς· Ἀνάστα ὁ Θεὸς» κτλ.

144. Τεῦχος μεμβράνινον τοῦ 1019-ου ἔτους, ὅπερ ἐξ ἀρχῆς τριάκοντα καὶ δύο περιεῖχε τετράδια· νῦν δὲ τὰ πρῶτα τρία τῶν τετραδίων ἐλλείπει. Σῴζει οὖν φύλλα 224, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι (0,312×0,252=0,195×0,165)· ταῦτα δὲ βιβλιοπηγός τις ἐπηύξησεν ὕστερον, τέσσαρα προσθεὶς ἐν τῇ ἀρχῇ τοῦ τεύχους φύλλα, ἐκ κώδικος ἀπεσπασμένα λειτουργικοῦ τινος εὐαγγελίου τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὧν τὸ κείμενόν ἐστι δίστηλον ὡσαύτως καὶ ἐκ γραμμῶν τριάκοντα.

Καὶ τῷ μὲν πρώτῳ τῶν προσθέτων τούτων φύλλων ἄλλο τι προσκεκόλληται μεμβράνινον φύλλον ἰβηρικοῦ τινος βιβλίου· τῷ δὲ τρίτῳ πάλιν τεμάχιον ἁπλοῦν φύλλου τινὸς τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἐν ᾧ μέρος ἀναγινώσκεται τῆς ᾀσματικῆς ἀκολουθίας Σεργίου τε καὶ Βάκχου τῶν μαρτύρων. Ἄκρα δὲ ἄλλου τινὸς φύλλου συμπεπληρωμένη ἐστὶ μεμβρανίνῳ τινὶ φύλλῳ τῆς ἐνάτης ἑκατονταετηρίδος, οὗ τὰ γράμματα κεφαλαιώδη ὑπάρχει· ταῦτα δὲ τέμαχος βασιλικῆς τινος ἔχει διατάξεως: «....κινδυ|νεύει πολλῷ χαλεπώ|τερον εἶναι τὸ εἰδέναι | ἄρχειν ἀνθρώπων καὶ μά|λιστα δὴ ἀρχὴν ταύτην | τὴν ἡμετέραν τὴν ἐν | νόμω θείω καὶ πρὸς Θεὸν | ἄγουσαν· ἢ ὅσον τὸ ὕψος | καὶ τὸ ἀξίωμα, τοσοῦτος | καὶ ὁ κίνδυνος τῷ γε | νοῦν ἔχοντι· ὃν γε πρῶ|τον μὲν δεήσει καθάπερ | ἄργυρον ἢ χρυσὸν παν....»— «....πρὸς ἡμᾶς πᾶν τὸ ἀπόρ|ρητον, οὐκ οἶδ' εἴτε ἄ|προικον, εἴτ' ἐλεύθερον· | ἔπαθον δ' οὖν, ᾐσχύν|θην ὑπὲρ τῶν ἄλλων, | ὅσοι μηδ' ἐν πολλῶν | ὄντες βελτίους. μέγα μὲν | οὖν, εἰ καὶ μὴ πολλῷ χεί|ρους, ἀνίπτοις χερσίν—ὃ | δὴ λέγεται—καὶ ἀμυήτοις | ἑαυτοὺς ἐπεισάγουσιν | καὶ πρὶν ἄξιοι γενέσθαι». Καὶ ταῦτα μὲν περὶ τῶν προσθέτων φύλλων· αὐτὸ δὲ τὸ τεῦχος εὐαγγέλιον ἐμπεριέχει λειτουργικὸν μετὰ τόνων ἐρυθρῶν καὶ κεφαλαιωδῶν τινων στοιχείων καὶ κοσμημάτων· διῄρηται δὲ ὧδε.

1. Ἀναγνώσματα τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, ἀρχόμενα νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «ἡ σκηνοπηγία· εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοί», φ. 1. Ἐν δὲ τῷ 55-ῳ φύλλῳ γέγραπται τοῦτο· «Χρὴ γινώσκειν, ὅτι τὸ εὐαγγέλιον τοῦτο τῆς Χαναναίας διὰ τὸ πολλάκις συμβαίνειν γίνεσθε(αι) τὸ πάσχα ἔξω, ὧδε μὲν οὐ χωρεῖ ἀναγινώσκεσθαι εἰς τὰ σαββατοκυριακὰ τοῦ Ματθαίου, ὅτι οὐδέποτε ἀνεγνώσθησαν ιζ' Κυριακαί· ἀναγινώσκεται δὲ εἰς τὸν Λουκᾶν Κυριακῇ τῇ η' πρὸ τοῦ Φαρισαίου, εἴπερ ἄρα λείψει ὁ Λουκᾶς, ὡς ἔφην, διὰ τὸ μηκύνεσθαι τὸ πάσχα».

2. Ἀναγνώσματα τοῦ κατὰ Λουκᾶν εὐαγγελίου, φ. $55^{β}$ κέ. Ἐν δὲ τῷ 82-ῳ φύλλῳ Πορφύριος ὁ Οὐσπένσκης ἔγραψε τὸ «λείπουσι τέσσαρα φύλλα», ἅπερ αὐτὸς οὗτος ἀποσπάσας ἔφερεν εἰς

Πετρούπολιν καὶ τῇ αὐτοκρατορικῇ τῆς πόλεως ταύτης βιβλιοθήκῃ παρέδωκεν (ἀριθ. 287. Отчетъ Императорской Публичной Библіотеки за 1883 годъ, σ. 124).

3. «Εὐαγγέλια τῆς μεγάλης ἑβδομάδος πρωὶ καὶ ἑσπέρας», φ. 91.

4. «Εὐαγγέλια τῶν ἁγίων παθῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. 117.

5. «Ἀναγνώσματα ἀναστάσιμα ἑωθινά», φ. 146β.


6. Συναξάριον τοῦ εὐαγγελίου, ὅ ἐστι μηνολόγιον, φ. 152.

7. «Εὐαγγέλια εἰς διαφόρους μνήμας καὶ λιτάς» (φ. 219β—224), οἷον εἰς ἐγκαίνια ναοῦ, εἰς μνήμην σεισμοῦ, εἰς μνήμην ἐφόδου ἐθνῶν, εἰς λιτὴν εὐχαριστήριον κατὰ πολεμίων, εἰς σχῆμα μοναχοῦ, εἰς λιτὴν ἐπὶ ἀνομβρίας, εἰς ἀσθενοῦντας, εἰς κοιμηθέντας, εἰς τὴν Κυριακὴν τὴν πρὸ τῆς ὑψώσεως τοῦ Σταυροῦ καὶ «εὐαγγέλιον εἰς γυναῖκας καὶ τῆς ἁγίας Πελαγίας». Μετὰ δὲ τοῦτο πορφυροῖς γράμμασιν ἀναγινώσκεται τόδε· «✝ Χειρὶ γεγράφθω πτω | χοῦ δὲ Συμεῶν· ὁ ἀναγινώσκον(-ων) μνήαν (-μνείαν) | ποιεῖτο(-ποιείτω) ὑπὲρ | τῆς ὑμετέρας (sic) οὔτοιδα | νείας (οὐτιδανείας)· ὅς ἡδέως ἔπαυ | σα τοῦς(-τοὺς) τρεῖς δακτύλους | καὶ τὸ(ν) τράχηλον σὺν τῷ | δεξιὸν(-δεξιῷ) γόνει· εἶδον τὸ | τέλος καὶ τὸν ἔσχατον | στεῖχον(-στίχον).—✝ | ✝ ἐτελειώθ(η) τοῦτο τὸ εὐ | αγγέλιο(ν) μηνὶ σεπτ(εμβρίῳ) εἰς τ(ὴν) κθ' | ἔτους κόσμου ,ςφκη ✝»=1019. Ἐν δὲ τοῖς κρασπέδοις τῶν ἐσχάτων φύλλων ὑπάρχει τινὰ ὑπομνήματα γεγραμμένα γράμμασιν ἀραβικοῖς, ὧν τὸ πρώτιστον ὑπογραφὴν ἔχει ἑλληνικὴν ὧδε πως· «✝ Γρηγώρυος πατριάρχης ϊεροσολύμων»· λέγει δὲ οὗτος ταῦτα κατὰ λέξιν· «Δόξα τῷ Κυρίῳ τῆς δόξης. Γνωρίζομεν τοῖς ὀψομένοις τὰς ταπεινὰς ταύτας γραμμάς, ὅτι τοῦτο τὸ ἱερὸν εὐαγγέλιον ἀνετέθειτο τῷ μοναστηρίῳ τῆς Παναγίας, τῷ γνωστῷ διὰ τοῦ (ὀνόματος) Δὲρ-ἀλαμάνι· καὶ ἡρπάγη κατὰ τὸν καιρὸν τῶν Τατάρων καὶ ἐξεβλήθη τοῦ μοναστηρίου καὶ ἠγοράσθη παρὰ τῶν εὐλογημένων χριστιανῶν, οἳ καὶ παρέδωκαν τοῦτο τῷ παναγίῳ Τάφῳ χάριν τῶν ψυχῶν αὐτῶν κτλ. . . . Ἐγράφη τῇ ι' αὐγού-

[illegible] βιβλιοθή-
[illegible] Πυθιανοῦ
[illegible]
[illegible] ἐβδομάδος πρωὶ καὶ ἑσπε-


[illegible] ἡμῶν Ἰησοῦ

[illegible] ἐπιλυχνίοις, φ. 140.
[illegible] ὁ κατὰ μηνολόγιον, φ. 152.
7. [illegible] καὶ λιτάς (φ. 219) —
[illegible] εἰς μεγάλην σεισμόν, εἰς μνήμην
[illegible] κατὰ πολεμίων, εἰς σχίσμα
[illegible] εἰς ἀσθενοῦντας, εἰς κοίμη-
[illegible] τὴν πρὸ τῆς ὑψώσεως τοῦ Σταυροῦ
[illegible] καὶ τῆς ἁγίας Πελαγίας. Μετὰ
[illegible] ἀναγινώσκεται τόδε: «† Νε(ι)-
[illegible] Νορεῖον ὁ ἀναγινώσκων(-ων) [illegible]
[illegible] ὑπὲρ | τῆς ὑμετέρας (sic) αὐτοῦ [illegible]
[illegible] ὡς ἠδέως ἐπαν | σα τοῦ(-τους) τρεῖς [illegible]
[illegible] τράχηλον σὺν τῷ | δεξιὸν(-δεξιῷ) [illegible]
[illegible] ἔσχατον | στεῖχον(-στίχον). — † | † ἐτελειώθ[η]
[illegible] μηνὶ σεπτεμβρίῳ) εἰς τὰ(ς) κθ' | ἔτους
[illegible] =1019. Ἐν δὲ τοῖς κρασπέδοις τῶν [illegible]
[illegible] ὑπομνήματα γεγραμμένα [illegible]
[illegible] τὸ πρώτιστον ὑπογραφὴ ἔχει ἑλληνικὴν [illegible]
[illegible] πατρ[illegible] Ἱεροσολύμων [illegible] λέγει δὲ οὗτος ταῦτα
[illegible] Κυρίῳ τῆς δόξης. Γνωρίζομεν τοῖς [illegible]
[illegible] γραμμάς, ὅτι τοῦτο τὸ ἱερὸν [illegible]
[illegible] μοναστηρίῳ τῆς Παναγίας τῷ [illegible]
[illegible] Δέρ-ἐλ-[illegible] καὶ ἠρπάγη κατὰ τὸν καιρὸν [illegible]
[illegible] τοῦ μοναστηρίου καὶ ἠγοράσθη παρὰ τῶν
[illegible] οἳ καὶ παρέδωκαν τοῦτο τῷ [illegible]
[illegible] ψυχῶν αὐτῶν κτλ. . . . Ἐγράφη τῇ [illegible]



Σελ. 228-229.

Κῶδ. Σαβαϊτικὸς 144, ἔτους 1019, φ. 223β--224α.



στου 1322».—Ἄλλη δέ τις ἀραβικὴ σημείωσις μέμνηται «τοῦ ταπεινοῦ ἀρχιερέως τῆς Ἱερουσαλὴμ Σωφρονίου», ἔτει 6700=1291 ἢ 1292. Ἐν ἑτέρᾳ δὲ πάλιν σημειώσει τὸ ὄνομα Ἰωάννου τινὸς ἀναφέρεται, οὗ ὁ μὲν πατὴρ Μιχαὴλ ὠνομάζετο, ἡ δὲ μήτηρ Ζάβλα. Καὶ ἐν τῷ κρασπέδῳ τοῦ 224-ου φύλλου σημειώσεις ὑπάρχουσιν ἀραβικαί· τούτων δὲ μία δηλοῖ, ὅτι τὸ βιβλίον ἀφιέρωσεν Ἠλίας ὁ ἀρχιεπίσκοπος Καισαρείας τῆς Παλαιστίνης, ἡμέρᾳ τρίτῃ τοῦ μηνὸς τελευτῶντος σεπτεμβρίου, ἔτει 6790, ὅ ἐστι τῷ 1281-ῳ. Ὑπάρχει δ' αὐτόθι καὶ σημείωσις ἑλληνικοῖς γεγραμμένη γράμμασι κατὰ τὴν ιδ' ἑκατονταετηρίδα: «† Οὗτη ἡ βίβλος ἠγοράσθην ἐκ τὰ σκύλα τῆς Πτωλαιμαΐδος παρατῆς μοναχῆς Ματρώνας καὶ ἀφήερώθ(η) εἰς τῆν μονῆν τῆς ὑ(περα)γ(ίας) Θεοτόκου τὸ ἐπονομαζόμενον τῆς Ἀλαμάνας» κτλ. Καὶ πάλιν· «νῦν δὲ εἶναι τοῦ ἁγίου καὶ ζωοδόχου τάφου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὦ κυρὰ Ματρῶνα. 1649». Ἰδὲ τὴν ἀπέναντι κειμένην φωτοτυπικὴν εἰκόνα.

145. Πραξαπόστολος ἐκ φύλλων χάρτου 295, οὗ τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων (0,32 × 0,22 = 0,20 × 0,115)· ἄρχεται δὲ ὧδε· «Χριστὸς παράσχοι τοῖς ἐμοῖς πόνοις χάριν. Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ πάσχα τὴν ἁγίαν καὶ ζωηφόρον ἀνάστασιν ἑορτάζομεν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς τὴν λειτουργίαν τὰ παρόντα ἀντίφωνα. Στίχος α'· Ἀλαλάξατε» κτλ. Μετὰ δὲ τὸ τέλος τοῦ βιβλίου γέγραπται τοῦτο· «† Ἰωάσαφ πόνος, καὶ οὗ τὸ ἐπώνυμον Σαρβός» — «Ὥσπερ ξένοι χαίροντες ἰδεῖν πατρίδα | καὶ οἱ θαλατεύοντες [sic] ἰδεῖν λιμένα | καὶ οἱ ἀσθενοῦντες ἰδεῖν ὑγίαν, | οὕτω καὶ οἱ οἱ γράφοντες ἰδεῖν βιβλίου τέλος» — «† Αὕτη ἡ βίβλος ἐγράπτ(η) ἔσωθεν εἰς τὴν θείαν καὶ ἱερὰν βασιλικὴν λαῦραν τῆς μητρὸς τοῦ Κυρίου (ἤτοι ὁ θεῖος ναὸς καλεῖται ὁ Εὐαγγελισμός· καὶ μετὰ ταῦτα ἐκλήθη θεία λαῦρα Σάββα τοῦ ἡγιασμένου), ἔνδον εἰς τὸ κελλίον ὁποῦ ἔχει ἱστορισμένην τὴν σταύρωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπὸ χειρὸς ἐμοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ Ἰωάσαφ τοῦ Κυπρί(ου), καὶ ἀφιερώθη

εἰς τὴν παμμέγιστον προρρηθῆσαν λαῦραν· ὅστις δ' ἂν βουληθείη κτλ.... Ἐν ἔτει ,ζξδ' (= 1556) ἰνδικτιῶνος ιδ', μηνὶ ἰαννουαρίῳ κ'». Καὶ ἐν τῇ ἀρχῇ τοῦ βιβλίου γέγραπται τὸ σημείωμα τοῦτο· «† ,αχπβ' (1682) ἐν μηνὶ νοεβρίῳ α' ἦλθα ἐγὼ ὁ παπὰ Γρηγόριος ἀπὸ τὸ πατριαρχεῖον εἰς τὸν ἅγιον Σάββα, ὁποῦ μοῦ ἔστειλε ὁ πατριάρχης γράμμα νὰ κάθωμαι ἕως νὰ ἔλθῃ ἀπὸ τὴν Πόλι· αὐτὲς τὲς ἡμέρες ἔγινε καὶ ὁ Γεράσιμος δραγουμᾶνος καὶ ἐσκα(ν)-ταλίσθη καὶ ἦλθε εἰς τὸν ἅγιον Σάββα, καὶ ἐκαθώμαστε μαζί· καὶ πάλι αὐτὸν ἔστειλε ὁ πατριάρχης γράμμα καὶ πάλε ἔγινε δρα(γου)μᾶνος εἰς τὴν ἐπιτροπικὴν τοῦ ἁγίου Λύδδης κὺρ Νεοφύτου, καὶ εἰς τὸ ἡγουμενεῖον τοῦ παπᾶ κῦρ Γρηγορίου Χιώτου. (ὁ) ἐκ Πελοποννήσου Γρηγόριος Μικρός».

146. Παρακλητικὴ ἀκέφαλός τε καὶ ἀτελής, ἐκ φύλλων χάρτου συγκειμένη 348, γραφεῖσα δὲ κατὰ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα· κατὰ μίαν δ' ἑκάστην τῶν σελίδων κείμενον ἔχει δίστηλον, ὅπερ ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «ε////νήσωμεν λέγοντες· στήριξον ὀρθοδοξίαν, τὴν ἐκκλησίαν σου, Χριστέ, καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.— Τῷ ζωοδόχῳ σου τάφῳ παρεστῶτες οἱ ἀνάξιοι, δοξολογίαν προσφέρομεν τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν» κτλ. Λήγει δὲ εἰς τὸ ἕβδομον ἐξαποστειλάριον.

147. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συνιστάμενον 172, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι $(0,304 \times 0,22 = 0,215 \times 0,14)$· περιέχει δὲ λείψανον τοῦ προφητολογίου, οὗ μέρος τι καὶ ἐν τῷ 143-ῳ κώδικι σῴζεται. Καὶ αἱ μὲν πρῶται λέξεις ἔχουσιν ὧδε· «καὶ ἡλικία γήρους· βίος ἀκηλίδωτος εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη» κτλ. Καὶ πάλιν ἀπὸ τοῦ 2-ου φύλλου τὸ κείμενον ἄρχεται ὧδε· «Μηνὶ τῷ αὐτῷ η', τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου. Ἀνάγνωσμα α'. Γενέσεως τὸ ἀνάγνωσμα. Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου» κτλ. Λήγει δὲ εἰς τὰ ἀναγνώσματα τῆς πρὸ τῶν βαΐων Παρασκευῆς. Τέλος· «ἑσπέρας προκείμενον α'. Ψαλμὸς ρκγ'· ἦχος πλάγιος β'».

148. Μηναῖα τῶν μηνῶν Μαρτίου Ἀπριλίου καὶ Μαΐου, συναποτελοῦντα φύλλα χάρτου 240, ἅπερ ἐγράφη τῇ τετάρτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι. Ἑκάστη δὲ σελὶς στήλας ἔχει δύο, ἑκατέρας οὔσης ἐκ γραμμῶν 30 μέχρι 32.

149. Τεῦχος τῆς τρίτης ἢ τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων βαμβακεροῦ χάρτου τριακοσίων καὶ ἑνός, ὧν ἕκαστον κείμενον ἔχει μονόστηλον, γραμμὰς τριάκοντα καὶ μίαν ἀριθμοῦν κατὰ σελίδα ($0,30 \times 0,225 \times 0,23 \times 0,16$). Ἐπιγέγραπται δὲ ὧδε· «Πόνημα Θεοφυλάκτου, ἀρχιεπισκόπου Βουλγαρίας, εἰς τὰς ἐπιστολὰς τοῦ ἁγίου ἀποστόλου Παύλου, ὧν καὶ ἡ α' πρὸς Ῥωμαίους». Ἀρχ. «Ἡ ἀνάγνωσις τῶν θείων γραφῶν εἰς τὴν γνῶσιν αὐτῶν ἄγει» κτλ. Σημείωμα δέ τι τοῦ ἑκκαιδεκάτου αἰῶνος δηλοῖ, ὅτι «αὕτη ἡ βίβλος ἀφιερώθη εἰς τὴν λαύραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου παρ' ἐμοῦ Γερασίμου ἐπισκόπου» κτλ.

150. Τεῦχος ἐκ φύλλων χάρτου 408, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα ($0,298 \times 0,205 = 0,208 \times 0,12$)· ἐγράφη δὲ ἔτει 1354-ῳ, ὥσπερ ἡ τοῦ βιβλίου ῥάχις μηνύει, ἔνθα ἢ Ἀντωνῖνος ὁ ἀρχιμανδρίτης ἢ Πορφύριος ὁ Οὐσπένσκης τοῦτο παρεσημειώσατο τὸ ἔτος· ἐγὼ μέντοι οὐχ ἀνεῦρον αὐτὸ ἐν τῷ βιβλίῳ, οὗ τὴν ἀρχὴν πρόσθετον ἀποκαλύπτει φύλλον, τὴν ὑπογραφὴν ἐνέχον Ἀλεξάνδρου τοῦ Νόροφ καὶ τὸ 1861-ον ἔτος. Ῥητέον δ' ἔτι, ὅτι Ἀντωνῖνος ὁ ἀρχιμανδρίτης εἶδέ ποτε τὸ βιβλίον τοῦτο 416 ἔχον φύλλα.

1. «Χριστέ, προηγοῦ τῶν ἐμῶν πονημάτων. Βιβλίον συναξάριον τῆς συνόψεως τῶν ἁγίων τοῦ ὅλου χρόνου, ὅθεν τε ἕκαστος καὶ ἐκ τίνων ἔφυ καὶ ἐν οἷς χρόνοις, καὶ εἴτε τὸν διὰ μαρτυρίου εἴτε τὸν δι' ἀσκήσεως ἐδέξατο στέφανον». Ἀρχ. «Μὴν σεπτέβριος· ἔχει ἡμέρας λ'· ἡ ἡμέρα ἔχει ὥρας ια' καὶ ἡ νὺξ ὥρας ιβ'. Ἀρχὴ τῆς Ἰνδίκτου Στίχοι εἰς τοὺς αὐτοὺς ἁγίους δωδεκασύλλαβοι, οἳ λέγονται πολιτικοί: Ἴνδικτον ἡμῖν εὐλόγει νέου ἔτους, | ὦ καὶ παλαιὲ καὶ δι' ἀνθρώπους νέε: — Ἰστέον ὅτι τὴν ἰνδικτιῶνα ἑορτάζει ἡ τοῦ Θεοῦ ἁγία ἐκκλησία ἀπὸ τῶν ἀρχαίων παραλα-

βοῦσα, διὰ τὸ νομίζεσθαι παρὰ Ῥωμαίοις ἀρχὴν εἶναι ἔτους ἀπὸ ταύτης τῆς ἰνδικτιῶνος» κτλ., φ. 1—341. Λήγει δὲ τὸ συναξάριον τοῦτο εἰς τὴν τελευταίαν τοῦ φεβρουαρίου ἡμέραν, ἔνθα καὶ τὸ τετράστιχον κεῖται τοῦτο·

Σὺ βίβλε μακάριζε τὸν γράψαντά σε,
πλὴν οὐ δι' αὐτῆς (οὐδὲ γὰρ σθένος ἔχεις),
ἀλλὰ δι' ἀνδρῶν εὐμαθῶν φιλεμπόνων
τῶν ἰδίαις σε κατεχόντων παλάμαις.

Μετὰ δὲ τοῦτο κεῖται τὸ σημείωμα τόδε· «† Ἐτελειώθη τὸ παρὸν βϊβλίον δϊὰ | σύνδρομῆς καὶ ἐξόδου, Μανουὴλ | τοῦ ἐπϊλεγομένου Μαύρου· τοῦ, ἀπὸ | χώρας, Θεσσαλονίκης· καὶ ἐπεδόθη πρὸς τὴν μονὴν τοῦ τϊμΐου Προδρόμου, | ψϋχϊκῆς ἕνεκεν αὐτοῦ ὠφελείας». Καὶ πάλιν τὸ αὐτὸ σημείωμα κεῖται ἐν τῇ ᾤᾳ τοῦ 92-ου φύλλου, ἔνθα γέγραπται καὶ τὸ «ἐπεδόθη πρὸς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ ἀνακειμένου πλησίον τοῦ Ἰορδάνου».

2. «Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου συναξάρια εἰς τὰς ἐπισήμους ἑορτὰς τοῦ τριῳδίου, μίαν ἑκάστην αὐτῶν αἰτιολογοῦντα, πῶς ποτε τὸ κατ' ἀρχὰς γέγονε καὶ δι' ἣν αἰτίαν (οὕτω) νῦν ἔχουσι, παρὰ τῶν ἁγίων πατέρων ἐτάχθησαν (καὶ) μετά τινων ἐπιστάσεων μερικῶν, ἀρχόμενα ἀπὸ τοῦ τελώνου καὶ τοῦ Φαρισαίου, καὶ καταλήγοντα μέχρι τῶν ἁγίων πάντων:—Στίχοι εἰς τὰς ἑορτὰς τοῦ αὐτοῦ Ξανθοπούλου Νικηφόρου: Ἐγὼ δέ, τριῴδιον, ταῦτά σοι φέρω· | παραβολὴν πρώτιστα τοῦ Φαρισαίου» κτλ. Ἀρχ. «Κυριακὴ τοῦ τελώνου καὶ τοῦ Φαρισαίου. Κατὰ δὲ τὴν παροῦσαν ἑορτὴν σὺν Θεῷ καὶ τοῦ τριῳδίου ἀρχόμεθα, ὃ πολλοὶ μὲν τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν ἄριστα καὶ ὡς ἐχρῆν ὑπὸ τοῦ ἁγίου κινούμενοι πνεύματος συνθέμενοι ἐμελούργησαν» κτλ., φ. 342. Μετὰ δὲ τὸ τέλος τοῦ κειμένου (φ. 402^{α}) γέγραπται τοῦτο· «Τέλος τῶν συναξαρίων τοῦ τριῳδίου, τῶν ποιηθέντων ἐντέχνως παρὰ τοῦ λογιωτάτου κυροῦ Νικηφόρου τοῦ Ξανθοπούλου· ὁμοῦ τὰ ὅλα κεφάλαια λγ'». Ὄπισθεν δὲ τοῦ αὐτοῦ φύλλου μεταγενέστερά τινα σημειώματα ὑπάρχει, ἅπερ εὐχὰς ἔχει ὑπὲρ ἀνθρώπων τινῶν ἀσημάντων. Σημειωτέον δέ, ὅτι τὰ εἰρημένα συναξάρια κεῖται καὶ

ἐν τοῖς τύποις ἐκδεδομένοις τριῳδίοις. Πρβλ. Leonis Allatii de libris et rebus ecclesiasticis Graecorum. Parisiis 1646, σ. 92 κἑ.

3. Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου ἔμμετρα πονημάτια (φ. 403—407), ἅπερ ἐπιμελῶς ἀντιγράψας ἡτοίμασα πρὸς ἐκτύπωσιν· ταῦτα δὲ κατὰ τάξιν ἔχει ὧδε·

α') Ἀκέφαλον ἰαμβεῖον, οὗ μόνον οἱ ἓξ τελευταῖοι σῴζονται στίχοι, φ. 403. Ἀρχ. «Τὸ θαῦμα καινόν, πῶς ὁ παφλάζων ἔρως». Τέλος· «ὡς ἂν ἀναλύσωσιν εἰς θάλψιν κρύους».

β') «Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου παραινέσεις κατὰ ἀλφάβητον», ὧν ἡ ἀρχή· «Ἀρχὴν ἁπάντων τοῦ Θεοῦ κτῆσαι φόβον», φ. 403.

γ') Τοῦ αὐτοῦ στίχοι «εἰς σταυρὸν τίμιον καὶ ἅγιον ξύλον κεκοσμημένον χρυσῷ». Ἀρχ. «Τὸ ξύλον ἰδοὺ καὶ τὸ πῦρ μόνα βλέπω», φ. 403β.

δ') Ἕτεροι «εἰς τὸν αὐτὸν ἅγιον καὶ τίμιον σταυρόν». Ἀρχ. «Ἡ φλὸξ ἐν ὑγρῷ καὶ τὸ πῦρ ἐν τῷ ξύλῳ», φ. 403β.

ε') Ἕτεροι «εἰς λίθον κρύον ἔχοντα ἐγγεγλυμμένον Χριστόν». Ἀρχ. «Ὕδωρ ἐπελθὸν τὴν ὑγρὰν φύσιν λίθου», φ. 403β.

ς') Ἕτεροι «εἰς λίθον ἀμέθυσον, ἔχοντα τὸν σωτῆρα Χριστόν». Ἀρχ. «Ἡ λίθος ἀμέθυσος ἀμπέλου τρόπον», φ. 403β.

ζ') Ἕτεροι «εἰς εἰκόνα ἔντεχνον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου». Ἀρχ. «Τίς πνεῦμα καὶ νοῦν ἐγκεράσας ταῖς χρόαις», φ. 403β.

η') «Τοῦ αὐτοῦ στίχοι εἰς τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Πληροφορητήν». Ἀρχ. «Εἰς ἀνταμοιβὴν δωρεῶν σου πλουσίων», φ. 404.

θ') «Ἕτεροι στίχοι εἰς ποδέαν τοῦ αὐτοῦ σωτῆρος Χριστοῦ καὶ Πληροφορητοῦ». Ἀρχ. «Οὐκ ἔστιν οὐδὲν εἰς ἀμοιβήν σοι πρέπον», φ. 404.

ι') Ἕτεροι «εἰς εἰκόνα τῆς Θεοτόκου, φερούσης τὸν δεσπότην ἡμῶν Χριστόν». Ἀρχ. «Ἁγνὴ κόρη ζῇς· εἰ δὲ σιγᾷς, οὐ ξένον», φ. 404β.

ια') Ἕτεροι «εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Ἀπόστολοι στάζουσιν ἐκ νεφῶν δρόσον», φ. 404β.

ιβ') «Τοῦ αὐτοῦ εἰς χρυσόβουλλον» στίχοι τρεῖς. Ἀρχ. «Ὁ μὲν πατήρ μοι τὴν κρίσιν τῆς ὀγδόης», φ. 405.

ιγ') «Ἕτεροι εἰς τὴν αὐτὴν (= κοίμησιν) τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Θεοῦ λόγον φέρουσα, πῶς σιγᾷς κόρη», φ. 405.

ιδ') «Ἕτεροι τοῦ αὐτοῦ εἰς τὸν δεσπότην Χριστὸν τὸν ἐν τῷ μέσῳ τρούλλῳ τῶν Ἁγίων Ἀποστόλων, ὃν Εὐλάλιος ἄριστα καθιστόρησεν». Ἀρχ. «Ἡ Χριστὸς αὐτὸς καταβὰς οὐρανόθεν», φ. 405.

ιε') Ἕτεροι «εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Ἰωάννην, καθήμενον καὶ γράφοντα τὸ ἱερὸν καὶ θεῖον εὐαγγέλιον». Ἀρχ. «Ὡς ἁλιεὺς κάλαμον εἰς ὕψους βάθος», φ. 405.

ιϛ') Ἕτεροι «εἰς τὸν ἀρχιστράτηγον Μιχαήλ, ἔντεχνον τοῦ κλεινοῦ ἐπὶ τέχνης ἱστορικῆς κυροῦ Εὐλάλους». Ἀρχ. «Ἡ ζωγράφος σκάρυφον εἰς αὐλίαν», φ. 405β.

ιζ') «Τοῦ αὐτοῦ εὐχὴ εὐχαριστήριος εἰς τὸν ποιητὴν καὶ πλάστην ἡμῶν Θεόν, ἐπὶ τῇ ἀθρόᾳ ἰάσει τοῦ ἀπορρήτου καὶ φοβεροῦ νοσήματος». Ἀρχ. «Πάλιν τῆς σῆς φιλανθρωπίας καὶ τῶν ἀνεκφράστων οἰκτιρμῶν δέομαι», φ. 405β.

151. Τεῦχος ἐκ χάρτου περὶ τὸ τέλος γραφὲν τῆς ἕκτης καὶ δεκάτης ἑκατονταετηρίδος καὶ μήκους μὲν ὂν 0,288, πλάτους δὲ 0,21· σῴζει δὲ φύλλα 517, τὰ ἀπὸ τοῦ κϛ' μέχρι τοῦ ἀριθμοῦ φμβ', καὶ δύο περιπλέον φύλλα τὴν ἀρχὴν ἤδη τοῦ κώδικος δεικνύμενα· ἐν τούτοις δὲ γέγραπται ταῦτα· «Βιβλίον γεροντικόν, λεγόμενον Παράδεισος». Καὶ πάλιν· «Πρῶτον γράφομεν τὸν πίνακαν ἐνθάδε· ἔπειτα λόγους καὶ παραινετικούς, εὐθὺς δὲ τὸν πρόλογον καὶ τὰ ἑξῆς, ὡς κεῖται· καὶ τὸ αὐτὸ παρὸν ἕνα βιβλίον ἐποιήσαμεν εἰς δύο διὰ τὴν λαφρότητα καὶ νὰ εὑρίσκωνται πάντοτε εἰς μοναστήριον καὶ τὰ δύο ἕως ἕνα χρόνον ἢ καὶ ἐπέκεινα, ὡς δόξει τῷ προεστῶτι καὶ τῶν λοιπῶν πατέρων [sic], ἢ κάτω εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα, ἢ ἐπάνω εἰς τὸν ἀρχάγγελον Μιχαὴλ τὸ μετόχιον ἡμῶν, ἔνδον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, τουτέστιν ὅπου κάμνει ἀνάγκην χρείας· συγχωρεῖτε καὶ τὸν ἁμαρ-

τωλὸν Ναθαναὴλ τὸν γράψαντα ἐπιχώριον γράμμα διὰ σπουδῆς βίαν· καὶ ὅποιος ἄνθρωπος τὸ κλέψει καὶ ἀφανίσει αὐτὸ ἐκ τῶν ῥηθέντων εὐαγῶν καὶ βασιλικῶν μονῶν, ἁγίου Σάβα λαύρας καὶ ἀρχαγγέλου Μιχαήλ, νὰ ἀπιλογᾶται ἔμπροσθεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετ' αὐτῶν· ἀμήν· ἔρρωσθε· ἀμήν». Καὶ πάλιν· «Καὶ ὅστις τῶν ἀδελφῶν τὸ πάρει ἔξω εἰς ταξίδιν ἢ εἰς μετόχιν καὶ δὲν τὸ ἀφήσει νὰ στέκῃ πάντοτε εἰς τὰ δύο μοναστήρια ὁποῦ εἴπαμεν, εἰς τὸν ἅγιον Σάβαν ἢ εἰς τὸν ἀρχάγγελον Μιχαὴλ τῶν ἄνω δυνάμεων, νὰ εἶναι ἀφωρισμένος· ἀμήν, ἀμήν, ἀμήν· ὁμοίως καὶ ὅπου κόψει τὸ αὐτὸ φύλλον, ἔστω ἐπὶ τὸ αὐτὸ βάρος. — † Σωφρόνιος ἐλέῳ Θεοῦ πατριάρχης Ἱερο(σολύμων)». Καὶ ταῦτα μὲν οὖν τὰ δύο πρώτιστα φύλλα περιέχει, τὰ δὲ λοιπὰ κεφάλαια περικλείει τοῦ τε Παραδείσου καὶ τοῦ Λειμωναρίου· ἄρχεται δὲ τὸ κείμενον ἀπὸ τῶν λέξεων τούτων· «θλίψεις καὶ λύπας, ἀλλὰ ἀνέσεις καὶ τρυφάς μας ἡγούμεθα διὰ τὴν εἰς τὸν δεσπότην ἡμῶν ἀγάπην» κτλ. Σημειωτέα δὲ τὰ κείμενα ταῦτα·

1. «Εἰς τὸν ἀνιστάμενον ἀπὸ τοῦ ὕπνου· λόγος διδασκαλικὸς μεγάλου τινὸς γέροντος πρὸς τὸν ἑαυτοῦ μαθητήν», οὗ ἡ ἀρχή· «Ἀνιστάμενος ἀπὸ τοῦ ὕπνου εὐθέως πρὸ τοῦ λαλῆσαι», φ. λα'.

2. Συμεὼν τοῦ νέου Θεολόγου περὶ ἀρχῆς βίου. Ἀρχ. «Πᾶς ἄνθρωπος, ἀδελφοί, ὅστις τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποταξάμενος» κτλ., φ. λδ'.

3. Ἰωάννου τοῦ Χρυσοστόμου τεμάχια διάφορα. Ἀρχ. «Περὶ τί ἐστι γυνή· γυνή ἐστιν ἐπὶ γῆς ναυάγιον, πηγὴ κακίας» κτλ. φ. μθ'.

4. «Τοῦ ἁγίου Νείλου γνῶμαι ἀπάγουσαι τῶν φθαρτῶν καὶ προσκολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον». Ἀρχ. «Φόβον ἔχε Θεοῦ καὶ πόθον», φ. ξγ'.

5. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν, καὶ περὶ σημείων τῆς συντελείας τοῦ αἰῶνος τούτου· ἐρρέθη μέλλοντος αὐτοῦ ἐκδημεῖν ἐκ τοῦ σώματος ὁ ἅγιος». Ἀρχ. «Ὀδυνηρὸς ὁ λόγος, καθ' ὅτι καὶ ἔσχατός ἐστι», φ. ογ'. Migne τ. 59, σ. 553.

6. Βασιλείου τοῦ μεγάλου «περὶ ἀσκήσεως· πῶς δεῖ κοσμεῖ-

σθαι τὸν μοναχόν». Ἀρχ. «Δεῖ τὸν μοναχὸν πρὸ πάντων», φ. ρβ'.

7. «Πρόλογος· περὶ βίου καὶ ἀσκήσεως τῶν ἁγίων πατέρων». Ἀρχ. «Ὁ ὢν ἐν ἀρχῇ πρὸς τὸν θεὸν θεὸς λόγος», φ. ρλγ'.

8. «Παραίνεσις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος». Ἀρχ. «Ἠρώτησέ τις τὸν ἀββᾶν Ἀντώνιον, τί φυλάξας τῷ Θεῷ εὐαρεστήσω», φ. ρμε'.

9. «Διηγήματα διάφορα πρὸς ὑπομονὴν καὶ ἀνδρείαν ἡμᾶς ἀλείφοντα». Ἀρχ. «Παρέβαλον ἀδελφοὶ τῷ ἀββᾷ Ἀντωνίῳ», φ. τκγ'.

10. «Περὶ τοῦ ἁγίου Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ καὶ διὰ τὸν λέοντα». Ἀρχ. «Ὡς ἀπὸ ἑνὸς μιλίου τοῦ ἁγίου Ἰορδάνου»·, φ. τπζ'.

11. «Περὶ τοῦ χαγάνου καὶ τῶν Σαρακηνῶν, τῶν χιλίων Ἀρμένων τῶν ἀπειλησάντων (cod. ἀπρηλησάντων) τὴν πόλιν καὶ ἡ ὑπεραγία Θεοτόκος ἐφύλαξεν αὐτὴν καὶ τὸν στόλον ἐκαταπόντισεν». Ἀρχ. «Πλὴν ἀναγκαῖόν ἐστιν εἰπεῖν καὶ τὸ ἐπίλοιπον», φ. υοε'.

12. «Διήγησις περὶ ἑτέρου γέροντος σημειοφόρου καὶ τοῦ βασιλέως Θεοδοσίου τοῦ μεγάλου». Ἀρχ. «Γέρων τις ἐκαθέζετο ἐν τῇ ἐρήμῳ», φ. υϟ'.

13. «Ἕτερα ἀποφθέγματα κατὰ πεῦσιν καὶ ἀπόκρισιν». Ἀρχ. «Πῶς δεῖ εἶναι τὸν μοναχὸν ἐν τῷ κελλίῳ; Ἀπόκρισις. Τοῦ ἀπέχεσθαι τῆς τῶν πολλῶν ἀνθρώπων γνώσεως», φ. φε'.

14. «Νουθεσία γέροντος πρὸς τὸν ἑαυτοῦ μαθητήν». Ἀρχ. «Λέγω σου ἅπαξ ἀδελφέ», φ. φιγ'.

15. «Περὶ τοῦ βαφέως ποῦ ἐκάη καὶ ἐχάθη ἀπὸ τὴν ἐκκλησίαν». Ἀρχ. «Ἐν τῇ Λυκαονίᾳ τῇ πόλει συνέβη πολλοὶ τῶν ἐνθάδε», φ. φις'.

152. Εὐαγγέλιον λειτουργικὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐκ φύλλων σύγκειται μεμβρανίνων 290 (μήκους μὲν 0,303, πλάτους δὲ 0,235), ἐν οἷς τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ πέντε (0,235 × 0,218). Καὶ πρὸ μὲν τῆς ἀρχῆς αὐτοῦ τέσσαρα κεῖται φύλλα ἄλλου τινὸς εὐαγγελίου λειτουργικοῦ τῆς αὐτῆς ἑκατονταετηρίδος, οὗ τὸ κείμενον ἦν δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι· μετὰ δὲ τὸ τέλος ὑπάρχει πάλιν

φύλλα πέντε ἐκ χάρτου, ἅπερ ἐστὶ μέρος εὐαγγελίου τινὸς παλαιοῦ δι' ἀραβικῶν γεγραμμένου στοιχείων. Καὶ ταῦτα μὲν κἀκεῖνα πρόσθετα ὡς εἰκὸς τυγχάνει· αὐτὸ δὲ τὸ εὐαγγέλιον, ὃ τὸν κώδικα τοῦτον ἀποτελεῖ, καὶ τόνους ἔχει μουσικοὺς καὶ κεκοσμημένον ὑπάρχει που μεγάλοις κεφαλαιώδεσι γράμμασί τε καὶ χρυσαῖς ἐπιγραφαῖς καὶ κοσμήμασί τισι ποικίλοις, ὧν τρία μὲν ταινιοειδῆ ἐστι (φ. 39, 175, 285), δύο δὲ προσόμοια τῷ Π στοιχείῳ (φ. 1 καὶ 95), ἓν δ' αὖ τετράγωνον, ἄνθη μετὰ γαστρῶν ἐπιφέρον καὶ κολυμβήθραν μέσον δύο περιστερῶν ἱσταμένην (φ. 235). Διήρηται δὲ τὸ βιβλίον κατὰ τὸν τρόπον τοῦτον·

α') Ἀναγνώσματα ἀπὸ τῆς Κυριακῆς τοῦ πάσχα, φ. 1—94.

β') «Ἀρχὴ τῶν καθημερινῶν εὐαγγελίων τοῦ Λουκᾶ», φ. 95.

γ') «Εὐαγγέλια ἀναγινωσκόμενα εἰς τὰς παννυχίδας τῆς α' ἑβδομάδος τῶν νηστειῶν», φ. 173.

δ') «Σάββατον α' τῶν νηστειῶν καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου· ἐκ τοῦ κατὰ Μᾶρκον», φ. 175.

ε') Ἀναγνώσματα ἀπὸ τῆς Κυριακῆς πρώτης τῶν νηστειῶν μέχρι τῆς μεγάλης Πέμπτης, φ. $175^{β}$—205.

ϛ') «Εὐαγγέλια τῶν ἁγίων παθῶν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. $205^{β}$—234.

ζ') Συναξάριον τῶν εὐαγγελίων, οὗ ἡ ἀρχή· «Μηνὶ σεπτεμβρίῳ α'· ἀρχὴ τῆς ἰνδίκτου καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου καὶ τοῦ μεγάλου ἐμπρησμοῦ· γίνεται δὲ καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις ὑπὲρ Μιασιανῶν· καὶ ἐν μὲν τῷ Φόρῳ καὶ εἰς τὴν λειτουργίαν ἀναγινώσκεται εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν» κτλ., φ. 235—285.

η') «Εὐαγγέλια ἀναστάσιμα ἑωθινὰ τὰ ια'», φ. $285^{β}$.

θ') «Εὐαγγέλια ἀναγινωσκόμενα εἰς διαφόρους ἡμέρας μνήμας τε καὶ λιτὰς καὶ λειτουργίας καὶ παννυχίδας τῆς μεγάλης ἐκκλησίας», οἷον «εἰς ἐγκαίνια ναοῦ», εἰς «μνήμην φόβου ἐθνῶν», εἰς «λιτὴν εὐχαριστήριον κατὰ πολεμίων» κτλ., φ. $288^{β}$.

Σημειωτέον δ' ἔτι, ὅτι ἐν τῇ προσθίῳ σελίδι τοῦ 290-οῦ φύλλου σημείωσίς τις ὑπάρχει ἀραβικοῖς γεγραμμένη γράμμασι

καὶ ὑπογραφὴν ἔχουσα ἑλληνικὴν Ἀθανασίου πατριάρχου τῆς Ἱερουσαλὴμ (XIII αἰῶνος)· λέγει δὲ οὗτος ἐν αὐτῇ, ὅτι τὸ εὐαγγέλιον τοῦτο ἀνετέθειτο παρ' αὐτοῦ τῷ ναῷ τῆς Ἀναστάσεως καὶ ὅτι μετὰ ἔτη τινὰ (ἴσως δὲ μεθ' ἁρπαγὴν ἢ κατάκτησίν τινα τῆς πόλεως) ἠγοράσθη καὶ πάλιν ἐπεστράφη παρ' αὐτοῦ εἰς τὸν αὐτὸν ναόν.

153. Τεῦχος μεμβράνινον, γραφὲν ἔτει 1274-ῳ ἢ 1275-ῳ καὶ φύλλα περιέχον 134· ἀλλ' ἐν τῷ ἐσχάτῳ φύλλῳ γέγραπται τοῦτο· «✝ Μη(νὶ) νο(εμβρίῳ) κη', ἡμέρα δ', ὥρα α', ἡμετρίθησαν τα τοιαυτα φυλ(λα) του ευαγγελιου παρα Νικ(ήτα?) ϊερεως και ολης της αυτης. . . . καὶ εἰσὴν φυλ(λα) διακόσια ὀγδοήκοντα καὶ τρία»· ὅθεν ἔστιν εἰκάζειν, ὅτι τὸ βιβλίον ἦν πρότερον ὀγκωδέστερον καὶ μάλιστα διμερές. Ὅπως ποτ' ἂν ᾖ, μετὰ τὸ νῦν τέλος τοῦ κώδικος ὑπάρχει φύλλον ἓν ἐκ χάρτου, ἐν ᾧ γέγραπται τοῦτο· «φυλ. 140». Καὶ πάλιν· «✝ τοῦτο τὸ βιβλίον ὑπάρχει του τίμιου καὶ ζώοποιου Σταυροῦ τῶν είβερων (= Ἰβήρων) κτλ. Σημείωσαι δ' ἔτι, ὅτι καὶ ἐν τῷ 134-ῳ φύλλῳ γέγραπται τὸ «✝ μνησθητι Κε την δουλην σου Θεοδουλη μ(ονα)χ(ὴν) καὶ δορισε αυτι αφεσι(ν) αμαρτιον». Ἐπιγραφὴν δὲ τὸ τεῦχος ἔχει τήνδε· «Ἐκλογάδι σὺν Θεῷ ἔχων (= ον) εὐαγγέλια τοῦ ὅλου ἐνιαυτοῦ». Ἔστι δὲ μήκους μὲν 0,30, πλάτους δὲ 0,202· τὸ δὲ κείμενον ὑπάρχει δίστηλον καὶ ἐκ γραμμῶν 26 μέχρις 27 (0,134 × 0,17). Ὑπάρχει δ' ἐν αὐτῷ καὶ κοσμήματα δύο καὶ κεφαλαιώδη τινὰ στοιχεῖα. Καὶ ἀπὸ μὲν τοῦ πρώτου μέχρι τοῦ 28-ου φύλλου τὸ κείμενόν ἐστι τῶν εὐαγγελικῶν περικοπῶν, μετὰ δὲ τοῦτο (φ. 83 - 109) «συναξάριον τοῦ ὅλου χρόνου ἀρχόμενον ἀπὸ σεπτεμβρίου», καὶ μετὰ τοῦτο «εὐαγγέλιον» ἀναγινωσκόμενον εἰς παννυχίδα ἢ «ψυχικὴν λειτουργίαν», καὶ «εὐαγγέλιον ἐπὶ ἀνομβρίας» (φ. 110β)· μεθ' ὃ γέγραπται τοῦτο· «✝ Ἐγρά(φη) παρ' ἐμοῖς χερσὶν ἀ | ναξίου ἱερέως Θεοδώρου | τοῦ Λανάτου· διὰ δε συν | δρομῆς καὶ ἐξόδου τϊμιωτ(ά)τ(ου) | ἐν μοναχοῖς κῦρ Γερμανοῦ τοῦ Τζυ | ράκη ✝✝✝ | ✝ἔτ(ους), ͵ςψπγ. ἰν(δικτιῶν)ος γ'»=1274-1275. Ἐφεξῆς δὲ κεῖται «εὐαγγέλια ἀναγινωσκόμενα εἰς τὰς παννυ-

Σελ. 238.

Κῶδ. Σαβαϊτικὸς 153, ἔτους 1274-1275, φ. 110β.

зволено цензурою 15 Января 1892 г.

Фототипія Н. Индутнаго. Сергіевская ул.

[illegible] Ἀλεξανδρείου πατριάρχου [illegible]
[illegible] δὲ οὕτως ἐν αὐτῇ, ὅτι τὸ εὐαγ-
[illegible] τῇ καὶ τῆς Ἀναστάσεως [illegible]
[illegible] ἡ κτίσις [illegible]
[illegible] ἐπιστροφῇ παρ' αὐτοῦ εἰς [illegible]

[illegible] γραφὴν ἐπὶ 1274-φ ἢ 1275 [illegible]
[illegible] ἀλλ' ἐν τῷ ἐσχάτῳ φύλλῳ γέγραπται
[illegible] ἤδη δ' [illegible]
[illegible] τοῦ [illegible] παρὰ Νεοφύτῳ [illegible]
[illegible] φύλλον [illegible]
[illegible] εἰκάζειν, ὅτι τὸ βιβλίον ἦν πρότερον [illegible]
[illegible] Ὅπως ποτ' ἂν ᾖ, μετὰ [illegible]
[illegible] φύλλον ἓν ἐν χάρτου, ἐν ᾧ γέγραπται
[illegible] ✝ τοῦτο τὸ βιβλίον [illegible]
[illegible] Σταυροῦ τῶν Ἰβήρων [illegible]
[illegible] ὅτι καὶ ἐν τῷ 134-φ φύλλῳ γέγραπται τὸ
✝ [illegible] τὴν δούλην τοῦ Θεοῦ [illegible] καὶ [illegible]
[illegible] ἁμαρτιῶν. Κ[illegible] δὲ τὸ τεῦχος [illegible]
[illegible] τοῦ Θεοῦ ἔχον [illegible] εὐαγγέλια [illegible]
[illegible] μῆκος μὲν 0.30, πλάτος δὲ 0.202 [illegible]
[illegible] στήλην καὶ ἐκ γραμμῶν 26 μέχρι 27 [illegible]
[illegible] καὶ κοσμήματα δύο [illegible]
[illegible] τοῦ πρώτου μέχρι τοῦ 28 [illegible] φύλλου
[illegible] εὐαγγελικῶν περικοπῶν, μετὰ δὲ [illegible]
[illegible] 103 [illegible] τοῦ ὅλου χρόνου [illegible] ἀπὸ [illegible]
[illegible] μετὰ τοῦτο [illegible]
[illegible] λειτουργιῶν, [illegible]
[illegible] 1107 [illegible] ὁ γέγραπται τοῦτο ✝ [illegible]
[illegible] ἱερέως Θεοδώρου [illegible]
[illegible] ἐν μοναχοῖς [illegible]
[illegible] ✝✝✝ [illegible] ἰνδικτιῶνος [illegible]
[illegible] 275. [illegible] εὐαγγέλια [illegible]

Σελ. 238.

Κῶδ. Σαβαϊτικὸς 153, ἔτους 1274-1275, φ. 110β.

Дозволено цензурою 15 Января 1892 г.

Фототипія Н. Индутнаго. Сергіевская ул. №20


UNIV.
OF
MICH.

χίδας τῆς ἁγίας ἑβδομάδος τῶν νηστειῶν» καὶ «εὐαγγέλια ἀναγινωσκόμενα τῇ μεγάλῃ ἑβδομάδι». Ῥητέον ἔτι, ὅτι καὶ τοῦ κώδικος τούτου φύλλα δύο ὑπάρχει ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη τῇ ἐν τῇ βιβλιοθήκῃ Πετρουπόλεως, ὑπ' ἀριθμὸν 309-ον. **Отчетъ Императорской Публичной Библіотеки за 1883 годъ**, σ. 127. Δεῖγμα δὲ τῆς γραφῆς τοῦ κώδικος ὅρα ἐν τῷ προσκειμένῳ πίνακι.

154. Εὐαγγέλιον λειτουργικὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐκ φύλλων ἀποτελεῖται 205· τούτων δέ τινα πάνυ μεταγενέστερά ἐστιν (φ. 1 καὶ 17-43), τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος. Ὑπάρχει δὲ τὸ τεῦχος ἐπιδιωρθωμένον πολλαχοῦ, καὶ μάλιστα κατὰ τὰ ἄκρα, ἔνθα συνεκόλλησεν ὁ βιβλιοδέτης τεμάχια παλαιοῦ προφητολογίου, οὗ τὸ κείμενον ἦν παρασεσημασμένον τοῖς μουσικοῖς σημείοις, μονόστηλόν τε καὶ ἐκ γραμμῶν ὀκτωκαίδεκα· ἐν πολλοῖς δὲ τόποις ὑπάρχουσι καὶ σημειώσεις ἀραβικαὶ πρόσθετοι καί τινες ἑλληνικαί. Καὶ ταῦτα μὲν περὶ τῆς καταστάσεως τοῦ κώδικος· αὐτὸς δὲ ὁ κῶδιξ ὕψους μὲν ἔστι 0,295 πλάτους δὲ 0,233· ἔστι δὲ κεκοσμημένος ἑπτὰ κοσμήμασιν ὁμοίοις τῷ Π στοιχείῳ· τὸ δὲ κείμενον αὐτοῦ δίστηλόν ἐστι καὶ ἐκ γραμμῶν 22 μέχρις 23 (0,22 × 0,16), ὅπερ ὧδέ πως διῄρηται· α') Εὐαγγέλια σαββατοκυριακὰ ἀπὸ τῆς Κυριακῆς τοῦ πάσχα, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην, φ. 1 κέ.—β') «Ἀρχὴ τῶν εὐαγγελίων τῶν σαββατοκυριακῶν τοῦ κατὰ Ματθαῖον», φ. 49.—γ') «Σαββάτῳ α' τοῦ νέου ἔτους· εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν», φ. 72.—δ') «Σαββάτῳ α' τῶν ἁγίων νηστειῶν· ἐκ κατὰ Μᾶρκον κεφάλαιον κδ'».—ε') «Ἀκολουθία τῶν εὐαγγελίων τῆς μεγάλης ἑβδομάδος», φ. 112.—ϛ') «Εἰς τὴν δεσποτικὴν παννυχίδα τῆς μεγάλης ἑβδομάδος», φ. 112.—ζ') «Κανονάριον τῶν συνάξεων ὅλου τοῦ ἐνιαυτοῦ, ἀπὸ ἀρχῆς μηνὸς σεπτεμβρίω(=ου) μέχρι συμπληρώσεως αὐγούστου», φ. 163.—η') «Εὐαγγέλια τῶν παννυχίδων τῆς α' ἑβδομάδος», φ. 201.—θ') «Ἀναγνώσματα εἰς διαφόρους ἡμέρας», φ. 201.—ι') «Εὐαγγέλια ἑωθινὰ καὶ ἀναστάσιμα τῶν Κυριακῶν», φ. 201β — ια') «Προκείμενα ἀναστάσι-

μα τῶν η′ ἤχων, ψαλλόμενα κατὰ ἦχον εἰς τὸ "Πᾶσα πνοὴ" τοῦ ὄρθρου», φ. 205. — ιβ′) «Ἀντίφωνα τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ»· μεθ' ἃ γέγραπται τὸ «Χριστέ, παράσχοιο τοῖς ἐμοῖς πόνοις χάριν».

155. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, οὗ ἔνδον τῆς δευτέρας πινακίδος ὑπάρχει φύλλα δύο πρόσθετα, ἅπερ ἐστὶ μέρος ἄλλου τινὸς κώδικος τῆς αὐτῆς ἐποχῆς· περιέχεται δ' ἐν αὐτοῖς ἀπόσπασμα διηγήσεώς τινος περὶ τοῦ μαρτυρίου Γεωργίου τοῦ τροπαιοφόρου, οὗ τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἕξ (0,29×0,114=0,205×0,155). Αὐτὸ δὲ τὸ τεῦχος, περὶ οὗ νῦν ὁ λόγος, φύλλα περικλείει 335 καὶ κείμενον ἐπίσης δίστηλον ἐκ γραμμῶν 30 μέχρι 31 (0,296× 0,235 = 0,20 × 0,16), ὅπερ κεκόσμηται καί τισι κεφαλαιώδεσι γράμμασι καὶ κοσμήμασι καὶ ἐπιγραφαῖς. Εἰσὶ δ' ἐν αὐτῷ ὁμιλίαι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, αἵπερ Ἀνδριάντες καὶ Σάλπιγγες ἐπονομάζονται.

α′) Ἀνδριάντες, φ. 1-340.

1. «Ὁμιλία λεχθεῖσα ἐν Ἀντιοχείᾳ, πρεσβυτέρου αὐτοῦ ὑπάρχοντος» κτλ. Ἀρχ. «Ἠκούσατε τῆς ἀποστολικῆς φωνῆς», φ. 1. Migne τ. 49, σ. 15. S. Ioannis Chrysostomi opera selecta, ἐκδ. Fr. Dübner, τ. I, σ. 331.

2. «Τοῦ αὐτοῦ ὁμιλία λεχθεῖσα ἐν Ἀντιοχείᾳ, ἐν τῇ παλαιᾷ ἐπιλεγομένῃ ἐκκλησίᾳ· περὶ τῆς συμβάσης συμφορᾶς ἐν τῇ πόλει ἐπὶ τῇ καταστροφῇ τῶν ἀνδριάντων Θεοδοσίου τοῦ εὐσεβοῦς βασιλέως τοῦ μεγάλου, καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου· "τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν"· καὶ κατὰ πλεονεξίας». Ἀρχ. «Τί εἴπω καὶ τί λαλήσω», φ. 18. Migne ἔνθ. ἀνωτ. σ. 33. Ἐκδ. Dübner σ. 350.

3. «Εἰς τὴν ἀποδημίαν ἣν ἐποιήσατο ὁ ἐπίσκοπος Ἀντιοχείας Φλαβιανὸς ὑπὲρ τῆς πόλεως πρεσβευόμενος πρὸς τὸν βασιλέα Θεοδόσιον διὰ τὴν εἰς τοὺς ἀνδριάντας ὕβριν, καὶ ὅτι μεῖζον παρὰ Θεῷ βασιλείας ἱερωσύνη καὶ χρὴ διὰ τοῦτο θαρρεῖν, καὶ τίς ἐστιν ἡ ἀληθὴς νηστεία καὶ τίνος ἕνεκεν οἱ Νινευῖται τὰ

ἄλογα νηστεῦσαι παρεσκεύασαν· καὶ ὅτι τὸ σῶμα ἀνθρώπινον φαγεῖν τοῦ κατηγορῆσαι χεῖρον, καὶ πρὸς τῷ τέλει περὶ τῶν σφαγέντων διὰ τὴν στάσιν· καὶ πρὸς τοὺς ἐγκαλοῦντας ὅτι πολλοὶ τῶν ἀναιτίων ἑάλωσαν». Ἀρχ. «Ὅταν εἰς τὸν θρόνον ἴδω», φ. 34. Migne ἔ. ἀ. σ. 47. Dübner σ. 365.

4. «Παράκλησις πρὸς τὸν λαὸν περὶ καρτερίας καὶ ὑπομονῆς, ἐκ παραδειγμάτων τοῦ τε Ἰὼβ καὶ τῶν τριῶν παίδων, καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς». Ἀρχ. «Εὐλογητὸς ὁ Θεὸς ὁ παρακαλέσας;», φ. 49β. Migne ἔ. ἀ. σ. 59. Dübner σ. 379.

5. «Ἔτι παράκλησις πρὸς τὸν λαὸν περὶ τοῦ φέρειν γενναίως τὴν ἐπιχειμένην ἀπειλήν, ἔχοντα ἱκανὰ τὰ παραδείγματα ἐκ τῶν συμβάντων τῷ τε Ἰὼβ καὶ τοῖς Νινευίταις· καὶ ὅτι οὐ χρὴ δεδιέναι τὸν θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν· καὶ τί τὸ κακῶς ἀποθανεῖν, καὶ περὶ τοῦ μετὰ πάσης σπουδῆς φεύγειν τοὺς ὅρκους». Ἀρχ. «Τῶν τριῶν παίδων καὶ τῆς καμίνου», φ. 61. Migne ἔ. ἀ. σ. 67. Dübner σ. 390.

6. «Ὅτι χρήσιμος ὁ τῶν ἀρχόντων βίος, καὶ διήγησις τῶν κατὰ τὴν ὁδὸν συμβάντων τοῖς τὴν ἀγγελίαν τῆς στάσεως τῷ βασιλεῖ ἀναφέρουσιν· καὶ ὅτι ὁ ἀδίκως τι πάσχων καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, ἴσός ἐστι τοῦ διὰ τὸν Θεὸν τὰ αὐτὰ πάσχοντος· καὶ τὰ παραδείγματα πάλιν ἐκ τῶν τριῶν παίδων καὶ τῆς Βαβυλωνίας καμίνου· καὶ περὶ τῆς των ὅρκων φυλακῆς». Ἀρχ. «Πολλὰς μὲν ἀνηλώσαμεν ἡμέρας», φ. 77. Migne ἑ. ἀ. σ. 81. Dübner σ. 405.

7. «Ὑπόμνησις τῶν ἤδη αὐτῷ προλεχθέντων, ἀκολούθως ὅτι θάνατον καὶ λύπην ἡ ἁμαρτία μόνη εἰς τὸν βίον εἰσενεγκοῦσα, ὑπ' αὐτῶν τούτων ἀναιρεῖται πάλιν· καὶ εἰς τὸ "ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν", καὶ ὅτι ὁ Θεὸς οὐχὶ τιμῶν μόνον ἡμᾶς οὐδὲ εὐεργετῶν, ἀλλὰ καὶ κολάζων ὁμοίως ἐστὶν ἀγαθός· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς». Ἀρχ. «Πολλὰ μὲν καὶ περὶ πολλῶν», φ. 89β. Migne ἔ. ἀ. σ. 81. Dübner σ. 417.

8. «Εἰς τὸ "περιεπάτει ὁ Θεὸς τὸ δειλινὸν ἐν τῷ παραδείσῳ", καὶ περὶ τοῦ φεύγειν τοὺς ὅρκους». Ἀρχ. «Ἔγνωτε πρώην πῶς

πᾶσα Γραφὴ παράκλησιν φέρει», φ. 97. Migne ἔ. ἀ. σ. 97. Dübner σ. 423.

9. «Ἔπαινος τῶν κατωρθωκότων τὸ μὴ ὀμνύειν, καὶ ὅτι οὐκ ὀφείλει τις διακρίνεσθαι μετὰ ἑστίασιν ἀκροᾶσθαι θείων λογίων ἐν ἐκκλησίᾳ· καὶ διατί μετὰ χρόνον πολὺν ἐδόθησαν αἱ ἅγιαι Γραφαί· καὶ εἰς τὸ "οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ"· καὶ φυσιολογία κόσμου, καὶ πρὸς τῷ τέλει περὶ τοῦ μὴ ὀμνύειν». Ἀρχ. «Καὶ πρώην πρὸς ὑμᾶς», φ. 103. Migne ἔ. ἀ. σ. 103. Dübner σ. 429.

10. «Ἔπαινος τῶν μετὰ τὴν ἑστίασιν ἀπηντηκότων εἰς τὴν ἀκρόασιν, καὶ φυσιολογία κόσμου, καὶ κατὰ τῶν θεοποιούντων τὴν κτίσιν, καὶ περὶ τοῦ μὴ ὀμνύειν». Ἀρχ. «Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν», φ. 113. Migne ἔ. ἀ. σ. 111. Dübner σ. 438.

11. «Εὐχαριστία πρὸς τὸν Θεὸν περὶ τῆς ἀπαλλαγῆς τῶν ἐκ τῆς στάσεως προσδοκηθέντων κακῶν, καὶ ἀνάμνησις τῶν τότε συμβάντων, καὶ διόλου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς· πρὸς τῷ τέλει δὲ περὶ τοῦ κατορθῶσαι τὸ μὴ ὀμνύειν». Ἀρχ. «Ἐπειδὰν ἐννοήσω», φ. 123. Migne ἔ. ἀ. σ. 119. Dübner σ. 448.

12. «Ἔτι εὐχαριστία πρὸς τὸν Θεὸν περὶ τῆς συγχωρήσεως τῶν ἡμαρτηκότων εἰς τὸν βασιλέα, καὶ φυσιολογία περὶ τῆς κτίσεως, καὶ ὅτι ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον νόμον φυσικὸν ἐγκατέθηκεν αὐτῷ, καὶ περὶ τοῦ πάσῃ σπουδῇ ἀπέχεσθαι τῶν ὅρκων». Ἀρχ. «Καὶ χθὲς εἶπον· εὐλογητὸς ὁ Θεός», φ. 132β. Migne ἔ. ἀ. σ. 127. Dübner σ. 457.

13. «Ἔτι εὐχαριστία πρὸς Θεὸν περὶ τῆς μεταβολῆς τῶν σκυθρωπῶν καὶ ἀνάμνησις τῶν διὰ τὴν στάσιν κατασυρέντων τε καὶ τιμωρηθέντων· ὁμοίως δὲ πάλιν περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας καὶ ὅτι φυσικὸν νόμον ἐδέξατο διὰ τῆς γνώσεως τῶν πρακτέων καὶ τῶν οὐ πρακτέων, καὶ περὶ τοῦ τελείως κατορθῶσαι τὸ μὴ ὀμνύειν». Ἀρχ. «Ἀπὸ τῆς αὐτῆς ἀρχῆς», φ. 143β. Migne ἔ. ἀ. σ. 135. Dübner σ. 467.

14. «Τοῦ δήμου παντὸς ἀφεθέντος τῆς ἀγωνίας καὶ θαρσήσαντος, τινὲς πάλιν τὴν πόλιν ἐτάραξαν φοβερὰς πλάττοντες φήμας, καὶ ἠλέγχθησαν· εἰς τοῦτό τε οὖν ὁμιλία εἴρηται καὶ εἰς

τὴν περὶ τῶν ὅρκων παραίνεσιν· διὸ καὶ ἡ κατὰ τὸν Ἰωνάθαν καὶ τὸν Σαοὺλ ἱστορία καὶ τὸν Ἰεφθάε παρήχθη καὶ ἐδείχθη πόσαι ἐξ ἑνὸς ὅρκου γίνονται ἐπιορκίαι». Ἀρχ. «Οὐχ ὡς ἔτυχε τὴν πόλιν», φ. 151β. Migne ἔ. ἀ. σ. 143. Dübner σ. 475.

15. «Ἔτι εἰς τὴν συμφορὰν τῆς πόλεως Ἀντιοχείας καὶ ὅτι χρήσιμον πανταχοῦ φόβος, καὶ ὅτι πένθος γέλωτος λυσιτελέστερον, καὶ εἰς τὴν ῥῆσιν τὴν λέγουσαν "ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις", καὶ ὅτι τοῦ φονεύειν τὸ ὁρκίζειν χεῖρον». Ἀρχ. «Ἔδει καὶ τήμερον», φ. 163β. Migne ἐ. ἀ. σ. 153. Dübner σ. 486.

16. «Φημισθείσης εἰς τὸν ἄρχοντα πραίδας, καὶ πάντων βουλευομένων περὶ φυγῆς, τοῦ κόμητος εἰσελθόντος εἰς τὴν ἐκκλησίαν καὶ παρακαλέσαντος ἐλέχθη ἡ παροῦσα ὁμιλία· καὶ περὶ τοῦ μὴ ὀμνύειν καὶ εἰς τὸ ἀποστολικὸν ῥητόν: Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Τὸν ἄρχοντα μὲν ἐπῄνεσα», φ. 173β. Migne ἔ. ἀ. σ. 161. Dübner σ. 496.

17. «Εἰς τοὺς ἄρχοντας τοὺς παρὰ τοῦ βασιλέως Θεοδοσίου ἀποσταλέντας, Ἐλλέβιχον στρατηλάτην καὶ Καισάριον μάγιστρον (cod. ἐλλέβηχον στρ. καὶ καίσαριν μαγίστρον), καὶ εἰς τὴν ἐξέτασιν τῶν πεπλημμελημένων διὰ τὴν εἰς τοὺς ἀνδριάντας καταστροφήν». Ἀρχ. «Εἰς καιρὸν ὑπεψάλαμεν», φ. 185. Migne ἔ. ἀ. σ. 171. Dübner σ. 507.

18. «Εἰς τὴν προειρημένην ὑπόθεσιν τῆς στάσεως καὶ περὶ νηστείας καὶ εἰς τὸ ἀποστολικὸν ῥητόν: Χαίρετε ἐν Κυρίῳ πάντοτε». Ἀρχ. «Πολλοὺς εἶδον χαίροντας», φ. 195β. Migne ἔ. ἀ. σ. 179. Dübner σ. 516.

19. «Τῇ Κυριακῇ τῆς ἐπισωζομένης πρὸς τοὺς ἀπὸ τῆς χώρας, καὶ περὶ τοῦ μὴ ὀμνύειν». Ἀρχ. «Κατετρυφήσατε τῶν ἁγίων μαρτύρων», φ. 205. Migne ἔ. ἀ. σ. 187. Dübner σ. 525.

20. «Εἰς τὴν διαλλαγὴν τοῦ βασιλέως πρὸς τὴν πόλιν, καὶ εἰς τοὺς πλημμελήσαντας εἰς τὴν τῶν ἀνδριάντων καταστροφήν, καὶ εἰς τὴν ἐπάνοδον τοῦ ἐπισκόπου». Ἀρχ. «Ἀπὸ τῆς ῥήσεως», φ. 216β. Migne ἔ. ἀ. σ. 211. Dübner σ. 550.

21. «Κατήχησις πρὸς τοὺς μέλλοντας φωτίζεσθαι, καὶ περὶ

γυναικῶν τῶν ἐν πλέγμασι καὶ χρυσῷ κατακοσμουσῶν ἑαυτάς, καὶ περὶ τῶν κληδονισμοῖς ἢ περιάπτοις ἢ ἐπῳδαῖς κεχρημένων· ἅτινα πάντα ἀλλότρια χριστιανισμοῦ ἀποδέδεικται». Ἀρχ. «Τῶν πρώην εἰρημένων», φ. 228β μέχρι 340, ἔνθα γέγραπται τὸ «Τέλος σὺν θεῷ τῶν Ἀνδριάντων». Migne ἔ. ἀ. σ. 231. Dübner σ. 571.

β) Σάλπιγγες.

1. «Κατὰ Ἰουδαίων λόγος α'· ἐλέχθη δὲ πρὸς τοὺς ἰουδαΐζοντας καὶ μετ' ἐκείνων νηστεύοντας». Ἀρχ. «Ἐβουλόμην ὑμῖν ἀποδοῦναι», φ. 341α. Migne τ. 48, σ. 843.

2. «Πρὸς Ἰουδαίους, εἰς τὰς σάλπιγγας τοῦ πάσχα αὐτῶν· ἐλέχθη ἐν Ἀντιοχείᾳ, ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ». Ἀρχ. «Πάλιν οἱ δείλαιοι», φ. 256β. Migne ἔ. ἀ. σ. 871.

3. «Πρὸς Ἰουδαίους λόγος γ'», οὗ ἡ ἀρχή· «Πόθεν ἡμῖν ἄρα πλεῖον», φ. 268β. Migne ἔ. ἀ. σ. 883.

4. «Τῇ προτεραίᾳ μακρὰν ὁμιλίαν εἰπὼν κατὰ Ἰουδαίων καὶ βράγχῳ κατασχεθεὶς ἀπὸ τοῦ μήκους τῶν εἰρημένων, ταύτην εἶπεν· λόγος δ'». Ἀρχ. «Τὰ θηρία ἕως μὲν τὰς ὕλας», φ. 292. Migne ἔ. ἀ. σ. 903.

5. «Κατὰ Ἰουδαίων λόγος ε'», οὗ ἡ ἀρχή· «Ἆρα κόρον ἐλάβετε», φ. 305. Migne ἔ. ἀ. σ. 915.

6. «Πρὸς Ἰουδαίους καὶ περὶ μετανοίας καὶ τοῦ μὴ χρῆσθαι ἐπαοιδοῖς, μήτε ἐπιγράμμασι, μήτε πλησιάζειν ταῖς ἑορταῖς τῶν Ἰουδαίων, μήτε πάθος σωματικὸν ἔχοντά τινα ἐπὶ συναγωγὴν τρέχειν καὶ θεραπείαν δέχεσθαί τινα, κἂν δέῃ κινδυνεύειν». Ἀρχ. «Παρῆλθεν ἡ νηστεία τῶν Ἰουδαίων», φ. 318-335, ἔνθα γέγραπται τὸ «Τέλος εἴληφε τὰ κατὰ Ἰουδαίων, ἤγουν αἱ Σάλπιγγες». Migne ἔ. ἀ. σ. 927.

156. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὃ νῦν φύλλα περιέχει 288, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν 23 μέχρις 29 (ὕψ. 0,302 πλ. 0,225)· πρότερον δὲ φύλλα ἠρίθμει τέσσαρα περιπλέον, ἅπερ Οὐσπένσκης ὁ Πορφύριος ἀφείλετο καὶ εἰς τὴν ἐν Πετρουπόλει παρέδωκε βιβλιοθήκην (ἀριθ. 374. Отчетъ Имп. Публ.

Библ. за 1883 г., σ. 139). Τὸ μὲν οὖν τεῦχος ἐπιγραφὴν ἔχει ταύτην, ὑπὸ μέγα τι γεγραμμένην ἐρυθρὸν κόσμημα τῷ Π στοιχείῳ παρόμοιον· «✝ Μὴν σεπτέμβριος ἔχων ἡμέρας λ', ἡ ἡμέρα ὥρας ιβ', ἡ νὺξ ὥρας ιβ'. Διήγησις ἐν ἐπιτομῇ τῶν καθ' ἑκάστην ἁγίων, ὅθεν τε ἕκαστος καὶ ἐκ τίνων (cod. ἔκτινων) ἔφυ καὶ ἐν οἷς γέγονε χρόνοις, καὶ εἴτε τὸν δι' ἀσκήσεως ἐδέξατο θάνατον». Ἄρχεται δὲ τὸ κείμενον ὧδε· «Μηνὶ σεπτεμβρίῳ α' ἀρχὴ τῆς ἰνδικτιῶνος, ἤτοι τοῦ νέου ἔτους, καὶ μνήμη τοῦ ὁσίου Συμεὼν κτλ. Ἰστέον ὅτι τὴν ἴνδικτον ἑορτάζει ἡ ἐκκλησία» κτλ. Περιέχει τοίνυν ὁ κῶδιξ συναξάρια τῶν καθ' ἑκάστην ἡμέραν ἑορταζομένων ἁγίων, ἔτι δὲ τὸ τροπάριον ἑκάστης ἑορτῆς καὶ τὸ τυπικὸν ταύτης· καὶ παραδείγματος χάριν ἐξάγω κεφάλαιον τόδε: Φύλλ. 15β—17α. «Μηνὶ τῷ αὐτῷ (σεπτ.) ιδ' τήν τε ὕψωσιν καὶ εὕρεσιν τῶν τιμίων ξύλων ἑορτάζειν ἡμῖν προτρέπεται. Ἔστι δὲ τοιαύτη τις ὑπόθεσις. Τὸ θεῖον καὶ σεβάσμιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνῆμα χώμασι πλείστοις καὶ εἰδωλικοῦ ναοῦ ἀνεγέρσει παρὰ τῶν Ἑλλήνων κρυβέν, προνοίᾳ τε Κωνσταντίνου τοῦ ἐν βασιλεῦσι μεγάλου καὶ Ἑλένης τῆς ἁγιωτάτης μητρὸς αὐτοῦ, τηνικαῦτα τῷ τόπῳ ἐνδημησάσης, τὰ χώματα καὶ ἡ λοιπὴ ὕλη μακράν που ῥιφεῖσα φανεροῦται μὲν τὸ τοῦ ἁγίου τῶν ἁγίων μνῆμα, ναὸς δὲ εὐκτήριος πρὸς τῆς βασιλίδος ἐπὶ τῷ ἁγίῳ τόπῳ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναστάσεως τερπνότατος οἰκοδομεῖται καὶ πλεῖστα ἀναθήματα φιλοτίμως ἀφιεροῦνται, φανεροῦται δὲ καὶ ὁ τίμιος καὶ ζωοποιὸς σταυρὸς τοῦ Κυρίου, εἰς ὃν σαρκὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἑκὼν προσηλώθη. Ἀδήλου δὲ τοῦ πράγματος ὄντος, ποῖος ἂν εἴη ὁ τοῦ Κυρίου σταυρός, τριῶν ἐπὶ τὸ αὐτὸ εὑρεθέντων, διὰ τῆς γεναμένης θαυματοποιίας εἰς τὴν εὐσεβεστάτην γυναῖκα τὸ τριπόθητον ἡμῖν γνωρίζεται ξύλον καὶ οἱ θεῖοι ἧλοι αὐτοῦ που πλησίον τοῖς χώμασι συμπεφυρμένοι κείμενοι φανεροῦνται· ὧν οἳ μὲν περικεφαλαία, οἳ δὲ χαλινὸς κατασκευασθέντες, τῷ μεγάλῳ βασιλεῖ στέλλονται. Ταῦτα μὲν οὕτως, ἡ δὲ ἀκολουθία τοῦτον τελεῖται τὸν τρόπον: Ἑσπέρας μετὰ τὴν ἄνοιξιν τῆς ἐκκλησίας, ἀπὸ τοῦ "Εὐλόγει ἡ

ψυχή μου τὸν Κύριον" καὶ τοῦ "Κύριε ἐκέκραξα" καὶ τῶν στιχηρῶν, λέγεται προκείμενον "Ὁ κύριος ἐβασίλευσεν", εἶτα ἡ συναπτὴ καὶ ἡ ἐκτενή· εἶθ' οὕτως τὰ στιχηρὰ τοῦ στιχ(ηραρίου) τῆς ἑορτ(ῆς): Στίχος α'· "Ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ". Στίχος β'· "Ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον". Καὶ μετὰ τὸ "Νῦν ἀπολύεις" λέγονται ἀναγνώσματα γ'· τὸ α' τῆς Ἐξόδου· "Ἐξῆρε Μωυσῆς". Τέλος· "Θεὸς ἰώμενός σε". Τὸ β' Παροιμιῶν· "Υἱέ μου μὴ ὀλιγόρει". Τέλος "ὡς ἐπὶ Κύριον ἄσφα...". Τὸ γ' προφητείας Ἡσαΐου· "Τάδε λέγει Κύριος· ἀνοιχθήσονται αἱ πύλαι". Τέλος· "ὁ ἅγιος τοῦ Ἰσραήλ". Τροπάριον, ἦχος α'· "Σῶσον Κύριε τὸν λαόν".—Ἰστέον ὅτι τῆς ἀκολουθίας τοῦ ὄρθου τελουμένης, περὶ τὸ πλήρωμα μετὰ τὸ "Δόξα ἐν ὑψίστοις Θεῷ", τοῦ τρισαγίου ψαλλομένου ἀλλάσσει ὁ ἀρχιερεὺς στολὴν λευκὴν καὶ ἀπέρχεται ἐν ᾧ τόπῳ ὁ τίμιος σταυρὸς πρόκειται· καὶ μετὰ τὸ προσκυνῆσαι καὶ ἀσπάσασθαι καὶ θυμιάσαι, αἴρεται ὑπὸ τοῦ σκευοφύλακος, ψαλλομένου τροπαρίου "Ο ὑψωθεὶς ἐν τῷ σταυρῷ"· ὁ δὲ ἀρχιερεὺς βαστάζων τὸν θυμιατὸν ὀψικεύει· ὁμοίως καὶ οἱ διάκονοι μετὰ μανουαλίων καὶ κηρῶν. Καὶ ὅτε πλησίον γένωνται τῶν βασιλικῶν πυλῶν, γίνεται εὐχὴ τῆς εἰσόδου τῆς λειτουργίας μετὰ τοῦ εὐαγγελίου, καὶ ἀποτίθενται ἐν τῇ ἁγίᾳ τραπέζῃ· καὶ μετὰ ταῦτα ἀνέρχονται οἱ διάκονοι ἐν τῷ ἄμβωνι· εἶθ' οὕτως τὸ τρισάγιον καὶ ἐπακολουθεῖ ὁ ἀρχιερεύς· καὶ βαλὼν τρεῖς μετανοίας, κἄν τε Σάββατόν ἐστι κἄν τε Κυριακή, σφραγίζει μετὰ κηρῶν· καὶ ἐκβαλὼν τὸ ὠμοφόριον, λαμβάνει τὸν τίμιον σταυρόν, καὶ ὑψῶν αὐτὸν ἐν τῷ ἔμπροσθεν μέρει, κατ' ὀλίγον ἐπαναφέρων τὰς χεῖρας ἐπὶ τὸ ὑψηλότερον, ὑποστηριζόμενος ὑπὸ δύο ἐκδίκων ἢ πρεσβυτέρων· καὶ εὐθέως ἐκφωνοῦσιν οἱ διάκονοι τὸ "Κύριε ἐλέησον" τρίτον· καὶ εἰς τὰ ἐνενηκονταεπτὰ σφραγίζει τρὶς τὸν λαόν, λεγόντων τὸ "Κύριε ἐλέησον" σπουδαιότερον· εἶθ' οὕτως μεθίσταται εἰς μέρος ἕτερον καὶ πάλιν σφραγίζει τρίτον, καὶ οὕτως μεθίσταται εἰς μέρος ἕτερον καὶ πάλιν σφραγίζει τρίτον καὶ οὕτως ὑψοῖ. Δεῖ δὲ εἰδέναι, ὅτι ἐν τῇ πρώτῃ ὑψώσει λέγεται τὸ "Κύ-

ριε ἐλέησον" καὶ ἐν τῇ δευτέρᾳ ὀγδοήκοντα καὶ ἐν τῇ τρίτῃ ἑξήκοντα. Εἶτα ἀπὸ τῆς κατὰ ἀνατολὴν στάσεως μεταφέρει πρὸς νότον καὶ ποιεῖ ὁμοίως, εἶτα πρὸς δύσιν κἀκεῖθεν πρὸς ἄρκτον καὶ οὕτω πάλιν πρὸς ἀνατολάς, ὥστε εἰπεῖν τὸ "Κύριε ἐλέησον" πεντακόσια. Μετὰ δὲ τὴν ὕψωσιν κατέρχεται ὁ ἀρχιερεὺς καὶ ποιεῖ τὴν εὐχὴν τοῦ τρισαγίου, ὁ δὲ σταυρὸς αἴρεται καὶ ἀποτίθεται ἐν τῷ σκευοφυλακίῳ. Οἱ δὲ ψάλται ἀντὶ τοῦ τρισαγίου λέγουσι τροπάριον "Τὸν σταυρόν σου προσκυνοῦμεν", καὶ οὔτε ἀντίφωνα λέγονται οὔτε εὐχὴ τῆς εἰσόδου, ἀλλ' εὐθέως: Προκείμενον, ἦχος βαρύς: "Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν": Στίχος α'· "Ὁ Κύριος ἐβασίλευσεν· ὀργιζέσθω": Στίχος β'. "Κύριος ἐν Σιὼν μέγας": Ὁ ἀπόστολος· Πρὸς Κορινθίους α'· "Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ". Τέλος· "καὶ Θεοῦ σοφίαν". Ἀλληλούια, ἦχος α'· "Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς". Στίχος β'· "Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων». Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ρπη'. «Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἐποίησαν». Τέλος· «καὶ ἀληθινὴ αὐτοῦ ἐστιν». Κοι(νωνικὸν) ἦχος δ'. Ἐσημειώθη. Χρὴ εἰδέναι, ὅτι οὔτε ἀναστάσιμον ψάλλεται, οὔτε ἑωθινὸν ἀναγινώσκεται, εἰ τάχα καὶ Κυριακή ἐστιν». Κατὰ τοῦτον οὖν τὸν τρόπον ὁ κῶδιξ ἁπάντων ἱστορεῖ τῶν μηνῶν τὰς ἡμέρας· ἔστι δὲ λόγου πολλοῦ ἄξιος καὶ κατὰ τοῦτο, ὅτι μνήμας ἁγίων πολλῶν ἐμπεριέχει κατὰ τάξιν ἠριθμημένας διάφορον τοῦ νῦν Συναξαριστοῦ. Παραδείγματος δὲ χάριν λάβωμεν τοὺς πρώτους δύο μῆνας. 1) Σεπτ. β', μνήμη τοῦ ἀρχιεπισκόπου Κ/πόλεως Παύλου τοῦ νέου. — 2) Σεπτ. γ', μνήμη Στεφάνου τοῦ ὁμολογητοῦ καὶ ἡγουμένου Τριγλίας, καὶ Κωνσταντίνου τοῦ νέου ἐν τοῖς ἀποστόλοις.—3) Σεπτ. δ', «ἄθλησις τῶν ἁγίων μαρτύρων Ὠκεανοῦ Τυρίωνος [1] Θεοδώρου Ἀμμιανοῦ Ἰουλιανοῦ, ὁρμωμένων ἐκ κώμης Κανδαύλης».—4) Σεπτ. ε', «ἄθλησις τῆς ἁγίας Ἡραΐδος καὶ τῶν σὺν αὐτῇ· αὕτη πρεσβύτιδός τινος ἦν θυγάτηρ καὶ τὸν μονήρη βίον μετερχομένη, θεασαμένη δὲ σὺν ἄλλοις καὶ γυναῖκας διὰ τὸ τοῦ Χριστοῦ ὄνομα δεδεμένας, καὶ μα-

[1] Ἐν τῇ ἐκδόσει τοῦ Συναξαριστοῦ τὰ δύο ταῦτα ὀνόματα μετεμορφώθησαν εἰς ἓν ἀνύπαρκτον ἴσως ὄνομα, ὅ ἐστι «Κεντυρίωνος».

θοῦσα ἐν τῷ ἐρωτᾶν αὐτὰς τὴν αἰτίαν δι' ἣν δέδενται, "κἀγὼ χριστιανή" φησίν "εἰμὶ καὶ τὰ εἴδωλα διαπτύω". Συλλαμβάνεται οὖν καὶ αὐτίκα σὺν ταῖς λοιπαῖς γυναιξὶ Κουλκιανῷ εἰς ἐξέτασιν παρίσταται· ὅθεν μετὰ πολλὰς τὰς ἐρωτήσεις τὴν διὰ ξίφους ἀπόφασιν δέχονται, καὶ τμηθεῖσαι τὰς κεφαλὰς πρὸς τὰ βραβεῖα τῆς ἄνω κλήσεως μετετάξαντο». — Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν μαρτύρων Θουθαὴλ καὶ Βεβαίας, καὶ μαρτύριον Ἄβδα ἐπισκόπου Περσῶν, πόλεως Ἐργώλ, καὶ Βενιαμὶν διακόνου. — 5) Σεπτ. ϛ', ἄθλησις τῶν μαρτύρων Οὐρβανοῦ Θεοδώρου Μεδίμνου καὶ τῶν σὺν αὐτοῖς ὀγδοήκοντα ἱερέων καὶ λευιτῶν· τοῖς δὲ λοιποῖς μάρτυσι προστίθενται Βίβος Ἀνδρόνικος Κουρικτοριανὸς καὶ Σαραπάμμων, ὃν ὁ Νικόδημος ἡμαρτημένως ἔγραψε (Σαραπάβων) [1].— 6) Σεπτ. ζ', ἄθλησις τοῦ μάρτυρος Εὐτυχίου τοῦ συγκλητικοῦ καὶ Στεφάνου τοῦ πάπα Ῥώμης. — 7) Σεπτ. ι', μνήμη τοῦ ὁσίου καὶ ὁμολογητοῦ Παύλου Νικαίας ἐπισκόπου. — 8) Σεπτ. ια', μνήμη τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου. — 9) Σεπτ. ιγ', «μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν τῇ Ἀτρώᾳ, ὃς ἦν ἐπὶ τῆς βασιλείας Νικηφόρου καὶ Σταυρακίου τῶν βασιλέων· ἐξ αὐτῆς δὲ νηδύος καθιερωθείς, νηστείᾳ τε καὶ συντόνῳ προσευχῇ σχολάζων, μεγίστων θαυμάτων γέγονεν αὐτουργός· πάσης γὰρ βρώσεως παχυτέρας ἀπεχόμενος καὶ λαχάνοις βραχέσι μόνοις ἀρκούμενος, τῇ ἀτροφίᾳ σχεδὸν τοῖς ἀγγέλοις ἀφωμοιώθη· ὅθεν καὶ τὸν ποταμὸν πάλιν ἀβρόχως διῆλθεν· εἰς τοσοῦτον γὰρ τὴν σάρκα τῇ τοῦ σιδήρου βαρύτητι κατεδάμασεν, ὡς σκιὰν μόνην αὐτὸν ὑπολαμβάνειν τοὺς θεωμένους, οὐκ ἄνθρωπον σῶμα φοροῦντα πήλινον· οὕτως Θεῷ εὐαρεστήσας καὶ τὴν σάρκα καθυποτάξας τῷ πνεύματι, πρὸς Κύριον μεθίσταται». — 10) Σεπτ. ιε', ἄθλησις Θεοδότου καὶ Ἀσκληπιοδότης. — 11) Σεπτ. ιζ', ἄθλησις τῆς μάρτυρος Θεοκλείας, περὶ ἧς ὅρα Σέργιον, **Полный Мѣсяцесловъ Востока** II, σ. 246.—12) Σεπτ. ιθ', ἄθλησις Ἰανουαρίου ἐπισκόπου Βενεβενδοῦ καὶ Σώσσου καὶ Πρόκλου διακόνων καὶ Εὐτυχίου καὶ Ἀκουστίου καὶ Φεύστου [sic] καὶ Δεισιδερίου, καὶ ἄθλησις

[1] Νικοδήμου, Συναξαρ. τ. Ι, σ. 22.

Πηλέως Νείλου Πατερμουθίου Ἡλιοὺ καὶ τῶν σὺν αὐτοῖς ἑκατὸν πεντήκοντα.—13) Σεπτ. κα', ἄθλησις Θεοδώρου τοῦ ἐκ Πέργης, καὶ Νέστορος καὶ Βούσιρι.—14) Σεπτ. κβ', μνήμη τοῦ προφήτου Ἰωνᾶ πρεσβυτέρου, «πατρὸς χρηματίσαντος Θεοδώρου καὶ Θεοφάνους ὁμολογητῶν». — 15) Σεπτ. κγ', ἄθλησις Εὐσεβίου τοῦ ἐν Φοινίκῃ. — 16) Σεπτ. κη', ἄθλησις Διοδώρου τοῦ «ἐν πόλει Ἀντιοχείας, Μάγνου ἡγεμονεύοντος».—17) Ὀκτωβρ. δ', Δομετίου τοῦ Πέρσου. — 18) Ὀκτωβρ. ε', μνήμη τοῦ ὁσίου Παύλου τοῦ ἁπλοῦ.—19) Ὀκτωβρ. ς', μνήμη τοῦ ὁσίου Νικήτα πατρικίου.— 20) Ὀκτωβρ. ζ', «μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς». — 21) Ὀκτωβρ. η', ἄθλησις τοῦ ἱερομάρτυρος Ἀρτέμωνος πρεσβυτέρου Λαοδικείας, καὶ ἄθλησις Ἰουβεντίνου καὶ Μαξίμου. — 22) Ὀκτωβρ. ια', μνήμη τῶν ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Ἀκακίου καὶ Ἀττικοῦ. — 23) Ὀκτωβρ. ιε', ἄθλησις Πέτρου τοῦ καὶ Ἀβεσαλώμ [1].—24) Ὀκτωβρ. ιζ', ἄθλησις Χρυσάνθου καὶ Δαρείας. — 25) Ὀκτωβρ. ιη': «Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Μαρίνου τοῦ γέροντος· οὗτος ὑπῆρχεν ἐν ὑπατείᾳ Διοκλητιανοῦ τὸ πρῶτον καὶ Ἀριστοβούλου· παραστὰς δὲ τῷ τῆς Κιλικίας ἡγεμόνι ῥάβδοις τύπτεται σφοδρῶς καὶ σιδήροις πεδηθεὶς τοὺς πόδας τῇ φρουρᾷ ἐναποτίθεται· καὶ αὖθις ξύλῳ ἀναρτᾶται ἐξ ἄκρων ποδῶν, καὶ τυφθεὶς ἀπὸ τοῦ ξύλου τὴν διὰ ξίφους ὑπομένει τιμωρίαν». — 25) Ὀκτωβρ. κ', ἄθλησις Ἀνδρέου τοῦ ἐκ τῆς Κρητῶν νήσου. — 26) Ὀκτωβρ. κ', ἄθλησις Θεοδότης.—27) Ὀκτωβρ. κε', ἄθλησις Νέστορος.—28) Ὀκτωβρ. κζ', ἔνθα γέγραπται τοῦτο· «Δεῖ δὲ γινώσκειν, ὅτι τινὲς κατὰ ταύτην τὴν ἡμέραν ἑορτάζουσι καὶ τὴν μνήμην τοῦ ἁγίου μάρτυρος Νέστορος, ἀλλ' οὐκ ἔστιν ὀρθῶς· ὁ γὰρ τοιοῦτος ἅγιος Νέστωρ πρὸ τοῦ ἁγίου Δημητρίου ἐν τῷ θεάτρῳ αὐτίκα ἀπεκεφαλίσθη».— 29) Ὀκτωβρ. κη', μνήμη τοῦ ὁσίου Ἰωάννου τοῦ Χουζιβίτου.— 30) Ὀκτωβρ. λ', ἄθλησις Ἑρμινιγγίλδου. — Καὶ ταῦτα μὲν ὡς ἐν παραδείγματι διὰ τὴν τοῦ βιβλίου χρησιμότητα παρεσημειώθη·

[1] Παρὰ τῷ Νικοδήμῳ γέγραπται «Αὐσελάμου»· ὅρα τὰ παρ' αὐτῷ συναξάρια τῆς ιδ' ὀκτωβρίου, σελίδι 129.

ἀλλ' ἔχει τοῦτο καὶ κοσμήματα δώδεκα κοκκίνου χρώματος. ἔχει δὲ καὶ σημειώματα παρασέλιδα, ὧν τινα δῆλον ποιεῖται ὅτι τὸ βιβλίον ἦν ἐκ παλαιοῦ τῆς λαύρας τοῦ ὁσίου Σάβα· δύο δ' ἐξ αὐτῶν, ὑπερμεσοῦντος τοῦ τρισκαιδεκάτου γεγραμμένα αἰῶνος, λέγει τάδε· α') «Τῇ αὐτῇ ἡμέρᾳ (=κζ' νοεμβρίου) ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Θωμᾶς ἀναγνώστης, ἔτους ͵ςψοζ'» = 1268, φύλλ. 111. β') «Τῇ αὐτῇ ἡμέρᾳ (=η' ἰανουαρίου) μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Κολωνείας καὶ ἡσυχαστοῦ τῆς σεβασμίας λαύρας τοῦ ἁγίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα», φύλλ. 196. Ἄλλο δέ τι σημείωμα, κατὰ τὴν ἐπάνω πρόσθιον ᾤαν τοῦ πρώτου φύλλου περὶ τὸ τέλος γεγραμμένον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, τάδε μαρτυρεῖ· «Ὅρα εἰς τὰς εἴκοσι τοῦ ἰαννουαρίου, ἔνθα ἔστι σημείωμά τι, καὶ ἐξ αὐτοῦ γνώσῃ ἀπὸ τῆς χρονολογίας, ὅτι ἡ βίβλος αὕτη ἐσώζετο κατὰ τὸ ͵ατλδ' (1334) ἔτος τὸ ἀπὸ Χριστοῦ· ἐν ᾧ ἔτει ἐγράφθη τὸ σημείωμα· ἡ δὲ βίβλος ἀρχαιοτέρα ἦν· ἐπεὶ δὲ καὶ τὰ περὶ τῆς ἑορτῆς τῶν τριῶν ἱεραρχῶν οὐκ ἔχει ἐν τῇ λ' τοῦ ἰαννουαρίου, εἰκότως συμπεραίνεται, ὅτι ἡ βίβλος αὕτη ἦν γεγραμμένη πρὶν διορισθῆναι τὴν ἑορτὴν ταύτην, ἥτις ἐτάχθη ἐπὶ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, ὃς ἦν ἔτει ͵απβ'». Πλὴν ἀλλὰ τὸ φύλλον ἐκεῖνο, ἐν ᾧ τὸ μνημονευόμενον ὑπῆρχε σημείωμα, εὕρηται νῦν ἐν Πετρουπόλει σὺν ἄλλοις τρισίν, ὡς προείρηται, καὶ ἐκεῖθεν ἐγὼ μετέγραψα τοῦτο [1]. «✝ Τῇ αὐτῇ ἡμέρα (=κ' ἰανουαρίου) τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου, ἐτάξαμεν ἵνα γίνεται ἀγρυπνία καὶ τράπεζα τοῖς ἀδελφοῖς κατέτος (=κατ' ἔτος) εἰς τὴν σεβασμίαν λαῦραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου, μέχρις ἂν εὑρίσκονται μοναχοὶ εἰς τὴν εἰρημένην ἁγίαν ταύτην μονήν, διὰ τὸν πανιερώτατον καὶ ὀρθοδοξώτατον ἀρχιεπίσκοπον καὶ καθολικὸν τῆς Ἰβερίας κῦριν Εὐθύμιον· ἀλλὰ δὴ καὶ ναμνημονεύεται καθεκάστην μετὰ τὸ μνημόσυνον τῶν μελλόντων πατριαρχεύειν ἐν τῇ ἁγία πόλει Ἱερουσαλήμ· αὐτὸς γὰρ

[1] Πρβλ. В. К. Ернштедта, Списокъ датированныхъ греческихъ рукописей Порфиріевскаго собранія, ἐν Πετρουπόλει 1885, σ. 9.

ὁ προρρηθεὶς ἀρχιεπίσκοπος, ἔπεμψεν ἀπὸ τὴν Ἰβερίαν μικρὰν εὐλογίαν εἰς τὴν τοιαύτην ἁγίαν λαῦραν εἰς κυβέρνησιν καὶ ἀναψυχὴν τῶν ταπεινῶν μοναχῶν· καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὸ συναξάριον τοῦ μεγάλου Εὐθυμίου, ἃς ἀναγινώσκεται καὶ ἡ τοιαύτη ὑπόθεσις ἀκροωμένων πάντων τῶν ἀδελφῶν· καὶ ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν τριάδι ὑμνούμενος καὶ ἡ πανάχραντος αὐτοῦ μητέρα, καὶ ὁ πανηγιασμένος Σάβας, δώῃ αὐτῷ τὸν μισθὸν ἐν τῇ ἡμέρα τῆς κρίσεως· διὰ γὰρ τοῦτο ἐγεγόνει τὸ παρὸν ἡμέτερον γράμμα, παρὰ τοῦ τότε καθηγουμένου τῆς σεβασμίας ταύτης μονῆς, Ἰωαννικίου ἁμαρτωλοῦ, τάχα καὶ ἱερομονάχου ἐνέτει τῷ ͵ϛωμβ: ἰνδ. β ✝» = 1334. Σημειωτέον δὲ ἔτι, ὅτι ἔνδον τῆς δευτέρας τοῦ κώδικος πινακίδος ὑπάρχει φύλλα δύο, δίστηλον ἔχοντα κείμενον ὁμιλίας τινὸς περὶ μετανοίας· ἅπερ μέρος ἐστὶν ἄλλου τινὸς μεμβρανίνου τεύχους τῆς ἑνδεκάτης ἑκατονταετηρίδος.

157. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος, οὗπερ αἱ πινακίδες ἀμφὶ τὸν ἑπτακαιδέκατον κατεσκευάσθησαν αἰῶνα διὰ πολλῶν συγκεκολλημένων φύλλων ἑταιροίων κωδίκων· ἅπερ, εἰ καὶ κεκαλυμμένα δέρματι ὑποκιτρίνῳ, μερικῶς ἠνέῳξα καὶ ἠρίθμησα· ταῦτα δὲ τάδ' ἔστιν. Ἐν μὲν τῇ πρώτῃ πινακίδι α') τεμάχη κεῖται δύο λειτουργικοῦ τινος εἰλητοῦ τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος, οὗ τεμάχια πάνυ πολλὰ καὶ τοῖς ἄκροις αὐτοῦ τοῦ κώδικος ὁ βιβλιοδέτης ἐπέθηκεν· β') φύλλα δύο κώδικός τινος ὀγδόου σχήματος καὶ παλαιοῦ (ι' αἰῶνος), ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 23· ἑκάτερον δὲ τούτων ἐπιγραφὴν λόγου δείκνυσι (Θεοδώρου τοῦ Στουδίτου), «ὅτι οἱ ἐν θλίψεσι καὶ στενοχωρίαις τὸν βίον διαμείψαντες, ἀλύπου τινὸς καὶ ἀρρήτου ἡδονῆς ἀπολαύσουσιν»· οὗ ἡ ἀρχή· «Ἀδελφοὶ καὶ πατέρες, παντὶ ἀνθρώπῳ ἀρχομένῳ καὶ λόγῳ καὶ πράγματι» κτλ. (Novae Patrum Bibliothecae ab Angelo Maio collectae tomus nonus editus a J. Cozza-Luzi, σ. 162)· γ') φύλλα συγκεκολλημένα ἕξ, ἐκ προφητολογίου παρασεσημασμένου τῆς ἐνάτης ἀποσπασθέντα ἑκατονταετηρίδος, οὗ τὸ μὲν κείμενον ἦν δίστηλον καὶ ἐκ γραμμῶν 21, ἡ δὲ γραφὴ κεφαλαιώδης καθόλου (uncial). Ἐν

δὲ τῇ δευτέρᾳ πινακίδι α') ἓξ φύλλα κεῖται συγκεκολλημένα τοῦ αὐτοῦ πάλιν προφητολογίου· β') φύλλον ἓν τοῦ προειρημένου βιβλίου τοῦ Στουδίτου· γ') τεμάχιον διστήλου κώδικος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐν ᾧ μέρος ἐστὶ βίου τινὸς Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ δ') φύλλον ἕτερον τοῦ προειρημένου προφητολογίου εἰς δύο τεμάχη διῃρημένον, τὸ μὲν ἐν τῇ πρώτῃ τὸ δ' ἐν τῇ πινακίδι ταύτῃ τῇ δευτέρᾳ κεκρυμμένον. Καὶ ταῦτα μὲν περὶ τῶν πινακίδων, ἐν αἷς καὶ φύλλα τινὰ τοῦ τεύχους, ὃ περιγράφω, συνυπάρχουσιν· αὐτὸ δὲ τὸ τεῦχος, ὡς νῦν ἔχει, φύλλα πολλὰ συνδεῖ, ἅπερ ὁ βιβλιοδέτης ἐπέγραψεν εἶναι 225· τούτων μέντοι δύο ἐλλείπει, τὸ 222-ον καὶ τὸ 223-ον. Πρόσθες δ' ἔτι, ὅτι καὶ ἔνδον τῶν πινακίδων ὑπάρχει φύλλα ξένων κωδίκων· ἔνδον μὲν γὰρ τῆς πρώτης δύο συνέρραπται, ἐν οἷς διὰ γραφῆς τῆς ἑνδεκάτης ἢ τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος τεμάχιον ἀπεγράφη θεολογικὸν καὶ ἀνώνυμον, ἄλλο πάλιν τεμάχιον Ἐφραὶμ τοῦ Σύρου, μέρος τι ἀσκητικῶν τινων νουθεσιῶν καὶ κεφάλαιον ἓν «Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τῶν μετὰ τὴν ἀνάστασιν», ὃ τὴν ἀρχὴν ποιεῖται τοῦ τετάρτου βιβλίου τῆς πονηθείσης αὐτῷ «ἐκδόσεως ἀκριβοῦς τῆς ὀρθοδόξου πίστεως»· μετὰ δὲ τοῦτο τὰ λοιπὰ κεῖται κεφάλαια τοῦ αὐτοῦ βιβλίου τὰ μέχρι τοῦ πε' ἀριθμοῦ, ὃ περὶ τοῦ προσκυνεῖν πρὸς ἀνατολὰς ὁμιλεῖ· τούτου δὲ τὸ τέλος τὸ πρόσθεν ἔχει φύλλον. Ἔνδον δὲ τῆς ὀπισθίου πινακίδος, μετὰ τὸ τέλος τοῦ κώδικος, ὁ δέτης αὐτοῦ φύλλα προσέθετο ἓξ μεμβρανίνου τινὸς μηναίου τοῦ μαΐου μηνός, οὗ τὸ κείμενόν ἐστι μονόστηλον· ταῦτα δὲ τάδ' ἔχει· α') ἀκολουθίαν τοῦ ὁσίου Θαλελαίου, ἧς ἡ ἀρχή· «Φωτοειδὴς ἀνεδείχθης ἀθλοφόρε»· β') ἀκολουθίαν καὶ συναξάριον τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης, ἧς τὸ πρῶτον τροπάριον ἄρχεται ὧδε· «Τὸ ὅπλον τοῦ σταυροῦ ἐν πολέμοις» κτλ. γ') ἀκολουθίαν ἀκέφαλον τοῦ ἁγίου Μιχαὴλ Συνάδων, ἀρχομένην ἀπὸ τοῦ τροπαρίου: «Μιχαὴλ θεόπνευστε, τὸ κατ' εἰκόνα Θεοῦ διετήρησας» κτλ. Μετὰ δὲ τροπάρια τρία εὕρηται, ἀτελὴς μέντοι, «ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε: Ἀρχιερεῦ Μιχαήλ, ἱεροῖς ὕμνοις σε γεραίρω»·

ἔστι δὲ μέσον αὐτοῦ καὶ τὸ συναξάριον τοῦ ἁγίου· δ') συναξάριον καὶ κανόνα τοῦ ἱερομάρτυρος Πατρικίου, ἐπισκόπου Προύσης, ἀπὸ τῆς τετάρτης ᾠδῆς· ε') ἀρχὴν τῆς ἀκολουθίας τοῦ μάρτυρος Βασιλίσκου. Ταῦτα καὶ περὶ τῶν προσθέτων φύλλων· νῦν δὲ λέγωμεν καὶ περὶ τοῦ κυρίου κώδικος. Οὗτος μὲν οὖν, ὡς εἴρηται, γραφὴν ἔχει τῆς δεκάτης ἑκατονταετηρίδος, γράμμασιν ἀποσχηματισθεῖσαν μικροῖς πάνυ, ὥστε πάσας τὰς σελίδας εἶναι μὲν μονοστήλους, γραμμὰς δ' ἐν αὐταῖς ἔχειν οὐ πλείονας τῶν τεσσαράκοντα· ἔστι δὲ τὰ φύλλα μήκους μὲν 0,295, πλάτους δὲ 0,24· τῆς δὲ σελίδος ὁ χῶρός ἐστιν ὡς 0,23 × 175. Καὶ ὅ τι μὲν ἐξ ἀρχῆς ὁ κῶδιξ ἐμπεριεῖχεν, ὁ πρὸς τῷ τέλει πίναξ σαφῶς ἐδήλωσεν· ἃ δὲ νῦν σῴζει, τάδ' ἐστι·

1. «Τοῦ ἁγίου Μάρκου περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι». Ἀρχ. «Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην θέλων δεῖξαι», φ. 1. Migne τ. 65, σ. 929.

2. «[Τοῦ] αὐτοῦ [συμ]βουλία [νοὸς] πρὸς [τὴν ἑ]αυτοῦ [ψυ]χήν». Ἀρχ. «Ἄκουε ψυχὴ λογική», φ. 4β. Migne τ. 65, σ. 1104.

3. «Τοῦ αὐτοῦ περὶ νόμου πνευματικοῦ». Ἀρχ. «Πᾶν ἀγαθὸν παρὰ Κυρίου δεδώρηται», φ. 6. Migne τ. 65, σ. 905, β'.

4. «Τοῦ αὐτοῦ περὶ μετανοίας». Ἀρχ. «Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός», φ. 8. Migne τ. 65, σ. 965.

5. «Τοῦ αὐτοῦ πρὸς [Νι]κόλα[ον] ἐπιστολή», ἧς ἡ ἀρχή· «Ἐπειδή περ πρώην», φ. 11. Migne τ. 65, σ. 1028.

6. «Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ περὶ τοῦ θείου βαπτίσματος». Ἀρχ. «Εἰ ἐν τῷ βαπτίσματι φησὶν ἀναιρεῖται ἡ ἁμαρτία, διατί πάλιν ἐνεργεῖ ἐν τῇ καρδίᾳ», φ. 15β.

7. «Τοῦ αὐτοῦ ἐκ τοῦ διαλόγου καὶ ἀντιρρητικοῦ λόγου». Ἀρχ. «Ὁ βουλόμενος εἰς ἄνδρα τέλειον», φ. 18. Migne τ. 65, σ. 1077.

8. «Τοῦ αὐτοῦ περὶ νηστείας». Ἀρχ. «Προσήκει τοὺς ἀσκοῦντας», φ. 22. Migne τ. 65, σ. 1109.

9. «Ἐκ τῶν κεφαλαίων τοῦ ἐπισκόπου Διαδόχου». Ἀρχ. «Πάσης, ἀδελφοί, πνευματικῆς θεωρίας ἡγείσθω πίστις», φ. 22β. Λατινιστὶ παρὰ τῷ Migne τ. 65, σ. 1167.

10. «Βίος ἐν ἐπιτομῇ τοῦ ἀββᾶ Ἰωάννου τῆς Κλίμακος, τοῦ ἐν ἁγίοις ὡς ἀληθῶς», μετὰ σχολίων τινῶν ἐν τῷ κρασπέδῳ γεγραμμένων. Ἀρχ. «Ἑξκαίδεκα ἐτῶν οὗτος», φ. 31β.

11. Ἰωάννου Σχολαστικοῦ κλίμαξ ἢ πλάκες πνευματικαί, μετὰ πολλῶν ἐν ταῖς ᾤαις σχολίων, φ. 32 μέχρι τοῦ φ. 92α.

12. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαὰκ λόγος περὶ ἀποταγῆς καὶ μοναχικῆς πολιτείας», οὗ ἡ ἀρχή· «Ἡ ψυχὴ ἡ τὸν Θεὸν ἀγαπῶσα», φ. 92α.

13. «Τοῦ αὐτοῦ λόγος β'», οὗ ἡ ἀρχή· «Πολλὴν ὁ Θεὸς δέδωκε τοῖς ἀνθρώποις», φ. 95β.

14. Τοῦ αὐτοῦ «λόγος γ'», οὗ ἡ ἀρχή· «Τὸ ἔν τινι συμπτώματι τῆς ἁμαρτίας ὀλισθαίνειν», φ. 99.

15. Τοῦ αὐτοῦ περὶ τοῦ «ποίῳ τρόπῳ κόπτει ὁ ἄνθρωπος τὴν πρώτην συνήθειαν αὐτοῦ καὶ συνειθίζει ἑαυτὸν ἐν τῇ ζωῇ τῆς ἐνδείας καὶ τῆς ἀσκήσεως». Ἀρχ. «Ζῆσαι τὸ σῶμα ἐκτὸς τῆς χρείας αὐτοῦ», φ. 101β.

16. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς ἐρώτησιν, ἧς ἡ ἐπιγραφή· «Ὅστις ἀπέρριψεν ἐξ ἑαυτοῦ ὅλον τὸν περισπασμὸν καὶ εἰσῆλθεν εἰς ἀγῶνα, ποία ἐστὶν ἡ ἀρχὴ αὐτοῦ ἐν τῷ πολέμῳ τῆς ἐγκρατείας καὶ πόθεν ἄρχεται τῆς παύλης»; Ἀρχ. «Τοῦτο πᾶσι γνώριμόν ἐστιν», φ. 102β.

17. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «Εἰσί τινες πολλοὶ ἔχοντες τὰ ἔργα ταῦτα, καὶ τῆς γαλήνης καὶ ἀναπαύσεως τῶν παθῶν καὶ τῆς εἰρήνης τῶν λογισμῶν οὐκ αἰσθάνονται»; Ἀρχ. «Τὰ πάθη τὰ κεκρυμμένα ἐν τῇ ψυχῇ», φ. 103.

18. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «Καὶ οὐ δύναται ἄρα ἐν τῇ ἀναστροφῇ τῇ ἔξω τῆς θύρας καθαρθῆναι ἡ ψυχή»; Ἀρχ. «Δένδρον καθημέραν ποτιζόμενον», φ. 103β.

19. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «Τίνα εἰσὶ τὰ ἀκριβῆ τεκμήρια καὶ τὰ σημεῖα τὰ πλησιάζοντα τῷ ἀρξαμένῳ βλέπειν καρπὸν κρυπτὸν ἐν τῇ ἑαυτοῦ ψυχῇ»; Ἀρχ. «Ὅταν ἀξιωθῇ τις τῆς χάριτος τῶν δακρύων», φ. 103β.

20. Τοῦ αὐτοῦ «περὶ τῆς τῶν δακρύων διαφορᾶς». Ἀρχ. «Εἰσὶ τινὰ μὲν τῶν δακρύων καίοντα», φ. 103β.

21. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «Τίς ἡ αἰτία τῶν ὁράσεων καὶ τῶν ἀποκαλύψεων, ὅτι τινὲς ὁρῶσι, τινὲς δὲ κοπιῶσιν ὑπὲρ ἑαυτούς, καὶ οὐκ ἐνεργεῖ ἡ ὅρασις ἐν αὐτοῖς»; Ἀρχ. «Αἱ αἰτίαι τούτων πολλαί εἰσι», φ. 104.

22. Τοῦ αὐτοῦ περὶ τοῦ «τί ἐστι τὸ σημεῖον τοῦ εἰς καθαρότητα ἐλθόντος ἀνθρώπου». Ἀρχ. «Ὅταν πάντας ἀνθρώπους καλοὺς θεωρῇ», φ. 104.

23. Τοῦ αὐτοῦ ἀπόκρισις· «Καὶ ἐνδέχεται τινὰ ἐλθεῖν εἰς τὴν τάξιν ταύτην; ναί· ἰδοὺ ὁ ἀββᾶς Σισόης ἦλθεν εἰς τὸ μέτρον τοῦτο» κτλ., φ. 104.

24. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «Ποίαν μελέτην καὶ ἀδολεσχίαν δεῖ ἔχειν τὸν ἀσκητὴν ἐν τῷ ἡσυχαστηρίῳ αὐτοῦ, ἵνα μὴ σχολάσῃ ὁ νοῦς αὐτοῦ εἰς λογισμοὺς ματαίους»; Ἀρχ. «Περὶ μελέτης καὶ ἀδολεσχίας ἐρωτᾷς», φ. 104β.

25. Τοῦ αὐτοῦ «περὶ διαφόρων τρόπων τοῦ πολέμου τοῦ ἐχθροῦ, πρὸς τοὺς ἐν τῇ στενῇ ὁδῷ τῇ ὑπερεχούσῃ τὸν κόσμον πορευομένους». Ἀρχ. «Ἔχει ἔθος ὁ ἀντικείμενος ἡμῖν διάβολος», φ. 105.

26. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «Ἐν τίνι φυλάττεται τὸ κάλλος τῆς μοναχικῆς πολιτείας». Ἀρχ. «Δεῖ τὸν μοναχὸν εἶναι ἐν πᾶσι τοῖς ἑαυτοῦ πράγμασι», φ. 108β.

27. Τοῦ αὐτοῦ «περὶ τῶν ἡσυχαζόντων· πότε ἄρχονται νοεῖν, ποῦ ἔφθασαν ἐν τοῖς ἔργοις αὐτῶν καὶ πότε δύνανται ἐλπίσαι μικρὸν ὅτι ἤρξαντο διδόναι αὐτοῖς οἱ κόποι αὐτῶν καρπόν»; Ἀρχ. «Λέγω σοι πρᾶγμα καὶ μὴ καταγελάσῃς», φ. 109.

28. Τοῦ αὐτοῦ «περὶ ἀποταγῆς κόσμου καὶ ἀποχῆς τῆς πρὸς ἀνθρώπους παρρησίας». Ἀρχ. Ὅταν ἀγαπήσωμεν φυγεῖν ἐκ τοῦ κόσμου», φ. 109β.

29. Τοῦ αὐτοῦ περὶ τοῦ «ὅτι ὠφέλιμος τοῖς ἡσυχασταῖς ἡ ἀργία τῶν φροντίδων καὶ ἐπιζήμιος ἡ εἴσοδος καὶ ἔξοδος». Ἀρχ. «Ἄνθρωπος πολυμέριμνος», φ. 110β.

30. Τοῦ αὐτοῦ «περὶ φυλακῆς καρδίας καὶ θεωρίας λεπτο τέρας». Ἀρχ. «Εἰ κατὰ μόνας ὑπάρχεις», φ. 112.

31. Τοῦ αὐτοῦ «σημεῖα ἐνεργημάτων τῆς ἀγάπης τοῦ Θεοῦ». Ἀρχ. «Ἡ ἀγάπη τοῦ Θεοῦ θερμή ἐστι», φ. 113.

32. Τοῦ αὐτοῦ, ὅτι «θλῖψις μικρὰ διὰ τὸν Θεὸν γινομένη κρεῖσσόν ἐστι μεγάλου ἔργου τοῦ ἀθλίπτως τελουμένου». Ἀρχ. «Ὁ θεμέλιος πάντων τῶν ἀγαθῶν», φ. 113.

33. Τοῦ αὐτοῦ «περὶ τῶν εἰδῶν τῶν διαφόρων πειρασμῶν». Ἀρχ. «Αἱ ἀρεταὶ ἀλλήλας διαδέχουσι», φ. 115.

34. Τοῦ αὐτοῦ «περὶ ὑπερηφανίας». Ἀρχ. «Οἱ δὲ πειρασμοὶ οἱ γενόμενοι», φ. 116.

35. Τοῦ αὐτοῦ «περὶ καθάρσεως τοῦ σώματος καὶ τῆς ψυχῆς καὶ τοῦ νοός». Ἀρχ. «Ἡ κάθαρσις τοῦ σώματος», φ. 116β.

36. Τοῦ αὐτοῦ ἀπόκρισις εἰς τὸ «διὰ τὸ εἶναι τινὰς ἀδυνάτως ἔχοντας πρὸς τὸ ἀδιαλείπτως πενθεῖν διὰ τὴν ἀσθένειαν τοῦ σώματος, τί δεῖ ἔχειν αὐτοὺς πρὸς φυλακὴν τοῦ νοός, ἵνα μὴ τὰ πάθη σχολάσαντος αὐτοῦ ἐπαναστῶσιν αὐτῷ»; Ἀρχ. «Οὐ δύναται τὰ πάθη ἐπαναστῆναι», φ. 121, ἔνθα γέγραπται καὶ τὸ «Τέλος τοῦ Ἰσαάκ».

37. «Νείλου μοναχοῦ κεφάλαια καὶ λόγοι διάφοροι». Ἀρχ. «Ἔσο γινώσκων ὦ μύστα τῶν ἀρετῶν Εὐλόγιε», φ. 121β.

38. (Τοῦ αὐτοῦ) «περὶ τῶν η′ λογισμῶν». Ἀρχ. «Τοῖς μὲν ἀναχωρηταῖς οἱ δαίμονες», φ. 128β.

39. (Τοῦ αὐτοῦ) «περὶ παθῶν». Ἀρχ. «Ὧν τὰς μνήμας ἔχομεν ἐμπαθεῖς», φ. 129β.

40. «Τοῦ αὐτοῦ Νείλου ἕτερα καφάλαια πάνυ χρήσιμα καὶ ὠφέλιμα». Ἀρχ. «Τῶν ἀντικειμένων δαιμόνων», φ. 131. Migne τ. 79, σ. 1200.

41. «Τοῦ αὐτοῦ ἁγίου Νείλου περὶ προσευχῆς». Ἀρχ. «Εἴ τις βούλοιτο εὐῶδες θυμίαμα», φ. 135. Migne τ. 79, σ. 1168β.

42. «Τοῦ μακαρίου Νείλου, ὅτι διαφέρουσι τῶν ἐν πόλεσιν ἀσκουμένων οἱ ἐν ἐρήμοις ἡσυχάζοντες, κἂν πολλοῖς τῶν ἀπεί-

ρων τὸ ἐναντίον δοκῇ». Ἀρχ. «Οὐ τοίνυν θαυμάζειν ἄξιον», φ. 140. Migne τ. 79, σ. 1061A.

43. «Τοῦ αὐτοῦ» ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ἀγωνισώμεθα μηδὲ τὸ ἀχαρὲς γοῦν ἐκτὸς θεοῦ» κτλ., φ. 145.

44. «Ἐκ τοῦ ἁγίου Ἐφραίμ». Ἀρχ. «Εἶπεν ὁ ἅγιος Ἐφραίμ· Σχολάσωμεν τοιγαροῦν τῇ ἡσυχίᾳ», φ. 146β.

45. «Ἐκ τῶν τοῦ ἁγίου Μακαρίου ἐπιστολῶν». Ἀρχ. «Ἔστω τοίνυν προηγουμένως πᾶσι τοῖς ἑαυτοὺς ἀφιερώσασι», φ. 152.

46. «Τοῦ ἀββᾶ Ἀμμωνᾶ κεφάλαια», ὧν ἡ ἀρχή· «Τήρει σεαυτὸν ἀκριβῶς, ἀγαπητέ, θαρρῶν καὶ πιστεύων» κτλ., φ. 172β. Fabricii, Bibl. Gr. IX, σ. 260.

47. «Πνευματικὰ ζητήματα καὶ διαλύσεις πλήρεις διακρίσεως καὶ ὠφελείας». Ἀρχ. «Μοναχός τις ᾧ Θεόδωρος ὄνομα, ἤρετό τινα τῶν μεγάλων γερόντων, πῶς εἰπὼν πάτερ δυνατὸν ἔσται μοι διακρῖναι» κτλ., φ. 174.

48. «Κεφάλαια ἕτερα τοῦ ἁγίου Ἐφραίμ», ὧν ἡ ἀρχή· «Ἀπέχου μὴ μόνον τοῦ συνδιατρίβειν γυναιξίν», φ. 177β.

49. Τρεῖς γνῶμαι «ἐκ τῶν τοῦ Χιλωνος» (γραπτέον ἴσως: Φίλωνος). α') «Ὥσπερ οὐδὲν ὀνίνησιν ἄνθρωπον ὁ χθιζὸς τῆς γαστρὸς κόρος, σήμερον τῆς ἐμφύτου πείνης τὴν οἰκείαν τῆς βρώσεως παραμισθίαν μὴ εὑρισκούσης, οὕτως οὐδὲ ψυχῇ κέρδος τοῦ χθιζοῦ κατορθώματος, τῆς σήμερον δικαιοπραγίας ἐπιλειπούσης». — β') «Μὴ προπετὴς ἔσο ἐν λόγῳ μηδ' ἐριστικὸς καὶ φιλόνικος, ἔτι μηδ' ἐξηγητικὸς καὶ πρὸς τὸ διδάσκειν ἕτοιμος, ἀλλὰ πρὸς τὸ μαθεῖν μᾶλλον».—γ') «Μὴ περιεργάζου κοσμικῶν βίους, ὅθεν οὐδέν σοι τὸ ὄφελος περίεσται· φησὶ γάρ· "ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων"· ὁ γὰρ ἡδέως τὰ ἐκείνων λαλῶν, ἑτοίμως καθ' ἑαυτοῦ τὰς ἡδονὰς ἀφυπνίζει· ἀλλὰ πολυπραγμόνει μᾶλλον τοὺς τῶν δικαίων βίους, ἐξ ὧν πολλὴν τὴν ὠφέλειαν σεαυτῷ προξενήσεις».

50. «Ἐκ τῶν τοῦ ἁγίου Ἀθανασίου διατάξεων». Ἀρχ. «Φυλακτέον μὴ δίλογον εἶναι, μὴ διγνώμονα, μὴ ψεύστην, μὴ διάβολον» κτλ., φ. 180β.

51. «Ἀρχὴ τῶν τοῦ ἁγίου καὶ μεγάλου Βασιλείου μελιρρύτων λόγων.—Τοῦ ἁγίου Βασιλείου λόγος ἀσκητικός», οὗ ἡ ἀρχή· «Ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ ἐγένετο», φ. 183.

52. «Τοῦ αὐτοῦ πρὸς μονάζοντα· ὁποῖοι ὀφείλουσιν εἶναι οἱ μοναχοί». Ἀρχ. «Ὁ τοίνυν πρὸς τὴν ἀγγελικὴν ἀξίαν μεταταξάμενος», φ. 183[β].

53. «Νομοθεσία τοῦ ἁγίου Βασιλείου ἐπὶ αἱρουμένῳ μονάσαι ἀληθινῶς». Ἀρχ. «Ἐπῄνουν σου τὴν ἐπιστολήν», φ. 184. Ἐν δὲ τῷ μετώπῳ τῷ ὀπισθίῳ σχόλιον ὑπάρχει τοῦ «Ἰσιδώρου» Πηλουσιώτου· τούτου δὲ ἡ ἀρχὴ ὧδε· «Ἐμοὶ τὴν μετρίαν εἴδησιν ἡ κατὰ μόνας προσέθηκεν ἀναχώρησις».

54. «Ἐκ τῶν ἀσκητικῶν τοῦ μεγάλου Βασιλείου». Ἀρχ. «Δύο τοίνυν τρόποι καθ' οὓς αἱ ἀπρεπεῖς ἔννοιαι» κτλ., φ. 186.

55. «Ἐκ τῶν μεγάλων ἀσκητικῶν τοῦ αὐτοῦ». Ἀρχ. «Ὁ ἀσκητικὸς βίος ἕνα σκοπὸν ὀφείλει ἔχειν», φ. 196.

56. «Τοῦ ἁγίου Βασιλείου περὶ ἀποταγῆς βίου καὶ τελειώσεως». Ἀρχ. «Δεῦτε πρός με πάντες», φ. 213.

57. «Ἀλφάβητος περὶ τῆς κρίσεως καὶ τῶν κολάσεων. Λέοντος τοῦ σοφοῦ· Πρὸς τό: Ὁ οὐρανὸν τοῖς ἄστροις» [1]. Ἀρχ. «Ἆρα τίς γῆθεν ἀείρας ἐν συστροφῇ», φ. 221.

58. Ἀποσπασμάτια διάφορα, ὧν τὸ πρῶτον ἄρχεται ὧδε· «Ἀθανάσιος ὁ πάνυ ἐν τῷ εἰς κοιμηθέντας αὐτοῦ παναρμονίῳ λόγῳ τάδε φησίν· ὅτι κἂν εἰς ἀέρα ὁ ἐν εὐσεβείᾳ τελειωθεὶς» κτλ., φ. 221[β]. Migne τ. 26, σ. 1249.

59. «Περὶ τῶν ζ' συνόδων». Ἀρχ. «Ἡ πρώτη σύνοδος γέγονεν ἐν Νικαίᾳ», φ. 224[α].

60. «Ἀποκάλυψις τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ». Ἀρχ. «[Εἷς Θεὸς] πατὴρ λόγου ζῶντος», φ. 224[α]. Migne τ. 10, σ. 984.

61. «Πίναξ σὺν Θεῷ τῆς παρούσης ἱερᾶς βίβλου», φ. 224[β]-226[α]. Παρατίθεμαι δὲ τοῦτον ἐνταῦθα, ἵν' ἴδωσιν οἱ τὸν κατάλογον ἀναγνωσόμενοι, πῶς ἐξ ἀρχῆς εἶχεν ἡ βίβλος· «α' Ἐκλογὴ

[1] Ἐγράφη δὲ τὸ κείμενον τοῦτο κατὰ τὸν τρισκαιδέκατον αἰῶνα.

τῶν πάνυ χρησίμων τοῦ Μάρκου Διαδόχου κεφαλαίων καὶ λόγων· β' ἡ Κλίμαξ ὅλη· γ' τοῦ Ἰσαὰκ λόγοι διάφοροι καὶ κρείττονες· δ' τοῦ ἁγίου Νείλου κεφάλαια θαυμαστὰ καὶ λόγοι διάφοροι· ε' τοῦ αὐτοῦ ἕτερα κεφάλαια θαυμασιώτερα, ἅπερ λέγουσί τινες Εὐαγρίου εἶναι, οὐ καλῶς· ς' ἐκλογαὶ χρήσιμοι καὶ πάνυ καλαὶ ἐκ τῆς βίβλου τοῦ ἁγίου Ἐφραίμ· ζ' λόγοι διάφοροι καὶ ὡραῖοι τοῦ ἁγίου Μακαρίου· η' κεφάλαια τοῦ ἁγίου Ἀμμωνᾶ θαυμάσια καὶ κεκαλλωπισμένα· θ' πνευματικὰ ζητήματα καὶ διαλύσεις πλήρεις διακρίσεως καὶ ὠφελείας γέροντος ἁγίου· ι' ἕτερα διάφορα κεφάλαια καὶ κεκαλλωπισμένα τοῦ ἁγίου Ἐφραίμ· ιε' περὶ ἀρετῶν μαρτυρίαι τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου θαυμάσιαι· ιβ' τοῦ ἁγίου Βασιλείου λόγος ἀσκητικός· ιγ' τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Γρηγόριον, πῶς ὀφείλει μονάσαι ὁ ἀληθινὸς μοναχός· ιδ' ἐκλογὴ διάφορος τῶν μικρῶν ἀσκητικῶν, ὡσαύτως καὶ τῶν μεγάλων· ιε' τοῦ αὐτοῦ λόγος περὶ ἀποταγῆς βίου καὶ τελειώσεως· ις' τοῦ αὐτοῦ διήγημα ταπεινοφροσύνης ὠφέλιμον πάνυ (in marg. † ἕως ὧδε ἔχει τῶ βιβλίον, τὸ δὲ κάτω λείπει· τῆς ζειμίας!)[1]. ιζ' ὑπόμνημα σύντομον καὶ ὠφέλιμον γέροντος ἁγίου· ιη' ἐκ τοῦ βίου τοῦ ἁγίου Ἀντωνίου· ιθ' ἐκ τοῦ βίου τῆς ὁσίας Συγκλητικῆς· κ' ἐκ τοῦ βίου τοῦ ἁγίου Θεοδοσίου· κα' ἐκ τοῦ βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου· κβ' λόγος τοῦ ἀββᾶ Ζωσιμᾶ θαυμάσιος· κγ' διήγημα ὠφέλιμον πάνυ περὶ τοῦ δεῖν τιμᾶν τὰ τῶν ἱερέων ἐπιτίμια· κδ' διήγησις περὶ ταξεώτου τινός· κε' τοῦ Κασσιανοῦ ὅλον· κς' ἐκ τοῦ ἁγίου σχήματος ἐκλογὴ χρήσιμος· κζ' ἐκ τῶν παρακλητικῶν κεφαλαίων τοῦ Καρπαθίου· κη' κεφάλαια διάφορα καὶ θαυμάσια ἐκ τῆς πρὸς Λαῦσον καὶ κατ' Αἴγυπτον [ἱστορίας]· κθ' λόγος ἀσκητικὸς τοῦ Χρυσοστόμου πρός τινα ἡγούμενον, ὠφέλιμος πάνυ· λ' κεφάλαια διάφορα τοῦ Λειμωναρίου θαυμάσια· κα' τοῦ ἁγίου Μαξίμου κεφάλαια υ' περὶ ἀγάπης καὶ ὁ λόγος αὐτοῦ ὁ κατὰ πεῦσιν καὶ ἀπόκρισιν· λβ' τοῦ αὐτοῦ περὶ τῆς κατὰ Θεὸν λύπης καὶ ἐκλογὴ ἐκ τῆς πρὸς Ἰλλούστριον ἐπιστολῆς· λγ' τοῦ ἁγίου Δωροθέου οἱ

[1] Ἔγραψε δὲ ταῦτα χεὶρ τοῦ ιη' αἰῶνος.

λόγοι ὅλοι· λδ′ ἐκλογαὶ χρήσιμοι ἐκ τῶν λόγων τοῦ ἁγίου Ἡσαΐου· λε′ ἐκ τοῦ λόγου Ἰακώβου τοῦ ἀσκητοῦ ἐκλογὴ πάνυ χρήσιμος· λς′ κατήχησις ὡραία τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδιώτου· λζ′ ἀποφθέγματα διάφορα καὶ κατὰ τῶν ἁγίων γερόντων· λη′ ἐκλογαὶ διάφοροι ἐκ τῶν λόγων τοῦ Χρυσοστόμου κάλλιστοι καὶ πάνυ ὠφέλιμοι· λθ′ εἰσὶ δὲ καὶ ἕτεραι ἐκλογαὶ καὶ ἀποφθέγματα διαφόρων πατέρων, χρήσιμαι καὶ ὡραῖαι, ἀναμέσον τῶν προειρημένων λόγων. Ταῦτα οὖν τὰ ἀνωτέρωι δηλωθέντα καὶ πόνωι πολλῶι καὶ μόχθωι συλλεγέντα πονήματα καὶ ἀποφθέγματα τῶν ὁσίων πατέρων ἡμῶν, ὅστις θελήσειε νουνεχῶς διελθεῖν καὶ ἀναγνῶναι, πολλὴν ὡς οἶμαι τὴν ὠφέλειαν ἀρύσεται· θερμῶς δὲ προσευξάσθω διὰ τὸν Κύριον καὶ ὑπὲρ τοῦ κοπιάσαντος Ἰωάννου μο(να)χ(οῦ) καὶ ἐλαχίστου καὶ ταῦτα γράψαντος †. Ἀδελφοὶ καὶ πατέρες, οὐδὲν μακαριώτερον τοῦ βίου ἡμῶν καὶ οὐδὲν ὑψ[ηλό]τερον τῆς πολιτείας ἡμῶν, εἴ γε, καθὼς ὀνομαζόμεθα, πολιτευόμεθα· ἀλλὰ μὴ ἐν αὐτῷ τῷ ὀνόματι τὴν πολιτείαν ἔχωμεν· μοναχὸς γάρ ἐστιν ὁ πρὸς Θεὸν μόνον βλέπων καὶ Θεοῦ μόνου ἐφιέμενος καὶ Θεῷ μόνωι προσκείμενος καὶ Θεὸν μόνον θεραπεύειν προαιρούμενος, εἰρήνην τε ἔχων πρὸς τὸν Θεὸν καὶ εἰρήνης τοῖς ἄλλοις αἴτιος γινόμενος· ὧι δὲ ταῦτα μὴ πάρεστιν, τουναντίον δὲ ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, τυφλός ἐστι μυωπάζων κατὰ τὸ γεγραμμένον, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν».

158. Τεῦχος μεμβράνινον, γραφὲν περὶ τὴν δεκάτην ἑκατονταετηρίδα· οὗ τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ ἓξ κατὰ μίαν ἑκάστην τῶν σελίδων (0,297 × 0,20 = 0,225 × 0,135)· περιλαμβάνει δὲ φύλλα ἠριθμημένα 239· ἀλλὰ τούτων τὸ μὲν πρῶτον ἐκ χάρτου ἐστί, τὸ δὲ 4-ον καὶ 5-ον εὕρηται νῦν ἐν τῇ βιβλιοθήκῃ Πετρουπόλεως, ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 328. Отчетъ Импер. Публичной Библіотеки за 1883 г., σ. 131)· ἡ δὲ χείρ, ἣ τὰ φύλλα ἠρίθμησε τῷ ἑπτακαιδεκάτῳ αἰῶνι, καὶ σημειώσεις τινὰς ἐν τοῖς μετώποις ἔγραψεν, ἢ τὰς ἐπιγραφὰς τῶν ἐμπεριεχομένων παρα-

φραζούσας λόγων, ἢ τὸν ἀναγνώστην καλούσας εἰς τὰ ὡραῖα τούτων χωρία. Εἰσὶ δὲ καὶ τοῦ κώδικος αἱ πινακίδες ἐξ ὀκτὼ κατεσκευασμέναι μεμβρανίνων φύλλων, δέρματι περικεκαλυμμένων μέλανι· ἅπερ μέρος ἐστὶ διατήλου τινὸς ἐκλελοιπότος Τριῳδίου τῆς δωδεκάτης ἑκατονταετηρίδος. Ἡ ὄψις μὲν οὖν τοῦ τεύχους οὕτως ἔχει· ἃ δὲ τοῦτο ἐμπεριέχει, τάδ' ἐστιν·

1. «Λόγος δ' Ἐφραὶμ τοῦ Σύρου», εἰς χυδαίαν ἐπὶ χάρτου γεγραμμένος διάλεκτον. Ἀρχ. «Διὰ δὲ τοὺς λογισμοὺς ὁποῦ μοῦ εἶπες, ἐνθυμοῦμαι καὶ δὲν μὲ λανθάνει», φ. 1.

2. Παραίνεσις ἀκέφαλος Ἐφραὶμ τοῦ Σύρου, ἡ τρίτη τὸν ἀριθμόν, ἐκ τῶν περὶ ἀρετῆς δέκα κεφαλαίων ἐκπηγάζουσα, φ. 2α. Μετὰ δὲ ταύτην ἐστὶ «παραίνεσις δ'», ἧς ἡ ἀρχή· «Εἶπέν τις τῶν ἁγίων· Μελέτα καλὰ» κτλ., φ. 2β (ἐκδ. Assemani τ. I, σ. 213)· τελευτᾷ δὲ νῦν εἰς τὰς λέξεις ταύτας· «κοινωνοὶ ἔσονται καὶ τῆς παρακλήσεως· εἰ δὲ καὶ» (Ass. I, σ. 214E). Ὅσα δὲ λείπει μετ' ἐκείνας, ἐν Πετρουπόλει κεῖται· ἃ πάλιν ἀπὸ τοῦ ἕκτου φύλλου τοῦ κώδικος τὴν ἀκολουθίαν τοῦ λόγου ποιεῖται ταῖς ἐφεξῆς λέξεσι· «κατάγνωσιν ὑπὸ Κυρίου καὶ ἀνθρώπων· ἀλλ' ἴσως ὑποβάλλει ὁ λογισμὸς» κτλ. (Assem. I, σ. 218E).

3. Τοῦ αὐτοῦ Ἐφραὶμ «πρόλογος εἰς τὸ Πρόσεχε σεαυτῷ» καὶ «λόγος ἀσκητικὸς εἰς τὸ Πρόσεχε σεαυτῷ». Ἀρχ. «Ὀφειλέται ἐσμὲν ἀγαπητοὶ» κτλ.—«Ἄκουε ἀγαπητὲ ὁ ἐλθὼν γενέσθαι μοναχὸς» κτλ., φ. 18. Assemani I, σ. 230-253.

4. Τοῦ αὐτοῦ, «ὅτι οὐ δεῖ γελᾶν καὶ μετεωρίζεσθαι, ἀλλὰ κλαίειν καὶ πενθεῖν ἑαυτούς». Ἀρχ. «Ἀρχὴ καταστροφῆς ψυχῆς μοναχοῦ», φ. 32β. Assemani I, σ. 254.

5. Τοῦ αὐτοῦ «συμβουλία περὶ πνευματικοῦ βίου πρὸς Νεόφυτον μοναχόν· κεφάλαια ηγ'», ὧν ἡ ἀρχή· «Ἐπαίνεσά [sic] σου τὴν πίστιν καὶ τὴν σπουδήν», φ. 35. Assem. I, σ. 258.

6. Τοῦ αὐτοῦ «περὶ βίου ὀρθοῦ κεφάλαια» πθ'. Ἀρχ. «Ὀρθοῦ βίου ὀρέγῃ», φ. 45β. Assem. II, σ. 56-72.

7. Τοῦ αὐτοῦ «ἔλεγχος αὐτῷ καὶ ἐξομολόγησις». Ἀρχ. «Ἀδελφοὶ συμπαθήσατέ μοι», φ. 52β. Asssem. I, σ. 18.

8. «Τοῦ αὐτοῦ περὶ τοῦ ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, καὶ περὶ ἀγῶνος καὶ ἀσφαλείας πολλῆς, πρὸς ἀδελφὸν ἐκπεσόντα». Ἀρχ. «Οἱ ἐν τοῖς ἰατρείοις [cod. ἰατροῖς] θεραπευόμενοι», φ. 55β. Assem. III, σ. 64.

9. Τοῦ αὐτοῦ «περὶ ἐγκρατείας καὶ τοῦ μὴ ζηλοῖν [sic] ἁμαρτωλοὺς τὸν καιρὸν προφασιζομένους, καὶ εἰς τὸν Νῶε· λόγος β'», οὗ ἡ ἀρχή· «Ἀλλ' ἐπειδὴ ἁλίσκονταί τινές», φ. 57. Assem. III, σ. 236.

10. Τοῦ αὐτοῦ «εἰς τὸν Λὼτ καὶ περὶ ἀσφαλείας λόγος γ'», οὗ ἡ ἀρχή· «Ἐπειδὴ οἱ φιλήδονοι», φ. 57β. Assem. III, σ. 237.

11. Τοῦ αὐτοῦ «λόγος δ' εἰς τὸν προφήτην Δανιὴλ καὶ εἰς τοὺς ἁγίους τρεῖς παῖδας· πρὸς τὸν λέγοντα: ὁ καιρὸς πονηρός ἐστιν· σωθῆναι οὐ δύναμαι». Ἀρχ. «Φέρε δὴ διασκεψώμεθα», φ. 59. Assem. II, σ. 319.

12. Τοῦ αὐτοῦ «λόγος ς'· εἰς τὸ μὴ θαυμάζειν τὰ πρόσκαιρα, μηδὲ δελεάζεσθαι ἐν τοῖς τερπνοῖς τοῦ βίου, καὶ εἰς τὸν ἑβδομηκοστὸν δεύτερον ψαλμόν». Ἀρχ. «Ἐπειδὴ ὁ ἡμέτερος νοῦς», φ. 61. Assem. III, σ. 29.

13. Τοῦ αὐτοῦ «πρὸς καθαίρεσιν ὑπερηφανίας λόγος ζ'», οὗ ἡ ἀρχή· «Ματαία πᾶσα ἄσκησις», φ. 62. Assem. I, σ. 23.

14. Τοῦ αὐτοῦ «περὶ ὑπομονῆς καὶ κατανύξεως λόγος παραινετικός», οὗ ἡ ἀρχή· «Ὁ πλάσας ἡμᾶς Θεός», φ. 65β. Assemani τ. III, σ. 86.

15. Τοῦ αὐτοῦ «περὶ ἀναστάσεως νεκρῶν. Ἐρώτησις· τί ἐστιν ὁ λόγος ὁ γεγραμμένος» κτλ., φ. 69. Assem. III, σ. 119.

16. Τοῦ αὐτοῦ «περὶ τοῦ μὴ ἀπέχεσθαι ἀπὸ πάσης βλαβερᾶς συντυχίας, καὶ περὶ ἐγκρατείας. Ἐρώτησις· εἰ καλὸν τὸ διαπονεῖσθαι περί τινος» κτλ., φ. 73. Assem. III, σ. 67.

17. Τοῦ αὐτοῦ «περὶ τοῦ μὴ σκανδαλίζειν τὸν πλησίον καὶ περὶ ὀρθοῦ βίου παραίνεσις». Ἀρχ. «Τοὺς προσελθόντας ἐπὶ τὸ στάδιον», φ. 75. Assem. III, σ. 33.

18. Τοῦ αὐτοῦ «περὶ μνήμης θανάτου καὶ περὶ ἀρετῆς καὶ πλούτου». Ἀρχ. «Πειθαρχεῖν δεῖ τῷ λέγοντι», φ. 77. Assemani τ. III, σ. 114.

19. «Τοῦ αὐτοῦ εἰς Ἰουλιανὸν τὸν ἀσκητήν». Ἀρχ. «Οὗτος ὁ ἄριστος τῶν ἀσκητῶν», φ. 80β. Assem. III, σ. 254.

20. Τοῦ αὐτοῦ «πρὸς τὸν αὐτόν». Ἀρχ. «Ὥσπερ δὲ δύο τινές», φ. 83.

21. «Τοῦ αὐτοῦ μακαρισμοὶ» λϛ'. Ἀρχ. «Μακάριος ὃς γέγονεν ὅλος ἐλεύθερος», φ. 84β. Assem. I, σ. 282.

22. «Τοῦ αὐτοῦ πρὸς τοὺς λέγοντας ἀπὸ ἐμπνευματώσεως τῆς γῆς τοὺς σεισμοὺς γίνεσθαι». Ἀρχ. «Εἴπατε ἡμῖν οἱ ἀπὸ καρδίας λαλοῦντες», φ. 87. Assem. III, σ. 47.

23. Τοῦ αὐτοῦ «περὶ τοῦ μὴ ἀπατᾶσθαι ὑπὸ ἑλληνικῆς ἐννοίας». Ἀρχ. «Προσθήσω δὲ καὶ τοῦτο», φ. 88. Assemani τ. III, σ. 48

24. «Τοῦ αὐτοῦ περὶ ὑπομονῆς καὶ συντελείας παρουσίας τοῦ Κυρίου, ἀδιαδόχου τε τῶν δικαίων βασιλείας καὶ ἀτελευτήτου τῶν ἁμαρτωλῶν κολάσεως, ὑπόθεσίς τε ἐξομολογήσεως καὶ προτροπὴ μελέτης τῶν θείων Γραφῶν, τίνες τε αἱ μεθοδίαι τοῦ ἐχθροῦ καὶ τί τὸ τῆς ἡσυχίας ὠφέλιμον». Ἀρχ. «Λαμπρὸς ὁ βίος τῶν δικαίων», φ. 89β. Assem. III, σ. 93.

25. «Τοῦ αὐτοῦ μακαρισμοί», ὧν ἡ ἀρχή· «Μακάριος, ὃς μισήσας κατέλιπε τὸν βίον», φ. 95β. Assem. I, σ. 292.

26. «Τοῦ αὐτοῦ περὶ παρθενίας». Ἀρχ. «Περὶ παρθενίας καὶ ἁγιασμοῦ ψυχῆς», φ. 99. Assem. III, σ. 74.

27. «Τοῦ αὐτοῦ ᾠδὴ εὔρυθμος εἰς τοὺς ὁσημέραι ἁμαρτάνοντας καὶ ὁσημέραι μετανοοῦντας». Ἀρχ. «Μέχρι τίνος ὦ φίλε ἀνεχόμενος», φ. 102. Assem. III, σ. 31.

28. «Τοῦ αὐτοῦ περὶ μετανοίας». Ἀρχ. «Μάθωμεν ἁμαρτωλοί», φ. 103. Assem. III, σ. 79.

29. «Τοῦ αὐτοῦ περὶ τῶν παθῶν». Ἀρχ. «Θέλω εἰπεῖν ἐνώπιον τῆς δόξης σου», φ. 104β. Assem. I, σ. 144.

30. «Τοῦ αὐτοῦ περὶ κατανύξεως». Ἀρχ. «Δοτὴρ πάντων ἀγαθῶν», φ. 109β. Assem. I, σ. 154.

31. «Τοῦ αὐτοῦ λόγος παραινετικός», οὗ ἡ ἀρχή· «Πρόσεχε σεαυτῷ ὦ νεότης», φ. 112. Assem. I, σ. 166.

32. «Τοῦ αὐτοῦ λόγος κατανυκτικός», οὗ ἡ ἀρχή· «Ἐν μιᾷ τῶν ἡμερῶν ὄρθρου λίαν ἀναστάς», φ. 116. Assem. I, σ. 158.

33. «Τοῦ αὐτοῦ εἰς πατέρας τελειωθέντας» λόγος, οὗ ἡ ἀρχή· «Τὴν καρδίαν μου ἀλγῶ», φ. 117β. Assem. I, σ. 172.

34. «Τοῦ αὐτοῦ λόγος περὶ τοῦ πάθους τοῦ Σωτῆρος», οὗ ἡ ἀρχή· «Φοβοῦμαι τοῦ λαλῆσαι», φ. 120. Assem. III, σ. 244.

35. «Τοῦ αὐτοῦ περὶ κρίσεως καὶ ἀναστάσεως». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοὶ καὶ ἀκούσατε», φ. 122β. Assem. III, σ. 148.

36. «Τοῦ αὐτοῦ εἰς πατέρας τελειωθέντας· εἰς ἐρημίτας». Ἀρχ. «Ἐν ταύτῃ τῇ ἡμέρᾳ τῇ πρώτῃ», φ. 123. Assemani τ. I, σ. 175.

37. «Ἐκ τοῦ αὐτοῦ λόγου τετρασύλλαβα». Ἀρχ. «Νικηθεὶς δὲ κατὰ κράτος», φ. 126. Assem. I, σ 181.

38. «Τοῦ αὐτοῦ ἑπτασύλλαβα». Ἀρχ. «Εἰδότες οὖν ἀδελφοὶ τὴν ἀσθένειαν», φ. 127. Assem. I, σ. 182.

39. «Τοῦ αὐτοῦ περὶ φόβου ψυχῆς». Ἀρχ. «Ἐγὼ Ἐφραὶμ ἁμαρτωλός», φ. 127. Assem. I, σ. 183.

40. «Τοῦ αὐτοῦ ὑπομνηστικόν», οὗ ἡ ἀρχή· «Πᾶσαν ὥραν ἐν νῷ ἔχω τὴν ὀπτασίαν», φ. 129. Assem. I, σ. 188.

41. «Τοῦ αὐτοῦ νουθεσία, ἤγουν κατήχησις πρὸς μοναχούς», ἧς ἡ ἀρχή· «Δεῦτε ἀγαπητοί μου, δεῦτε πατέρες καὶ ἀδελφοί μου», φ. 133 (Assem. I σ. 28). Μετὰ δὲ τὸ τέλος γέγραπται τοῦτο· «Βιβλίον τὸ δεύτερον».

42. «Τοῦ αὐτοῦ περὶ ἀρετῶν καὶ κακιῶν». Ἀρχ. «Μακαρίζω τὴν ὑμῶν ζωήν», φ. 135-145. Assem. I, σ. 1-18.

43. «Τοῦ αὐτοῦ παραίνεσις ἀντιρρητικὴ περὶ πραϋπαθείας καὶ σωφροσύνης». Ἀρχ. «Τῷ ἀδελφῷ ὑποβάλλει ὁ μιαρὸς δαίμων», φ. 145β. Παράβαλε Assemani II, σ. 129.

44. «Τοῦ αὐτοῦ παραίνεσις πρὸς μοναχούς», ἧς ἡ ἀρχή· «Ἀγαπητέ, ἐὰν βάλῃς καλὰς ἀρχάς», φ. 147β. Assem. II, σ. 79.

45. «Τοῦ αὐτοῦ περὶ ψυχῆς, ὅταν πειράζηται ὑπὸ τοῦ ἐχθροῦ, πῶς ὀφείλει μετὰ δακρύων τῷ Θεῷ προσεύχεσθαι». Ἀρχ. «Ψυχὴ τεθλιμμένη προσέρχεταί σοι», φ. 148. Assem. I, σ. 193.

46. «Τοῦ αὐτοῦ περὶ κρίσεως καὶ κατανύξεως». Ἀρχ «Δεῦτε πάντες ἀδελφοί», φ. 151β. Assem. II, σ. 50.

47. «Τοῦ αὐτοῦ ἀσκητικὸν ὠφέλιμον», οὗ ἡ ἀρχή «Οἱ βουλόμενοι κατὰ ἀλήθειαν», φ. 157 (Assem. III, σ. 38)· ἐν δὲ τῇ ᾤᾳ γέγραπται κεφαλαιώδεσι γράμμασι τοῦτο· «Ἰστέον ὅτι [ἐν] τοῖς τοῦ ἀ[β]βᾶ] Μακαρίο[υ λό]γοις τοῖ[ς ἐν] τῷδε τῷ [βι]βλίῳ κε[ῖται] οὗτος ἐνκείμενος μ[ετὰ] τὸν κδ'».

48. «Τοῦ αὐτοῦ περὶ ὑπομονῆς». Ἀρχ. «Ὁ βουλόμενος Θεῷ εὐαρεστῆσαι», φ. 159β (Assem. II, σ 326). Καὶ πάλιν ἐν τῇ ᾤᾳ γεγραπται· «Καὶ οὗτος ἐν τοῖς τοῦ ὁσίου Μακαρίου κεῖται κ'»

49. «Τοῦ αὐτοῦ περὶ μακαρισμῶν καὶ ταλανισμῶν». Ἀρχ. «Μακάριοι οἱ τὸν Θεὸν ἀγαπήσαντες», φ. 164. Assemani τ. II, σ. 334.

50. «Τοῦ αὐτοῦ λόγος περὶ κατανύξεως», οὗ ἡ ἀρχή «Κατανύγηθι ψυχή μου», φ. 165. Assem. I, σ. 161.

51. «Τοῦ αὐτοῦ περὶ μετανοίας καὶ ὑπομονῆς». Ἀρχ. «Ἆρα τίς τὸν παρόντα βίον», φ 168. Assem. III, σ. 83.

52. «Τοῦ αὐτοῦ λόγος πρὸς διόρθωσιν τῶν ἐμπαθῶς διαγόντων καὶ τιμὰς ἀπαιτούντων». Ἀρχ «Ἀγωνιῶ ἀδελφοὶ καὶ φρίττω», φ. 170. Assem. I, σ. 111.

53. «Τοῦ αὐτοῦ ἐξομολόγησις, ἤγουν προσευχὴ πρὸς Θεόν», ἧς ἡ ἀρχή· «Ἴασαί με Κύριε καὶ ἰαθήσομαι», φ. 175. Assemani τ. I, σ. 199.

54. «Τοῦ αὐτοῦ εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Προσέλθετε καὶ δεῦτε υἱοὶ φωτός», φ. 176β. Assem. I, σ. 167.

55. «Τοῦ αὐτοῦ περὶ πίστεως». Ἀρχ. «Ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ», φ. 179β. Assem. II, σ. 336.

56. «Τοῦ αὐτοῦ ἔλεγχος ἑαυτῷ καὶ ἐξομολόγησις». Ἀρχ. «Ἐν πολλοῖς ἡμῖν ἀδελφοί», φ. 182β. Assem. I, σ. 119.

57. «Τοῦ αὐτοῦ περὶ ἱερωσύνης». Ἀρχ. «Ὢ θαῦμα παράδοξον», φ. 198β. Assem. III, σ. 1-6.

58. «Τοῦ μακαρίου Ἐφραὶμ λόγοι παραινετικοὶ πρὸς μονα-

χούς». Ἀρχ. «Παραίνεσις α'. Δόξα σοι ὁ Θεὸς δόξα σοι», φ. 202-239, ἔνθα κεῖται ἡ λθ' παραίνεσις· ταύτης δὲ τὸ τέλος ἐλλείπει· τελευτᾷ γὰρ εἰς τὰς λέξεις τάσδε· «ἐὰν βούλῃ αὐτὸν τὸν βασιλέα φίλον κτῆσαι ἀπ' ἐντεῦθεν». Assem. II, σ. 72 κέ. Σημειωτέον δέ, ὅτι μετὰ τὸ 216-ον φύλλον ὑπάρχει τι χάσμα· ἐλλείπουσι γὰρ ἐκεῖθεν καὶ τὸ τέλος τῆς ιθ' παραινέσεως καὶ αἱ τρεῖς ἐφεξῆς παραινέσεις.

159. Τεῦχος ἐκ φύλλων χάρτου 262, μήκους μὲν 0,233, πλάτους δὲ 0,17· ὅπερ ἐγράφη ἔτει 1541-ῳ. Ἐνέχει δὲ χείμενον κατὰ μίαν ἑκάστην τῶν σελίδων γεγραμμένον ἐν μιᾷ μόνῃ στήλῃ, ἐκ γραμμῶν ἀποτετελεσμένῃ δύο καὶ εἴκοσιν, ὅ ἐστι 0,173×0,115· τοῦτο δὲ ἐπιγραφὴν ἔχει ταύτην· «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ δευτέρου τμήματος τῆς Ὀκτωήχου, ἤγουν τοῦ πλαγίου πρώτου». Ἐμπεριέχει τοίνυν τὸ δεύτερον ἥμισυ μέρος τῆς Παρακλητικῆς βίβλου, ἧς ἡ ἀρχή· «Τῷ σαββάτῳ ἑσπέρας στιχηρὰ εἰς τὸ "Κύριε ἐκέκραξα"· ἦχος πλάγιος α'. Διὰ τοῦ τιμίου σου σταυροῦ Χριστέ» κτλ. Μετὰ δὲ τὸ τέλος τοῦ πλαγίου τετάρτου ἤχου εὑρίσκει ὁ ἀναγνώστης «Ἐξαποστειλάρια ἀναστάσιμα ια' μετὰ τῶν θεοτοκίων καὶ ἑωθινῶν ἰδιομέλων, ποίημα (ὄντα) Λέοντος δεσπότου», καὶ «Τὰ τριαδικὰ τῆς Ὀκτωήχου»· μετὰ δὲ ταῦτα ὑπάρχει τόδε· «✝ Δόξα τῷ Θεῷ τῷ δίδοντι ἀρχὴν καὶ τέλος: — ✝ Ἐτελειώθη μηνὶ φε(βρουα)ρ(ίῳ) κδ', ἔτους ,ζμθ', ἰνδικτιῶνος ιδ'». Σημειωτέον ἔτι, ὅτι καὶ τοῦ κώδικος τούτου φύλλα τέσσαρα Πορφύριος ἀπέσπασεν ὁ Οὐσπένσκης, ἃ νῦν εὕρηται φυλαττόμενα κατὰ τὴν ἐν Πετρουπόλει βιβλιοθήκην, ὑπ' ἀριθμὸν ἐκεῖ τεταγμένα τὸν 446-ον· ἦν δὲ ταῦτα χείμενα ἐξ ἀρχῆς μετὰ τὸ 160-ον φύλλον τοῦ κώδικος, περιέχοντα σὺν ἄλλοις παρακλητικὸν εἰς τὴν Θεοτόκον κανόνα τοῦ μελῳδοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχὶς ἔλεγε· «Τὴν ἑβδόμην δέησιν, ἁγνή, νῦν δέχου Ἰωσήφ».

160. Τεῦχος ἀποτελεσθὲν ἐκ λειψάνων δύο κωδίκων τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, τοῦ μὲν ἐκ χάρτου βαμβακεροῦ, τοῦ δὲ κοινοῦ τῷ τότε. Ἀλλὰ καὶ ἐν τῇ ἀρχῇ αὐτοῦ πέντε προσετέθη φύλλα κατὰ τὸν πεντεκαιδέκατον αἰῶνα. Ἀπὸ

μὲν οὖν τοῦ 6-ου μέχρι τοῦ 144-ου φύλλου τετράδια συνυπάρχει παρὰ τοῦ γραφέως ἠριθμημένα ἑπτακαίδεκα (α'—ιζ')· ἀπὸ δὲ τοῦ ἐφεξῆς μέχρι τοῦ 288-ου φύλλου τετράδια πάλιν κεῖται δέκα καὶ ὀκτώ, ἀριθμοὺς ἔχοντα τακτικῶς βαίνοντας ἀπὸ τοῦ κέ μέχρι τοῦ μβ' ἀριθμοῦ· μετὰ δὲ τοῦτον τρία ἕτερα τετράδιά ἐστιν, ἀριθμοὺς μὲν ἔχοντα συνεχεῖς ἀπὸ τοῦ α' μέχρι τοῦ γ', γεγραμμένα δὲ παρὰ τῆς χειρὸς τοῦ γράψαντος τὰ πρώτιστα τετράδια· ὅθεν ἔξεστι πιστεύειν, ὅτι τὰ μεσοχωρήσαντα παρέλαβεν ἐκεῖνος ἐξ ἄλλης ὁμογενοῦς βίβλου διεφθαρμένης, πρὸς ἀναπλήρωσιν ἢ τοῦ οἰκείου πόνου ἢ τοῦ κώδικος τοῦ ἐφθαρμένου. Συνεγκλείει τοίνυν ὁ κῶδιξ ὅλος, ὡς νῦν ἔχει, φύλλα 313, ἃ μήκους μέν ἐστι 0,23, πλάτους δὲ 0,157· ἃ δὲ περιέχει, τάδ' ἐστιν.

1. Σημείωμα τοιόνδε ἐν τῷ πρώτῳ φύλλῳ· «† Αὐτὸν τὸ βιβλίον ἤβραν τοῦ ἁγίου Σάβα, ὅπωταν ἠνήχθη ὁ ἅγιος Σάβας, διασυνεργείας τῶν ἀφεντῶν τῆς Βλαχίας καὶ ἦρθεν ὁ πρώην ἡγούμενος τοῦ ὄρους Σινὰ καὶ ἠπήασαν τὸ μοναστήριον, ἤγουν ὁ κῦρ Ἰωακεὶμ Βλάχος καὶ ἐποίκαν ἀφωρισμόν: ἥτις ἔχει βηβλήα τοῦ ἁγίου Σάβα ναταδωση: καὶ ἔτις (=ἔτσι?) ἤβρικεν ὁ κυρ Μάξιμος ὁ ἅγιος ὁ οἰκονόμος καὶ ἔδωσεν πέντε μαγίδ(ια) τοῦ κυρ Πραήμι διάκου καὶ γαμπροῦ τοῦ παπᾶ Σελεμᾶν, ἀπὸ το χορίον Πεζαλᾶ. Ἔτους ,ζμβ', ἰνδικτιῶνος δ'» (=1533—1534).

2. Ἀνώνυμος «κανὼν τῆς ὑπεραγίας Θεοτόκου», φ. 2—5.

3. Μηναῖα τῶν μηνῶν Ἰανουαρίου καὶ Φεβρουαρίου, φ. 6-313.

161. Τεῦχος ἀποτελεσθὲν ἐκ διαφόρων τετραδίων τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, ὅπερ ἦν ποτε κτῆμα καὶ «τοῦ ἁγίου Τάφου» (ὅρα τὸ 251-ον φύλλον) καὶ τῆς μονῆς τοῦ ἀββᾶ Γερασίμου, ἧς τὸ ὄνομα σεσημείωται μονογραμμάτως ἐν τῷ 4-ῳ φύλλῳ.

1. Λόγος ἀκέφαλος εἰς Ἰωάννην τὸν Πρόδρομον, οὗ αἱ νῦν πρῶται λέξεις ἔχουσιν ὧδε· «διὰ τοῦτό σε εἰς τὴν ἔρημον ἀπέστειλα, ἵνα ἐν σώματι ὢν γένῃ ὡς ἀσώματος», φ. 1—4.

2. Τεμάχιον λόγου περὶ τῆς Θεοτόκου μέχρι τοῦ τέλους αὐτοῦ· ἄρχεται δ' ἀπὸ τῶν λέξεων τούτων· «αὐτοῦ ἱερέων παραλαμβάνει πρὸς δελεασμὸν τοῦ ἀρχεκάκου ὄφεως», φ. 5—6^{α}.

3. «Ἀμφιλοχίου ἐπισκόπου Εἰκονίου [sic] λόγος εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ἄνναν». Ἀρχ. «Πολλοὶ τῶν μεγάλων ἀνθρώπων», φ. 6β—7β, ἔνθα τὸ κείμενον ἀτελὲς ὑπάρχει διὰ τὸν ἐκπεσμὸν φύλλων, ἐν οἷς ἔκειτο ἡ τοῦ λόγου ἀκολουθία· ὅρα δὲ τοῦτον ἐν συνόλῳ παρὰ τῷ Migne. τ. 39, σ. 44.

4. Λόγος ἀκέφαλος καὶ ἀτελὴς περὶ τῆς γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ, ὃς ἀπὸ τῶν λέξεων ἄρχεται τῶνδε· «τῆς φύσεως· ἀλλ' ὅτε ἐτέχθη, Ἰουδαῖοι ἠρνοῦντο τὸν ξένον τόκον», φ. 8—13.

5. Τεμάχιον λόγου περὶ τῆς Θεοτόκου, ἀρχόμενον ὧδε· «ἀπὸ τῆς παρθενίας ἐτῶν ὀγδοήκοντα τεσσάρων πληρώσασα», φ. 14-15.

6. Ἐπιφανίου τοῦ ἀρχιεπισκόπου Κύπρου, λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Τί τοῦτο σήμερον», φ. 16. Migne τ. 43, σ. 440.

7. Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λόγος «εἰς τὸν ἅγιον Ἰωάννην τὸν εὐαγγελιστὴν καὶ θεολόγον», οὗ ἡ ἀρχή· «Οἱ μὲν ἄλλοι εὐαγγελισταί», φ. 35β. Fabrici, Bibl. Gr. IX, σ. 510. H. Omont, Catalogue des MSS grecs de la bibl. royale de Bruxelles, σ. 38. Ἀ. Π. Κεραμέως, Μαυρογορδ. Βιβλιοθήκη I, σ. 77 (=R. A. Lipsius, Die Apokryphen κτλ. Ergänzungsheft, σ. 14).

8. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Φαιδρὰ μὲν πᾶσα ἑορτή», φ. 38β. Migne τ. 52, σ. 799.

9. Τοῦ αὐτοῦ λόγος εἰς τὴν Πεντηκοστήν, οὗ ἡ ἀρχή· «Οὐρανὸς ἡμῖν γέγονε σήμερον ἡ γῆ», φ. 44β. Migne τ. 52, σ. 803.

10. Τοῦ αὐτοῦ λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου. Ἀρχ. «Πάλιν χαρᾶς εὐαγγέλια», φ. 55. Migne τ. 50, σ. 791.

11. Θεοδώρου τοῦ Στουδίτου «λόγος εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Ἀγαλλιάσεως καὶ εὐφροσύνης ἡμέρα», φ. 60β. J. Gretseri, De cruce Christi II, σ. 287. Migne τ. 99, σ. 692.

12. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἁγίαν Χρι-

στοῦ τοῦ Θεοῦ ἡμῶν μεταμόρφωσιν». Ἀρχ. «Δεῦτε φίλοι καὶ τήμερον», φ. 67 μέχρις 72, ἔνθα τὸ κείμενον ἀτελὲς ὑπάρχει. Τὸ ὅλον δὲ τοῦ λόγου φέρεται τετυπωμένον ἐπ' ὀνόματι Πρόκλου τοῦ Κωνσταντινουπόλεως. Migne 65, σ. 764. Πρβλ. Fabrici, Bibl. Gr. X, σ. 243.

13. «Λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, τῆς θεοπρεποῦς τε γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς συνέδραμε τελευτῆς· προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος τοῖς χριστιανοῖς τεθησαύρισται». Ἀρχ. «Ἐχρῆν ἀληθῶς τὴν παρθένον», φ. 73. Ἱεροσολυμ. Βιβλιοθ. I, σ. 232, 239, 461. Matthaei, Accurata codicum graec. biblioth. Mosquensium sanct. synodi notitia et recensio, σ. 91.

14. «Γεωργίου πρεσβυτέρου Καισαρείας Καππαδοκίας, λόγος εἰς τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ ἁγίους πατέρας καὶ εἰς Κωνσταντῖνον τὸν εὐσεβέστατον βασιλέα». Ἀρχ. «Πείθεσθαι τοῖς ἡγουμένοις», φ. 116. Combefis, Auct. novum II, σ. 547. Migne τ. 111, σ. 420.

15. Μαρτύριον τοῦ ἁγίου Δημητρίου, οὗ ἡ ἀρχή· «Μαξιμιανὸς ὁ καὶ Ἑρκούλιος ὑποτάξας», φ. 126. Migne τ. 116, σ. 1073.

16. Μαρτύριον τοῦ ἁγίου Εὐστρατίου καὶ τῆς αὐτοῦ συνοδίας. Ἀρχ. «Βασιλεύοντος Διοκλητιανοῦ», φ. 132. Migne τ. 116, σ. 468.

17. Ἀσματικὴ ἀκολουθία ψαλλομένη τῇ πέμπτῃ Ἰουλίου εἰς Ἀθανάσιον τὸν ἐν τῷ Ἄθῳ, φ. 158· ἡ δὲ τοῦ κανόνος ἀκροστιχὶς ἥδε· «Ἀθανάσιον ὑμνῶν ἀρετὴν ἐπαινέσω· ἀμήν».

18. Κυρίλλου Ἀλεξανδρείας «λόγος εἰς τὴν ἁγίαν ἑορτὴν τῶν βαΐων», οὗ ἡ ἀρχή· «Βασιλικὴν οἱ πιστοὶ σήμερον», φ. 168β. Migne τ. 77, σ. 1049.

19. «Βίος καὶ ἀγῶνες καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ». Ἀρχ. Οἱ τῶν ἀρίστων ἀνδρῶν ἀνάγραπτοι βίοι», φ. 182-243. Πρβλ. Νικοδήμου, Συναξαρ. II, σ. 249. Σημειωτέον, ὅτι ἐπὶ μὲν τοῦ 182-ου

φύλλου τοῦ κώδικος γέγραπται παρά τινος διὰ μολύβδου τὸ «ἐλλείπουσι δύο φύλλα», ἐπὶ δὲ τοῦ 223-ου τὸ «φύλλα ἑπτὰ ἐλλείπουσιν».

20. «Διήγησις διαλαμβάνουσα περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, καὶ δι' ἣν αἰτίαν καὶ ὅπως παρέλαβε τὴν ὀρθοδοξίαν ἐτησίως τελεῖν τῇ πρώτῃ Κυριακῇ τῶν ἁγίων νηστειῶν ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία». Ἀρχ. «Ὁ βασιλεὺς Θεόφιλος συγχωρήσει Θεοῦ», φ. 243-251, ἔνθα τὸ κείμενον ἀτελὲς ὑπάρχει. Ὅλην δὲ τὴν διήγησιν εὑρίσκεις παρὰ τῷ Combefis, Auct. novum, τ. II, σ. 171 κἑ.

21. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον εἰς τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον», οὗ ἡ ἀρχή· «Οὐρανοῦ καὶ γῆς ἅμιλλαν ὁρῶ», φ. 252. Migne τ. 59, σ. 491.

22. Λείψανον ἐγκωμιαστικοῦ τινος λόγου περὶ τοῦ βαπτιστοῦ Ἰωάννου, οὗ αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· «καὶ τοὺς ἐν πλάνῃ ὡδήγησαν» κτλ., φ. 256-259.

162. Τεῦχος ἐκ χάρτου, γραφὲν ἐπιμελῶς τῇ πεντεκαιδεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐκ φύλλων 517, ὧν τὸ κείμενόν ἐστι μονόστηλον κατὰ σελίδα πᾶσαν (0,217 × 0,16 = 0,152 × 0,95)· μετὰ δὲ τὴν πρόσθιον πιναχίδα προσέθηκεν ὁ βιβλιοδέτης ἓξ φύλλα τοῦ ἑκκαιδεκάτου αἰῶνος, κεφάλαιά τινα τῆς παντοδαποῦς ἐνέχοντα διδασκαλίας Μιχαὴλ τοῦ Ψελλοῦ. Τὸ μὲν οὖν τεῦχος οὐ μόνον ἐπιμελῶς γέγραπται, ὡς εἴρηται, ἀλλὰ καὶ κοσμήμασιν ἐρυθροῖς μὲν ταινιοειδέσι δὲ κεκόσμηται, καὶ μεγάλοις οὐκ ὀλίγοις κεφαλαιώδεσι γράμμασι τοῖς μὲν ἐρυθροῖς, τοῖς δὲ πολυχρωματίστοις· ἃ δὲ περιέχει, τάδ' ἐστιν [1].

1. Ψαλτήριον (φ. 1-62), ἔχον ἐν τέλει τοῦ κειμένου σημείωμα γεγραμμένον ἐρυθροῖς γράμμασιν, ὃ λέγει ταῦτα· «Τὴν τῶν ᾠδῶν δὲ ἀκολουθίαν ζήτει ἐν τῷ Ὡρολογίῳ καὶ εὑρίσεις [sic], καὶ διὰ τοῦτο οὐκ ἐγράψαμεν διὰ τὸ εἶναι αὐτὰς ἐκεῖσε: — Τέλος σὺν Θεῷ καὶ τοῦ Ψαλτηρίου· τῷ Θεῷ ἡμῶν δόξα: — ✝ Χριστὲ

[1] Ἐν ὥρᾳ τινὶ τῆς πρώτης σελίδος γέγραπται τοῦτο· «Τιμόθεος ἱερομόναχος ἐκ νίσου Πάρου 1795 ἰανουαρίου 4».

μου, δίδου μογήσαντι τέην [sic] πολύολβον ἀρρωγήν: — † Μεθοδίου, ἁμαρτωλοῦ, μοναχοῦ, εὔχεσθαι [sic] πάντες, ἔρρωσθαι [sic]:— Πάτερ ἐν ταῖς εὐχαῖς σου κἀμοῦ μέμνησῳ [sic]:—† Τέλος.

2. «Ὕμνοι πρὸς τὸ θεῖον ἐρωτικοί, πλήρεις τῶν θαυμασίων αὐτοῦ, μεστοὶ εὐφροσύνης καὶ ἐκπλήξεως καὶ ἀγαλλιάσεως πνευματικῆς, ἠκονημένα ξίφη κατὰ τῶν ἀοράτων ἐχθρῶν, εἰρήνη σταθηρὰ εἰς τὸν ἔμφυτον πόλεμον τῆς σαρκός, ὅπλα καὶ φρουροὶ καὶ προθυμία καὶ δύναμις τῆς ψυχῆς τῆς ποθούσης λέγειν αὐτούς· εἰσὶ δὲ πόνημα μοναχοῦ Θηκαρᾶ ἀπὸ τῆς Κωνσταντινουπόλεως» κτλ., φ. 63 μέχρις 141, ἔνθα κεῖται τὸ «† Τέλος τῶν θείων καὶ ἱερῶν ὕμνων: †» καὶ μετὰ τοῦτο τὸ «† Ὁ ἀναγινώσκων εὔχου καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ Μεθοδίου μοναχοῦ τοῦ γράψαντος, ὅπως εὕρω ἄνεσιν τῶν πολλῶν μου σφαλμάτων».

3. «Τοῦ αὐτοῦ εὐχαί, συλλεχθεῖσαι ἀπὸ τῆς θείας Γραφῆς, τὰ πλεῖστα δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραίμ, τοῖς βουλομένοις πολεμῆσαι τὴν ἑαυτῶν πρὸς τὰ πάθη καὶ τὰς ἡδονὰς ἐγκειμένην προαίρεσιν», φ. 142-164. Πρβλ. Assemani ἔκδοσιν τῶν ἁπάντων Ἐφραὶμ τοῦ Σύρου, τ. III, σ. 492.

4. «Ὡρολόγιον σὺν Θεῷ ἁγίῳ, ἔχον τὴν ἅπασαν ἀκολουθίαν», φ. 165-255.

5. «Μηνολόγιον σὺν Θεῷ ἁγίῳ τοῦ ὅλου ἐνιαυτοῦ», τὰ ὀνόματα τῶν ἁγίων ἀναγράφον ἀνδρῶν καὶ τὰ ψαλλόμενα κατὰ τὰς μνήμας αὐτῶν τροπάρια καὶ κοντάκια, φ. 256-317.

6. «Τὰ ἀπολυτίκια καὶ κοντάκια τοῦ Τριῳδίου καὶ Ἐξωπασχίου, ἀρχόμενα ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου μέχρι τῶν Ἁγίων Πάντων», φ. 317β-325.

7. «Ἀπολυτίκια ἀναστάσιμα τῶν ὀκτὼ ἤχων σὺν τοῖς θεοτοκίοις καὶ ταῖς ὑπακοαῖς αὐτῶν», φ. 325β.

8. «Τροπάρια ἀναστάσιμα, ψαλλόμενα μετὰ τὸν Ἄμωμον ἐν ταῖς Κυριακαῖς τοῦ ὅλου χρόνου», φ. 328β.

9. «Ἕτερα τροπάρια νεκρώσιμα», φ. 329.

10. «Ἀκολουθία εἰς τὸν ἀκάθιστον ὕμνον τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας», φ. 330β.

11. «Εὐχὴ κατανυκτικὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον», φ. 340β.

12. «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα Θεοκτίστου μοναχοῦ», οὗ ἡ ἀρχή· «Πολλοῖς συνεχόμενος πειρασμοῖς», φ. 341. Ὡρολόγιον τὸ μέγα, διορθωθὲν ὑπὸ Βαρθολομαίου Κουτλουμουσιανοῦ. Βενετία 1882, σ. 440.

13. «Εὐχὴ εἰς ἐξομολόγησιν· καὶ ὀφείλει(ς) καθημέραν ἀμεταθέτως λέγειν πρὸς τὴν ὑπεραγίαν Θεοτόκον, ἐὰν ποθῇς ἐν ὥρᾳ τοῦ ψυχορραγήματός σου ἰδεῖν αὐτὴν καὶ βοηθείας πολλῆς καὶ παρηγορίας τυχεῖν ἐξ αὐτῆς». Ἀρχ. «Δέχου τοίνυν εὐμενεστάτη», φ. 343β. Goar, Εὐχολόγιον σ. 686.

14. «Ἕτερος κανὼν ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον, κατανυκτικὸς πάνυ· ἦχος πλάγιος β'». Ἀρχ. «Πῶς μου θρηνήσω τὸν βίον», φ. 345. Ὅρα τὸ βιβλίον τοῦτο: Εὐχαὶ κατανυκτικαὶ διαφόρων ἁγίων καὶ κανόνες εἰς τὴν ἁγίαν τριάδα καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, συλλεχθέντα παρά τινος ἀδελφοῦ κτλ. Ἐν Τεργεστίῳ 1804, σ. 177-182.

15. «Ἑτέρα εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, πάνυ ὠφέλιμος καὶ πολλὴν κατάνυξιν ἔχουσα, διὰ στίχου». Ἀρχ. «Ἀλλ' ὦ παρθένε δέσποινα, ἄχραντε Θεοτόκε, κυρία μου ὁλόδοξε», φ. 346β. Εὐχαὶ κατανυκτικαὶ διαφόρων ἁγίων κτλ., σ. 47-49.

16. «Κανὼν σταυροθεοτόκιος εἰς τὴν ὑπέραγνον Θεοτόκον· ἦχος πλάγιος β'». Ἀρχ. «Ὥσπερ ἀμνὸς ἀνηρτήθης», φ. 349β.

17. «Εὐχὴ κατανυκτικὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, κατὰ ἀλφαβήτου» [sic]. Ἀρχ. «Ἀνυμνῶ σου τὴν χάριν», φ. 353.

18. «Ἀκολουθία εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν καὶ δεσπότην Χριστὸν τὸν γλυκύτατον, περὶ νήψεως· ἦχος πλάγιος β'». Ἀρχ. «Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς» κτλ., φ. 353β.

19. «Κανὼν νηπτικὸς (εἰς τὸν αὐτόν)· ποίημα Θεοκτίστου μοναχοῦ». Ἦχος β'. Ἀρχ. «Ἰησοῦ γλυκύτατε Χριστέ», φ. 355. Ὡρολόγιον τὸ μέγα, σ. 481.

20. Εὐχὴ εἰς ἐξομολόγησιν, πολλὴν κατάνυξιν καὶ συντριβὴν καρδίας ἔχουσα· ἥν τινα ὀφείλεις διὰ παντὸς μετὰ δακρύων ἀναγινώσκειν ἔμπροσθεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· τοῦ

μεγάλου Βασιλείου». Ἀρχ. «Ἐξομολογοῦμαί σοι, Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς», φ. 359.

21. «Κανὼν θαυμασιώτατος εἰς πάντα τὰ ἐπουράνια τάγματα καὶ πάντας τοὺς ἁγίους, λεγόμενος παρὰ τῶν μὴ ἀπερχομένων ἐν τῇ ἐκκλησίᾳ καθ' ἑκάστην· ποίημα Ἰωσήφ». Ἀρχ. «Ἄναρχε λόγε ἱεραῖς δεήσεσι», φ. 361. Ὡρολόγιον τὸ μέγα, σ. 497.

22. «Ἀκολουθία τῆς ἁγίας μεταλήψεως», φ. 365· μετὰ τὸ 380-ον φύλλον ὑπάρχει χάσμα· Πορφύριος γὰρ ὁ Οὐσπένσκης ἔλαβεν ἀποσπάσας ἐντεῦθεν τετράδια δύο (τὸ κη' καὶ τὸ κθ'), ἅπερ ὅμως οὐχ εὑρέθη μεταξὺ τῶν εἰς τὴν βιβλιοθήκην Πετρουπόλεως συγκομισθέντων παρ' ἐκείνου κωδίκων· ὅτε δὲ Πορφύριος ἐξερρίζου τὰ τετράδια ταῦτα, σπεύσας ἐπέγραψεν ἐν τῷ 380-ῳ φύλλῳ σημεῖον δηλωτικὸν τῆς ἀφαιρέσεως—τοῦτο δὲ καὶ ἐν τοῖς λοιποῖς κώδιξι τοῖς παρ' αὐτοῦ διαφθειρομένοις εἰώθει πράττειν—καὶ ἀριθμὸν ἔτους ἀπὸ κτίσεως κόσμου (͵ζϟι' = 1582-1583), τὸν χρόνον ἐμφαίνοντα καθ' ὃν ἐγράφη τὸ τεῦχος τοῦτο.

23. Στιχηρὰ σταυρώσιμα, προσόμοια καὶ μαρτυρικά, ψαλλόμενα ἀπὸ τῆς Τρίτης ἑσπέρας μέχρι τῆς Παρασκευῆς ἑσπέρας, φ. 381.

24. «Ἐξαποστειλάρια τῆς ἑβδομάδος», φ. 384β.

25. «Κανὼν εἰς ψυχορραγοῦντας· ποίημα Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου» εἰς ἦχον πλάγιον β', οὗ ἡ ἀρχή· «Δεῦτε συνάχθητε πάντες οἱ εὐσεβεῖς», φ. 385β.

26. «Εὐχὴ εἰς ψυχορραγοῦντας, ὑπὸ ἱερέως λεγομένη», ἧς ἡ ἀρχή»· «Δέσποτα Θεὲ παντοκράτορ, ὁ πατὴρ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, ὁ πάντας θέλων σωθῆναι» κτλ. φ. 387β.

27. Κυρίλλου Ἀλεξανδρείας «λόγος περὶ ἐξόδου ψυχῆς καὶ περὶ τῆς δευτέρας παρουσίας»· οὗ ἡ ἀρχή· «Φοβοῦμαι τὸν θάνατον», φ. 389 μέχρι τοῦ 396. Migne τ. 77, σ. 1072.

28. Ἀκέφαλον τεῦχος, ἀρχόμενον ἀπὸ τοῦ τρίτου τετραδίου, φ. 397 κέ· περιέχει δὲ τὰ ἐφεξῆς κείμενα.

29. Ἀκέφαλον βιβλίον περὶ τοῦ πῶς δεῖ πολιτεύεσθαι τὸν μοναχόν, συνειρμοσμένον ἐκ πονηματίων διαφόρων τῆς ἐκκλησίας πατέρων καὶ διῃρημένον εἰς κεφάλαια λθ', φ. 397—424. Σημειοῦ-

μαι δὲ κατ' ἐξαίρεσιν τοῦτο· «Τοῦ ἁγίου πατριάρχου Λουκᾶ, πῶς δεῖ τὸν μοναχὸν διάγειν εἰς τὸ κελλίον αὐτοῦ». Ἀρχ. «Τὸ νυχθήμερον ποίει εὐχὰς δισχιλίας, μήτε ὅλως ἱστάμενος, μήτε πάλιν καθήμενος» κτλ., φ. 403β.

30. «Περὶ τάξεως ἀρχαρίων καὶ κατηχήσεως πάνυ ἀναγκαιοτάτης, κοσμοῦσα [sic] τὰ ἤθη τοῦ ἀνθρώπου· ἐκ τοῦ ἁγίου Ἰσαάκ». Ἀρχ. «Αὕτη ἐστὶν ἡ τάξις ἡ σώφρων καὶ Θεῷ προσφιλής», φ. 427.

31. «Ἐκ τῆς βίβλου Πέτρου μοναχοῦ τοῦ Δαμασκηνοῦ πάνυ ὠφέλιμον». Ἀρχ. «Ἀρχὴ μὲν παντὸς ἀγαθοῦ ἡ ἐκ Θεοῦ διδομένη φυσικὴ γνῶσις», φ. 429.

32. «Περὶ κοινοβίων». Ἀρχ. «Οἱ τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα φοροῦντες, οὐ μόνον μὴ ἔχειν ἴδιόν τι» κτλ., φ. 438.

33. «Ἐκ τοῦ μεγάλου Βασιλείου ὠφέλιμον πάνυ». Ἀρχ. «Πολλοὺς τῶν ἀνθρώπων ἀκήκοα ἐπιζητοῦντας», φ. 440.

34. «Τοῦ αὐτοῦ μεγάλου Βασιλείου περὶ ἀσκήσεως καὶ πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν». Ἀρχ. «Δεῖ τὸν μοναχὸν πρὸ πάντων ἀκτήμονα βίον», φ. 441.

35. Διηγήσεις ἐκ τοῦ Λειμωναρίου περὶ Θεοδώρου τοῦ Βυζαντέ, Μωυσέως τοῦ Αἰθίοπος καὶ περὶ προφητείας πατέρων τῆς Σκήτεως, φ. 442β.

36. Ἀθανασίου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς τοὺς ἀποταξαμένους, ἧς ἡ ἀρχή· «Ἀδελφέ μου, εἰ ἀπετάξω τῷ κόσμῳ τούτῳ», φ. 446β.

37. «Στεφάνου τοῦ Θηβαΐτου ἐντολαὶ τοῖς ἀποτασσομένοις». Ἀρχ. «Πρῶτον μὴ ἔχε κοινωνίαν μετὰ γυναικῶν», φ. 447β.

38. «Νείλου μοναχοῦ εἰς μοναχοὺς ἡσυχάζοντας». Ἀρχ. «Μὴ μετὰ περισπωμένων συναυλίζου», φ. 448.

39. «Ἐκ τῶν παραγγελμάτων τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων». Ἀρχ. «Ἔχε τὸν νοῦν σου πάντοτε πρὸς τὸν Θεόν», φ. 449β.

40. «Ἀντωνίου πατριάρχου Κωνσταντινουπόλεως, προτροπὴ εἰς ἐξαγόρευσιν, ἐν ᾗ σαφέστατα τὸ ἐκ ταύτης ὠφέλιμον ἀποδέδεικται· ἐρρέθη δὲ πρὸς τοὺς μοναχοὺς τῶν Στουδίων». Ἀρχ.

«Πατέρες καὶ ἀδελφοί, τῶν γνησίως ἐρώντων εἰδικώτατον καὶ ἐξαίρετον γνώρισμα», φ. 450β. Ἀντώνιος οὗτός ἐστιν ὁ Καυλέας· τὸν δὲ λόγον αὐτοῦ πρὸς ἐκτύπωσιν ἤδη ἕτοιμον ἔχω.

41. «Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἡσαίου, λόγος εἰς τὸ Πρόσεχε σεαυτῷ» Ἀρχ. «Πρόσεχε σεαυτῷ ἀκριβῶς, θαρρῶν καὶ πιστεύων», φ. 454β.

42. «Τοῦ ἐν ἁγίοις Ἰωάννου μητροπολίτου Ῥουσίας [sic], πρὸς Κλήμεντα πάπα(ν) Ῥώμης ἐπιστολή», ἧς ἡ ἀρχή· «Ἀπεδεξάμην τὴν ἐν Κυρίῳ ἀγάπην σου», φ. 459β. Ὅρα τὸ φυλλάδιον τοῦτο: «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰω. μητρ. Ῥωσσίας ἐπιστολὴ πρὸς Κλ. π. Ῥώμης, ἐξ ἀπογράφου τῆς ἐν Πάτμῳ ἱερᾶς μονῆς Ἰωάννου τοῦ Θεολόγου, νῦν πρῶτον ἐκδιδόντος Σοφοκλέους Κ. τοῦ ἐξ Οἰκονόμων. Ἀθήνησι, τύποις Φ. Καραμπίνου, ͵αωξη'». Καὶ πάλιν: А. Павлова, Критическіе опыты по исторіи древнѣйшей греко-русской полемики противъ Латинянъ. Ἐν Πετρουπόλει 1878, σ. 169—186.

43. «Συμεὼν Θεσσαλονίκης, περὶ μοναχῶν». Ἀρχ. «Οὐκ ἔστιν ἐπίγειος», φ. 465β.

44. «Στίχοι πρὸς μοναχούς», ὧν ἡ ἀρχή· «Τί βρωμάτων σε τερπνότης ἐκθηλύνει;| χόρτος γάρ ἐστιν εἰς ἀφαιδρόνα τρέχων», φ. 466β.

45. «Παράδοσις πολιτείας ἀρίστης καὶ παραίνεσις πατέρων εἰς προκοπὴν τελειότητος». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος, ὅτι ἔρχεται καιρὸς» κτλ., φ. 468β—517α. Καὶ ταῦτα μὲν ὁ κῶδιξ περιέχει· ἔνδον δὲ τῆς δευτέρας πινακίδος γέγραπται τοῦτο· «† τῶ παρὼν βιβλίων ὑπάρχη τοῦ ἐν μοναχοῖς Νικηφόρου, μοναχοῦ Ἁγιοσαβήτου» κτλ., ὃς ἔζη κατὰ τὸν ὀκτωκαιδέκατον αἰῶνα.

163. «Τριῴδι σὺν Θεῷ ἁγίῳ, ἀρχόμενον ἀπὸ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου». Ἐγράφη ἔτει 1409 ὑπὸ Ματθαίου τινός· σύγκειται δ' ἐκ φύλλων 410, ὧν τινὰ μὲν ἐγράφη, διὰ τὴν συμπλήρωσιν ἐκπεσόντων φύλλων, τῷ πεντεκαιδεκάτῳ τελευτῶντι αἰῶνι (φ. 53-57, 94, 104, 119-25, 131-36, 356-66), τινὰ δὲ τοῦ ἑξκαιδεκάτου ἀρχομένου αἰῶνος. Ἔστι δὲ μήκους μὲν 0,223, πλάτους

δὲ 0,15· τὸ δὲ κείμενον ἀριθμεῖ κατὰ μίαν ἑκάστην τῶν σελίδων γραμμὰς 27, ὧν ὁ χῶρός ἐστιν ὡς 0,158×0,095. Σημείωσαι δέ, ὅτι φύλλα δύο αὐτοῦ τούτου τοῦ κώδικος ὑπάρχει νῦν ἐν τῇ βιβλιοθήκῃ Πετρουπόλεως, εἰς ἣν Οὐσπένσκης ὁ Πορφύριος ἀποσπάσας ἐκεῖνα παρεχώρησεν [1] (ἀριθ. 433. Отчетъ Импер. Публ. Библ. за 1883 годъ, σ. 150). Καὶ ταῦτα μὲν περὶ τοῦ κώδικος, ὃς ἔξω τοῦ Τριῳδίου περιέχει καὶ ταῦτα· α') «Τριαδικὰ κατ' ἦχον, ψαλλόμενα τῇ ἁγίᾳ τεσσαρακοστῇ», φ. 365.— β') «Φωταγωγικὰ ψαλλόμενα κατ' ἦχον τῇ ἁγίᾳ τεσσαρακοστῇ», φ. 366. — γ') «Καθίσματα τῶν ὀκτὼ ἤχων τῆς Ὀκτωήχου», φ. 367-385β. — δ') «Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, συναξάρια εἰς τὰς ἐπισήμους τοῦ Τριῳδίου ἑορτάς, μίαν ἑκάστην αὐτῶν αἰτιολογοῦντα, πῶς ποτε τὸ κατ' ἀρχὰς γέγονε καὶ δι' ἣν αἰτίαν, ὡς νῦν ἔχουσι, παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν ἐτάχθησαν, μετά τινων ἐπιστάσεων μερικῶν, ἀρχόμενα ἀπὸ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου καὶ καταλήγον(τα) μέχρι [τῶν ἁγίων πάντων]. Οἱ στίχοι: Ὁ δημιουργὸς τῶν ἄνω» κτλ., φ. 385β - 410, ἔνθα γέγραπται τοῦτο· «✝ Τέλος σὺν Θεῷ τῆς παρούσης πυκτίδος· ἐν μηνὶ | ἀπριλλίῳ ιε ἰν(δικτιῶν)ος βας, τοῦ ςϠιζ ἔτους· | οἱ οὖν ἀναγινώσκοντες εὔχεσθε· καὶ μὴ τῇ ἰδιοτίᾳ [sic] μου καταγινώσκεσθε, ἀλλὰ τῇ προ|θέσει τῆς καρδίας ὁρᾶτε:- | ✝ Ματθαῖος τάχα μοναχός».

164. Δύο τεύχη συνδεδεμένα, τὸ μὲν ἐκ τετραδίων ὀκτωκαίδεκα (φ. 1-142), τὸ δ' ἐκ πεντεκαίδεκα (φ. 143-262)· τοῦτο δὲ τὸ δεύτερον τεῦχος ὀγκωδέστερον ἦν, ὡς τὸ νῦν αὐτοῦ τέλος μηνύει· ἔστι δὲ μήκους μὲν 0,22, πλάτους δὲ 0,16· τὸ δὲ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἀριθμεῖ γραμμὰς εἴκοσιν, ὧν ὁ χῶρός ἐστιν ὡς 0,15×0,9. Ἑκάτερον μὲν οὖν τῶν τευχῶν τούτων ἐγράφη μεσούσης τῆς ἕκτης καὶ δεκάτης ἑκατονταετηρίδος· ἃ δὲ περιέχει, τάδ' ἐστιν·

α') Ψαλτήριον εἰς εἴκοσι καθίσματα διῃρημένον, φ. 1-142.

[1] Τὰ ἐν Πετρουπόλει φύλλα τακτέον ἐν τῷ κώδικι μετὰ τὸ 403-ον αὐτοῦ φύλλον.

β') Ἀσματικαὶ ἀκολουθίαι εἰς ἀνωνύμους ἁγίους, ἀποστόλους, προφήτας, μάρτυρας, ἱεράρχας, ἱερομάρτυρας, ὁσίους (φ. 143-214)· εἶτα δὲ κεῖται «Ἀκολουθία τῆς ὅλης ἑβδομάδος, ψαλλομένη ἀντὶ τῆς παρακλητικῆς»· ἀτελὴς μέντοι ἐστίν· τὸ γὰρ κείμενον αὐτῆς εἰς τὸ πρῶτον τροπάριον τῆς ἑβδόμης ᾠδῆς νῦν τελευτᾷ κανόνος τινὸς τῷ σαββάτῳ ψαλλομένου.

165. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἐκ φύλλων σύγκειται 242, μήκους μὲν 0,217, πλάτους δὲ 0,165· φύλλα μέντοι δύο, τὸ 9-ον καὶ τὸ 10-ον, ἐκ χάρτου βαμβακεροῦ ἐστιν, εἰς ἀναπλήρωσιν ἐκπεσόντος κειμένου προστεθέντα κατὰ τὸν τρισκαιδέκατον αἰῶνα· ἐκ δὲ κοινοῦ χάρτου τὸ 237-όν ἐστι φύλλον, καὶ τοῦτο πάνυ μεταγενέστερον ἐκείνων. Τοῦτο μὲν οὖν τὸ τεῦχος ἐπιγραφὴν ἔχει τοιάνδε· «Ψαλτήριον σὺν Θεῷ κατὰ τὸν Ἁγιοπολίτην», ἣ χρυσοῖς καὶ κεφαλαιώδεσι γράμμασιν ἐχαράχθη ὑπὸ κόσμημά τι παρόμοιον τῷ Π στοιχείῳ, ἐρυθρὸν τὸ χρῶμα. Ἔστι δὲ τὸ κείμενον αὐτοῦ μονόστηλον καὶ κατὰ σελίδα πᾶσαν ἐκ γραμμῶν ὀκτωκαίδεκα (0,147 × 0,115). Καὶ οἱ μὲν ψαλμοὶ λήγουσιν εἰς τὸ 218-ον φύλλον· ἀπὸ δὲ τούτου καὶ ἑξῆς πρῶτον μὲν ὁ «ἰδιόγραφος τοῦ Δαυὶδ» ψαλμὸς ὑπάρχει, εἶτα δὲ ταῦτα· α') «Ὠδὴ Μωυσέως ἐν τῇ Ἐξόδῳ», φ. 219.—β') «Ὠδὴ Μωυσέως ἐν τῷ Δευτερονομίῳ», φ. 221. — γ') «Προσευχὴ Ἄννης μητρὸς Σαμουήλ», φ. 226.—δ') «Προσευχὴ Ἀμβακοὺμ προφήτου», φ. 227β.—ε') «Προσευχὴ Ἡσαΐου τοῦ προφήτου», φ. 230.—ϛ') «Προσευχὴ Ἰωνᾶ προφήτου», φ. 231.—ζ') «Προσευχὴ τῶν τριῶν παίδων, Ἀνανία, Ἀζαρία, Μισαήλ», φ. 232.—η') «Ὕμνος τῶν ἁγίων τριῶν παίδων», φ. 234β.—θ') «Ὠδὴ τῆς Θεοτόκου», φ. 236.—ι') «Ὠδὴ θ'· προσευχὴ Ζαχαρίου τοῦ πατρὸς τοῦ Προδρόμου», φ. 237.—ια') «Προσευχὴ Ἐζεκίου βασιλέως τῆς Ἰουδαίας», φ. 239.—ιβ') «Προσευχὴ Μανασσῆ βασιλέως τῶν Ἰουδαίων», φ. 240. — ιγ') «Σύμβολον ἅγιον», ὅπερ ἐστὶν ἀτελές, διὰ τὴν ἀποκοπὴν ἑνὸς ἢ πλειόνων φύλλων· λήγει γὰρ εἰς τὰς λέξεις τάσδε· «καὶ Μαρίας τῆς παρθένου καὶ». Εἶχε δὲ τὸ βιβλίον ἐξ ἀρχῆς φύλλα 248· τετράδια γὰρ ἠρίθμει λα'.

166. Τετραευαγγέλιον ἐκ μεμβρανίνων φύλλων 137, γραφέν, ὡς ἔοικεν, ἀμφὶ τὴν δυοκαιδεκάτην ἑκατονταετηρίδα· ἔστι δὲ μήκους μὲν 0,234, πλάτους δὲ 0,16. Καὶ τὸ μὲν κείμενον αὐτοῦ μονόστηλόν ἐστι, τοῦτο δὲ κατὰ μίαν ἑκάστην τῶν σελίδων ἀριθμεῖ γραμμὰς 28 ἢ 30, ὅ ἐστι χῶρον ἔχει 0,165 × 0,105. Ὑπάρχει δ' ἐν τῷ τεύχει καὶ τέσσαρα κοσμήματα τὸ χρῶμα κόκκινα, τὰς ἀρχὰς ἐπιδεικνύμενα τῶν εὐαγγελίων· διῄρηται δὲ ὧδε·

1. «Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων [καὶ τῶν εὐαγγε]λιστῶν διαδοχήν, πόθεν τε ἄρχονται καὶ ποῦ καταλήγουσιν». Ἀρχ. «Ἰστέον ὅτι ἀναγινώσκεται τὸ ὕφος», φ. 2.

2. «Εὐαγγέλια εἰς διαφόρους μνήμας ἁγίων», φ. 5.

3. «Κεφάλαια τοῦ κατὰ Ματθαῖον εὐαγγελίου», φ. 5β.

4. Σημείωμα περὶ τοῦ αὐτοῦ εὐαγγελίου, οὗ ἡ ἀρχή· «Τὸ κατὰ Ματθαῖον ἅγιον εὐαγγέλιον πρὸς τοὺς ἐξ Ἰουδαίων ἐξεδόθη», φύλλ. 6.

5. Ἐπίγραμμα εἰς Ματθαῖον, οὗ ἡ ἀρχή· «Ματθαίου τόδε ἔργον ἀριστοπόνοιο τελώνου», φ. 6.

6. Τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, φ. 7.

7. Κεφάλαια τοῦ κατὰ Μᾶρκον εὐαγγελίου, φ. 43.

8. Ὑπόθεσις τοῦ αὐτοῦ εὐαγγελίου, ἧς ἡ ἀρχή· «Κατὰ Μᾶρκον τὸ εὐαγγέλιον ἐπιγέγραπται», φ. 43β.

9. Τὸ κατὰ Μᾶρκον εὐαγγέλιον, φ. 44.

10. Κεφάλαια τοῦ κατὰ Λουκᾶν εὐαγγελίου, φ. 66β.

11. Ὑπόθεσις καὶ ἐπίγραμμα, φ. 67β· τούτου δὲ ἡ ἀρχὴ ὧδε· «Λουκᾶς ἠπιόθυμος ἀκεστορίης ἐπιίστωρ» κτλ.

12. Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, φ. 68.

13. Κεφάλαια τοῦ κατὰ Ἰωάννην εὐαγγελίου καὶ σύντομος περὶ αὐτοῦ διήγησις, ἧς ἡ ἀρχή· «Ἰστέον ὅτι τὸ κατὰ Ἰωάννην ἅγιον εὐαγγέλιον», φ. 109β.

14. Τὸ κατὰ Ἰωάννην εὐαγγέλιον μέχρι τῶν λέξεων (α', 11) «Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον ἔξω», φ. 110-137· τὸ δὲ λοιπὸν κείμενον, τὸ μέχρις αὐτοῦ τοῦ τέλους τοῦ εὐαγγελίου,

κεῖται νῦν ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 303. Отчетъ Импер Публ. Библ. за 1883 годъ, σ. 126).

167. Τεῦχος ἐκ φύλλων χάρτου 280, ἢ τετραδίων λε', γραφὲν ἔτει 1410-ῳ, ὡς τὸ σημείωμα τοῦτο δηλοῖ, τὸ ἐν τῷ τελευταίῳ φύλλῳ γεγραμμένον· «Ἐτελειώθη δϊαχειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Ἰωακεὶμ μροπολίτ(ου) Σοῦπακίου· ἔτους ,ςϠιη, ἰν(δικτιῶν)ος γ, μηνὶ μαρτίω ιθ', ἡμέρα μεγάλη δ'». Ἔστι δὲ τὸ κείμενον κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἓξ (0,28 × 0,185 = 0,195 × 0,11).

1. Μηναῖον τοῦ Μαρτίου χωρὶς τῶν συναξαρίων, φ. 1-142. Ἄρχεται δὲ ἀπὸ τοῦ στίχου τούτου· «Χριστέ μου, τάχυνον τὸν δρόμον τῶν χειρῶν μου» (cod. τάχεινον τῶν)· μεθ' ὃν ὑπάρχει κόσμημά τι πολυχρώματον μέν, εὐτελὲς δὲ πάνυ, σχῆμα τετράγωνον ἔχον· ὅπερ ἐπιφέρει σταυρόν μεθ' ὃ πάλιν γέγραπται τοῦ μηναίου ἡ ἀρχή· «Μὴν Μάρτιος, εἰς τὴν α' τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοχίας. Εἰς τὸ Κύριε ἐκέκραξα στιχερὰ κατὰ τὸ σύνηθες τοῦ Τριῳδίου, καὶ τῆς ἁγίας στιχερά· ἦχος δ', πρὸς τὸ Ἔδωκας σημείωσιν.—Πρότερον ἀσκήσασα» κτλ.

2. Μηναῖον τοῦ Ἀπριλίου, οὗ ἡ ἀρχή· «Μηνὶ ἀπριλλίῳ, εἰς τὴν α' τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας· ἡ ἀκολουθία δὲ αὐτῆς ψάλλεται τῇ ε' Κυριακῇ τῶν νηστειῶν. Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα, καὶ τῆς ἁγίας· ἦχος πλάγιος α', πρὸς τὸ) Ὅλην ἀποθέμενος. — Σὲ μὲν διεκώλυσε» κτλ., φ. 143-280.

168. Τεῦχος μεμβράνινον, ἀκέφαλόν τε καὶ ἐλλιπές, κείμενον δ' ἐνέχον δίστηλον, ὅπερ ἐγράφη τῇ ἐνδεκάτῃ ἑκατονταετηρίδι· σύγκειται δ' ἐκ φύλλων 264, ὧν ἔνια μεταγενέστερά ἐστιν. Ἀντωνῖνος ὅμως ἠρίθμησεν ἄλλοτε φύλλα 282. Ἔστι δὲ μήκους μὲν 0,325, πλάτους δὲ 0,255. Καὶ ἔνδον μὲν τῆς πρώτης πινακίδος ἓν καὶ ἥμισυ φύλλον ὑπάρχει κεκολλημένον, μέρος ὂν ἄλλου τινὸς κώδικος τῆς αὐτῆς ἐποχῆς, ἐν ᾧ σώζεται τέμαχος ἐκ γραφῆς τινος περὶ Σάβα τοῦ ἡγιασμένου· ἐπὶ δὲ τοῦ κρασπέδου τοῦ δευτέρου φύλλου τοῦ κώδικος εὐδιάκριτον ὑπάρχει μονό-

γραμμα, προσυποδεικνύον ὅτι τὸ βιβλίον ἦν ἄλλοτε τῆς μονῆς τοῦ κοινοβιάρχου Θεοδοσίου. Τοῦτο τοίνυν ἐμπεριέχει ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ὧν αἱ μὲν πρῶται ἀριθμοῦνται τριάκοντα· εἶτα δὲ κεῖνται ὁμιλίαι ἀπὸ τοῦ ξγ' μέχρι τοῦ ξε' ἀριθμοῦ. Καὶ τῆς μὲν πρωτίστης ὁμιλίας ἐσώθη μόνον τὸ τέλος, ἀπὸ τῶν λέξεων τούτων· «. . . λων παρὰ οἰκετῶν, παρὰ ἐχθρῶν μισούμενος, παρὰ τῶν εὖ πεπονθότων»· μετὰ δὲ τὸ τέλος τῆς ἐσχάτης ὁμιλίας ὑπάρχει σημείωμά τι ἀπεσβεσμένον, καὶ μετὰ τοῦτο πάλιν ἕτερον, ὃ δῆλον ποιεῖται ὅ τι ὁ κῶδιξ ἐμπεριέχει· «† Ἑξαήμερον, βιβλίον τὸ δεύτερον».

169. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συγκείμενον 270, ὕψους μὲν 0,33, πλάτους δὲ 0,243· τὸ δ' ἐν αὐτοῖς κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 27, ὃ ἐστι χῶρον ἔχει μικρὸν κατὰ σελίδα πᾶσαν (0,217 × 0,14)· διὸ καὶ τὰ κράσπεδα παντὸς φύλλου εὐρέα πάνυ ὑπάρχει· ἀφιλόκαλος δέ τις ἀναγνώστης ἀπέκοψε πέντε τούτων, τὰ οἰκεῖα φύλλα κολοβώσας (φ. 205 μέχρι 208 καὶ 240). Ἔστι δὲ καὶ ἡ γραφὴ χαρίεσσα, ἀραιὰ καὶ ὑπόξανθος. Καὶ ἐν μὲν τῇ ἀρχῇ φύλλον ἓν ἐκ χάρτου κεῖται, τὸν πίνακα περιέχον τῶν ἐν τῷ τεύχει περιειλημμένων πονημάτων Γρηγορίου τοῦ Θεολόγου· ὃν ἔγραψέ τις, ὡς ἔοικε, τῇ δεκάτῃ καὶ τετάρτῃ ἑκατονταετηρίδι, ὀνομάσας τὸν κώδικα «πρῶτον βιβλίον τοῦ Θεολόγου»· ταῦτα δὲ πάντα ἦν ἐξ ἀρχῆς λόγοι εἴκοσι καὶ τρεῖς, «οἱ μὴ ἀναγινωσκόμενοι» κατ' ἄλλην ἐπιγραφὴν μεταγενεστέραν, ἐπὶ τοῦ κρασπέδου χαραχθεῖσαν τοῦ πρώτου φύλλου τοῦ κώδικος, ὑπὸ κοσμήματος ἐρυθροῦ χρώματος τὸ δὲ σχῆμα ταινιώδους ἐν αὐτῷ διαχωριζόμενοι. Καὶ ὁ μὲν πρῶτος λόγος, ὃς ἐπεγράφετο «ἀπολογητικὸς τῆς εἰς Πόντον φυγῆς», ἐλλείπει νῦν· οἱ δὲ λοιποὶ ἐπιγραφὰς ἔχουσι τὰς ἐφεξῆς·

1. «Πρὸς Ἀρειανοὺς καὶ εἰς ἑαυτόν». Ἀρχ. «Ποῦ ποτέ εἰσιν οἱ τὴν πενίαν». φ. 1. Migne τ. 36, σ. 213.

2. «Πρὸς τοὺς καλέσαντας ἐν ἀρχῇ καὶ μὴ ἀπαντήσαντας μετὰ τὸν πρεσβύτερον ἐν τῷ πάσχα». Ἀρχ. «Πῶς βραδεῖς ἐπὶ τὸν ἡμέτερον λόγον», φ. 10β. Migne τ. 35, σ. 517.

3. «Ἀπολογητικὸς εἰς τὸν ἑαυτοῦ πατέρα, συμπαρόντος αὐτῷ Βασιλείου, ἡνίκα ἐπίσκοπος ἐχειροτονήθη Σασίμων· Ναζιανοῦ γὰρ ὁ πατὴρ ἦν, ἧς καὶ αὐτὸς ἦρξε μετὰ θάνατον τοῦ πατρὸς ἐκκλησίας μᾶλλον καὶ ἔτι περιόντος τοῦ πατρός». Ἀρχ. «Πάλιν ἐπ' ἐμὲ χρῖσμα», φ. 13β. Migne ἕ. ἅ. σ. 820.

4. «Εἰς ἑαυτὸν καὶ τὸν πατέρα, ἡνίκα ἐπέτρεψεν αὐτῷ φροντίζειν τῆς Ναζιανζοῦ ἐκκλησίας». Ἀρχ. «Τὸ στόμα μου ἤνοιξα», φ. 17. Migne ἕ. ἀ. σ. 844.

5. «Εἰς ἑαυτὸν καὶ τὸν πατέρα καὶ εἰς Βασίλειον, μετὰ τὴν ἐπάνοδον τῆς φυγῆς». Ἀρχ. «Οὐδὲν ἰσχυρότερον γήρως», φ. 20. Migne ἕ. ἀ. σ. 828.

6. «Εἰς Γρηγόριον ἐπίσκοπον Νύσσης, ἀδελφὸν Βασιλείου, ἐπιστάντα μετὰ τὴν χειροτονίαν». Ἀρχ. «Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα», φ. 22β. Migne ἕ. ἀ. σ. 832.

7. «Πρὸς τοὺς πολιτευομένους Ναζιανζοῦ ἀγωνιῶντας, καὶ τὸν ἄρχοντα ὀργιζόμενον». Ἀρχ. «Τὴν κοιλίαν μου, τὴν κοιλίαν μου ἀλγῶ», φ. 27. Migne ἕ. ἀ. σ. 964.

8. «Εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν». Ἀρχ. «Τίς ἡ τυραννίς», φ. 34. Migne ἕ. ἀ. σ. 1044.

9. «Εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης». Ἀρχ. «Τί λύετε τάξιν», φ. 43. Migne ἕ. ἀ. σ. 933.

10. «Εἰρηνικὸς α' ἐπὶ τῇ ἑνώσει τῶν μοναζόντων μετὰ τὴν σιωπὴν ἐπὶ παρουσίᾳ τοῦ πατρός». Ἀρχ. «Λύει μου τὴν γλῶσσαν», φ. 57. Migne ἕ. ἀ. σ. 721.

11. «Εἰρηνικὸς β' εἰς τὴν σύμβασιν, ἣν μετὰ τὴν στάσιν ἐποιησάμεθα οἱ ὁμόδοξοι». Ἀρχ. «Θερμὸς ὁ ζῆλος», φ. 70β. Migne ἕ. ἀ. σ. 1152.

12. «Εἰρηνικὸς γ', λεχθεὶς ἐν Κωνσταντινουπόλει ἐπὶ τῇ γενομένῃ τῷ λαῷ φιλονεικίᾳ περὶ ἐπισκόπων τινῶν διενεχθέντων πρὸς ἀλλήλους». Ἀρχ. «Εἰρήνη φίλη», φ. 77β. Migne ἕ. ἀ. σ. 1132.

13. «Εἰς Καισάριον τὸν ἴδιον ἀδελφὸν ἐπιτάφιος». Ἀρχ. «Οἴεσθέ με ἴσως», φ. 87 (Migne ἕ. ἀ. σ. 756)· μετὰ δὲ τὸ 91-ον φύλλον ὑπάρχει χάσμα, τοῦ κειμένου μὲν εἰς τὰς λέξεις

«αὐτοῦ τοῦ βασιλέως» διακοπτομένου, συνεχιζομένου δὲ κατόπιν ἀπὸ τοῦ «συλήσειν ἤλπισεν»· τοῦτο οὖν τὸ ἔλειμμα κατώρθωσε Πορφύριος ὁ Οὐσπένσκης· ἀφείλετο γὰρ οὗτος ἐκεῖθεν φύλλα δύο, ἅπερ εὕρηται νῦν ἐν Πετρουπόλει (ἀριθ. 332. Отчетъ Имп. Публ. Библ. за 1883 г., σ. 131).

14. «Εἰς τὴν ἰδίαν ἀδελφὴν Γοργονίαν ἐπιτάφιος», οὗ ἡ ἀρχή· «Ἀδελφὴν ἐπαινῶν», φ. 100β. Migne ἔ. ἀ. σ. 789.

15. «Ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα, ὑπὸ [sic] παρουσίᾳ Βασιλείου». Ἀρχ. «Ἄνθρωπε τοῦ Θεοῦ», φ. 113. Migne ἔ. ἀ. σ. 985.

16. «Περὶ τῆς εὐταξίας τῆς ἐν διαλέξεσιν». Ἀρχ. «Ἐπειδὴ συνεληλύθατε», φ. 139β. Migne τ. 36, σ. 173.

17. «Εἰς ἑαυτόν, ἐξ ἀγροῦ ἐπιστὰς μετὰ τὰ κατὰ Μάξιμον». Ἀρχ. «Ἐπόθουν ὑμᾶς», φ. 157. Migne τ. 35, σ. 1228.

18. «Εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας αὐτὸν ἐπιθυμεῖν τῆς καθέδρας Κωνσταντινουπόλεως». Ἀρχ. «Ἐγὼ θαυμάζω τί ποτε», φ. 168β. Migne τ. 36, σ. 265.

19. «Εἰς τὸν κατάπλουν τῶν ἐξ Αἰγύπτου ἐπιδημησάντων». Ἀρχ. «Τοὺς ἀπ' Αἰγύπτου», φ. 175β. Migne ἔ. ἀ. σ. 241.

20. «Εἰς Ἥρωνα τὸν φιλόσοφον». Ἀρχ. «Τὸν φιλόσοφον ἐπαινέσομαι», φ. 182. Migne τ. 35, σ. 1197.

21. «Κατὰ Ἰουλιανοῦ λόγος α'», οὗ ἡ ἀρχή· «Ἀκούσατε ταῦτα πάντα», φ. 194β. Migne ἔ. ἀ. σ. 532.

22. «Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς λόγος β'», οὗ ἡ ἀρχή· «Οὗτος μὲν δὴ τῶν ἐμῶν», φ. 248β. Migne ἔ. ἀ. σ. 664.

170. Συναξάριον τοῦ μηνὸς Νοεμβρίου, γραφὲν τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 325, πλὴν ἑνός, τοῦ πρώτου, ὅπερ ἐστὶν ἐκ χάρτου κοινοῦ· τοῦτο δέ, τῆς ἀρχῆς τοῦ βιβλίου παραπεσούσης, ἐγράφη καὶ προσετέθη τῷ ἑπτακαιδεκάτῳ αἰῶνι· φύλλα μέντοι μεμβράνινα διάφορον ἔχοντα γραφήν, τὰ ἀπὸ τοῦ 283-ου καὶ ἑξῆς ἐστιν, ἀναπληρωθέντα πιθανῶς ἀμφὶ τὸν αἰῶνα τὸν δυοκαιδέκατον. Ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0,318, πλάτους δὲ 0,244· τὸ δὲ κείμενον αὐτοῦ κατὰ

σελίδα πᾶσαν ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἐννέα, ὧν ὁ χῶρός ἐστιν ὡς 0,23 × 0,185.

1. Βίος καὶ πολιτεία τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Ἀρχ. «Ἄρτι τῆς εὐσεβείας ἀναλαμπούσης», φ. 1. Analecta Bollandiana, τ. I, σ. 586.

2. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκινδύνου Πηγασίου Ἀνεμποδίστου Ἀφθονίου καὶ Ἐλπιδηφόρου. Ἀρχ. «Εἰ καὶ πρῶτοι Πέρσαι», φ. 4. Migne τ. 116, σ. 9. Acta Sanctorum, νοεμβρίου τ. I, σ. 491.

3. «Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου». Ἀρχ. «Τὴν πρὸς ἀρετὴν ὁδόν», φ. 13β. Migne τ. 116, σ. 36.

4. «Βίος καὶ πολιτεία καὶ μαρτύριον καὶ ἀγῶνες Γαλακτίωνος καὶ Ἐπιστήμης». Ἀρχ. «Τῆς πρὸς τῷ Λιβάνῳ ὄρει», φ. 32. Migne ἔ. ἀ. σ. 93.

5. Βίος καὶ πολιτεία τοῦ ἁγίου Παύλου τοῦ ὁμολογητοῦ, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἀρχ. «Ἡνίκα Κωνστάντιος», φ. 37β. Migne ἔ. ἀ. σ. 884.

6. Μαρτύριον Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων ἐν Μελιτινῇ. Ἀρχ. «Ἱέρωνι τῷ γενναίῳ», φ. 41β. Migne ἔ. ἀ. σ. 109.

7. Βίος καὶ πολιτεία καὶ ἄσκησις τῆς ὁσίας Ματρώνης. Ἀρχ. «Τοὺς σώφρονας τὸν βίον», φ. 45. Migne ἔ. ἀ. σ. 920.

8. Βίος καὶ πολιτεία τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας. Ἀρχ. «Εἰκόνες καὶ στῆλαι», φ. 55β. Θεοφίλου Ἰωάννου, Ἁγιολογικὰ μνημεῖα, σ. 18.

9. Μαρτύριον Μηνᾶ τοῦ Αἰγυπτίου, οὗ ἡ ἀρχή· «Βασιλεύοντος Διοκλητιανοῦ», φ. 61β. Analecta Bollandiana III, σ. 258.

10. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ ἐλεήμονος, ἀρχιεπισκόπου Ἀλεξανδρείας. Ἀρχ. «Τὰς τῶν ἀγαθῶν ἀνδρῶν», φ. 65. Migne τ. 114, σ. 896.

11. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀρχ. «Καὶ πάντων μὲν τῶν κατὰ Θεόν», φ. 86. Migne ἔ. ἀ. σ. 1045.

12. Ὑπόμνημα περὶ Φιλίππου τοῦ ἀποστόλου, οὗ ἡ ἀρχή·

«Ὁ τοῦ Θεοῦ Θεὸς λόγος», φ. 137β. Acta Sanctorum, μαΐου τ. I, σ. XI. Migne τ. 115, σ. 188.

13. Μαρτύριον Γουρίου Σαμονᾶ καὶ Ἀβίβου. Ἀρχ. «Ἔτος μὲν ἀπὸ τῆς Ἀλεξάνδρου», φ. 140β. Migne τ. 116, σ. 128.

14. «Διήγησις περὶ τοῦ γενομένου θαύματος παρὰ τῶν ἁγίων μαρτύρων». Ἀρχ. «Τοιοῦτον μὲν δὴ καὶ ὁ μάρτυς», φ. 146β.

15. Ὑπόμνημα περὶ Ματθαίου τοῦ εὐαγγελιστοῦ. Ἀρχ. «Ἤδη μὲν τὴν παρὰ τοῦ πλάσαντος», φ. 151. Migne τ. 115, σ. 225.

16. Βασιλείου Καισαρείας «ἐγκώμιον εἰς τὸν ἅγιον μάρτυρα Βαρλαάμ», οὗ ἡ ἀρχή· «Πρότερον μὲν οἱ τῶν ἁγίων θάνατοι», φ. 153. Migne τ. 31, σ. 484.

17. Γρηγορίου Νύσσης «εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Νεοκαισαρείας, τοῦ θαυματουργοῦ». Ἀρχ. «Ὁ μὲν σκοπὸς εἷς ἐστι», φ. 154β. Migne τ. 46, σ. 893.

18. Μαρτύριον τοῦ ἁγίου Πλάτωνος, οὗ ἡ ἀρχή· «Οὐ ξένα Γαλατῶν τὰ παρόντα», φ. 175β. Migne τ. 115, σ. 404.

19. Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου. Ἀρχ. «Καὶ τί τῶν καλῶν», φ. 180. Migne τ. 116, σ. 950.

20. Βίος καὶ πολιτεία τοῦ ἁγίου Γρηγορίου, ἀρχιεπισκόπου Ἀκραγαντίνων. Ἀρχ. «Κάλλιστόν τι χρῆμα», φ. 185. Migne ἔ. ἀ. σ. 189.

21. Μαρτύριον τῆς μεγαλομάρτυρος Αἰκατερίνης. Ἀρχ. «Βασιλεύοντος τοῦ ἀσεβεστάτου», φ. 299. Migne ἔ. ἀ. σ. 276.

22. «Βίος καὶ πολιτεία τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος, ἐπισκόπου Ῥώμης, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου καὶ κορυφαίου Πέτρου». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ κυρίῳ», φ. 299β.

23. Μαρτύριον τοῦ ἱερομάρτυρος Πέτρου, ἐπισκόπου Ἀλεξανδρείας. Ἀρχ. «Εἶχε μὲν ἡ ἐπιφανής», φ. 258. Combefis, Illustrium Christi lecti triumphi, σ. 689.

24. Μαρτύριον τοῦ ἁγίου Μερκουρίου, οὗ ἡ ἀρχή· «Δέκιος ἡνίκα καὶ Βαλεριανός», φ. 264β. Ὅρα ἔμπροσθεν, σελίδι 224.

25. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀλυπίου. Ἀρχ. «Καλοὶ μὲν καὶ οἱ τῶν μαρτύρων ἆθλοι», φ. 278β. Ὅρα ἔμπροσθεν, σ. 224.

26. Μαρτύριον τοῦ μεγαλομάρτυρος Ἰακώβου τοῦ Πέρσου. Ἀρχ. «Ἀρκαδίου τὰ Ῥωμαίων», φ. 280β. Ὅρα ἔμπροσθεν, σελίδι 50 καὶ 224.

27. Βίος καὶ πολιτεία τοῦ ὁσίου Στεφάνου τοῦ νέου. Ἀρχ. «Θεῖόν τι χρῆμα ἡ ἀρετή», φ. 286β. Ὅρα σελ. 50 καὶ 224.

28. Ὑπόμνημα εἰς τὸν ἀπόστολον Ἀνδρέαν, οὗ ἡ ἀρχή· «Ἄρτι τοῦ παιδὸς Ζαχαρίου», φ. 202. Tischendorf, Acta apost. apocrypha, σ. 132.

171. Συναξάριον τοῦ Νοεμβρίου μηνός, ἀκέφαλόν τε καὶ ἐλλιπές, γραφὲν ὡς ἔοικε τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι, καὶ συνιστάμενον ἤδη ἐκ φύλλων μεμβρανίνων 122, ὧν τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα (0,315×0,235 = 0,23×0,17)· ἐν δὲ ταῖς γωνίαις ἐνίων τετραδίων ὑπάρχει συγκεκολλημένα τεμάχη τινὰ κώδικος ἐξαλειφθέντος, οὗ ἡ γραφή, τοῦ δεκάτου οὖσα αἰῶνος, λεπτὴ ἦν καὶ προσκλινής.

6. Βίος ἀκέφαλος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ, ὁ ὑπὸ Γρηγορίου τοῦ Νύσσης συνταχθείς· οὗ αἱ πρῶται λέξεις ὧδε· «μηδεὶς δὲ τῶν τῇ θείᾳ σοφίᾳ πεπαιδευμένων», φ. 6.

2. Μαρτύριον τοῦ ἁγίου Πλάτωνος, οὗ ἡ ἀρχή· «Οὐ ξένα Γαλατῶν», φ. 33.

3. Βίος τοῦ ὁσίου Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου. Ἀρχ. «Καὶ τί τῶν καλῶν ἔσται», φ. 40β.

4. Βίος τοῦ ἁγίου Γρηγορίου Ἀκραγαντίνων, οὗ ἡ ἀρχή· «Κάλλιστόν τι χρῆμα ἡ ἀρετή», φ. 48.

5. Μαρτύριον τῆς μεγαλομάρτυρος Αἰκατερίνης. Ἀρχ. «Βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξεντίου», φ. 88β

6. «Βίος καὶ πολιτεία τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος, ἐπισκόπου Ῥώμης, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Πέτρου». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ κυρίῳ», φ. 122β. Λήγει δὲ τὸ κείμενον τοῦτο εἰς τὰς λέξεις ταύτας· «καὶ δόξαν ὑπὲρ τούτου προσενεγκεῖν τῷ Θεῷ· βεβαίως οὖν πιστεύσαντες ἅμα τοῖς θε...».

172. Τεῦχος μεμβράνινον, ἀκέφαλόν τε καὶ συνερραμμένον ἀτάκτως, γραφὲν δ' ἔτει 987-ῳ καὶ φύλλα νῦν ἔχον 268, ὕψους μὲν 0,317, πλάτους δὲ 0,157· φύλλα δὲ δύο τοῦ αὐτοῦ τεύχους ὑπάρχει καὶ ἐν τῇ κατὰ Πετρούπολιν συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 337. Отчетъ Импер. Публ. Библ. σ. 132), ἅπερ ἦν ἄλλοτε μετὰ τὸ νῦν 156-ον φύλλον τοῦ κώδικος. Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν δύο καὶ τριάκοντα (0,23×0,655)· τοῦτο δ' ἐστὶν ἡ πασίγνωστος ἑρμηνεία τοῦ Χρυσοστόμου εἰς τὴν πρὸς Κορινθίους πρώτην ἐπιστολὴν Παύλου τοῦ ἀποστόλου· ἀλλ' ἡ ἀρχὴ αὐτῆς ἐλλείπει τῷ κώδικι· ἄρχεται γὰρ ἤδη μόνον ἀπὸ τῶν λέξεων τούτων τῆς πρώτης ὁμιλίας· «κατορθώμασιν, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ὑγιάνθησαν». Μετὰ δὲ τὸ τέλος τῆς ἐσχάτης ὁμιλίας, ὡς καὶ ὁ προχείμενος φωτοτυπικὸς ἡμῶν ἐδήλωσε πίναξ, γέγραπται παρὰ τοῦ καλλιγράφου τὸ σημείωμα τοῦτο· «† Ἐτελειώθη ἡ βίβλος τοῦ ἀποστόλου ἡ πρὸς Κορινθίους | πρώτη ἐπιστολὴ ἑρμηνευθεῖσα παρὰ τοῦ Χρ(υσοσ)τ͵όμου)· γραφεῖ|σα δὲ χειρὶ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ Θεοδώρου | μηνὶ ἰαννουαρίω κζ' ἰνδ(ικτιῶνος) ιε', ἔτους ͵ςυϞε'»=987.


173. Τεῦχος ἀκέφαλον ἐκ χάρτου, φύλλα περιέχον 232, ἅπερ ἐγράφη ἔτει 1749-ῳ· ἔχει δὲ κατὰ σελίδα πᾶσαν ἐν μιᾷ στήλῃ κείμενον ἐκ γραμμῶν τριάκοντα καὶ τριῶν (0,305× 0,205 = 247 × 0,14), ὅπερ ἐστὶν ὑπόμνημα Θεοφίλου τοῦ Κορυδαλλέως εἰς τὴν Ἀριστοτέλους φυσικὴν ἀκρόασιν, ἐκδεδομένον, ὡς εἴρηται, τύποις ἐν Βενετίᾳ (ὅρα τ. Ι, σ 260), χωρὶς τῶν ἐν τῷ κώδικι τούτῳ σχολίων· διὰ δὲ τὸν ἐκπεσμὸν ἐνίων φύλλων ἄρχεται νῦν ἐνταῦθα τὸ ὑπόμνημα τοῦτο ἀπὸ τῶν ἑξῆς λέξεων «ὡς ἄτοπον ἅμα ζητεῖν καὶ τρόπον ἐπιστήμης»· ἐν δὲ τῷ φύλλῳ τῷ τελευταίῳ γέγραπται τόδε· «Τέλος τῶν η-ω βιβλίων τοῖς φυσικοῖς βιβλίων [sic].—Ἰωακεὶμ ὁ ἐν ἱεροδιακόνοις πολλοστὸς ὁ ἐκ τῆς Ἑώας [sic] ὁ γράψας· ͵αψμθ'-ῳ μαρτίου κ».

174. Τὸ αὐτὸ κείμενόν ἐστι καὶ ἐν τῷ κώδικι τούτῳ, ὅς ἀρχομένης ἐγράφη τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος· ἔστι δὲ

[illegible] п. индутнаго. Сергіевская ул., №2

[illegible]

174. Τὸ [illegible] τῆς [illegible]



Σελ. 286.
Κῶδ. Σαβαϊτικὸς 172, ἔτους 987, φ. 268β.

ѕлено цензурою 15 Января 1892 г. Фототипія Н. Индутнаго. Сергіевская ул., №20.


UNIV.
OF
MICH.

κἀνταῦθα μονόστηλον, ἀλλ' ἐκ γραμμῶν κατὰ σελίδα πᾶσαν τριάκοντα καὶ μιᾶς (0,347×0,21 = 1,198×0,136)· πλὴν ἀλλὰ τὸ τέλος ἐλλείπει, παραπεσὸν σὺν ἄλλοις πολλοῖς φύλλοις. Καὶ φύλλα μὲν νῦν ἔχει μόνον 282, ἐπιγραφὴν δὲ ταύτην· «Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλλέως εἰς φιλοσοφίαν προδιοίκησις· ὁποῖον τὸ τῆς φιλοσοφίας ἀξίωμα· Τῶν ὅσα θηράσιμα πέφυκε» κτλ.

175. Τεῦχος ἐκ χάρτου, φύλλα περιέχον 209· ἅπερ μήκους μὲν ἔστι 0,286, πλάτους δὲ 0,201· τὸ δὲ κείμενον ὑπάρχει δίστηλον κατὰ σελίδα, ὃ καὶ γραμμὰς ἐν αὐτῇ συναριθμεῖ εἴκοσι καὶ ὀκτὼ (0,204×0,145)· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ τεῦχος ἀπεγράφη, δυσεύρετός ἐστιν· νομίζω δ' ὅμως, ὅτι τἀληθὲς λέγω, ἂν ἐκεῖνον ὁρίσω τῷ 1292-ῳ ἔτει· καὶ γὰρ τὸ νῦν ἔσχατον φύλλον ἔχει τοὺς ἐφεξῆς στίχους καὶ τὸ συνεχόμενον αὐτοῖς ἐπισημείωμα.

Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις.

Στίχ(οι).

Σῶτερ, κρατίστῃ χειρί σου διαρπάσας [1]
ἐχθροῦ παλαμναίου με τοῦ ψυχοφθόρου
θείᾳ κλίμακι ἐγκαθόρμισον, Λόγε,
ὅπως ἀνατρέχων γε ταύτης τὰς βάσεις
στέφος λάβοιμι σὺν δικαίοις [2] ἀξίως.

Ἄλλοι.

Σιγᾶν μοναχοῖς τοῖς ἐν ἀσκήσει [3] πρέπει
ἐν πᾶσιν ἔργοις, ἐν τραπέζῃ δὲ πλέον,
ἔχειν δὲ τὸν νοῦν πρὸς Θεὸν πεταμένον.

Ἐτελειώθη, ἐνέτει [sic] ,ψω^ω, μαΐου: ιε'

Ἡ μὲν χεὶρ Ἀνδρέου, ὁ δὲ πόνος Κωνσταντίνου ἱερομονάχου.

Ἐξ οὗ πᾶς τις εἰδέναι δύναται, ὅτι τὸ βιβλίον ἐγράφη ἔτει τῷ προρρηθέντι· τοῦτο μέντοι τὸ φύλλον ὑπὸ Σαβαΐτου μοναχοῦ προσετέθη, πιθανῶς δὲ τοῦ Ἰωαννικίου, ἔτει 1778-ῳ, ἀναπληρώσεως ἕνεκεν ἑνὸς μόνου φύλλου τοῦ τεύχους, ὅπερ ἢ διεφθαρμένον ἦν τῷ τότε, ἢ κατεσχισμένον. Πρῶτος μὲν οὖν λόγος τῆς

[1] κῶδ. «διάρπάσας».—[2] κῶδ. «συνδικαίοις».—[3] κῶδ. «ἐνασκήσει».

ἐμῆς γνώμης ἐστίν, ὅτι ὁ μοναχὸς ἐκεῖνος ἀπεγράψατο τὸ παλαιὸν ὡς εἶχε φύλλον, οὗ τινος δὲ κώδικος ἄλλου· δεύτερος δὲ λόγος οὗτός ἐστιν· ὅτι τοῦ τεύχους ὁ χάρτης ὑπεμφαίνει τινὰ σύμβολα (filigranes), ἅπερ ἔοικεν εἶναι παλαιότερα τῶν ἐγνωσμένων. Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τοῦ χρόνου τοῦ τεύχους, ὅπερ καὶ ἐν τῇ ἀρχῇ φύλλον ἔχει ξένον, ἐν ᾧ τῇ 20-ῇ δεκεμβρίου τοῦ 1778-ου ἔτους ἀνώνυμος ἔγραψε Σαβαΐτης τὸν πίνακα τῶν ἐμπεριεχομένων τῷ βιβλίῳ· ταῦτα δὲ τάδ' ἔστιν·

1. «Ἐπιστολὴ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγιασμένου τῆς Ῥαϊθοῦ, πρὸς Ἰωάννην ἀξιάγαστον τοῦ Σιναίου ὄρους ἡγούμενον». Ἀρχ. «Τῷ ὑπερφυεστάτῳ», φ. 1-ον, ὃ καὶ κόκκινον ἔχει κόσμημα τῷ Π στοιχείῳ παρόμοιον.

2. «Κλίμαξ θείας ἀνόδου· πρόλογος». Ἀρχ. «Τοῖς ἐν τῇ βίβλῳ τῆς ζωῆς», φ. 2.

3. «Βίος ἐν ἐπιτομῇ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγουμένου τοῦ ἁγίου ὄρους τοῦ Σινᾶ, τοῦ ἐπίκλην Σχολαστικοῦ, τοῦ ἐν ἁγίοις ἀληθῶς». Ἀρχ. «Τὸ μὲν τίς ἡ ἐνεγκαμένη», φ. 3β.

4. «Ἰωάννης Ἰωάννῃ χαίρειν»· ἐπιστολή, ἧς ἡ ἀρχή· «Ἀπεδεξάμην ὡς πρέπουσαν», φ. 7β.

5. «Ὁ πρόλογος τοῦ λόγου, οὗ ἡ ἐπωνυμία Πλάκες Πνευματικαί· λόγος ἀσκητικὸς τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγουμένου τῶν ἐν τῷ Σιναίῳ ὄρει μοναχῶν». Ἀρχ. «Τοῦ ἀγαθοῦ καὶ ὑπεραγάθου», φ. 9β· συνέπονται δὲ τῷ λόγῳ τούτῳ πάντες οἱ λοιποὶ μέχρι τοῦ φύλλου τοῦ ἐσχάτου· πλὴν ἀλλ' ἐν τῷ 191-ῳ φύλλῳ κεῖται σχῆμα κλίμακος ἐρυθρᾶς, ἧς ἑκάστη βαθμὶς ἐπιγραφὴν ἔχει μίαν· πρὸ δὲ τῆς κλίμακος (φ. 190β-191) εἴκοσι καὶ τέσσαρες ὑπάρχουσι στίχοι, ὧν ἡ ἀρχή· «Εἴπερ κατέγνως ἀτρεκῶς ἁμαρτάδος | καὶ νητρεκῶς ἔφησθα φεύγειν τὸν βίον» κτλ.

176. Τεῦχος διμερὲς τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, οὗ τὰ μὲν πρώτιστα φύλλα ἐκ χάρτου βαμβακεροῦ ἐστι, λείψανον ὡς εἰκὸς ὄντα κώδικος ἑτεροίου, τὰ δὲ λοιπὰ μεμβράνινα· ἀμφοτέρων δὲ τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον· καὶ τὰ μὲν βαμβακερὰ γραμμὰς ἔχει 26 μέχρις 27 (0,308×0,23=

0,225×0,155), τὰ δὲ μεμβράνινα 47 μέχρι 49 (0,31×0,24=0,248×0,195).

α') Λείψανον ἐκ χάρτου βαμβακεροῦ.

1. [Ἐφραὶμ τοῦ Σύρου] λόγος ἀκέφαλος περὶ ἱερωσύνης, ἀρχόμενος ἀπὸ τῶν λέξεων τούτων· «τὸ αἷμα, ὁμοίως καὶ ὁ σῖτος τὸν ἄρτον», φ. 1-3.

2. «Τοῦ αὐτοῦ περὶ κατανύξεως». Ἀρχ. «Κατανύγηθι ψυχή μου», φ. 3β. Assemani τ. I, σ. 161.

3. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, λόγος περὶ μετανοίας», οὗ ἡ ἀρχή· «Τὸν μετανοοῦντα οὐ χορέννυσθαι χρή», φ. 7 μέχρι τοῦ 39, ἔνθα γέγραπται καὶ τοῦτο ἐπὶ τῆς ᾤας· «Εἰς Παμβῶ ἱερομόναχον ἀφήειμι τὸν ἅγιον Ἐφρὲμ [δε]βράειον ᾱ . . . . μετὰ καὶ τοῦ Χρυσοστόμου λόγους παρακλητικούς. . .».

β') Τεῦχος μεμβράνινον, ὅπερ ἐμπεριέχει τὰ ἐφεξῆς πονημάτια Ἐφραὶμ τοῦ Σύρου.

1. Κόσμημα τετράγωνον, ἐν ᾧ γέγραπται λόγου τινὸς ἐπιγραφὴ δυσδιάκριτος, οὗ ἡ ἀρχή· «Πολλὰ παραινέσαντες τὸν εὐλαβέστατον Θεόδωρον», φ. 1. Assemani II, σ. 186.

2. «Περὶ ἀρετῆς πρὸς νεώτερον μοναχόν· παραίνεσις α'· κεφάλαια λ'· πρόλογος». Ἀρχ. «Ὁ Κύριος ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων», φ. 2β. Assem. I, σ. 201.

3. «Λόγος ἀσκητικὸς εἰς τὸ Πρόσεχε σεαυτῷ· κεφάλαια ιβ'». Ἀρχ. «Ὀφειλέται ἐσμὲν» κτλ.—«Ἄκουε, ἀγαπητέ, ἐλθὼν γενέσθαι μοναχός», φ. 11. Assem. I, σ. 230.

4. Περὶ πνευματικοῦ βίου πρὸς Νεόφυτον. Ἀρχ. «Ἐπῄνεσά σου τὴν πίστιν», φ. 19. Assem. I, σ. 258.

5. «Μακαρισμοί», ὧν ἡ ἀρχή· «Μακάριος ὃς γέγονεν ὅλος ἐλεύθερος», φ. 26. Assem. I, σ. 282.

6. «Μακαρισμοὶ ἕτεροι», ὧν ἡ ἀρχή· «Μακάριος ὃς μισήσας κατέλιπε», φ. 27β. Assem. I, σ. 292.

7. Παραινέσεις μ', ὧν ἡ ἀρχή· «Δόξα σοι ὁ Θεὸς δόξα σοι, καὶ πάλιν ἐρῶ δόξα σοι», φ. 29. Assem. II, σ. 72.

8. «Ὅτι οὐ δεῖ ὀμνύειν, οὔτε [δυσ]φημεῖν». Ἀρχ. «Τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν», φ. 50. Assem. II, σ. 161.

9. «Πρός τινα ἀδελφὸν λόγος εἴρηται, ὅτι κρεῖσσον γαμεῖν ἢ πυροῦσθαι· ἀπόκρισις». Ἀρχ. «Ἄκουε τοῦ ἀποστόλου λέγοντος», φ. 51. Assem. II, σ. 164.

10. «Παραίνεσις περὶ ἀγάπης με'», ἧς ἡ ἀρχή· «Ἀγαπητέ, ἐὰν ἀξιωθήσῃ», φ. 52. Assem. II, σ. 169.

11. «Παραίνεσις πρὸς Εὐλόγιον», ἧς ἡ ἀρχή· «Εἰς τὸν καρπὸν τῆς ὑπακοῆς», φ. 52β. Assem. II, σ. 170.

12. Περὶ ἀκηδίας πρὸς μοναχὸν λέγοντα "ἀφίημι καὶ εἰς τὸν κόσμον ὑπάγω". Ἀρχ. «Ἔφη ὁ Κύριος τῆς δόξης», φ. 54. Assem. II, σ. 174.

13. «Παραίνεσις περὶ κακοηθείας», ἧς ἡ ἀρχή· «Ὃν τρόπον ξίφος νευροκοπεῖ», φ. 56. Assem. II, σ. 183.

14. «Περὶ διαφορᾶς τοῦ μοναστικοῦ βίου ὑπὲρ τῶν κοσμικῶν». Ἀρχ. «Ἀγαπητὲ ἀδελφέ, ἐὰν ἀποταξάμενος τῷ βίῳ», φ. 56β. Assem. II, σ. 185.

15. «Κεφάλαια ρ'», ὧν ἡ ἀρχή· «Πῶς κτᾶταί τις ταπεινοφροσύνης», φ. 57.

16. «Περὶ τοῦ τέλειον εἶναι τὸν μοναχόν». Ἀρχ. «Πέρυσί μοι προσῆλθόν τινες», φ. 65. Assem. II, σ. 411.

17. «Περὶ τῆς θείας χάριτος». Ἀρχ. «Σπεῦδε ἔχειν τὴν θείαν χάριν», φ. 69β. Assem. III, σ. 42.

18. «Περὶ γλωσσαλγίας καὶ παθῶν». Ἀρχ. «Ἐσπαρμέναι εἰσὶν αἱ ἀναπαύσεις», φ. 70. Assem. II, σ. 279.

19. «Περὶ ἀρετῶν καὶ κακιῶν». Ἀρχ. «Μακαρίζω τὴν ὑμῶν ζωήν», φ. 73. Assem. I, σ. 1.

20. «Ἔλεγχος αὑτῷ καὶ ἐξομολόγησις». Ἀρχ. «Ἀδελφοί, συμπαθήσατέ μοι», φ. 77. Assem. I, σ. 18.

21. «Πρὸς καθαίρεσιν ὑπερηφανίας». Ἀρχ. «Ματαία πᾶσα ἄσκησις», φ. 78β. Assem. I, σ. 23.

22. «Λόγος κατανυκτικός», οὗ ἡ ἀρχή· «Δεῦτε ἀγαπητοί, δεῦτε πατέρες καὶ ἀδελφοί μου», φ. 80. Assem. I, σ. 28.

23. «Κατὰ μίμησιν τῶν παροιμιῶν». Ἀρχ. «Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ», φ. 90β. Assem. I, σ. 70.

24. «Περὶ φόβου». Ἀρχ. «Φοβοῦ τὸν Κύριον», φ. 91. Assemani I, σ. 71.

25. «Πρὸς διόρθωσιν τῶν ἐν παιδείᾳ διαγόντων καὶ τιμὰς ἀπαιτούντων». Ἀρχ. «Ἀγωνιῶ ἀδελφοί μου καὶ φρίττω», φ. 103. Assemani I, σ. 111.

26. «Λόγος παραινετικός», οὗ ἡ ἀρχή· «Πρόσεχε σεαυτῷ ὦ νεότης», φ. 105. Assem. I, σ. 166.

27. «Λόγος εἰς πατέρας τελειωθέντας», οὗ ἡ ἀρχή· «Τὴν καρδίαν μου ἀλγῶ», φ. 106β. Assem. I, σ. 172.

28. «Λόγος ἕτερος εἰς πατέρας τελειωθέντας», οὗ ἡ ἀρχή· «Ἐν ταύτῃ τῇ ἡμέρᾳ τῇ πρώτῃ», φ. 107β. Assem. I, σ. 175.

29. «Ἐκ τοῦ αὐτοῦ λόγος τετρασύλλαβος», οὗ ἡ ἀρχή· «Νικηθεὶς δὲ κατὰ κράτος», φ. 109. Assem. I, σ. 181.

30. «Λόγος ἑπτασύλλαβος», οὗ ἡ ἀρχή· «Εἰδότες οὖν ἀδελφοί», φ. 109β. Assem. I, σ. 182.

31. «Περὶ φόβου ψυχῆς». Ἀρχ. «Ἐγὼ Ἐφραὶμ ἁμαρτωλός», φ. 109β. Assem. I, σ. 183.

32. «Εὐχὴ ἐκ τῆς τοῦ ἁγίου Ἐφραὶμ διδασκαλίας». Ἀρχ. «Ἥμαρτον εἰς τὸν οὐρανόν», φ. 111. Assem. III, σ. 160.

33. «Ὑπομνηστικόν», οὗ ἡ ἀρχή· «Πᾶσαν ὥραν ἐν νῷ ἔχω», φ. 111. Assem. I, σ. 188.

34. «Περὶ ψυχῆς ὅταν πειράζηται ὑπὸ τοῦ ἐχθροῦ, πῶς ὀφείλει μετὰ δακρύων τῷ Θεῷ προσεύχεσθαι». Ἀρχ. «Ψυχὴ τεθλιμμένη προσέρχεται», φ. 112β. Assem. I, σ. 193.

35. «Περὶ κρίσεως καὶ κατανύξεως». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοί», φ. 114. Assem. II, σ. 50.

36. «Ἐξομολόγησις ἤγουν προσευχὴ πρὸς Θεόν», ἧς ἡ ἀρχή· «Ἴασαί με Κύριε καὶ ἰαθήσομαι», φ. 119. Assem. I, σ. 199.

37. «Εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Προσέλθετε καὶ δεῦτε υἱοὶ φωτός», φ. 119β. Assem. I, σ. 167.

*

38. «Περὶ πίστεως». Ἀρχ. «Ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ», φ. 120. Assem. II, σ. 336.—Σημειωτέον ἔτι, ὅτι αἱ πινακίδες τοῦ βιβλίου ἐσχηματίσθησαν διὰ πολλῶν φύλλων ἰβηρικοῦ τινος χειρογράφου, ἃ δέρμα νῦν μέλαν ἐπικαλύπτει.

177. Τεῦχος ἐκ χάρτου τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, συναποτελούμενον ἐκ φύλλων 249· ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἐννέα (0,295×0,21= 0,20×0,125)· περιέχει δὲ τάδε·

1. Ἐπίγραμμα ἐξ ἰαμβικῶν στίχων ἑπτακαίδεκα, διὰ γραμμάτων ἐρυθρῶν ἀπογεγραμμένον. Ἀρχ. «Ἄριστα λίαν καὶ θεόπνευστα πάντα | τὰ συγγράμματα πατέρων τῶν ὁσίων, | τοῦ δέ γε θείου τὸ παρὸν Ἰωάννου | πόνημα καὶ μάλιστα διαφερόντως», φ. 1β.

2. «Ἐπιστολὴ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἡγουμένου τῆς Ῥαϊθοῦς, πρὸς Ἰωάννην ἀξιάγαστον τοῦ Σιναίου ὄρους ἡγούμενον». Ἀρχ. «Τῷ ὑπερφυεστάτῳ», φ. 2.

3. Πρόλογος περὶ τῶν ἔργων Ἰωάννου τοῦ Σχολαστικοῦ. Ἀρχ. «Τοῖς ἐν τῇ βίβλῳ τῆς ζωῆς», φ. 2β.

4. «Πίναξ ἀκριβὴς τοῦ βιβλίου», φ. 3.

5. Βίος ἐν ἐπιτομῇ Ἰωάννου τοῦ Σχολαστικοῦ. Ἀρχ. «Τὸ μὲν τίς ἡ ἐνεγκαμένη», φ. 4.

6. Ἐπιστολὴ Ἰωάννου τοῦ Σχολαστικοῦ. Ἀρχ. «Ἀπεδεξάμην ὡς πρέπουσαν», φ. 6.

7. Λόγοι τοῦ αὐτοῦ μετὰ σχολίων ἐν τοῖς κρασπέδοις, φ. 7.

8. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μακαρίου τοῦ μεγάλου κεφάλαια ρν', μεταφρασθέντα παρὰ τοῦ σοφωτάτου λογοθέτου κυροῦ Συμεὼν τοῦ μεταφραστοῦ». Ἀρχ. «Χάριτι μὲν καὶ δωρεᾷ τοῦ πνεύματος θείᾳ», φ. 188β—249β. Leonis Allatii, de Symeonum scriptis diatriba, Parisiis 1664, σ. 132. Fabricii, Bibl. Graeca VIII, σ. 363.

178. Λειτουργικὸν εὐαγγέλιον τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων χάρτου συνιστάμενον 229· τούτων δέ τινα πάνυ μεταγενέστερά ἐστιν, οἷον τὸ 1-ον, τὸ 8-ον, τὸ 17-ον

κτλ. Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ κατὰ σελίδα στήλῃ, γραμμὰς ἀριθμούσῃ εἴκοσι καὶ δύο (0,295 × 0,218 = 0,233 × 0,14).

1. Τὰ κατὰ Ἰωάννην ἀναγνώσματα, φ. 1.
2. Τὰ κατὰ Ματθαῖον εὐαγγέλια, ὧν προτέτακται κόσμημα πλατύτατον μέν, κόκκινον δέ, σχῆμα ἔχον ὅμοιον τῷ Π στοιχείῳ, φ. 45.
3. Τὰ κατὰ Λουκᾶν εὐαγγέλια, φ. 67.
4. «Εὐαγγέλια κατὰ παννυχίδα: ῥεσκόμενα [sic] τῇ α΄ ἑβδομάδι τῆς ἁγίας τεσσαρακοστῆς», φ. 95.
5. Εὐαγγέλια τῶν νηστειῶν μέχρι τοῦ μεγάλου Σαββάτου, φ. 96.
6. «Εὐαγγέλια ιβ΄ τῶν ἁγίων παθῶν», φ. 135.
7. Συναξάριον τῶν κατὰ μῆνα εὐαγγελίων, φ. 166β.
8. Εὐαγγέλια ἀναγινωσκόμενα εἰς ἐγκαίνια ναοῦ καὶ εἰς μνήμην φόβου, φ. 223.
9. «Εὐαγγέλια ἀναστάσιμα ἑωθινὰ τῶν Κυριακῶν ια΄», φ. 223-ον μέχρι τοῦ 229-ου, ἔνθα τὸ κείμενον ἀτελὲς ὑπάρχει.

179. «Βιβλίον συναξάριον τῆς συνόψεως τῶν ἁγίων τοῦ ὅλου χρόνου, ὅθεν τε ἕκαστος καὶ ἐκ τίνων ἔφυ καὶ ἐν οἷς χρόνοις, καὶ εἴτε τὸν διὰ μαρτυρίου, εἴτε τὸν δι' ἀσκήσεως ἐδέξατο θάνατον». Πρῶτον ἑξάμηνον, ἀπὸ τοῦ σεπτεμβρίου μηνὸς μέχρι τοῦ φεβρουαρίου· οὗ τὴν ἀρχὴν κόσμημά τι κοσμεῖ τῷ Π στοιχείῳ παρόμοιον· ἡ δὲ τοῦ κειμένου ἀρχὴ ὧδε ἔχει· «Μὴν σεπτέβριος ἔχων ἡμέρας λ΄· ἡ ἡμέρα ἔχει ὥρας ιβ΄ καὶ ἡ νὺξ ὥρας ιβ΄. Ἀρχὴ τῆς ἰνδίκτου.—Ἴνδικτον ἡμῖν εὐλόγει νέου χρόνου, | ὦ καὶ παλαιὲ καὶ δι' ἀνθρώπους νέε. — Ἰστέον οὖν, ὅτι τὴν ἰνδικτιῶνα ἑορτάζει ἡ τοῦ Θεοῦ ἐκκλησία» κτλ., φ. 1. Τεῦχος μεμβράνινον τῆς τρισκαιδεκάτης ἑκατονταετηρίδος, φύλλα περιέχον 226, ὧν τὸ κείμενόν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ δύο (0,29 × 0,207 = 0,21 × 14)· μέχρι δὲ τοῦ ἑπτακαιδεκάτου αἰῶνος ἐν τῷ ναῷ κατέκειτο τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως, ὥσπερ ἀπέδειξεν ἡμῖν τὸ ἐν τῷ 68-ῳ φύλλῳ σημείωμα.

180. Τεῦχος μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συνιστάμενον 282 καὶ ἐξ ἑτέρων εἴκοσι καὶ ἑνὸς ἐκ χάρτου, ἅπερ Ἀβέρκιος ἱερομόναχος (23 σεπτεμβρίου 1786) ἔνδον

ἀμφοτέρων τῶν πινακίδων προσέθηκεν, ἀπογραψάμενος ἐν αὐτοῖς τὰ παλαιόθεν ἐλλείποντα τῷ βιβλίῳ· οὗτος δὲ ὁ Ἀβέρκιος, ὁ «ἐξ ἁγίας πόλεως», ἐν τῇ λαύρᾳ διέτριβε τοῦ ἁγίου Σάβα ἀπὸ τοῦ 1782-ου ἔτους (ὅρα τὸ 131-ον φύλλον, ἔνθα καὶ τροπάριον ὁ αὐτὸς εἰς τὸν ὅσιον ἔγραψε Σάβαν). Τὸ μὲν οὖν τεῦχος κείμενον ἐμπεριέχει κατὰ σελίδα πᾶσαν μονόστηλον, ἐκ γραμμῶν 25 μέχρις 26 (0,288×0,23=0,19×0,14), ὅπερ ἐστὶ τὸ λεγόμενον Γεροντικόν· διῄρηται δὲ τοῦτο εἰς κεφάλαια κατὰ τὴν ἑξῆς τάξιν·

1. «Παραίνεσις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος». Ἀρχ. «Ἠρώτησέ τις τὸν ἀββᾶν Ἀντώνιον λέγων· τί φυλάξας τῷ Θεῷ εὐαρεστήσω» κτλ. Φύλλα δέκα ἐκ χάρτου, ὧν ἡ ἀκολουθία εὕρηται ἀκριβῶς ἐν τῷ 1-ῳ μεμβρανίνῳ φύλλῳ.

2. «Τοῦ ἀββᾶ Ζωσιμᾶ» ῥήσεις, ὧν ἡ ἀρχή· «Ἀρχόμενος ὁ μακάριος Ζωσιμᾶς ἔλεγεν οὕτως· πρῶτον ποιήσας τὸ σημεῖον τοῦ σταυροῦ», φ. 12.

3. «Ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ διασπάζεσθαι». Ἀρχ. «Ὁ ἀββᾶς Ἀντώνιος καθεζόμενος ποτὲ ἐν τῇ ἐρήμῳ, ἐν ἀκηδείᾳ γέγονε», φ. 30β.

4. «Περὶ κατανύξεως». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· πρὸ ὀφθαλμῶν ἔχε πάντοτε», φ. 44.

5. «Περὶ ἐγκρατείας καὶ ὅτι οὐ μόνον ἐπὶ βρώματι ταῦτα παραληπτέον, ἀλλὰ καὶ τῷ λοιμῷ τῶν τῆς ψυχῆς κινημάτων». Ἀρχ. «Ἀδελφοὶ παρέβαλον τῷ ἀββᾷ Ἀντωνίῳ», φ. 69β.

6. «Διηγήματα διάφορα πρὸς ἀσφάλειαν τῶν ἐκ τῆς πορνείας ἐπανισταμένων ἡμῖν πολέμων». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· λογίζομαι ὅτι ἔχει», φ. 88β.

7. «Περὶ ἀκτημοσύνης, ἐν ᾧ ὅτι δεῖ καὶ τὴν πλεονεξίαν πάνυ φυλάττεσθαι». Ἀρχ. «Ἀδελφὸς ἀποταξάμενος τῷ κόσμῳ», φ. 120β.

8. «Διηγήματα διάφορα πρὸς ὑπομονὴν καὶ ἀνδρείαν ἡμᾶς ἀλείφοντα». Ἀρχ. «Παρέβαλον ἀδελφοὶ τῷ ἀββᾷ Ἀντωνίῳ καὶ λέγουσιν αὐτῷ· εἰπὲ ἡμῖν λόγον πῶς σωθῶμεν», φ. 131β.

9. «Περὶ τοῦ μὴ δεῖν πρὸς ἐπίδειξιν ποιεῖν». Ἀρχ. «Ἤκουσεν ὁ ἀββᾶς Ἀντώνιος περί τινος νεωτέρου», φ. 159β.

10. «Ὅτι φυλάσσεσθαι χρὴ τοῦ μηδένα κρίνειν». Ἀρχ. «Ἀδελφῷ ποτε συνέβη πειρασμὸς εἰς τὸ κοινόβιον τοῦ ἀββᾶ Ἠλίτ», φ. 170.

41. «Περὶ διακρίσεως». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος, ὅτι εἰσί τινες», φ. 179β.

12. «Περὶ τοῦ δεῖν πάντα νήφειν». Ἀρχ. «Ἀδελφὸς ἠρώτησεν τὸν ἀββᾶν Ἀρσένιον ἀκοῦσαι παρ' αὐτοῦ λόγον», φ. 206.

13. «Περὶ τοῦ ἀδιαλείπτως καὶ νηφόντως προσεύχεσθαι». Ἀρχ. «Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀρσενίου», φ. 212.

14. «Ὅτι φιλοξενεῖν χρὴ καὶ ἐλεεῖν ἐν ἱλαρότητι». Ἀρχ. «Ἀπῆλθον τινὲς τῶν πατέρων ποτὲ πρὸς τὸν ἀββᾶν Ἰωσὴφ εἰς Πανεφώ», φ. 214β.

15. «Περὶ ὑπακοῆς καὶ ταπεινοφροσύνης». Ἀρχ. «Ὁ μακάριος ἀββᾶς Ἀρσένιος», φ. 228β μέχρι τοῦ φ. 253· μετὰ δὲ τὸ 250-ον φύλλον ὑπῆρχεν ἔλειμμα, ὅπερ Ἀβέρκιος ἀνεπλήρωσε, φύλλον ἓν ἐκ χάρτου προσθείς.

16. «Περὶ ἀνεξικακίας». Ἀρχ. «Ἔλεγον περὶ τοῦ ἀββᾶ Γελασίου», φ. 254.

17. «Περὶ ἀγάπης». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· ἐγὼ οὐκέτι φοβοῦμαι», φ. 258.

18. «Περὶ διορατικῶν μοναχῶν». Ἀρχ. «Τῷ ἀββᾷ Ἀντωνίῳ ἀπεκαλύφθη ποτέ», φ. 262β.—Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι μεταξὺ τῶν φύλλων 269 καὶ 271, τεμάχη κεῖται μεμβράνινα δύο τῆς ἐνάτης ὡς ἔοικεν ἑκατονταετηρίδος, ἅπερ ἐμπεριέχει μέρη τροπαρίων τινῶν.

181. Τεῦχος ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ τέλος τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος, καὶ φύλλα συγκλεῖον 323· δώδεκα δὲ τούτων ἐστὶ πάνυ μεταγενέστερα (φ. 1-3, 31-34, 260-262, 322 καὶ 323), δι' ἀναπλήρωσιν ἐκπεσόντων φύλλων ὑπὸ τοῦ προρρηθέντος Ἀβερκίου προστεθέντα· τὸ δὲ κείμενον τοῦ βιβλίου κατὰ σελίδα πᾶσαν ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα, ὧν ὁ χῶρός ἐστιν ὡς 0,197×0,15· αὐτὸς δὲ ὁ κῶδιξ μήκους μέν ἐστι 0,285, πλάτους δὲ 0,215.

1. «Εὐχὴ περὶ ἀναγνώσεως», φ. 1.

2. Παύλου τοῦ Εὐεργετηνοῦ, συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων καὶ ἁγίων πατέρων· βιβλίον τρίτον καὶ τέταρτον· τούτου δὲ ἡ ἀρχὴ ἥδ' ἐστιν· «Ἀρχὴ σὺν Θεῷ τοῦ τετάρτου βιβλίου τῶν συντεθέντων παρὰ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου ἐκ τῶν θαυμασίων ἀποφθεγμάτων τε καὶ πράξεων τῶν ἁγίων πατέρων. Ὅτι τῶν μοναχῶν ἡ ἀκτημοσύνη ἐπήγγελται» κτλ., φ. 171. Τὴν δὲ τῆς πρώτης ἐντύπου ἐκδόσεως ἐπιγραφὴν ὅρα παρὰ τῷ Βρετῷ, Νεοελλην. Φιλολογία τ. I, σ. 107.

182. Μηναῖον τοῦ μηνὸς Φεβρουαρίου, ἔχον ἐπὶ τοῦ τελευταίου φύλλου τὸ σημείωμα τοῦτο· «† Τέλος εἴληφεν ὁ φευρουάριος μήν, ἐν ἔτη [sic] ,ζνγ' μηνὶ σεπτεβρίω ε'» = 1544. Σύγκειται δὲ τὸ βιβλίον ἐκ φύλλων χάρτου 140, ὧν αἱ σελίδες εἰσὶ δίστηλοι· ἑκάστη δὲ στήλη γραμμὰς ἀριθμεῖ τριάκοντα καὶ μίαν (0,284 × 0,215 = 0,215 × 0,14). Σημειωτέον ἔτι, ὅτι ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει φύλλα δύο μεμβράνινα, ἐκ Τριῳδίου τινὸς τῆς τρισκαιδεκάτης ἀποσπασθέντα ἑκατονταετηρίδος, οὗ αἱ σελίδες ἦσαν μονόστηλοι καὶ γραμμὰς ἠρίθμουν εἴκοσι καὶ ὀκτώ.

183. Μηναῖον τοῦ μηνὸς Ἀπριλίου, γραφὲν ἀμφὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· τούτου δὲ τὸ πρῶτον ἥμισυ φύλλον ἐλλείπει· διὰ δὲ κοπίδος ἀφῃρέθη παρά τινος ἐπίσης φύλλα τέσσαρα, ἅπερ ἐδείκνυε τὸ τέλος τοῦ βιβλίου. Σῴζει οὖν σήμερον τὸ μηναῖον φύλλα μόνον 148, κείμενον ἐνέχοντα δίστηλον ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων (0,287×0,215=0,208×0,14). Ἀξιοσημείωτόν ἐστιν ἐν αὐτῷ, ὅτι ὁ τῇ ζ' ἀπριλίου ἑορταζόμενος ἐπίσκοπος Μυτιλήνης Γεώργιος ὀνομάζεται Μελιτινῆς ἐπίσκοπος.

184. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων συγκείμενον 140, διανεμημένων εἰς τετράδια ὀκτωκαίδεκα· ἔστι δὲ μήκους μὲν 0,265, πλάτους δὲ 0,197· τὸ δὲ κείμενον ὑπάρχει μονόστηλον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων καὶ ἐκ γραμμῶν τριάκοντα (0,182×0,112). Ἔστι δὲ προσέτι φύλλα

δύο ἐν τῇ ἀρχῇ παλαιότερα, ἐν οἷς ἀναγινώσκεται κανὼν ᾀσματικὸς εἰς τὸν ὅσιον Κυριακόν, ἀπὸ τοῦ θεοτοκίου τῆς πρώτης ᾠδῆς ἄχρι τοῦ τρίτου τροπαρίου τῆς ὀγδόης ᾠδῆς. Περιέχει οὖν τὸ λοιπὸν βιβλίον στιχηρὰ τροπάρια καὶ κανόνας ᾀσματικοὺς εἰς διαφόρους ἁγίους ἑορταζομένους ἐν τῷ μηνὶ μαΐῳ, ἔτι δὲ περὶ τὸ τέλος αὐτοῦ «στιχηρὰ ψαλλόμενα εἰς τὸν μικρὸν ἑσπερινὸν τοῦ ἠγαπημένου θεολόγου» Ἰωάννου καὶ ἀποστολικά τινα ἀναγνώσματα. Ἐκ τούτου δὲ τοῦ τεύχους ἐξήγαγον ἀγνώστους τινὰς ὕμνους ἐκτυπώσεως χάριν, οἷον ἀνώνυμον κανόνα εἰς τὸν ὅσιον Βάρβαρον, ἕτερον Ἰωσὴφ τοῦ μελῳδοῦ ψαλλόμενον εἰς τὸν ἱερομάρτυρα Θεράποντα, καὶ πάλιν τοῦ αὐτοῦ μελῳδοῦ κανόνα εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικήταν ἐπίσκοπον Χαλκηδόνος, οὗ ἡ ἀκροστιχίς· «τῷ θαυματουργῷ προσλαλήσω ποιμένι».

185. Λεξιλόγιον ἑλληνικὸν μεθ' ἑρμηνείας καὶ μετὰ φρασεολογίας, ἔχον ἐν τῇ ἀρχῇ γραμματικάς τινας παρατηρήσεις· ἐγράφη δὲ κατὰ τὴν ὀκτωκαιδεκάτην ἑκατονταετηρίδα, καὶ νῦν ἐκ φύλλων χάρτου συναποτελεῖται 113, ὧν ἐνιά ἐστιν ἄγραφα· φαίνεται γὰρ ὅτι πρότερον ἠρίθμει φύλλα πολλῷ πλείονα, ὡς ἔστιν εἰκάζειν ἐκ τῶν μεταξὺ τοῦ βιβλίου ὑπαρχόντων ἐλειμμάτων,

186. Τόμος πρῶτος εὐαγγελίου λειτουργικοῦ, ἔτει 1628-ῳ γραφέντος, ἐκ φύλλων χάρτου συναποτελούμενος 349· ὃς ἐμπεριέχει περικοπὰς εὐαγγελίων, ἀναγινωσκομένας ἀπὸ τῆς Κυριακῆς τοῦ πάσχα μέχρι τῆς Κυριακῆς τῆς τυροφάγου ἑβδομάδος· ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν ὀκτωκαίδεκα $(0,295 \times 0,202 = 0,218 \times 0,14)$.

187. Τόμος δεύτερος τοῦ αὐτοῦ εὐαγγελίου, ἀρχόμενος ἀπὸ τοῦ πρώτου Σαββάτου τῶν νηστειῶν καὶ περὶ τέλος ἔχων εὐαγγελίων εὑρετήρια καὶ μηνολόγιον πλῆρες· σύγκειται δ' ἐκ φύλλων 205, ὧν τὸ τελευταῖον ὑποδείκνυσι τὸν καλλιγράφον ὧδε· «͵ζρλϛʹ. † Θεοῦ τὸ δῶρον, καὶ Κυρίλλου ὁ πόνος». Σημειωτέον ἔτι, ὅτι φύλλα δύο τοῦ μζʹ τετραδίου κεῖται νῦν ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 402. Отчетъ Импер. Публ. Библ. за 1883 годъ, σ. 145).

188. «Ἐκλογάδιν σὺν Θεῷ τῶν ἁγίων εὐαγγελίων τοῦ χρόνου ὅλου», τέσσαρα κοσμήματα περιέχον ὅμοια τῷ Π στοιχείῳ, καὶ φύλλα συναριθμοῦν ἐκ χάρτου βαμβακεροῦ 538, ὧν τὰ τέσσαρα πρῶτα μεταγενέστερα· ἐγράφη δὲ ἢ περὶ τὸ τέλος τῆς τρίτης καὶ δεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, οὐχὶ δὲ τῇ πεντεκαιδεκάτῃ, ὡς λέγει ὁ κατάλογος τῆς ἐν Πετρουπόλει συλλογῆς Πορφυρίου τοῦ Οὐσπένσκη· ἀφείλετο γὰρ οὗτος καὶ τοῦ κώδικος τούτου φύλλα δύο, ἅπερ ἔκειτο μετὰ τὸ 160-ον φύλλον (ἀριθ. 401. Отчетъ Императ. Публ. Библ. σ. 145). Ἔχει τοίνυν ὁ κῶδιξ τὸ κείμενον ἐν μιᾷ στήλῃ κατὰ σελίδα πᾶσαν, καὶ τοῦτο μετὰ μουσικῆς ἐρυθρᾶς παρασημάνσεως καὶ μετὰ μεγάλων τινῶν κεφαλαιωδῶν γραμμάτων, ἅπερ ἐστὶ κεχρωματισμένα τε καὶ περιπεποικιλμένα· ἑκάστη δὲ σελὶς ἀριθμεῖ γραμμὰς δέκα καὶ τέσσαρας (0,285 × 0,215 = 0,195×0,14)· ἀπὸ δὲ τοῦ 433-ου φύλλου κεῖται τὸ συναξάριον τῶν κατὰ μῆνα εὐαγγελίων, ὅπερ διὰ τὸν ἐκπεσμὸν ἱκανῶν φύλλων ἀτελὲς νῦν ὑπάρχει, ἡμέρας τελευταίας ἐκεῖ δηλουμένης τῆς ἐνάτης μαρτίου. Σημείωσαι προσέτι, ὅτι ἐν τῷ κρασπέδῳ τοῦ 240-ου φύλλου γέγραπται σημείωμά τι περὶ τὸ τέλος οἶμαι τοῦ τετάρτου καὶ δεκάτου αἰῶνος· ὅπερ ἔχει ὧδε· «† εδωθ(η) τοπαρον ευαγγελιον χυηρ ϊωαννικιου αρχ(ι)μανδ(ριτου) της μαναστηρη ἁγ(ίου) Σαβα τοὐγιασμένου· εις τὴν ἁγΐαν ἁγιου μεγαλουμάρτυρος Γεωργίου». Προσεπισημειωτέον, ὅτι εἰς χρόνους μεταγενεστέρους παρεγράφησαν ἐν τῷ κώδικι διὰ γραμμάτων ἀραβικῶν αἱ τῶν εὐαγγελίων ἐπιγραφαί.

189. Τεῦχος ἐκ φύλλων χάρτου 439, γραφὲν μεταξὺ τοῦ 1419-ου καὶ τοῦ 1424-ου ἔτους· ὅπερ κείμενον ἔχει μονόστηλον καὶ ἐκ γραμμῶν 26 μέχρις 28 (0,282 × 0,185 = 0,21 × 0,12). Καὶ ἐν μὲν τῇ ἀρχῇ δύο πρόσθετα ὑπάρχει φύλλα, περιέχοντα ὑπομνήματα δύο πλήρη σφαλμάτων, ἅπερ ἐνταῦθα διωρθωμένα παρατίθεται· α′) «1690 ἰουνίου 17 ἦλθαν οἱ Φράτορες μὲ βασιλικὸν ὁρισμὸν νὰ κυριεύσουν τοὺς ἁγίους τόπους, Ἅγιον Τάφον, Ἅγιον Γολγοθᾶ(ν), Εὕρεσιν τοῦ Σταυροῦ, Ἀποκαθήλωσιν καὶ

τὴν Γέννησιν τοῦ Χριστοῦ, τὴν Ἁγίαν Βηθλεέμ, καὶ ἐκάμαν τόσα κακὰ καὶ τόσην ζημίαν· εἰς τὴν Ἁγίαν Βηθλεὲμ ἐχαλάσαν τὸ τέπλον καὶ ἔρριχταν τὰς εἰκόνας καὶ τὸν σταυρὸν καταγῆς· ὅτι νὰ ἦσαν Ἑβραῖοι δὲν τὸ ἐκάμναν· ἐχάλασαν καὶ τὴν ἁγίαν τράπεζα(ν) ὀ(μ)πρὸς εἰς τὸν Ἅγιον Τάφον, καὶ ἔρριξαν τὰ ἅγια χώματα εἰς τὸ ταπακάρια [sic] τὰ αἱμοβόρα θηρία· καὶ ἄλλα κακὰ ἐκάμαν πεισματικὰ τῶν Ῥωμαίων, καὶ διὰ ἐνθύμησιν γράφου(ν)ται τὰ παρόντα. Νεόφυτος ὁ ποτὲ Λύδδης».—β') «1808 σεμ(π)τεβρίου 28 τὸ βράδι ἐβάλανε οἱ Ἀρμένιδες φωτία(ν) καὶ ἔκαψα(ν) τοῦ Ἁγίου Τάφου τὴν ἐκκλησίαν». Καὶ ταῦτα μὲν ἔχει τὰ πρόσθετα φύλλα· αὐτὸ δὲ τὸ τεῦχος ἐμπεριέχει τὰ ἐφεξῆς κείμενα.

1. Μηναῖον τοῦ Σεπτεμβρίου, φ. 1-211.

2. Μηναῖον τοῦ Ὀκτωβρίου, φ. 211-402.

3. «Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Χαρίτωνος τοῦ ὁμολογητοῦ», φ. 402.

4. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Χαρίτωνος τοῦ ὁμολογητοῦ». Ἀρχ. «Πολλὰ τῆς διδασκαλίας», φ. 405. Acta Sanctorum, σεπτ. τ. VII, σ. 572. Migne τ. 115, σ. 900.

5. «Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ἰάκωβον καὶ ἀδελφὸν τοῦ Κυρίου». Ἀρχ. «Οὐχ οὕτως ἡδύ», φ. 418. Combefis, Auct. novis. I, σ. 519. Acta Sanctorum, μαΐου τ. I, σ. XI. Migne τ. 115, σ. 200.

6. «Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου», οὗ ἡ ἀρχή· «Εἶχε μὲν τὰ Ῥωμαίων σκῆπτρα», φ. 429. Migne τ. 116, σ. 1185.

7. Ὑπόμνημα τοῦ καλλιγράφου, ὅπερ ἀπαραλλάκτως ἐνταῦθα παρατίθεμαι· «✝ Ἐπλ(ηρώ)θ(η) τὸ παρὸν δϋμήναιον τοῦ παναγίου καὶ ζωοδόχου τάφου Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν, σεμπτέβριος καὶ ὀκτώμβριος· διὰ σὺν δρομῆς καὶ ἐξόδου τοῦ πανοσιωτάτου, καὶ σεβασμιωτάτου· καὶ θείου π(ατ)ρ(ὸ)ς ἡμῶν, κῦρ Δωροθέου· πρώην μὲν πατριαρχοῦντος τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, καὶ τῶν περὶ αὐτῆς πάντων· νῦν δὲ πατριαρχοῦντος τοῦ παναγιωτάτου π(ατ)ρ(ὸ)ς

ἡμῶν κῦρ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ [1]· ἐπὶ τῆς βασιλείας, τοῦ κραταιοῦ, καὶ ἁγίου ἡμῶν κῦρ Μανουὴλ τοῦ Παλαιολόγου καὶ γέροντος· καὶ υἱοῦ αὐτοῦ, κῦρ Ἰωάννου τοῦ Παλαιολόγου· ἐγράφη δέ, ἐντὸς τοῦ παναγίου καὶ ζωαρχικοῦ καὶ θείου τάφου Χ(ριστο)ῦ τοῦ σ(ωτῆ)ρ(ο)ς ἡμῶν Θ(εο)ῦ· καὶ οἱ ἐντυγχάνωντες τοῦτου εὔχεσθαι ὑπὲρ τοῦ γράψαντος Ῥαχυ τοῦ θύτου· ἧν ἀξιοθείημεν ἀμφότεροι πάντες ἰδεῖν τὸ ἐράσμιον καὶ θ[ε]ῖον] καὶ γλυκύτατον κάλλος Χ(ριστο)ῦ τοῦ Θ(εο)ῦ ἡμῶν ἀμήν».

190. Τεῦχος ἐκ χάρτου τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἀποτελούμενον ἐκ φύλλων 239, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν 32 μέχρι 34 (0,298 × 0,222 = 0,215 × 0,16 ἢ 0,227 × 0,165). Καὶ τὸ μὲν πρῶτον αὐτοῦ φύλλον ἐφθαρμένον ἐστίν, ἔχον ὄπισθεν ἀπόσπασμα βίου τινὸς Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ δὲ τελευταίου τὸ ἥμισυ μόνον ἐσώθη. Ὑπῆρχε δὲ μετὰ τοῦτο καὶ φύλλον ἓν μεμβράνινον τῆς δεκάτης ἑκατονταετηρίδος, οὗ τεμάχιον ἤδη σῴζεται, γράμμασι κεφαλαιώδεσιν ἔχον τὴν ἀρχὴν ἀποσπάσματος εὐαγγελικοῦ, τῇ ἡμέρᾳ τῆς Ὑπαπαντῆς ἀναγινωσκομένου. Ἦν δὲ τὸ βιβλίον ἐξ ἀρχῆς ἐν τῇ μονῇ τοῦ ὁσίου Σάβα (ὅρα τὸ 151-ον φύλλον)· ἃ δὲ τοῦτο περιέχει, τάδ' ἐστιν·

1. Μηναῖον τοῦ Σεπτεμβρίου μετὰ συναξαρίων, φ. 2.
2. Μηναῖον τοῦ Ὀκτωβρίου μετὰ συναξαρίων, φ. 89β.
3. Μηναῖον τοῦ Νοεμβρίου μετὰ συναξαρίων, φ. 162β.

191. Τεῦχος ἐκ χάρτου τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἀποτελούμενον ἐκ φύλλων 179, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα (0,30 × 0,21 = 0,202 × 0,14)· ἔστι δὲ νῦν ἀκέφαλον καὶ ἐλλιπές· ἀλλὰ πρὸ ἐνιαυτῶν τινων εἶδε καὶ τοῦτο τὸ τεῦχος ὁ Ἀντωνῖνος ἴσως ἀκερμάτιστον· γράφει γὰρ ὅτι τετράδια συνηρίθμει εἴκοσι καὶ τέσσαρα,

[1] Τὰς ὑπαρχούσας ἄχρι τοῦ νῦν εἰδήσεις περὶ τοῦ πατριάρχου Δωροθέου συνήγαγον εἰς τὸν πρόλογον τῆς ὑπ' ἐμοῦ ἐκδοθείσης ἀνωνύμου περιγραφῆς τῶν ἁγίων τόπων (Правосл. Палестинскій Сборникъ, τεῦχος 26-ον)· αἷς πρόσθες Ἱεροσολ. Βιβλιοθήκης τ. I, σ. 464.

ἃ φύλλα συναποτελεῖ 192. Καὶ ἀπὸ μὲν τοῦ νῦν πρώτου φύλλου τὸ κείμενον ἄρχεται μηναίου τοῦ Νοεμβρίου μηνός, τουτέστιν ἀπὸ τῆς ἐφεξῆς ῥήσεως τοῦ πρώτου τριῳδίου τῆς η′ ᾠδῆς ᾀσματικοῦ τινος κανόνος, ψαλλομένου τῇ πρώτῃ ἡμέρᾳ τοῦ αὐτοῦ μηνός· «πνεύματος ἁγίου | παύσατε ἡμῶν τῶν ψυχῶν τὰ νοσήματα | καὶ τὰς τῶν σωμάτων κουφίσατε ὀδύνας»· μετὰ δὲ τὴν ὀπίσθιον σελίδα τοῦ 76-ου φύλλου κεῖται μηναῖον τοῦ Δεκεμβρίου, ὅπερ τὴν ἀρχὴν ἤδη ποιεῖται ἀπὸ τῆς ᾀσματικῆς ἀκολουθίας τῆς μεγαλομάρτυρος Βαρβάρας· ἐπεὶ δὲ τὸ τέλος ἐξέπεσε τοῦ τεύχους, λήγει νῦν τὸ μηναῖον εἰς τὰς λέξεις ταύτας· «μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην | καὶ νῦν αἴτησαι τοῖς ἐκ»· αἳ δὲ μέρος εἰσὶ στιχηροῦ τινος, οὗ ἡ ἀρχή· «Πρωτομάρτυς ἀπόστολε καὶ πρωτοδιάκονε».

192. Τεῦχος ἐκ χάρτου τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, οὗ νῦν ἐλλείπει τὰ πρῶτα δύο φύλλα· καὶ ἕτερα πάλιν ὀκτώ, ἅπερ ἦν ὀπίσω τοῦ νῦν 93-ου φύλλου· τὰ δὲ συνυπάρχοντα φύλλα συναριθμεῖται εἰς 249, μήκους μὲν ὄντα 0,29, πλάτους δὲ 0,20· ὧν τὸ κείμενον κατὰ σελίδα πᾶσάν ἐστι δίστηλον καὶ ἐκ γραμμῶν 28 μέχρι 35. Περιέχει δὲ ταῦτα·

1. Μηναῖον τοῦ Δεκεμβρίου, οὗ τὸ πρῶτον φύλλον ἐγράφη δίς· ἐλλείπουσιν ὅμως αἱ ψαλλόμεναι ἀκολουθίαι μεταξὺ τῆς 26-ης καὶ τῆς 31-ης ἡμέρας.

2. Μηναῖον τοῦ Ἰανουαρίου, φ. 94.

3. Μηναῖον τοῦ Φεβρουαρίου (φ. 208 κέ), ἔχον ἐν τέλει τὸ σημείωμα τοῦ καλλιγράφου· «Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.— Ἀθανασίῳ μοναχῷ εὔχεσθε πάντες»· μεθ᾽ ὃ πάλιν ἕτερον ὑπῆρχε σημείωμα μεταγενέστερον, ἀπεσβεσμένον μὲν ἤδη, γεγραμμένον δ᾽ ἐπὶ «ἔτους, ͵ζμθ′, ἐν μηνὶ δεκεμβρίῳ»=1540.

193. Μηναῖα τοῦ Ἰουλίου καὶ τοῦ Αὐγούστου μετὰ τῶν οἰκείων συναξαρίων, ἔχοντα μετὰ τὸ τέλος αὐτῶν τὸ σημείωμα τοῦτο· «† Οἶδον γάρ, εἶδον, το ποθούμενον τέλος. — † Ἐνθάδε τέλος εὗρε, τὸ παρὸν δϋμηναῖον»· εἵπετο δὲ τούτῳ γραμμὴ μία, ἣν ἀπέξεσέ τις οὕτω πυκνῶς, ὡς οὐδὲ στοιχεῖον ἓν

ἡμᾶς δύνασθαι νῦν εὖ διακρίνειν. Καὶ ὁ μὲν χάρτης ἐστὶ τοῦ βιβλίου βαμβακερὸς ἅμα καὶ στιλπνός· φύλλα δὲ τοῦτο συναριθμεῖ 405, ὧν τὸ κείμενον ἐγράφη περὶ τὸ τέλος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος ἐν μιᾷ κατὰ σελίδα στήλῃ, γραμμὰς ἐμπεριλαβούσῃ εἴκοσι καὶ ἓξ (0,28 × 0,195 = 0,20 × 0,11)· ἔχει δὲ καὶ κόσμημα ἓν ἐν τῷ πρώτῳ φύλλῳ κεχρωματισμένον, ὅπερ ἐστὶ παρεμφερὲς τῷ γράμματι Π· καὶ ἄνω μὲν αὐτοῦ σταυρὸς ὑπάρχει, τὰ δὲ σκέλη τοῦ κοσμήματος συνεκύρτωσεν ὁ τεχνίτης πρὸς τὸ στόμιον αὐτοῦ.

194. Μηναῖα τοῦ Μαΐου καὶ τοῦ Ἰουνίου μετὰ τῶν οἰκείων συναξαρίων, γραφέντα ἐπὶ χάρτου περὶ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα καὶ φύλλα συναποτελοῦντα 113, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα δίστηλον· ἔστι δὲ μήκους μὲν 0,285, πλάτους δὲ 0,20.

195. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1440-ῷ καὶ φύλλα περιέχον 293, ὧν τινα μεταγενέστερά ἐστι (φ. 161-165, 198-203, 265-278). Καὶ μήκους μὲν ἔστι 0,288, πλάτους δὲ 0,215· τὸ δὲ κείμενον ὑπάρχει κατὰ σελίδα πᾶσαν δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ τεσσάρων (0,218 × 0,155)· περιέχει δὲ τάδε·

1. Ἀναγνώσματα ἐκ τῆς παλαιᾶς Διαθήκης, ὧν ἡ ἀρχὴ λείπει, φ. 1.

2. «Ἀρχὴ σὺν Θεῷ τῶν καθισμάτων, σταυρώσιμα, κατανυκτικά, ἀποστολικά, καὶ μαρτυρικὰ καὶ ἀναστάσιμα». Ἀρχ. «Εἰς τὴν α' στιχολογίαν καθίσματα ἀναστάσιμα· ἦχος α'. Τὸν τάφον σου Σωτὴρ» κτλ., φ. $4^{β}$.

3. «Ὕμνοι τριαδικοί, ἐν ᾧ ψάλλονται τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ· ἦχος α'». Ἀρχ. «Σωματικαῖς μορφώσεσι», φ. 26.

4. (Δι' ἑτέρας χειρὸς) κεφάλαια περὶ ἀσπίδος, περὶ γοργόνης καὶ περὶ φοίνικος τοῦ ὀρνέου. Ἀρχ. «Ἔστιν ἡ ἀσπὶς μορφὴν ἔχουσα», φ. $31^{β}$—$32^{α}$. Καὶ πάλιν διὰ τῆς αὐτῆς χειρὸς ἕτερα κεφάλαια περὶ γοργόνης, περὶ γύπικος, περὶ ἀετοῦ, περὶ γρυπός, περὶ λέοντος καὶ περὶ ὕδρωπος. Ἀρχ. «Ἔστιν ἡ γοργόνη γυναικὸς

πόρνης μορφὴν ἔχουσα, αἱ δὲ τρίχες τῆς κεφαλῆς αὐτῆς» κτλ., φ. $292^{β}$—$293^{β}$.

5. «Ἀρχὴ σὺν Θεῷ Τριῴδ(ιον), ἀρχόμενον ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου», φ. $32^{β}$ μέχρι τοῦ φ. $292^{β}$, ἔνθα γέγραπται τὸ «Τέλος τοῦ παρόντος βιβλίου, ἐν μηνὶ σεπτευρίω κς΄ τοῦ ͵ςϠμθ΄ ἔτους, ἰν(δικτιῶν)ος δης».

196. Τεῦχος ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· σύγκειται δ' ἐκ φύλλων 314, ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι (0,20 × 0,142 = 0,15 × 0,105). Ἡ δὲ ἐπιγραφὴ ἔχει ὧδε· «Χρονογραφία συνοπτικὴ διαφόρων διδασκάλων, μεταφραστεῖσα [sic] εἰς κοινὴν γλῶτταν παρά τινος ἀνωνύμου». Ἀρχ. «Θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται· ἤτονε πάντοτε, καθὼς λέγει ὁ θεολόγος Γρηγόριος, καὶ εἶναι καὶ θέλει εἶσται πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα, ἡ μία θεότης καὶ κυριότης καὶ μία οὐσία καὶ δύναμις· καὶ ἐπειδὴ ἠθέλησε νὰ ἁπλώσῃ ἡ αὐτοῦ ἀγαθότης διὰ νὰ εἶναι περισσὰ τὰ εὐεργετούμενα» κτλ. Διὰ τὴν ἀναίρεσιν ὅμως πολλῶν φύλλων ἐλλείπει τοῦ κώδικος ἡ ἀκολουθία· τὸ γὰρ κείμενον αὐτοῦ λήγει νῦν εἰς τὰς ἐφεξῆς λέξεις τοῦ κεφαλαίου ὃ περὶ τῆς βασιλείας πραγματεύεται Νικηφόρου τοῦ Βοτανειάτου· «καὶ εὑρήκασι τοὺς Βουλγάρους εἰς τὸν ὕπνον, καὶ δὲν ἤξευραν τί κάμνουν, καὶ ἔτζη σκοτεινὰ ἐσκότωναν ἀλλήλως τους, καὶ οἱ χίλιοι ἔκοπταν ἕως ὁποῦ ἐξημέρωσε, καὶ ἔκοψαν καὶ τὸν βασιλέα».

197. Ἑτέρα χρονογραφία, πιθανῶς δὲ ἡ τοῦ Μονεμβασίας Ἱεροθέου, ἀκέφαλος καὶ ἐλλιπεστάτη, περὶ τὸ τέλος ἐκγραφεῖσα τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ τὴν ἀρχὴν ἤδη ποιουμένη ἀπὸ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου· ἔχει δὲ φύλλα συνηριθμημένα σμθ΄, ἃ μήκους μὲν ἔστι 0,21, πλάτους δὲ 0,152· πρὸ δὲ τῆς ἀρχῆς τοῦ κώδικος, ἐπὶ τῆς πρώτης αὐτοῦ πινακίδος, ὑπάρχει σημείωμά τι διὰ γεωργιανῶν γραμμάτων ἀπεσχηματισμένον.

198. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1418 καὶ φύλλα νῦν ἔχον 326, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 23 ἢ 24 (0,222 × 0,15 = 0,156 × 0,085)· περιέχει δὲ ταῦτα·

1. Μανουὴλ τοῦ Μοσχοπούλου ἐρωτήματα γραμματικά, ὧν ἐλλείπει ἡ ἀρχή· ἄρχεται δὲ τὸ κείμενον ἤδη ἀπὸ τῶν λέξεων τούτων· «διὰ καθαροῦ τοῦ ος κλινόμενα, ομοφω [sic] ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ· οἷον ὁ Λάχης τοῦ Λάχητος ὦ Λάχης, ὁ ἥρως τοῦ ἥρωος ὦ ἥρως, ὁ γέλως τοῦ γέλωτος ὦ γέλως· ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς Λάχησιν· ὁ κανών, ὡς τοῖς Αἴασι. Πόθεν λέβης; παρὰ τὸ λείβω τὸ σπένδω· τὸ λε ψιλὸν ἀπὸ τοῦ λείβω ἐκβολῇ τοῦ ι. Κανὼν δ'· πόθεν Χρύσης» κτλ., φ. 1 μέχρι τοῦ φ. $87^β$, ἔνθα γέγραπται τοῦτο· «† Τέλος τῆς κλίσεως τῶν ἐρωτημάτων.— | † Τῶ συντελεστῇ τῶν καλῶν, Θεῶ χάρις | ἐν ἔτει ,ςω ϡω χςω | ἰουνί(ω) λη ἡμέρα πέμπτη. | † Θεοῦ τὸ δῶρον καὶ Νικολάου πόνος». Καὶ πάλιν ἑτέρα σημείωσις τοῦ ἑκκαιδεκάτου αἰῶνος· «† Αὕτη ἡ βίβλος ἀφιερώθη παρ' ἐμοῦ Γερασίμου ἐπισκόπου, διαψυχικὴν σωτηρίαν τοῦ κεκημημένου Κωνσταντίνου ἱερέως· εἰς τὴν ἁγίαν λάβραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ὑγιασμένου· ὅστις δὲ βουληθῇ» κτλ. Μετὰ δὲ ταύτην ὑπάρχει φύλλα δύο κενά.

2. «Τοῦ Μοσχοπούλου» σχέδη, ὧν ἡ ἀρχή· «Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν· πόσα μέρη λόγου εἰσί; τρία. Κύριε Ἰησοῦ Χριστέ· Θεέ, ὄνομα· ὁ, ἄρθρον· ἡμῶν, ἀντωνυμία· τὰ γὰρ δύο ὀνόματα ἢ καὶ πολλὰ εἰς ἓν συνάγονται ὄνομα» κτλ. Τέλος· «μνεία ἡ μνήμη, διφορούμενον· καὶ γίνεται ἀπὸ τοῦ μένω μνεία, καὶ ἐν συγκοπῇ μνεία· μνία δὲ τὰ βρύα ι», φ. 90-320.

3. «Ἀριστείδου μονῳδία ἐπὶ Σμύρνῃ», ἧς ἡ ἀρχή· «Ὦ Ζεῦ, τί χρήσομαι», φ. 321 μέχρι τοῦ φ. 323, ἔνθα γέγραπται τὸ «τέλος σὺν Θεῷ τῆς Ἀριστίδου μονῳδίας ἐπὶ Σμύρνῃ». Aristides ed. G. Dind. I, σ. 424.

4. [Ἐκ τῶν ἐπιστολῶν Θεοφυλάκτου τοῦ Σιμοκάτου καὶ Λιβανίου].—α') «Ἐπιστολή· Ἀντισθένης Περικλεῖ». Ἀρχ. «Ὁ Φιλίππου παῖς Ἀλέξανδρος», φ. 324. R. Hercher, Ἐπιστολογράφοι ἑλληνικοί, σ. 769.—β') «Θεοδώρῳ». Ἀρχ. «Οἱ φῶρες προσεγκαλοῦσιν», φ. $324^β$. Libanii epist. ed. Wolf. ἀριθ. 1128.—γ') «Μυρωνίδης Μύρωνι». Ἀρχ. «Τὸ ποίμνιον ἅπαν», φ. $324^β$. Θεο-

φυλάκτου ἐπιστολὴ ιδ', ἐκδ. Hercher σ. 767. — δ') «Λεωνίδης Πε(ρι)άνδρῳ». Ἀρχ. «Ἠδέσθη καὶ Πρίαμον», φ. $325^α$. Θεοφυλάκτου ἐπιστολὴ μθ', ἐκδ. Hercher σ. 777.—ε') «Κριτίας Πλωτίνῳ». Ἀρχ. «Τέττιξ ὁ μουσικὸς ἦρος φανέντος», φ. $325^β$. Θεοφ. ἐπιστολὴ α', ἐκδ. Hercher σ. 763.

5. «Ἐπιστολαὶ τοῦ μεγάλου Βασιλείου πρὸς Λιβάνιον σοφιστήν. καὶ Λιβανίου πρὸς τὸν μέγαν Βασίλειον», φ. $325^β$ μέχρι τοῦ φ. $326^β$, ἔνθα τὸ τέλος ἐλλείπει τῆς τετάρτης ἐπιστολῆς, ἧς ἡ ἀρχή· «Πολλοὶ περιτυχόντες». Migne τ. 32, σ. 1093.

Σημειωτέον ἔτι, ὅτι μετὰ τὴν πρώτην πινακίδα συνέρραπται φύλλα πέντε κώδικος ἑτέρου, ἅπερ ἐστὶ μέρος τῆς ἀντιρρήσεως Νεκταρίου τοῦ πατριάρχου Ἱεροσολύμων· ὑπάρχουσι δ' ἐν αὐτοῖς διορθώσεις καὶ συμπληρώσεις ὑπὸ τῆς χειρὸς ἴσως γεγραμμέναι Δοσιθέου τοῦ Νοταρᾶ.

199. Τεῦχος ἐκ χάρτου γραφὲν ἔτει 1762-ῳ καὶ φύλλα συναριθμοῦν 72, μήκους μὲν 0,22, πλάτους δὲ 0,162· περιέχει δὲ τάδε·

1. «Ἐρώτησις· μετὰ ποίου τρόπου τὸ ἀμετεώριστον κατορθοῦται; Ἀπόκρισις τοῦ μεγάλου Βασιλείου», ἧς ἀρχή· «Ἐὰν τὸ τοῦ ἐκλεκτοῦ Δαυὶδ φρόνημα», φ. 1.

2. «Διονυσίου μοναχοῦ κεφάλαια τριάκοντα περὶ διαφορᾶς τῶν θείων ὕμνων». Ἀρχ. «Δέδωκεν ἡμῖν ὁ Θεὸς ἀντὶ δέλτου», φ. 2.

3. «Ἑρμηνείας περὶ διαφορᾶς τῆς νηπτικῆς εὐχῆς». Ἀρχ. «Ταύτην τὴν εὐχὴν περὶ ἧς ἀνωτέρω εἰρήκαμεν», φ. 11. Παρέπεται δὲ τῷ κειμένῳ τούτῳ τεμάχια περὶ τῆς αὐτῆς ὑποθέσεως ἐκ συγγραμμάτων ἀποσπασθέντα Νείλου τοῦ ἀσκητοῦ, Βασιλείου τοῦ μεγάλου, Θαλασσίου, Θεοδούλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Θεοδώρου τοῦ ἡγιασμένου, μαθητοῦ τοῦ ὁσίου Παχωμίου.

4. «Ἐρώτησις Ἀντιόχου πρὸς τὸν μέγαν Ἀθανάσιον καὶ ἀπόκρισις αὐτοῦ περὶ πίστεως», φ. 38.

5. «Τοῦ ἁγίου Μαξίμου» τεμάχιον, οὗ ἡ ἀρχή· «Εἷς Θεός, ὅτι μία θεότης», φ. $39^β$.

6. «Προοίμιον τοῦ Θηχαρᾶ, τοῦ περὶ πίστεως λόγου». Ἀρχ. «Τὸν ἀσχολούμενον περὶ τὴν καθαρὰν» κτλ., φ. 40.

7. «Ἐκ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ, περὶ πίστεως κατὰ συντομίαν καὶ πῶς δεῖ πιστεύειν τὸν ἀληθῆ χριστιανόν». Ἀρχ. «Εἴ τις βούλοιτο σωθῆναι», φ. 41.

8. Διονυσίου τοῦ Ἀρεοπαγίτου τεμάχιον, οὗ ἡ ἀρχή· «Θεὸς ὁ πατὴρ ὁ ὢν ἀεὶ ἀγέννητος», φ. 42β.

9. Ἰουστίνου τοῦ φιλοσόφου τεμάχιον, οὗ ἡ ἀρχή· «Ἕνα Θεὸν ὁμολογοῦμεν ἐν πατρί», φ. 43.

10. «Τοῦ αὐτοῦ [sic] ἐκ τῶν ἀπόρων περὶ τοῦ τί ἐστι τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν». Ἀρχ. «Ἐκ τοῦ καθ' ἡμᾶς ἐστι γνῶναι», φ. 45β.

11. Θεοδωρίτου Κύρρου τεμάχιον, οὗ ἡ ἀρχή· «Τινὲς μὲν τὸ ἀόρατον τῆς ψυχῆς», φ. 46.

12. Ἰωάννου τοῦ Χρυσοστόμου τεμάχιον, οὗ ἡ ἀρχή· «Εἰ μέλλομεν ἐξ οἰκείων λογισμῶν», φ. 48.

13. Γρηγορίου τοῦ Θεολόγου τεμάχιον, οὗ ἡ ἀρχή· «Ὁ Θεὸς φῶς ἐστιν ἄρρητον», φ. 49.

14. «Μιχαὴλ συγκέλλου Ἱεροσολύμων λίβελλος, ἤγουν ὁμολογία τῆς ὀρθοδόξου πίστεως», φ. 50β.

15. Τεμάχια δύο Βασιλείου τοῦ μεγάλου, φ. 54.

16. Ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ἐρώτησις· τί ἐστι Θεός; Ἀπόκρισις· οὐσία ἀναίτιος, αἰτία παναλκής», φ. 56—71.

17. Στίχοι πεντεκαίδεκα εἰς τὴν βίβλον ταύτην, μεθ' οὓς ὑπάρχει σημείωσις τοῦ γραφέως αὐτῆς· «Εἴληφε τέλος ἡ παροῦσα βίβλος ἐπὶ ἔτους 1762ῳ διὰ χειρὸς κἀμοῦ Ἰωαννικίου ἱερομονάχου τοῦ Σαββαΐτου διὰ πόνου πολλοῦ καὶ δαπάνης· καὶ οἱ ἀναγινώσκοντες εἴ τι σφαλερὸν εὕρητε ἐπιδιορθώσαντες σύγγνωταί [sic] μοι· ἀνθρώπινον γὰρ πάθος τὸ ἁμαρτάνειν:—ἐγράφη δὲ ἔνδον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα αὐγούστου 24».

200. Τεῦχος ἐκ χάρτου διμερές, οὗ τὸ μὲν πρῶτον μέρος ἐγράφη περὶ τὴν τετάρτην καὶ δεκάτην ἑκατονταετηρίδα, τὸ δὲ λοιπὸν ἐν τῇ ἑπτακαιδεκάτῃ.

α') Τετραευαγγέλιον ἐλλιπὲς μεθ' ἑνὸς κιτρίνου κοσμήματος (φ. 39) καὶ μετὰ μιᾶς εἰκόνος (φ. 106β) ἀπεικαζούσης τὸν εὐαγγελιστὴν Μᾶρκον· λήγει δὲ εἰς τὰς λέξεις ταύτας· «ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύ[ραν]». Λουκᾶ ιγ', 25. Ἐν δὲ τῇ ἀρχῇ τοῦ βιβλίου κεῖται α') «Συναξάριον σὺν Θεῷ τοῦ τετραευαγγελίου ἀπό τε τῆς ἀρχῆς τοῦ χρόνου ἕως τέλους, κατὰ τὴν ἑκάστου εὐαγγελίου περικοπὴν καὶ σύνταξιν, καὶ ὅπως καὶ πότε ὀφείλει ἀναγινώσκεσθαι ἕκαστον, ἐν ἐπιτόμῳ ἀκριβείᾳ»· οὗ ἡ ἀρχή· «Ἰστέον ὅτι ἀναγινώσκεται τὸ κατὰ Ματθαῖον». — β') «Ἀρχὴ τοῦ μηνολογίου», φ. 20β.—γ') «Κανὼν ἐν ᾧ ἕκαστος αὐτῶν ἰδίως».—δ') Ἐπιστολὴ Εὐσεβίου πρὸς Καρπιανόν. Σημειωτέον ἔτι, ὅτι τὸ κείμενον τῶν εὐαγγελίων ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσιν (0,22 × 0,148 = 0,145 × 0,86).

β') «Ἑρμηνεία τῶν ιδ' ἐπιστολῶν τοῦ μεγάλου ἀποστόλου Παύλου, μάλιστα μὲν ἐρανισθεῖσα ἀπὸ τῆς ἐξηγήσεως τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ἔτι δὲ καὶ ἀπὸ διαφόρων ἁγίων πατέρων», φ. 193-232. Ἀρχ. «Ἡ πρὸς Ῥωμαίους. Ὁρισθέντος, ἀποδειχθέντος ὅτι ἔστιν υἱὸς Θεοῦ» κτλ. Κείμενον ἐλλιπές· φύλλα δὲ τῆς αὐτῆς ἑρμηνείας εἴκοσι καὶ ἑπτὰ κεῖται κἀν τῷ 73-ῳ κώδικι· ὅρα τὴν 132-αν σελίδα.

201. Τεῦχος ἐκ χάρτου γραφὲν ἀμφὶ τὴν τετάρτην καὶ δεκάτην ἑκατονταετηρίδα, καὶ φύλλα συναριθμοῦν 225, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων (0,212 × 0,14 = 0,155 × 0,93)· περιέχει δ' ἔτι φύλλα δέκα καὶ τέσσαρα, γεγραμμένα κατὰ τὸν πεντεκαιδέκατον αἰῶνα, ὧν ἓξ μὲν ὁ δέτης ἐν τῇ ἀρχῇ τοῦ τεύχους ἔθετο, τὰ δὲ λοιπὰ ἔνδον τῆς δευτέρας πινακίδος· ἔστι δ' ἐν αὐτοῖς διήγησις «περὶ τῆς πατρικίας Ἀναστασίας τῆς μετονομασθείσης Ἀναστασίου εὐνούχου» [1] καὶ Ἐφραὶμ τοῦ Σύρου «λόγος εἰς τὴν δευτέραν παρουσίαν καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν», οὗ ἡ ἀρχή· «Ἀδελφοί μου ἀγαπητοί, ποῖον στόμα ἢ ποταπὴ γλῶσσα ἀξίως» κτλ.

[1] Ἄρχεται δὲ ὧδε· «Εὐνοῦχός τις ἔμεινεν εἰς τὴν ἐσωτέραν ἔρημον».

*

Ἀλλ' ἐν τοῖς αὐτοῖς προσθέτοις φύλλοις ὑπάρχει καὶ σημειώματά τινα· α') ἔν τινι τούτων ἀναφέρεται μητροπολίτης Ἀθηνῶν «ἐκ νήσσου Εὐρήππου», ἔτι δὲ ἐπίτροπος αὐτοῦ, ὄνομα Γεώργιος πρεσβύτερος, «κάτοικος τῆς Ἁγίας Τριάδος, ἔτους ,ςϠοη', ἰνδικτιῶνος ιγ'»-1469-1470· β') «† Ἐγῶ ὁ παπᾶ Κόστας ὁ Ἑβύρπιὄτις ἐδῶσα τὸ σπῆτη τῆς Κηράνας: ἄσπρα: ς: τὸ μένα: μηνι ιουλιος τοῦ Ἀλοῦνιτῆς· γ') ὅτι τὸ βιβλίον τοῦτο ἀνετέθη «διὰ μνημόσυνον τῆς μακαρίτισσας Χριστίνης μοναχῆς καὶ τῆς Παγώνας τῆς γονῆς τοῦ Μακαρίου Πέρου», ἐδόθη δὲ «ἀπὸ τὸ Ἀρβανιτοχόριν». Καὶ ταῦτα μὲν περὶ τῶν προσθέτων φύλλων· αὐτὸς δὲ ὁ κῶδιξ ἐμπεριέχει τὰ τέσσαρα εὐαγγέλια· πρὸ δὲ τούτων ἁπάντων ὑπάρχει α') «Κανονάριον σὺν Θεῷ ἁγίῳ καθημερινὸν τοῦ εὐαγγελίου»· β') «Τὰ ἐν τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς τῶν ἁγίων νηστειῶν εὐαγγέλια, ἔτι δὲ καὶ τὰ ἐν τῇ μεγάλῃ ἑβδομάδι»· γ') «Εὐαγγέλια εἰς μνήμας ἁγίων καὶ ἑτέρων λειτουργιῶν καὶ εἰς ἐγκαίνια ναοῦ»· δ') Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν λαμπρὰν Κυριακήν», οὗ ἡ ἀρχή· «Εἴ τις εὐσεβὴς» κτλ. ε') «Συναξάριον περιέχον τοῦ μηνολογίου τὰ ἐν τῇ ἁγίᾳ λειτουργίᾳ εὐαγγέλια»

202. Λειτουργικὸν εὐαγγέλιον ἐκ χάρτου βαμβακεροῦ, ἀκέφαλόν τε καὶ ἐλλιπὲς ἐν τῷ τέλει· ἐγράφη δὲ περὶ τὴν τρισκαιδεκάτην ἑκατονταετηρίδα καὶ νῦν ἐκ φύλλων ἀποτελεῖται 320, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 17 ἢ 18 ($0{,}21 \times 0{,}15 = 0{,}163 \times 0{,}10$). Ἔστι δὲ πάνυ διεφθαρμένον· πλὴν ἀλλὰ μεγάλα τινὰ περιέχει γράμματα κεφαλαιώδη, λόγου ἄξια. Κατὰ δέ τινα σημείωσιν, ἀραβιστὶ γεγραμμένην ἐν τῷ κρασπέδῳ τοῦ 173-ου φύλλου παρὰ Γερασίμου «ὑπηρέτου τῆς Βηθλεὲμ καὶ τοῦ Εὐφραθᾶ», ὅ ἐστι μητροπολίτου, καθάπερ ἐγὼ νομίζω, ἀκμάσαντος δ' ἴσως ἀμφὶ τὸν πεντεκαιδέκατον αἰῶνα, μανθάνομεν ὅτι τὸ τεῦχος τοῦτο τοῦ ἐκ Μπετζάλας ἦν ἱερέως Σουλεϊμὰν τοῦ Νικολάου, καὶ ὅτι Διονύσιος ὁ μοναχός, ὁ καὶ ἡγούμενος τοῦ (ἐν Ἱεροσολύμοις) μοναστηρίου τοῦ ἁγίου Γεωργίου, ὠνήσατο τοῦτο παρ' ἐκείνου διὰ τὴν αὐτοῦ μονήν.

203. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1634-ῳ καὶ διανενεμημένον εἰς τετράδια τεσσαράκοντα· οὗ ἡ ἐπιγραφή· «Τὸ παρὸν βιβλίον διαλαμβάνει καὶ ἑρμηνεύει τὰ ἀποστολοευαγγέλια τῶν σαββατοκυριακῶν τοῦ ὅλου ἐνιαυτοῦ»· μετὰ δὲ τὸ τέλος τοῦ λς′ τετραδίου γέγραπται τοῦτο· «† Ἐτελειώθη τὸ παρὸν ἐν μινὶ ἰουλίου ιε ͵αχλδ′· διὰ συνδρομῆς καὶ ἐξόδου· τοῦ ἁγίου πν(ευματ)ικοῦ κϋρίου παπὰ κῦρ Δαμασκηνοῦ· καὶ ὁ γράψας οθν℗'ενψηλω. [illegible]» = Λαυρέντιος — — — Καὶ πάλιν εἰς τὸ τέλος τοῦ κώδικος· «͵αχλδ′ ἰουλίου ιε· ἐγράπ(τη) εἰς τὴν ἰλημ′(=Ἱερουσαλήμ), εἰς τὸν Ἀρχάγγελον».

204. Τεῦχος ἐκ χάρτου γραφὲν ὑπερμεσούσης ἴσως τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, καὶ συνιστάμενον ἐκ φύλλων 280, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων $(0{,}211 \times 0{,}15 = 0{,}159 \times 0{,}95)$. Ὑπάρχει δ' ἐν αὐτῷ σημειώματα δύο. α′) Ἐν φ. 11^{β}· «Ἐπούλεισα ἐγὼ ὁ Μιχάλεις τοῦ Ἀσλάνι υἱὸς ἀποῦ τὴν Ατάλιαν, ἐτούτον τῶν Πραξαπόστολων μετὸ ὕδιόν μου θέλιμα, τοῦ ἐν ἱερομονάχοις Μαλαχία τοῦ Σιναήτου: διὰ μαϊδία ν′». β′) Καὶ πάλιν αὐτόθι· «Ετουτω το βιβλυον ηνε του Αρχαγγέλου», μονῆς ἐν Ἱεροσολύμοις. γ′) Ἐν φ. 2^{β}· «Τῆς λαύρας τοῦ ἁγίου Σάββα τῶν Ἱεροσολύμων». Περιέχει δὲ τὸ βιβλίον τὰς πράξεις καὶ τὰς ἐπιστολὰς τῶν ἀποστόλων.

1. «Πρόλογος τῶν πράξεων», οὗ ἡ ἀρχή· «Λουκᾶς ὁ εὐαγγελιστής Ἀντιοχεὺς ὑπάρχων», φ. 1.

2. «Ὑπόθεσις τῆς βίβλου τῶν πράξεων τῶν ἁγίων ἀποστόλων». Ἀρχ. «Πράξεις τῶν ἀποστόλων τὸ βιβλίον καλεῖται», φ. 1^{β}.

3. «Ἀποδημίαι Παύλου τοῦ ἀποστόλου». Ἀρχ. «Ἀπὸ Δαμασκοῦ ἤρξατο καὶ ἀνῆλθεν», φ. 3^{β}.

4. «Προθεωρία εἰς τὴν ὅλην διδασκαλίαν τοῦ ἁγίου ἀποστόλου Παύλου». Ἀρχ. «Παῦλος ἀπόστολος Ἑβραῖος μὲν ἦν τὸ γένος», φ. 4^{β}.

5. «Συναξάριον ἀρχόμενον ἀπὸ τῆς μεγάλης Κυριακῆς τοῦ πάσχα», φ. 12.

6. «Προκείμενα καὶ ἀλληλουάρια ἄμνημα τῶν η' ἤχων», φ. 15β.

7. «Συναξάριον τῶν ἑορτῶν καὶ τῶν μεγάλων ἁγίων», φ. 16.

8. «Ἀκολουθία εἰς διαφόρους μνήμας ἁγίων», φ. 17β.

9. «Δήλωσις ἀκριβὴς ὅπως δεῖ εὑρίσκειν τοὺς ζητουμένους ἀποστόλους». Ἀρχ. «Ἐπειδή σοι διήρηνται αἱ πράξεις», φ. 19β.

10. «Πράξεις τῶν ἁγίων ἀποστόλων», ἐπιστολαὶ καθολικαὶ καὶ ἐπιστολαὶ Παύλου, ὧν τελευταία ἐστὶν ἡ πρὸς Ἑβραίους, φ. 20—280.

205. Τεῦχος ἐκ χάρτου τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος, οὗ πολλὰ φύλλα μεταγενέστερά ἐστιν, ἀναπληρωθέντα κατὰ τὴν ἐφεξῆς ὡς ἔοικεν ἑκατονταετηρίδα (ὅρα φ. 1-17, 51-88, 112, 115, 173-187, 239)· ἔχει δ' ἐν συνόλῳ φύλλα 307, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον· ἑκάστη δὲ σελὶς τῶν ἀρχαιοτέρων φύλλων ἀριθμεῖ γραμμὰς εἴκοσι καὶ μίαν. Καὶ μήκους μὲν ἔστι τὸ τεῦχος 0,205, πλάτους δὲ 0,14· ἃ δὲ περιέχει, τάδ' ἐστιν·

1. Ἀποστολοευαγγέλια, φ. 1-184.

2. «Εἴδησις πῶς μέλλειν εὑρίσκειν τὸν ἀπόστολον τοῦ δρόμου, τὸ εὐαγγέλιον, τὸν ἦχον, τὸ ἐξαποστειλάριον σὺν τῷ ἑωθινῷ ἰδιομέλῳ καὶ τῷ ἑωθινῷ εὐαγγελίῳ». Ἀρχ. «Δεῖ γινώσκειν πρῶτον ἐν ποίῳ μηνὶ τυγχάνει τὸ χριστιανῶν πάσχα», φ. 185.

3. Συναξάριον τῶν ἀποστολοευαγγελίων, φ. 187β.

4. Ἀποστολοευαγγέλιον εἰς κοιμηθέντας, φ. 238β.

5. «Ἀρχὴ σὺν θεῷ τοῦ εὐχολογίου» (φ. 240-307), ὅπερ ἔχει ἐν τῇ ἀρχῇ κόσμημά τι καὶ τὸ «Ἰησοῦ μου βοήθει μοι»· ἄρχεται δὲ ἀπὸ τῆς ᾀσματικῆς ἀκολουθίας τοῦ ἑσπερινοῦ· μεθ' ἣν ὑπάρχει τὰ κείμενα ταῦτα·

6. «Εὐχαὶ ἑωθιναὶ τοῦ ὄρθρου». Ἀρχ. «Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι», φ. 244β. Goar, Εὐχολόγιον, σ. 39.

7. «Εὐχὴ εἰς τὸ κατασφραγῖσαι παιδίον, λαμβανόμενον ὄνομα τῇ η' ἡμέρᾳ». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν», φ. 250. Πρβλ. Goar, σ. 264.

8. «Εὐχὴ εἰς ἐλθόντα παῖδα (cod. εἰσελθόντα παιδίον) ἐν τῇ ἐκκλησίᾳ ἡμερῶν μ'». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου», φ. 250β.

9. «Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος», φ. 251. Goar, σ. 267.

10. «Εὐχὴ εἰς τὸ κατηχῆσαι παιδίον». Ἀρχ. «Ἵστησιν αὐτὸ κατὰ ἀνατολὰς καὶ ἐμφυσᾷ αὐτὸ τρὶς καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ, τὸ στόμα καὶ τὸ στῆθος. Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς τῆς ἀληθείας καὶ τοῦ μονογενοῦς σου» κτλ., φ. 251β Πρβλ. Goar, σ. 275.

11. Εὐχαὶ καὶ τάξις «εἰς τὸ ποιῆσαι κατηχούμενον». Ἀρχ. «Ὁ Θεὸς ὁ ἅγιος ὁ φοβερὸς καὶ ἔνδοξος», φ. 253β. Goar, σ. 276.

12. «Εὐχὴ εἰς τὸ κουρεῦσαι παῖδα». Ἀρχ. «Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον», φ. 263 (Goar, σ. 306)· μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς γέγραπται τοῦτο· «Καὶ κουρεύει αὐτὸ σταυροειδῶς καὶ συμπιάνει τὰς τρίχας μετὰ κηρίου καὶ ἐπιδίδει τῷ ἀναδόχῳ καὶ λέγει» κτλ.

13. «Τάξις γινομένη ἐπὶ μνήστροις βασιλέων καὶ λοιπῶν». Ἀρχ. «Μετὰ τὴν θείαν λειτουργίαν τοῦ ἱερέως ἑστῶτος ἐν τῷ ἱερατείῳ, παρίστανται οἱ μέλλοντες ζεύγνυσθαι πρὸ τῶν ἁγίων θυρῶν» κτλ. Πρβλ. Goar, σ. 310.

14. «Εὐχὴ τοῦ στεφανώματος» καὶ τάξις περὶ τούτου. Ἀρχ. «Κύριε ὁ Θεὸς ὁ βασιλεὺς πάντων ἡμῶν, ὁ πάντοτε πανταχοῦ παρών, ὁ ἐκ ποικίλων καὶ διαφόρων ἀνθέων στεφανῶν τὸ γένος τῶν ἀνθρώπων» κτλ., φ. 270.

15. «Εὐχὴ εἰς τὸ ἆραι τὰ στέφανα καὶ δῆσαι ἐν τῷ παστῷ». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας», φ. 274. Πρβλ. Goar, σ. 331.

16. «Εὐχὴ λεγομένη εἰς τὸ λῦσαι τὰ στέφανα». Ἀρχ. «Νυμφῶνα [sic] καταντήσαντες οἱ δοῦλοί σου Κύριε», φ. 274β. Πρβλ. Goar, σ. 325.

17. «Ἀκολουθία τῶν ἁγίων Θεοφανείων». Ἀρχ. «Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ», φ. 274β. Πρβλ. Goar, σ. 366.

18. «Ἕτερος ἁγιασμὸς εἰς πᾶσαν ἀρχὴν μηνός». Ἀρχ. «Τρισάγιον, Παναγία τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', Κύριε εἰσάκουσον, Δόξα καὶ νῦν, τὸ ἀλληλούια εἰς ἦχον πλάγιον β'. Καὶ λέγομεν τροπάριον· Ἐλέησον ἡμᾶς Κύριε, Δόξα καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην. Καὶ λέγει τὸν ν', καὶ ἀρχόμεθα ψάλλειν στιχηρὰ κατὰ ἀλφάβητον· ἦχος πλάγιος β'. Ἀναξίους σοι τολμῶντες ἱκεσίας» κτλ., φ. 285β.

19. «Εὐχαὶ τῆς γονυκλισίας τῇ ἁγίᾳ Πεντηκοστῇ». Ἀρχ. «Ἄχραντε ἀμίαντε ἄναρχε ἀόρατε ἀκατάληπτε» κτλ., φ. 295β. Πεντηκοστάριον χαρμόσυνον, ἐν Ῥώμῃ 1884, σ. 409. Goar, σ. 597.

20. «Ἀκολουθία εἰς ἀδελφοποίησιν». Ἀρχ. «Τρισάγιον. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν», φ. 304.

21. «Τάξις γινομένη ἐὰν συμβῇ μιαρόν τι προσφάτως πεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου». Ἀρχ. «Χρὴ τὸ ἐμπεσὸν (cod. ἐμπεσεῖν) ἀκάθαρτον παραχρῆμα ῥίπτεσθαι ἔξω καὶ ἕτερον ἀγγεῖον πλύνεσθαι (cod. πλυνέσθω) ἔσωθεν» κτλ., φ. 306 (Goar σ. 481). Τέλος· «ἐὰν δὲ καὶ χρονίσαι ἐν τῷ ἀγγείῳ τὸ ἀκάθαρτον καὶ συσσαπῆναι, ἐκχεέσθω τὸ τοιοῦτον εἶδος καὶ μηδὲν τὸ σύνολον ἐξ αὐτοῦ ἀπογεύσασθαι». Goar σ. 483, ἔνθα παρατίθεται γραφὴ διάφορος ἐξ ἀπογράφου τῆς Κρυπτοφερράτης.

206. Τεῦχος ἐκ χάρτου γραφὲν ὑπὸ τριῶν ἑτεροίων ἀπογραφέων τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος, διὰ δὲ τὸν ἐκπεσμὸν ἐνίων φύλλων ὑπὸ Ἰωαννικίου τοῦ Σαββαΐτου συμπληρωθὲν ἔτει 1780-ῳ. Ἔστι δὲ μήκους μὲν 0,205, πλάτους δὲ 0,161· φύλλα δὲ περιλαμβάνει 192, περιέχοντα τὰ ἐφεξῆς κείμενα.

1. «Τοῦ μακαριωτάτου Ἰωάννου μητροπολίτου Εὐχαΐτων, ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον· αὕτη δὲ ἁρμόζει καὶ παντὶ κελλιώτῃ». Ἀρχ. «Ἐδεξάμην σου, πάτερ πνευματικέ, τὴν θεοφιλῆ ταύτην γραφήν», φ. 1. Ἐν ἄλλῳ δὲ κώδικι τὸ γράμμα τοῦτο Συμεῶνι τῷ Εὐχαΐτων ἐπιγράφεται. Ὅρα τῆς Ἱεροσολυμ. Βιβλιοθήκης τ. I, σ. 142, ἔνθα τὸ προοίμιον ἐλλείπει τῆς ἐπιστολῆς· τὸ δ' ἔλλειμμα τοῦτο καὶ κῶδιξ ἕτερος ἔχει (Matthaei, Accurata cod. gr. etc. notitia, σ. 205). Μετὰ δὲ τοῦ προοιμίου,

ὅπερ ἐν τῷ κώδικι τῷ περιγραφομένῳ νῦν ἐνταῦθα κεῖται, φέρεται τὸ γράμμα τοῦτο κἀν τῷ 498-ῳ τεύχει τῆς ἐν Μονάχῳ βιβλιοθήκης (Hardt, Catal. cod. MSS, τ. V, σ. 199).

2. «Κεφάλαια διάφορα ψυχωφελῆ». Ἀρχ. «Περὶ φόβου Θεοῦ. Μακάριος ἄνθρωπος ὁ ἔχων φόβον Θεοῦ ἐν ἑαυτῷ· ὁ τοιοῦτος γὰρ προφανῶς» κτλ., φ. 10.

3. «Τοῦ ἁγίου Ἰσαὰκ» τοῦ Σύρου τεμάχιον, οὗ ἡ ἀρχή· «Εἶπέ τις τῶν ἀγαπώντων τὸν Θεόν· ὤμοσα ὅτι καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω», φ. 17β.

4. «Τοῦ αὐτοῦ περὶ μοναχικῆς πολιτείας καὶ τίς ὁ τρόπος αὐτῆς». Ἀρχ. «Δεῖ τὸν μοναχὸν εἶναι ἐν πᾶσι τοῖς ἑαυτοῦ σχήμασι», φ. 18. Ἰσαὰκ τοῦ Σύρου τὰ εὑρεθέντα ἀσκητικά, ἐπιμελείᾳ Νικηφόρου τοῦ Θεοτόκου ἐκδοθέντα ἐν Λειψίᾳ 1770, σ. 62.

5. «Συμεὼν τοῦ νέου καὶ θεολόγου» τεμάχιον, οὗ ἡ ἀρχή· «Ἡ προσθήκη τῆς γνώσεως τοῦ Θεοῦ», φ. 19α.

6. «Τοῦ αὐτοῦ κεφάλαια ξε'», ὧν ἡ ἀρχή· «Πολλοὶ μὲν ἐρημικόν», φ. 19α.

7. «Βαρσανουφίου» τεμάχιον, οὗ ἡ ἀρχή· «Λογισμῶν πονηρῶν συνοχὴ ἐὰν ἐπέλθῃ», φ. 19α. Τούτῳ δὲ παρέπεταί τινα τεμάχη Βασιλείου τοῦ μεγάλου, Βαρσανουφίου πάλιν καὶ Συμεὼν τοῦ νέου θεολόγου.

8. Συμεὼν τοῦ νέου θεολόγου «περὶ ἀρχῆς βίου λίαν ἐπωφελοῦς καὶ σωτηρίου, ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ ἀποτασσομένοις καὶ πρὸς τὸν μοναδικὸν ἀποτρέχουσι βίον, καὶ διδασκαλία εἰς ἀρχαρίους λυσιτελεστάτη». Ἀρχ. «Πᾶς ἄνθρωπος ἀδελφοί, ὅστις τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ», φ. 21. Ἐξεδόθη δὲ τοῦτο τύποις ἐν παραφράσει Διονυσίου τοῦ Ζαγοραίου. Συμεὼν τοῦ νέου θεολόγου τὰ εὑρισκόμενα· ἐκδόσεως δευτέρας Ἰωάσαφ τοῦ ἐκ Ψαρῶν σελὶς 338· ἐγένετο δὲ ἡ ἔκδοσις αὕτη ἐν Σμύρνῃ ἔτει 1886 *.

9. «Τοῦ αὐτοῦ περὶ μετανοίας καὶ ἀρχῆς βίου μοναδικοῦ, καὶ πῶς τις ὁδῷ καὶ τάξει προβαίνων εἰς ἀρετήν, ἐν τῇ τῶν ἐντολῶν

* Τὸ βιβλίον ἔχει ψευδῶς ἔξωθεν τὸ «ἐν Σύρῳ»

ἐργασίᾳ εἰς τελειότητα ἔρχεται· καὶ περὶ πίστεως τῆς εἰς τοὺς πνευματικοὺς πατέρας καὶ θεωρίας φωτός, ὑφ' οὗ πᾶσα φωτιζομένη ψυχὴ προκόπτει εἰς ἀγάπην Θεοῦ». Ἀρχ. «Ἄνθρωπος ὁ πάντων καταφρονήσας τῶν ὁρωμένων», φ. 27. Παραφράσεως Διονυσίου τοῦ Ζαγοραίου σελὶς 379.

10. «Τοῦ ἁγίου Νείλου γνῶμαι, ἀπάγουσαι τῶν φθαρτῶν καὶ προσκολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον· κεφάλαια σιε'». Ἀρχ. «Φόβον ἔχε Θεοῦ καὶ πόθον», φ. 35β. Πρβλ. Migne τ. 79, σ. 1252.

11. Ἰωάννου τοῦ Χρυσοστόμου τεμάχια πέντε, ὧν ἡ ἀρχή· «Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, τὸν κανόνα τῆς προσευχῆς μηδέποτε καταπατήσητε», φ. 43.

12. «Κεφάλαια· ἐκλογὴ τῶν ἁγίων πατέρων πρὸς τήρησιν νοὸς μετὰ προσευχῆς. Τοῦ ἁγίου Μάρκου τοῦ μεγάλου ἡσυχαστοῦ». Ἀρχ. «Ὁ Κύριος παραγγέλλει ἡμῖν λέγων· μὴ μεριμνήσητε περὶ τῆς αὔριον», φ. 45.

13. Νείλου «περὶ τῶν ὀκτὼ λογισμῶν». Ἀρχ. «Περὶ γαστριμαργίας· ἀρχὴ καρποφορίας ἄνθος καὶ ἀρχὴ ἀρετῶν», φ. 51α. Migne τ. 79, σ. 1145.

14. «Ἕτερα τοῦ αὐτοῦ», ὧν ἡ ἀρχή· «Εἴ τις βούλοιτο ἰδεῖν τὴν τοῦ νοῦ κατάστασιν», φ. 61.

15. «Λόγος ἀσκητικὸς τοῦ μεγάλου Βασιλείου περὶ ἀποταγῆς βίου καὶ τελειώσεως πνευματικῆς». Ἀρχ. «Δεῦτε πάντες οἱ κοπιῶντες», φ. 61β. Migne τ. 31, σ. 625.

16. «Γρηγορίου τοῦ Θεολόγου, ἀκροστιχὶς τῶν πάντων στίχων, ἑκάστου ἰάμβου τελείαν παραίνεσιν ἔχοντος· κατ' ἀλφάβητον». Ἀρχ. «Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ Θεόν», φ. 72β. Migne τ. 37, σ. 908.

17. «Τοῦ αὐτοῦ στίχοι ἔμμετροι ἰαμβικοί», ὧν ἡ ἀρχή· «Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος», φ. 73. Migne τ. 37, σ. 916.

18. «Τοῦ ὁσιωτάτου Κοσμᾶ μοναχοῦ τοῦ Τζιντζιλουκίου περιδιάγνωσις τῶν η' λογισμῶν, δι' ὧν πᾶσα ἁμαρτία τελεῖται-λέγει

δὲ πρῶτον περὶ τί τριμερὲς τῆς ψυχῆς». Ἀρχ. «Ὅταν μὲν οὖν ἔστιν ἐν τῷ λογικῷ τῆς ψυχῆς» κτλ., φ. 75. Οὐδὲν ἔχω λέγειν περὶ τούτου τοῦ συγγραφέως, ἀγνώστου μοι παντάπασιν ὄντος· εἰρήσθω δέ, ὅτι παρέπεται τῇ γραφῇ ταύτῃ τεμάχη δύο, τὸ μὲν Γρηγορίου τοῦ Θεολόγου, τὸ δὲ Μαξίμου τοῦ ὁμολογητοῦ.

19. «Ἐκ τῶν κεφαλαίων τοῦ ἁγίου Ἡσυχίου, πρεσβυτέρου καὶ ἡγουμένου μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς Βάτου, ἅπερ ἔγραψε πρὸς Θεόδουλον· κεφάλαια κατὰ ἀλφάβητον». Ἀρχ. «Ἀληθινὸς ὄντως μοναχὸς οὗτός ἐστιν», φ. 78β. Πρβλ. Migne τ. 93, σ. 1529 νζ'.

20. Ἰωάννου τοῦ Χρυσοστόμου τεμάχιον, φ. 80β.

21. «Τοῦ ἁγίου Φιλήμονος» ἀπόφθεγμα, οὗ ἡ ἀρχή· «Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Φιλήμονα λέγων, τί ποιῶν πάτερ ἔχω σωθῆναι», φ. 81.

22. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ ψυχῆς· ἐκ τοῦ λόγου τοῦ εἰς τὸν περὶ φύσεως νόμον». Ἀρχ. «Ἐοίκασιν οἱ ἔργοις κομῶντες ἀγαθοῖς», φ. 84. Migne τ. 63, σ. 621.

23. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου τοῦ ἐν τῷ Βουνῷ». Ἀρχ. «Καλοὶ μὲν καὶ οἱ ἐξ ἀλλοδαπῆς χώρας καρποί», φ. 86β. Κείμενον ἀνέκδοτον, οὗ δεύτερον ἀπόγραφον ὅρα κατωτέρω.

24. «Ἀπόδειξις ἐναργὴς πρὸς Λατίνους ὁμολογῆσαι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν τοῦ πατρὸς καὶ οὐκ ἐκ τοῦ υἱοῦ, κατὰ τὸν λόγον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· Ἀθανασίου ταπεινοῦ καὶ ἱερομονάχου τάχα, διὰ τῆς χάριτος τῆς ὑπεραγίας Θεοτόκου καὶ οὐκ ἀπὸ μαθήσεως». Ἀρχ. «Αἴτιος πατὴρ ἀγέννητος ὑπόστασις ἀρχὴ» κτλ., φ. 104β. Ἄγνωστός ἐστιν οὗτος ὁ λατινομάχος.

25. «Ἡ αὐλὴ τῶν λογικῶν προβάτων», ἀπεικασθεῖσα διὰ σχήματος ἐκκλησίας ἐν τῷ κώδικι. Ἀρχ. «Αὕτη ἡ αὐλὴ Θεοῦ ἐκκλησία ἐστί», φ. 105β.

26. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος περὶ ἐλεημοσύνης, οὗ ἡ ἀρχή· «Ὁ τῆς ἐλεημοσύνης λόγος, ἀγαπητοί, οὐ πρὸς τοὺς πλουσίους ἁρμόζει μόνον», φ. 106. Migne τ. 63, σ. 715.

27. «Τοῦ αὐτοῦ περὶ ἁμαρτίας καὶ ἐξαγορεύσεως». Ἀρχ. «Ἐπεδήμησέ τις ἐξ ὑμῶν», φ. 126. Migne τ. 63, σ. 731.

28. «Τοῦ αὐτοῦ λόγος περὶ διδαχῆς καὶ νουθεσίας», οὗ ἡ ἀρχή· «Πρώην μὲν ἐνεκαλοῦμεν», φ. 144β. Migne τ. 63, σ. 605.

29. «Ῥήματα γερόντων· παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τῆς τελειώσεως». Ἀρχ. «Ἠρώτησέ τις τὸν ἀββᾶν Ἀντώνιον λέγων, τί φυλάξας τῷ Θεῷ εὐαρεστήσω», φ. 158.

30. Λόγος δεύτερος ἐκ τῶν γεροντικῶν ῥημάτων, «ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ μεταδιώκειν». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· ὥσπερ οἱ ἰχθύες ἐγχρονίζοντες τῇ ξηρᾷ» κτλ., φ. 166.

31. «Διηγήματα διάφορα (περὶ) τῶν ἐκ τῆς πορνείας ἐπανισταμένων ἡμῖν λογισμῶν». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· λογίζομαι ὅτι ἔχει τὸ σῶμα κίνησιν φυσικήν», φ. 173.

32. «Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου στίχοι περὶ διαίτης εἰς τὸν πρῶτον τοῦ ἁγίου ὄρους κῦρ Ἰωαννίκιον τὸν εἰς τὸ Πρωτᾶτον, τῆς μονῆς τοῦ Ἁγίου Ὄρους δηλονότι προϊστάμενον». Ἀρχ. «Πολλάκις με ἠξίωσας», φ. 179. J. Pitra, Spicileg. Solesmense τ. IV, σ. 489.

33. «Ἀπόκρισις πρὸς ἀδελφούς», ἧς ἡ ἀρχή· «Ἀδελφὸς ἦλθεν πρὸς τὸν μέγαν Ἡσαΐαν καὶ λέγει αὐτῷ· εὖξαι ὑπὲρ ἐμοῦ, ἀββᾶ, ὅτι ἐπιστρέφω» κτλ., φ. 181β.

34. «Περὶ τοῦ ὅτι βλαβερά ἐστιν ἡ συνομιλία τῶν μοναχῶν μετὰ κοσμικῶν». Ἀρχ. «Καθεζομένου μου ποτέ, φησὶν ὁ ἅγιος Ἡσαΐας, πλησίον τοῦ ἀββᾶ Μακαρίου, ἦλθον ἑπτὰ ἀδελφοὶ» κτλ., φ. 186.

35. Ἀνώνυμα τεμάχη δύο περὶ ἀγάπης καὶ πίστεως, φ. 192.

207. Τεῦχος μεμβράνινον, γραφὲν ἢ περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δωδεκάτης ἑκατονταετηρίδος· σύγκειται δ' ἐκ φύλλων 140, ὕψους μὲν 0,325, πλάτους δὲ 0,23. Ἔχει δὲ καὶ φύλλα πρόσθετα ἐκ χάρτου, τὸ ὅλον ἑκκαίδεκα.

1. Τετράδιον ἐκ φύλλων χάρτου ἑπτά (0,23 × 0,16), γραφὲν ἔτει 1322-ῳ καὶ περιέχον ᾀσματικὴν ἀκολουθίαν εἰς τὸν μεγαλομάρτυρα Δημήτριον, ἧς ἡ ἀρχὴ λείπει· διὸ καὶ τὸ κείμενον ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τούτων τῆς τρίτης ᾠδῆς· «καὶ

συνδοξάζεται νῦν | λαμπρῶς στεφανούμενος Θεῷ, | ἐν ᾧ ἐστερέωται. Κάθισμα, ἦχος γ'. Τὴν ὡραιότητα:—Τὸν συμπαθέστατον Κυρίου μάρτυρα | ἐκδυσωποῦμέν σε πιστῶς» κτλ. Μετὰ δὲ τὴν ἐνάτην ᾠδὴν ὑπάρχει τὸ ἐξαποστειλάριον καὶ στιχηρά τινα τροπάρια· μετὰ δὲ ταῦτα γέγραπται τὸ σημείωμα τοῦτο· «Μέμνησθέ μου, πατέρες μου ἅγιοι, τοῦ ἀθλίου καὶ ἀναξίου ὑμῶν δούλου τοῦ γράψαντος ταῦτα Μιχαὴλ Ἁγιοδημητρίτ(ου) πρωτοκανονάρχου· οἶδε δὲ Κύριος, ὅτι οὐ προέλαβεν ἰδεῖν τὸν μοναχὸν κυρὸν Θεοδώρητον· εἶχον γὰρ γράψαι πολλὰ τῶν ἁγίων μου τῶν ποθεινοτάτων, τοῦ τε τιμίου Προδρόμου καὶ τοῦ μεγάλου Δημητρίου· ἀλλ' ἐν τῇ ἀποδημίᾳ τοῦ ἀδελφοῦ, εἶδον τοῦτον πρὸ μιᾶς ἡμέρας· κἀγὼ εἰς θλίψιν καὶ περίστασιν ὑπῆρχον, οἷα νἀναγγείλει ὑμῖν ὁ ἀδελφός: εὔχεσθε δὲ ὑπὲρ οὗ ἀνάγγείλει ὑμῖν ἤγουν διὰ τὴν ψυχὴν τοῦ τεκνίου μου καὶ τῆς προμοτῆς αὐτοῦ, καὶ πέποιθα εἰς Κύριον τὸν Θεὸν καὶ εἰς τὰς ἁγίας ὑμῶν εὐχάς, ὅτι εἰ καλέσει καιρός, τόσα ἔχω στεῖλαι, ὅτι ἵνα ψάλλετε καὶ ἀναγινώσκετε τὸν χρόνον ὅλον: ὅσα δὲ καὶ διὰ στόματος εἴπῃ ὑμῖν ὁ Θεοδώρητος, ἐξ ἐμοῦ ἔχει ταῦτα. καὶ πιστεύω εἰς Κύριον ὅτι καὶ νὰ ἀληθεύσω: τοὺς ἁγίους μου αὐθέντας πάντας τοὺς ἐν τῇ μονῇ τοῦ τιμίου Προδρόμου σὺν τῷ ἁγίῳ μου πατρὶ τῷ καθηγουμένῳ, ποιῶ μετάνοιαν· καὶ πρό γε πάντων, τὸν ἐμοὶ ποθεινότατον, ἀντιλήπτορά μου τὸν μέγαν Ἰωάννην τὸν Πρόδρομον καὶ βαπτιστὴν τοῦ Κυρίου μου· εἰς γὰρ εὐκτήριον μέγα οἰκῶ, τοῦ τιμίου Προδρόμου: μηνὶ ἰουλλ(ίῳ) κη': ἰν(δικτιῶν)ος δ'. ,ςωκζ ἔτη. αἲ αἲ αἴ. εἰς πόσην θλίψιν εἰμὶ πατέρες μου ἅγιοι ὅτε ταῦτα ἔγραψα μετὰ δακρύων: μονογενὲς γάρ μοι ὑπῆρχε τὸ ἀποδράσαν παιδίον: ὑπὲρ οὗ καὶ εὔχεσθε ὅτε ἀναχείραν λαμβάνετε τὸ παρὸν μηδαμηνὸν σύγγραμμα: †».

2. Δύο φύλλα βαμβακεροῦ χάρτου, περιέχοντα ταῦτα: α') Τροπάριά τινα καὶ τὸ σημείωμα τόδε· «Μηνέον τοῦ τιμίου Προδρόμου», μονῆς παρὰ τὸν Ἰορδάνην ποταμόν. β') Στιχηρὰ ψαλλόμενα εἰς τὴν Χριστοῦ γέννησιν, ἕτερα «προεόρτια τῶν Φώτων» καὶ πάλιν ὅμοια ψαλλόμενα τῇ 3-ῃ καὶ τῇ 4-ῃ ἡμέρᾳ τοῦ μηνὸς ἰανουαρίου. γ') «Κανὼν προεόρτιος εἰς τὰ Φῶτα, ἦχος πλάγιος β'»,

οὗ ἡ ἀρχή· «Τμηθεὶς ἠτμᾶται πόντος ἐρυθρός» κτλ. δ') «Στιχηρὰ εἰς τοὺς αἴνους, ἦχος πλάγιος β'», ψαλλόμενα εἰς τὰ Φῶτα. Ἀρχ. «Τί ἀμφιγνοεῖς, βαπτιστά, οἰκονομίαν» κτλ. ε') «Ἕτερα στιχηρά, ἦχος πλάγιος β'». Ἀρχ. «Ἡ γῆ καὶ τὰ ἐπίγεια | σκιρτήσατε ἀγάλλεσθε» κτλ. ϛ') Τὸ κοντάκιον καὶ ὁ οἶκος τῶν Φώτων. Καὶ ταῦτα μὲν ἐν τῇ ἀρχῇ τῆς βίβλου προσετέθη· ἕτεραι δὲ προσθῆκαι κατωτέρω δειχθήσονται.

3. Μηναῖον τοῦ Δεκεμβρίου, ἀρχόμενον ἀπὸ τῶν ἑξῆς λέξεων ᾠδῆς ἕκτης ᾀσματικοῦ τινος κανόνος εἰς Ἀνδρέαν τὸν πρωτόκλητον (λ' νοεμβρίου)· «[σύμπαν]τα διέποντα Χριστόν, εὗρες κυβερνήτην παμμακάριστε», φ. 1· ὀπίσω δὲ τοῦ αὐτοῦ φύλλου κεῖται ἡ ἀρχὴ τοῦ Δεκεμβρίου, ἔχουσα ὧδε· «Μηνὶ δεκεμβρίῳ α' τοῦ ἁγίου προφήτου Ναούμ· στιχηρά, ἦχος γ', πρὸς τὸ Μεγάλη τοῦ σταυροῦ σου, Κύριε.—Ἡ χάρις τοῦ ἁγίου πνεύματος ἐσκήνωσε» κτλ., φ. $1^{β}$ μέχρι τοῦ 46-ου μεμβρανίνου φύλλου. Σημειωτέον δέ, ὅτι χείρ τις τοῦ τρισκαιδεκάτου αἰῶνος ἔγραψεν ἐν τοῖς κρασπέδοις τῶν φύλλων τούτων ἰδιόμελα, στιχηρὰ τροπάρια, κονδάκια καὶ οἴκους, στίχους ἰαμβικούς τε καὶ ἡρωϊκοὺς εἰς ἑορτὰς διαφόρους καὶ ἄλλα τινά, ἅπερ ἐψάλλετο τότε πιθανῶς ἐν Παλαιστίνῃ.

4. Μηναῖον τοῦ Ἰανουαρίου (φ. 48—95), ἔχον ὡσαύτως ἐν τοῖς κρασπέδοις πλεῖστα συμπληρώματα τοῦ προμνησθέντος ἀνωνύμου γραφέως.

5. Μηναῖον τοῦ Φεβρουαρίου, φ. 95—128.

6. (Προσθήκη τοῦ τρισκαιδεκάτου αἰῶνος, φ. $128^{β}$—$129^{α}$). Ἀσματικὴ ἀκολουθία ψαλλομένη τῇ 7-ῃ ἡμέρᾳ τοῦ Φεβρουαρίου. Ἀρχ. «Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ τοῦ ἐν τῷ Στειρίῳ ὄρει ἀσκήσαντος. Στιχηρά, ἦχος πλάγιος β', πρὸς τὸ Ὅλην ἀποθέμενοι:—Ὅλος ἐκ νεότητος | ἀκολουθήσας Κυρίῳ | γονικὴν κατέλιπες» κτλ. Μετὰ δὲ στιχηρὰ τρία κανὼν ἀνώνυμος ὑπάρχει, οὗ ἡ ἀκροστιχὶς ἥδε· «Λουκᾶν ἐπαινῶ, τὸ κλέος τῆς Ἑλλάδος, ἀμήν»· ἄρχεται δὲ ὧδε· «Λόγον μοι δίδου, θεόπτα». Γεωργίου Π. Κρέμου, Φωκικά, ἐν Ἀθήναις 1874—1880, τ. I, σ. 17.

7. (Προσθήκη ἑτέρα, φ. $129^{β}$). «Μηνὶ φεβρουαρίῳ β' ἐν τῷ

μικρῷ ἑσπερινῷ στιχηρά, ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων:-- Τὸν ἀπερίγραπτον λόγον καὶ ὑπερούσιον» κτλ.

8. (Προσθήκη τοῦ ιβ΄ αἰῶνος, φ. 130—137). Περικοπαὶ τῆς παλαιᾶς διαθήκης, ἀναγινωσκόμεναι κατὰ διαφόρους ἑορτάς.

9. «Καθίσματα (πέντε) τῆς Ὑπαπαντῆς· πλάγιος δ΄. Αὐλῶν ποιμενικῶν:—Ἐτέχθης ἐπὶ γῆς | ὁ συνάναρχος τῷ πατρί», φ. 137^{β}.

10. (Προσθῆκαι τοῦ ιγ΄ αἰῶνος, φ. 138—142^{α}).—α΄) «Τριῴδια, ἅτινα ψάλλονται ἐν τοῖς προεορτίοις τῆς Χριστοῦ γεννήσεως, ἤγουν ἀπὸ τῆς κα΄ τοῦ δεκεμβρίου μηνὸς ἕως τῆς παραμονῆς». Αὐτόθι πάλιν ἐν τοῖς κρασπέδοις εὑρίσκεις ἑτέρας προσθήκας — β΄) «Τριῴδια, ἅτινα ψάλλονται ἐν τοῖς προεορτίοις τῶν Φώτων, ἀπὸ τῆς δευτέρας δηλονότι τοῦ ἰαννουαρίου μηνὸς ἕως τῆς παραμονῆς». — γ΄) Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ συγκέλλου τοῦ ὁμολογητοῦ, οὗ ἡ ἀρχή· «Οὗτος ὑπῆρχε μὲν γέννημα καὶ θρέμμα τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ» κτλ., φ. 141^{β}.—δ΄) Ἀλφάβητος κρυπτογραφικός, ἐν τῷ κρασπέδῳ γεγραμμένος τοῦ 142-ου φύλλου· ἔχει δὲ ὧδε·

α β γ δ ε ζ η θ ι κ λ μ

ν ξ ο π ρ σ τ υ φ χ ψ ω

11. Σημειώματα δύο, φ. 142^{α}. — α΄) «Κρήτης προεδρεύσαντι πρὶν Νικηφόρῳ». — β΄) «† Ἐσταχώθη τὸ παρὸν μηναῖον διὰ χειρὸς Γερασίμου ἱερομονάχου, διὰ συνδρομῆς καὶ ἐξόδου τοῦ τιμιοτάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Μανασσῆ ἱερομονάχου καὶ προσμοναρίου τοῦ ζωοδόχου Τάφου». Τὰ δὲ σημειώματα ταῦτα τῆς τετάρτης καὶ δεκάτης ἐστὶν ἑκατονταετηρίδος.

12. Προσθήκη τῆς αὐτῆς ἐποχῆς, ἔχουσα ὧδε κατὰ λέξιν· «Αἱ γενεαὶ τῶν Κρητικῶν. τῶν ἐξ αὐτῶν δύο σκαλῶν. πρῶτοι οἱ Καλλιέργοι· κατοικοῦσιν εἰς τὸ Μυλοπόταμον. οἱ Ζουλεάδ(ες), οἱ Καφάτ(αι), οἱ Κυριακόπουλ(οι), οἱ Γαβαλάδες, οἱ Πάγκαιο(ι). τοῦρμα ἡ Σίβρυτο(ς): οἱ Βαροῦχοι, οἱ Χορτάτζοι, οἱ Ἁγιοστεφα-

νῖται, οἱ Ἀρκολέοι, οἱ Λύμας, οἱ Παπαϊωαννόπ(ου)λ(οι). εἰς τὴν Καλα[μ'] οἱ Σκοριδύλοι, οἱ Μουσοῦροι, οἱ Βλαστοί, οἱ Μελισσηνοί. εἰς τ(ὸν) Κίσσαμον οἱ Πικροσῦρϊ[illegible], οἱ Θαλασσηνοί».

208. Τεῦχος μεμβράνινον κατὰ τὴν δυοκαιδεκάτην ἑκατονταετηρίδα γραφὲν ὑπὸ τοῦ καλλιγράφου τοῦ γράψαντος τὸν προσεσημασμένον 63-ον κώδικα· σύγκειται δ' ἐκ φύλλων 155, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα πᾶσαν δίστηλον καὶ ἐκ γραμμῶν 71 ἢ 72· ἔστι δὲ μήκους μὲν 0,318, πλάτους δὲ 0,218· τοῦ δὲ κειμένου ὁ χῶρός ἐστιν ὡς 0,263×0,165. Σημειωτέον δέ, ὅτι εἴκοσι τῶν εἰρημένων φύλλων ἐκ χάρτου βαμβακεροῦ ἐστιν (φ. 130—132 καὶ φ. 139—155) καὶ ὅτι μετὰ τὸ 126-ον φύλλον ὑπάρχει συνερραμμένον ἐκ φύλλων ὀκτὼ χάρτου τετράδιον, ἐν ᾧ γέγραπταί τινα στιχηρὰ τροπάρια, ἀπόστιχά τε καὶ δοξαστικά, ψαλλόμενα μηνὶ αὐγούστῳ, ἀπὸ τῆς 16-ης ἄχρι τῆς 20-ης ἡμέρας τούτου τοῦ μηνός· ταῦτα δὲ πάντα προσετέθη κατὰ τὸν δέκατον καὶ τέταρτον αἰῶνα· ἔτει δὲ 1400-ῷ κάτοχός τις τοῦ κώδικος ἔγραψεν ἐν τῷ 155-ῳ φύλλῳ τὸ σημείωμα τοῦτο· «Ἔτους ͵ςϡθ' ἰνδικτιῶνος θ' μηνὶ νοεμβρίω ἦλθεν ὁ κατάρατος ὁ [Ταμ]μουρλέγγις καὶ ἐκατέλαβεν τὸ Χαλέπη ἕως τοῦ Χαμᾶ». Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τῆς ὄψεως τοῦ βιβλίου· ἔχει δὲ τοῦτο καὶ ἔνδον ἀμφοτέρων τῶν πινακίδων ἓξ ἕτερα μεμβράνινα φύλλα, ἅπερ ἐστὶ μέρη Ψαλτηρίου τινὸς ἐν τῇ λαύρᾳ Σάβα τοῦ ὁσίου καταστραφέντος ἴσως, οὗ τὸ κείμενον ὑπῆρχε δίστηλον καὶ ἐκ γραμμῶν κατὰ σελίδα 61 μέχρις 64· εἰσὶ δ' ἐν αὐτοῖς οἱ ἐφεξῆς ψαλμοί: 77—103 καὶ 129—150. Ἃ δὲ τὸ κύριον ἐμπεριέχει τεῦχος, τάδ' ἐστιν·

1. Μηναῖον τοῦ Μαρτίου, οὗ ἡ ἀρχή· «Μηνὶ Μαρτίῳ α' τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας· στιχηρὰ εἰς τὸ Κύριε ἐκέκραξα, ἦχος δ' (πρὸς τὸ) Ἔδωκας σημείωσιν.—Πρότερον ἀσκήσασα | καὶ τῆς σαρκὸς τὰ σκιρτήματα» κτλ., φ. 1—24. Ἔχει δὲ τὸ μηναῖον τοῦτο καὶ εἰκόνας μικρὰς δύο, τὴν τῆς ἁγίας Εὐδοκίας καὶ τὴν τῶν ἁγίων τεσσαράκοντα μαρτύρων (φ. 1 καὶ 6[β])· τρίτην δὲ εἰκόνα, τὴν τοῦ εὐαγγελισμοῦ τῆς Θεοτόκου, ἥπερ ἦν ἐν τῷ

18-ῳ φύλλῳ, Πορφύριος ὁ Οὐσπένσκης ἀνῄρεσε τὸ φύλλον ἀποκόψας.

2. Μηναῖον τοῦ Ἀπριλίου (φ. 25—43), ὅπερ εἶχεν ἐπίσης εἰκονισμάτια δύο, τὸ τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας καὶ τὸ τοῦ μεγαλομάρτυρος Γεωργίου (φ. 25 καὶ 37)· ἀλλὰ καὶ ταῦτα νῦν ἐλλείπει.

3. Μηναῖον τοῦ Μαΐου (φ. 44—68), ὅπερ εἶχεν εἰκονισμάτιον ἓν ἀτυχῶς ἐλλεῖπον ἤδη, τὸ τοῦ προφήτου Ἱερεμίου.

4. Μηναῖον τοῦ Ἰουνίου (φ, 69 — 92), εἰκόνας ἐμπεριέχον πέντε· α') Τὴν τῶν ἀποστόλων Πέτρου καὶ Παύλου (φ. 87^β).— β') Τὰς τῶν δώδεκ' ἀποστόλων, εἰς πίνακας τρεῖς διῃρημένας· καὶ ὁ μὲν πρῶτος πίναξ (φ. 91^α) ἀπεικάζει τὸν Πέτρον ἐσταυρωμένον ἀντιστρόφως, τὸν Παῦλον ἀποκεφαλισθέντα, τὸν Ἀνδρέαν ἐν Πάτραις τῆς Ἀχαΐας ὑπὸ Αἰγεάτου σταυρωθέντ' ἀντιστρόφως, καὶ Ἰάκωβον τὸν Ζεβεδαίου μαχαίρᾳ τετελειωμένον ὑπὸ Ἡρώδου· ὁ δὲ δεύτερος πίναξ (φ. 91^β) ἀπεικάζει τὸν Ἰωάννην ἐν εἰρήνῃ κεκοιμημένον, τὸν Λουκᾶν ἐν Θήβαις ἐπὶ ἐλαίας προσπαγέντα, τὸν Μᾶρκον ἐν Αἰγύπτῳ τελειωθέντα, καὶ τὸν Ματθαῖον ἐν Ἱεραπόλει τῆς Συρίας λίθοις βληθέντα· ὁ δὲ τρίτος πίναξ (φ. 91^β) ἀπεικάζει τὸν Βαρθολομαῖον ἐν Ἀρβανουπόλει σταυρῷ προσηλωμένον, Σίμωνα τὸν ζηλωτὴν ἐσταυρωμένον καὶ τὸν Θωμᾶν λόγχαις τρωθέντα ὑπὸ δύο στρατιωτῶν. Ἄνωθεν δὲ τῶν πινάκων τούτων ὑπάρχουσι γράμμασιν ἐρυθροῖς ἱστορικαί τινες εἰδήσεις περὶ τοῦ θανάτου τῶν εἰρημένων ἀποστόλων.—γ') Εἰκὼν τοῦ ἀποστόλου Φιλίππου (φ. 92^α), ὃν ὁ τεχνίτης ἀπείκασεν ἐσταυρωμένον ἐν μέσῳ δύο οἰκιῶν, ἔχοντα δὲ πρὸς δεξιὰν ἱσταμένην τὴν ἀδελφὴν αὐτοῦ Μαριάμ. Ἕτερον δὲ εἰκονισμάτιον, ὅπερ ἀπείκαζεν Ἰουστῖνον τὸν μάρτυρα καὶ φιλόσοφον ἐλλείπει νῦν, ἀναιρεθὲν ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη· ὅρα τὸ 69-ον φύλλον.

5. Μηναῖον τοῦ Ἰουλίου (φ. 92—113), ὅπερ ἔχει δύο μόνα εἰκονισμάτια· α') τὸ τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, φ. 92·—β') τὸ μαρτύριον τοῦ ἁγίου Παντελεήμονος, φ. 110^β. Ῥητέον ἔτι, ὅτι μετὰ τὸ τέλος τοῦ μηναίου σημείωμά τι ὑπάρ-

χει ἑλληνικόν, ὅπερ ἤδη πάντη δυσανάγνωστόν ἐστι· κεῖται δ' αὐτόθι καὶ σημείωμά τι ἀραβικόν, ἐξ οὗ μανθάνομεν ὅτι τὸ βιβλίον ἀνετέθη τῷ ναῷ τῆς Ἀναστάσεως ὑπὸ Σέρβου τινὸς μοναχοῦ, Δαβὶδ ὄνομα· ἀμφότερα δ' ἐγράφη κατὰ τὴν τετάρτην καὶ δεκάτην, ὡς ἔοικεν, ἑκατονταετηρίδα.

6. Μηναῖον τοῦ Αὐγούστου (φ. 114—155)· εἶχε δὲ τοῦτο πίνακας τρεῖς, ἐλλείποντας ἤδη, ὧν ὁ μὲν πρῶτος εἰκόνιζε τὸ μαρτύριον τῶν Μακκαβαίων (φ. 114), ὁ δὲ δεύτερος τὴν μεταμόρφωσιν τοῦ Σωτῆρος (φ. 118), ὁ δὲ τρίτος ἦν μὲν μέγας, ἀπείκαζε δὲ τὴν κοίμησιν τῆς Θεοτόκου· ὅρα τὸ 126-ον φύλλον.

209. Μηναῖα Μαρτίου καὶ Ἀπριλίου, γραφέντα περὶ τὴν ἀρχὴν τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ καλλιγράφου τινὸς ἐπιμελοῦς· περιέχει δὲ φύλλα χάρτου 400, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων (0,323 × 0,22 = 0,21 × 0,14)· περιέχει δὲ καὶ εἰκόνα μίαν ἐπὶ χρυσοῦ καλῶς εἰργασμένην, ἥπερ ἀπεικάζει τὴν ἀποτομὴν τῆς κεφαλῆς τοῦ μεγαλομάρτυρος Γεωργίου· ἔνδον δὲ τῆς πρώτης πινακίδος ὑπάρχει κεκολλημένον ἓν φύλλον μεμβράνινον, ὅπερ, εἰ μὴ σφάλλομαι, μέρος ἐστὶ τοῦ προπεριγραφέντος 18-ου κώδικος· περιέχει γὰρ ἐκεῖνο τὸ φύλλον ἀνορθογραφώτατον ἀπόσπασμά τινος διηγήματος περὶ τῆς εὑρέσεως τῶν λειψάνων τοῦ πρωτομάρτυρος Στεφάνου· ὅπερ ἐκ τοῦ ῥηθέντος ἐλλείπει κώδικος, ὃς ἐπίσης ἐν πολλοῖς ἀνορθόγραφος ὑπάρχει.

210. Μηναῖον τοῦ Ἰουλίου μηνός, ἀπογραφὲν ἐπιμελέστατα περὶ τὴν ἀρχὴν τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος καὶ κόσμημα περιέχον ἓν ἐρυθρόν, ὃ σχήματός ἐστι τετραγώνου· κεῖται δὲ τοῦτο ἐν τῇ ἀρχῇ τοῦ βιβλίου, ὃ πάλιν ἀριθμεῖ φύλλα χάρτου 140· ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἕξ (0,323 × 0,22 = 0,218 × 0,14).

211. Ψαλτήριον ἀτελὲς ἐκ φύλλων χάρτου 149, διῃρημένον εἰς καθίσματα καὶ γεγραμμένον ἐπιμελῶς γράμμασι μεγάλοις ἀμφὶ τὴν ἑκκαιδεκάτην ἑκατονταετηρίδα· ἔχει δὲ καὶ πολλὰ περικεκο-

σμημένα γράμματα κεφαλαιώδη, μέγιστα τὸ σχῆμα καὶ τὴν βαφὴν ἐρυθρά, πλὴν τοῦ πρώτου γράμματος τοῦ Ψαλτηρίου, τοῦ Μ, ὅπερ ἐστὶ χρυσοῦν· χρυσοῖς δὲ γράμμασιν αὐτόθι κεῖται καὶ τὸ «Δαβὶδ προφήτου βασιλέως μέλος· ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις». Λήγει δὲ τὸ κείμενον ἤδη, διὰ τὸν ἐκπεσμὸν ἐνίων φύλλων, εἰς τὰς λέξεις ταύτας· «οὐρανοὶ Κυρίου τὸν Κύριον ὑμνεῖτε καὶ. . . .»· αἳ προσήκουσι τῷ τρίτῳ στίχῳ τοῦ τῶν τριῶν παίδων ὕμνου. Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ πέντε (0,32×0,208=0,215×0,118). Ῥητέον ἔτι, ὅτι μετὰ τὴν πρώτην πινακίδα κεῖται φύλλα δύο κώδικος ἑτεροίου, ἐν οἷς ὑπάρχουσί τινες ὕμνοι τριαδικοί.

212. Θηκαρᾶς ἀκέφαλος, ὃς ἠρίθμει τετράδια λδ'· πλὴν ἀλλὰ τὰ πρῶτα ἐννέα τετράδια καὶ τὰ δύο πρώτιστα φύλλα τοῦ ι' τετραδίου νῦν ἐλλείπει· γέγραπται δὲ καὶ ἐν τῷ κρασπέδῳ τοῦ 195-ου φύλλου τὸ «σούμα σξθ' φύλλα». Σήμερον οὖν ὑπάρχουσι φύλλα χάρτου 200, ὧν τὸ κείμενόν ἐστι μονόστηλον κατὰ σελίδα καὶ ἐκ γραμμῶν εἴκοσι καὶ δύο (0,304×0,21=0,195×0,122)· ἐγράφη δὲ τῇ ἕκτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι. Περιεχόμενα κατ' ἐκλογήν· α') «Κανών· χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα τοῦ εὐσεβεστάτου βασιλέως Θεοδώρου τοῦ Λάσκαρη», φ. 28β.—β') «Κανὼν τῆς ἀκαθίστου, φέρων ἀκροστιχίδα τήνδε· Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ», φ. 32β.—γ') «Οἱ οἶκοι τῆς ὑπεραγίας Θεοτόκου κατὰ ἀλφάβητον», φ. 37.—δ') «Κατήχησις περὶ τῆς ἀσκητικῆς ἀκολουθίας», ἧς ἡ ἀρχή· «Δεῖ τοὺς μὴ εἰδότας ἐκστηθίζειν», φ. 42β.—ε') «Τοῦ αὐτοῦ (Θηκαρᾶ) συλλεχθεῖσαι εὐχαὶ ἀπὸ τῆς θείας Γραφῆς, τὰ πλεῖστα δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραίμ», φ. 101.—ς') «Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν θείων ὕμνων» κτλ., φ. 132.—ζ') «Κανὼν παρακλητικός· ποίημα κυροῦ Ἀνδρέου Κρήτης, τοῦ Ἱεροσολυμίτου», οὗ ἡ ἀρχή· «Βοηθὸς καὶ σκεπαστής», φ. 179.—η') «Εὐχὴ ἱκετήριος εἰς τὴν Θεοτόκον, ἧς ἡ ἀρχή· «Δέχου τοίνυν εὐμενεστάτη», φ. 196.—θ') «Εὐχὴ ἐπὶ πυρώσεως σαρκός», ἧς ἡ ἀρχή· «Σὺ

Κύριε ὁ ἐτάζων καρδίας», φ. 198β. — ι') «Τὸ Πιστεύω ἡρωϊκόν», οὗ ἡ ἀρχή· «Μέγιστον εἰς ἕνα», φ. 199β.

213. Ἀνθολόγιον ἢ πανδέκτη, περιέχουσα κατ' ἐκλογὴν ᾀσματικὰς ἀκολουθίας εἰς διαφόρους ἑορτὰς τοῦ ἐνιαυτοῦ, ἔτι δὲ κανόνας εἰς ἀνωνύμους ἁγίους κτλ. Σύγκειται δ' ἐκ φύλλων χάρτου 336, καὶ ὡς ἔοικεν ἐγράφη περὶ τὸ μέσον τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ τοῦ Σαβαΐτου ἱερομονάχου Ἱερεμίου, οὗ τὸ σημείωμα ἐν τέλει τῆς βίβλου γέγραπται· εἰσὶ δὲ κατὰ σελίδα γραμμαὶ εἴκοσι καὶ ὀκτὼ (0,316×0,216=0,215×0,14). Ὑπάρχουσι δὲ καὶ σημειώματα ἐν τῇ ἀρχῇ τοῦ κώδικος· α') ὑπογραφαὶ Ἀθανασίου, καθηγουμένου τῆς λαύρας τοῦ ὁσίου Σάβα, καὶ Διονυσίου Σαβαΐτου.— β') ὅτι τῇ 3 ἰανουαρίου καὶ τῇ 14-ῃ δεκεμβρίου τοῦ 1605-ου ἔτους ἐγένοντο σεισμοί·—γ') ὅτι τῇ 29-ῃ ἰουνίου τοῦ 1606-ου ἔτους ἀπέθανεν Ἱερεμίας ὁ βοεβόδας, καὶ ὅτι διεδέξατο τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Συμεὼν τῇ 1-ῃ ἰουλίου· — δ') ὅτι τῇ 29 μαρτίου τοῦ 1635-ου ἔτους ἦλθεν ἐκ Μήλου εἰς τὴν μονὴν τοῦ ἁγίου Σάβα Διονύσιος ἱερεύς.

214. Παρακλητικὴ ἀκέφαλος, γραφεῖσα ἔτει 1458-ῳ καὶ φύλλα περιέχουσα νῦν ἐκ χάρτου 385, ὧν τὸ κείμενον ὑπάρχει δίστηλον· γραμμὰς δ' ἑκάστη τῶν σελίδων ἀριθμεῖ 29 ἢ 30 (0,29×0,215×0,20×0,146)· ἄρχεται δὲ νῦν τὸ κείμενον ἀπὸ τῶν λέξεων τούτων· «. . . . λης βουλῆς σου τὸν ἄγγελον | εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν· | ὅθεν ἐξ ἀγνοίας» κτλ. Ἔχει δὲ προσέτι α') «Ἐξαποστειλάρια ἑωθινὰ τὰ ια' σὺν τοῖς αὐτῶν θεοτοκίοις καὶ ἰδιομέλοις· ποίημα κυροῦ Λέοντος δεσπότου», φ. 377. (Παρακλητικὴ ἢ ὀκτώηχος μεγάλη, ἐν Ῥώμῃ 1885, σ. 706) — β') «Εὐαγγέλια ἑωθινὰ τὰ ια'», φ. 381. Μετὰ δὲ τὸ τέλος τοῦ πλαγίου τετάρτου ἤχου γέγραπται τὸ σημείωμα τοῦτο τοῦ καλλιγράφου, φ. 376: «† Ὁ δὲ τάχα γράψας Λουκᾶς ἀνάξιος, ὁ κατὰ κόσμον Τζυκέρας, συγγνώμην αἰτῶ ταῖς εὐχαῖς ὑμῶν:—μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος ζ-ης, ἔτους ,ϛϠξζ': ἔτους· ἀμήν».

215. Τεῦχος μεμβράνινον γραφὲν ἀμφὶ τὴν δεκάτην ἑκατονταετηρίδα ὑπὸ τριῶν ὡς ἔοικε βιβλιογράφων, διὰ τὸ διάφο-

ρον εἶναι πολλαχοῦ τὴν γραφήν· ἔχει δὲ φύλλα 271, ὧν τὸ πρώτιστόν ἐστιν ἐκ χάρτου, πρὸς ἀναπλήρωσιν, ἐκπεσούσης τῆς παλαιᾶς ἀρχῆς, ἐπιβληθὲν ἴσως ὑπὸ τοῦ μοναχοῦ Ἰωαννικίου τοῦ Σαβαΐτου. Καὶ τὸ βιβλίον μὲν ὑπάρχει μήκους 0,288 καὶ πλάτους 0,227· τὸ δὲ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον μέν, ἀκανόνιστον δέ, διὰ τὸ ἔχειν αὐτὸ κατὰ σελίδα ὁτὲ μὲν τριάκοντα καὶ δύο, ὁτὲ δὲ τριάκοντα καὶ πέντε γραμμάς. Περιέχει δὲ τὸ τελευταῖον ὁ κῶδιξ ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ἀπὸ τῆς τετάρτης ἄχρι τῆς τριακοστῆς καὶ τρίτης ὁμιλίας, ἥπερ ὅμως ἀτελὴς ἀπομένει διὰ τὸν ἐκπεσμὸν τῶν ἐσχάτων φύλλων· λήγει γὰρ εἰς τὰς λέξεις τάσδε· «τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπεὶ δ' ἦν».

216. «Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Γλυκί, ὁμιλίαι τοῦ ἁγίου εὐαγγελίου εἰς καθὴν Κυριακὴν τοῦ ὅλου ἐνιαυτοῦ, ἃς ἐκλεξάμενος συνέθετο ἀπό τε διαφόρων ἁγίων πατέρων καὶ ἑτέρων σοφῶν ἀνδρῶν». Ἀρχ. «Εἰς τὸν Τελώνην καὶ Φαρισαῖον παραβολὴ καὶ ὑπόθεσις, ὥσπερ γυμνασία τις καὶ παρακίνησις» κτλ. Τεῦχος ἐκ χάρτου στιλπνοῦ, συνιστάμενον ἐκ φύλλων 348, ὧν τὰ μὲν πρώτιστα 108 κείμενον ἔχει δίστηλον, τὰ δὲ λοιπὰ μονόστηλον· πρότερον δὲ φύλλα ἓξ εἶχε περιπλέον, ἅπερ ἐλλείπει νῦν, ἀποκοπέντα ψαλλίδι· ἐγράφη δὲ τὸ τεῦχος τῇ ἑπτακαιδεκάτῃ ἑκατονταετηρίδι παρὰ χειρὸς ἀπαιδεύτου πάνυ βιβλιογράφου, καὶ μήκους μὲν ἔστι 0,277, πλάτους δὲ 0,205 Ἐν δὲ τῷ κρασπέδῳ τῆς ὀπισθίου σελίδος τοῦ 36-ου φύλλου γέγραπται σύγχρονον σημείωμα, ὅπερ ἔχει ὧδε· «† Δαμασκηνοῦ ἱερομονάχου καὶ τὸ παρὸν πρὸς τοῖς ἄλλοις.—† Τὸ παρὸν ἐξηγητὸν εὐαγγέλιον ἀφιερώθ(η) εἰς τὴν θείαν λαύραν τοῦ ἁγίου Σάββα, καὶ ὅποιος τὸ ἀποξενώσει, ἔστω ἀφορισμένος».

217. Τεῦχος ἐκ χάρτου τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἔχον φύλλα 195, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον κατὰ σελίδα καὶ ἐκ γραμμῶν τριάκοντα καὶ τεσσάρων ($0{,}28 \times 0{,}218 = 0{,}225 \times 0{,}145$)· τέσσαρες δὲ μόναι σελίδες ἄγραφοι μένουσι. Περιέχει δὲ τὸ τεῦχος ἀκέφαλον ἑρμηνείαν εἰς τὰς ἐπι-

στολάς Παύλου τοῦ ἀποστόλου, γεγραμμένην ὑπὸ Θεοδωρίτου τοῦ ἐπισκόπου Κύρου, ἀρχομένην δὲ νῦν ἀπὸ τῶν λέξεων τούτων· «μήπως ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες· πέμπτην ἡγοῦμαι γεγράφθαι τῶν πρὸς Τιμόθεον τὴν προτέραν· μετὰ γὰρ δὴ τὸ προοίμιον» κτλ. Theodoreti opera omnia, ἐκδ. Schulze, τ. III, σ. 4.

218. Γεροντικὸν ἐκ χάρτου τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος, γραφὲν ὑπὸ τοῦ βιβλιογράφου τοῦ γράψαντος τὸν 151-ον κώδικα (ὅσα σελ. 234)· συγκειται δ' ἐκ φύλλων ἠριθμένων 350, μήκους μὲν 0,305, πλάτους δὲ 0,207· πλὴν ἀλλὰ φύλλον ἓν ὑπάρχον μετὰ τὸ 58-ον ἀφέθη χωρὶς ἀριθμοῦ, ὁμοίως δὲ καὶ τὸ μετὰ τὸ 300-ὸν φύλλον· ἔστι δὲ καὶ φύλλα δύο τὸν αὐτὸν ἀριθμὸν ἔχοντα, τὸν 213-ον· ὥστε πάντα τὰ φύλλα τοῦ τεύχους ἀριθμεῖται μᾶλλον εἰς 353· ἄγγραφα δὲ τούτων τάδ' ἐστι: 33—36, 78β—83, 95, 107—112, 256—261, 293β καὶ 294. Περιεχόμενα κατ' ἐκλογήν·

1. «Περὶ διακρίσεως». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος, ὅτι εἰσί τινες κατατρίψαντες τὰ ἑαυτῶν σώματα», φ. 1.

2. Κεφάλαια διάφορα τοῦ Λειμῶνος Ἰωάννου τοῦ Μόσχου.

3. «Περὶ τοῦ ἔχοντος τὴν διακονίαν τοῦ κελλαρίου». Ἀρχ. «Εἰ θυμῷ καὶ μνησικακίᾳ περιπίπτειν οὐ θέλεις», φ. 262.

4. «Διήγησις πάνυ ὠφέλιμος περὶ τοῦ βίου (καὶ) τῆς πολιτείας τοῦ μακαρίου δικαίου Φιλαρέτου τοῦ ἐλεήμονος». Ἀρχ. «Βίον θεάρεστον καὶ πολιτείαν», φ. 265.

5. «Πρὸς τοὺς ἐν τῷ μοναστηρίῳ ἐπιστάτας καὶ μαθητάς, καὶ πῶς ὑποτάσσεσθαι». Ἀρχ. «Ἐὰν ᾖ ἐπιστάτης ἀδελφῶν», φ. 290β.

6. «Περὶ τοῦ ἀββᾶ Παύλου τοῦ ἁπλοῦ». Ἀρχ. «Διηγεῖτο δὲ ὁ ἅγιος τοῦ Θεοῦ Ἱέραξ», φ. 332.

7. Προσθῆκαι Ἰωαννικίου τοῦ Σαβαΐτου· α') «Διήγησις πάνυ ὡραία καὶ ψυχωφελὴς ἁπλοῦ τινος ἀνθρώπου». Ἀρχ. «Εὑρισκόμενος ποτὲ εἰς τὴν ἔρημον τῆς ἱερᾶς Θηβαΐδος», φ. 74-ον μέχρι τοῦ 78-ου φύλλου, ἔνθα γέγραπται τοῦτο· «Ἐν χιλιοστῷ ἑπτακοσιοστῷ πεντηκοστῷ τρίτῳ. . καταμήναν δεκεμβρίου κα'· διάχειρὸς χαμοῦ Ἰωαννικίου ἱερομονάχου· ἐκ Λαζηκῆς· χώρας· ὡς (=ὃς)

καὶ ἐχρημάτησα ἐφημέριος ἧς (-εἰς) τὴν λαύραν τοῦ ἁγίου Σάββα καὶ ὅποιως διέβάζη τὴν ἄνωθεν ψυχοφελοὶ δειήγησιν νὰ μὲ συγχωρέσει τῶν ἁμαρτωλότερον παρὰ τὸν κόσμον».— β') «1781, ἐν μηνὶ ἰουνίου ς'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μεθοδίου ἐπισκόπου Πατάρων, λόγος περὶ τῶν μελλόντων», οὗ ἡ ἀρχή· «Ἐν ταῖς ἐσχάταις ἡμέραις», φ. 342β.—γ') «Ἱστορία περὶ τῆς σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς Σουμελᾶ· ὡραία διήγησις», ἧς ἡ ἀρχή· «Ἡ σεβασμία αὕτη καὶ βασιλικὴ μονή», φ. 344 μέχρι τοῦ 348-ου φύλλου, ἔνθα γέγραπται καὶ τοῦτο· «1784 αὐγούστου 29».—δ') «Στίχοι ἰαμβικοὶ πρὸς τὸ ἡγιασμένον ὄρος τοῦ Σουμελᾶ», ὧν ἡ ἀρχή· «Ὄρος Μελᾶ χαῖρ' εἰκόν' ἀξίαν ἔχον», φ. 340.

219. Τεῦχος μεμβράνινον ἀποτελούμενον ἐκ φύλλων 244, ὧν τὸ δεύτερόν ἐστιν ἐκ χάρτου· ἐγράφη δὲ τὸ βιβλίον ὑπὸ τεσσάρων ἀντιγραφέων τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, καὶ μήκους μὲν ἔστι 0,30, πλάτους δὲ 0,215· τὸ δὲ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον, ὅπερ ἀριθμεῖ γραμμὰς 40 ἢ 41 (0,235× 0,16·) ὑπάρχει δὲ καὶ σημειώματα δύο τοῦ ιδ' αἰῶνος, ἅπερ ἐγὼ παρατίθεμαι νῦν ἀπαραλλάκτως ὧδε· α') φύλ. 84β «† ἠγοράσθη τὸ βιβλίον τοῦτο ὅτωγάνης ὁ υἱὸς τοῦ Βασίλ(η) ἀπὸ Εἰρηνουπόλεως· καὶ ἀνέθετο ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου· ἐν τῇ ἁγιωτάτη ἐπισκοπῇ Λαράνδ(ων)· καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαι αὐτὸν δϊατὸν Κύριον, ἵνα εὕρει συγχώρησιν ἁμαρτϊῶν ἐνῶρα κρίσεως ἀμήν».—β') φύλ. 242β «† ἠγοράσθη τὸ παρὼν βιβλΐον ὑπὸ τοῦ δούλου τοῦ θεοῦ Γεράκι· καὶ ἀπετέθη ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργΐου· ἐν τῇ ἁγιωτάτη ἐπ[ισκοπῇ Λαράνδων . . . . .] αὐτῷ ἀπὸ τῆς ἐκκλησίας ταύτης».

1. «Πίναξ σὺν Θεῷ περιέχων μαρτύρια ἁγίων καὶ βίους ὁσίων» (φ. 1)· εἰσὶ δὲ «ὁμοῦ λόγοι κα'», ὧν ὁ πίναξ καὶ τὰς ἀρχὰς ὑποδείκνυσι· διὸ καὶ τοῦ πρώτου λόγου ἡ ἀρχὴ κατ' αὐτὸν ἔχει ὧδε· «Τραϊανοῦ τὰ Ῥωμαίων»· ἐπεξέρχεται δὲ ὁ λόγος οὗτος τὸ μαρτύριον τοῦ ἁγίου Εὐσταθίου καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων· ἀλλὰ τῆς ἀρχῆς αὐτοῦ προεκπεσούσης, ἀνεπληρώθη τὸ ἐλλεῖπον ἔπειτα (φ. 2) διὰ κειμένου τινὸς περὶ τοῦ αὐτοῦ

μάρτυρος ἐν τῇ κοινῇ λαλιᾷ γεγραμμένου· τούτου δὲ ἡ ἀρχὴ ὧδε· «Μετὰ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ» κτλ. Πρόσθες ἔτι, ὅτι μετὰ τὸ 11-ον φύλλον, ὅπερ ἔχει τὴν ἀκολουθίαν τοῦ παλαιοῦ κειμένου, χάσμα μέγα φαίνεται· δύο γὰρ φύλλα κόψας ἐκεῖθεν ὁ Πορφύριος ἔφερεν εἰς Πετρούπολιν καὶ τῇ βιβλιοθήκῃ ταύτης ὕστερον ἔδωκε (ἀριθ. 378. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 140).

2. Μαρτύριον τοῦ μεγαλομάρτυρος Ἀρτεμίου, οὗ ἡ ἀρχή· «Μετὰ τὴν τοῦ κυρίου καὶ σωτῆρος», φ. 12β. Migne τ. 115, σ. 1160.

3. «Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρέθα καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων ἁγίων μαρτύρων, καὶ ἱστορία τῶν κατὰ χώραν πραχθέντων». Ἀρχ. «Ἔτος μὲν ἤδη πέμπτον» φ. 28β. Migne ἔ. ἀ. σ. 1249.

4. Μαρτύριον τοῦ ἁγίου Δημητρίου, οὗ ἡ ἀρχή· «Εἶχε μὲν τὰ Ῥωμαίων σκῆπτρα», φ. 41. Migne τ. 116, σ. 1185.

5. «Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων ἐπιτομή». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ κυρίῳ», φ. 45β. Migne τ. 2, σ. 617.

6. «Τοῦ ἁγίου ἱερομάρτυρος Ἐφραὶμ ἐπισκόπου Χερσῶνος, περὶ τοῦ θαύματος τοῦ εἰς τὸν παῖδα γενομένου παρὰ τοῦ ἱερομάρτυρος καὶ ἀποστόλου Κλήμεντος». Ἀρχ. «Θαυμαστὸς ὁ Θεός», φ. 80β. Migne τ. 2, σ. 691.

7. «Μηνὶ νοεμβρίῳ κε' τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης τῆς ῥήτορος». Ἀρχ. «Ἔτους τριακοσιοστοῦ πέμπτου βασιλεύοντος τοῦ ἀσεβεστάτου καὶ παρανόμου βασιλέως Μαξεντίου», φ. 85. Κείμενον ἀσημείωτον ἴσως ἀλλοθί που.

8. «Θαῦμα γενόμενον ὑπὸ τῶν ἁγίων ὁμολογητῶν Γουρία Σαμωνᾶ καὶ Ἀβίβου». Ἀρχ. «Νῦν καιρὸς εὔκαιρος μετὰ τοῦ πνευματοφόρου», φ. 93. Ὅρα ἔμπροσθεν σελίδι 63.

9. «Βίος τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν ἰατρῶν Κοσμᾶ καὶ Δαμιανοῦ». Ἀρχ. «Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βασιλεύοντος», φ. 99. Ὅρα τ. I, σ. 28, ἔνθα πρόσθες καὶ τὸν κατάλογον τῆς ἐν Σμύρνῃ βιβλιοθήκης, σ. 8.

10. «Πράξεις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου», ὧν ἡ ἀρχή· «Ἐν τοῖς καιροῖς τῆς βασιλείας Κωνσταντίνου τοῦ βασιλέως ἀκαταστασία ἐγένετο ἐν τῇ Φρυγίᾳ», φ. 111 (Fabric. X, σ. 298)· σημείωσαι δέ, ὅτι μετὰ τὸ 113-ον φύλλον ἔλλειμμα δύο φύλλων ὑπάρχει, ἅπερ ἀπεκόπη πιθανῶς ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη· εἶχε δ' ἐκεῖνα, καθάπερ ὁ πίναξ ἐμαρτύρησε, καὶ τὴν ἀρχὴν βίου τινὸς τοῦ ἁγίου Εὐστρατίου.

11. Ἀκέφαλον μαρτύριον τοῦ ἁγίου Εὐστρατίου, ἀρχόμενον ἤδη ἀπὸ τῶν λέξεων τούτων· «καὶ τῇ ἀπροσδοκήτῳ ταύτῃ παρρησίᾳ τοῦ ἀνδρὸς ἐκθαμβηθεὶς» κτλ., φ. 114.

12. «Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Θηβαίου, τοῦ πρὸ τοῦ ἁγίου Ἀντωνίου ἀσκήσαντος». Ἀρχ. «Ἐν πολλοῖς πολλάκις», φ. 126β. Fabric. X, σ. 307.

13. «Βίος ἤτοι ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ μεγάλου». Ἀρχ. «Πολλοὶ μὲν τῶν ἁγίων», φ. 130β. Migne τ. 25, σ. CCXXIII.

14. «Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος καὶ Ἀγαθαγγέλου· πρώτη ἐξέτασις ἐν Γαλατίᾳ». Ἀρχ. «Διοκλητιανοῦ βασιλεύοντος κατὰ πρῶτον ἔτος», φ. 148. Κείμενον ἀμνημόνευτον παρὰ τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

15. «Γρηγορίου πρεσβυτέρου εἰς τὸν βίον τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ θεολόγου». Ἀρχ. «Συγκαλεῖ μὲν ἡμᾶς ὦ ἄνδρες», φ. 167. Migne τ. 35, σ. 244.

16. «Κοσμᾶ βεστήτορος ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου». Ἀρχ. «Ἤχουσται πάντως ὑμῖν», φ. 184β. Fabric. VIII, σ. 457. X. σ. 311. Coxe, Catal. cod. bibl. Bodl. I, σ. 483. Ἱεροσολ. Βιβλιοθ. I, σ. 79.

17. «Μηνὶ ἰανουαρίῳ κς'· βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ξενοφῶντος καὶ τῶν τέκνων αὐτοῦ». Ἀρχ. «Διηγήσατό τις μέγας γέρων», φ. 192. Ἱεροσολ. Βιβλιοθ. I, σ. 79.

18. «Μηνὶ ἀπριλίῳ κγ'· μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου», οὗ ἡ ἀρχή· «Ἡ μὲν τοῦ σωτῆρος ἡμῶν

Ἰησοῦ Χριστοῦ προαιώνιος βασιλεία», φ. 196α. А. Н. Веселовскаго, Розысканія въ области русскихъ духовныхъ стиховъ. Ἐν Πετρουπόλει 1880, σ. 172.

19. «Μηνὶ ἰανουαρίῳ ιε'· βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀσκητοῦ Ἰωάννου τοῦ Καλυβίτου». Ἀρχ. «Βίον καλὸν καὶ ἐνάρετον», φ. 203 (Migne τ. 115, σ. 568). Ἐλλείπει τὸ τέλος.

20. (Στεφάνου τοῦ διακόνου) «βίος καὶ πολιτεία καὶ ἄθλησις καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυμαστοῦ Στεφάνου τοῦ νέου». Ἀρχ. «Ἀγαθὸν καὶ δίκαιον», φ. 208 μέχρι τοῦ φ. 244, ἔνθα τὸ κείμενον ἐλλιπὲς ὑπάρχει διὰ τὸν ἐκπεσμὸν ἱκανῶν φύλλων· τελευταῖαι δὲ λέξεις εἰσὶν αἵδε· «μονὴν ποίησον ἐν τῇ ταπεινῇ μου ψυχῇ, ὡς καὶ ὁ Χριστὸς ἐν τῇ τοῦ Ζακχαίου οἰκίᾳ· τελώνισον...». Ὅλον δὲ τὸ κείμενον ὅρα παρὰ τῷ Montfaucon, Analecta Graeca, Parisiis, 1688, σ. 396-531. Migne τ. 100, σ. 1069.

220. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1398-ῳ· σύγκειται δὲ νῦν ἐκ φύλλων 292, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν 29 μέχρι 30 ($0{,}29 \times 0{,}22 = 0{,}225 \times 0{,}15$)· πρότερον δὲ συνηρίθμει φύλλα 296· πλὴν ἀλλὰ τὰ λείποντα Πορφύριος ἀπέκοψε, καὶ τούτων δύο εἰς τὴν ἐν Πετρουπόλει κατέθετο βιβλιοθήκην (ἀριθ. 454. Отчетъ Импер. Публ. Библ. σ. 153)· ἦν δὲ τὰ μὲν ὄπισθεν τοῦ 154-ου, τὰ δὲ μετὰ τὸ 252-ον φύλλον τοῦ κώδικος. Καὶ ταῦτα μὲν ἱκανά· περιέχει δὲ τέλος ὁ κῶδιξ συναξάρια σύντομα τοῦ πρώτου ἑξαμήνου, ἐπιγραφὴν ἔχοντα τὴν συνήθη· «Συναξάριον σὺν Θεῷ ἁγίῳ τῆς συνόψεως τῶν ἁγίων τοῦ ὅλου χρόνου, ὅθεν τε ἕκαστος καὶ ἐκ τίνων ἔφυ καὶ ἐν οἷς χρόνοις καὶ εἴτε τὸν διὰ μαρτυρίου, εἴτε τὸν δι' ἀσκήσεως ἐδέξατο στέφανον»· μετὰ δὲ τὸ τέλος τοῦ κειμένου γέγραται τόδε· «Ἐτελειώθη τὸ παρὸν βῖβλΐον σϋναξάριον ἑξαμηναῖον α'· διασὺν δρομῆς πρώτης ἄσπρων στῃ χυροῦ Δημητρίου τοῦ γραμματϊκοῦ· καὶ τοῦ παρόντος λαοῦ ἄσπρων π'· ὁ γραφὲς τοῦ πρώτου ὕφους Μϊχαὴλ ὁ Κατάψϋχος· ἐκ τοῦ μέρος τῆς Βερΐας· ἐγράφη ἔτους ,ςϠϚζ' ἰνδικτιῶνος ζ' ἐν μηνῒ δεκεμβρίω α'».

221. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, γραφὲν ἔτει 1416-ῳ καὶ συγκείμενον ἐκ φύλλων 415, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα (0,28 × 0,185 = 0,198 × 0,112)· ἕτερα δὲ τέσσαρα φύλλα, ἅπερ ἔκειτο πρότερον μετὰ τὸ 322-ον φύλλον, ὑπάρχει νῦν ἐν τῇ βιβλιοθήκῃ τῆς Πετρουπόλεως, ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 435. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 150).

1. Παρακλητική, φ. 1-113. Ἀρχ. «Δεῖ δὲ γινώσκειν ὅτε ψάλλεται τὸ Ἀλληλούϊα, λέγονται οἱ στίχοι οὗτοι» κτλ. Ἐν τῷ 2-ῳ φύλλῳ· «Τῷ Σαββάτῳ ἐν ἑσπέρᾳ στιχηρὰ ἀναστάσιμα κυροῦ Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ εἰς τὸ Κύριε ἐκέκραξα· ἦχος α΄. Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς» κτλ. Ἐν τῷ 3-ῳ φύλλῳ «ἕτερα στιχηρὰ τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχὶς ἀλφάβητον, ἐν δὲ τοῖς θεοτοκίοις "Ἰωάννου ἀμήν"· τὸ δὲ "ἀμὴν" ἔστι μέσον εἰς τὸ "Ἀνύμφευτε παρθένε". Στιχηρόν· «Ἀγαλλιάσθω ἡ κτίσις» κτλ. Ἐν τῷ 109-ῳ φύλλῳ «ἐξαποστειλάρια ἀναστάσιμα τῶν ια΄ ἑωθινῶν, μετὰ τῶν ἰδιομέλων αὐτῶν· ποίημα Λέοντος φιλευσ(εβοῦς) βασιλέως καὶ φιλοσόφου».

2. «† Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Τριῳδίου τῆς ἁγίας καὶ μεγάλης καὶ ψυχωφελοῦς τεσσαρακοστῆς, ἀρχόμενον ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου μέχρι τῷ Σαββάτ(ῳ) τοῦ ἁγίου καὶ δικαίου Λαζάρου». Ἀρχ. «Τῷ Σαββάτῳ ἐν ἑσπέρᾳ ἱστῶμεν στίχους ι΄· στιχηρὰ ἀναστάσιμα γ΄ καὶ ἀνατολικὰ δ΄» κτλ., φ. 113-415· συνυπάρχει δὲ καὶ τὸ συναξάριον τοῦ Ξανθοπούλου, οὗ ἡ ἐπιγραφὴ ἐν τῷ 116-ῳ φύλλῳ. Μετὰ δὲ τὸ τέλος τοῦ τριῳδίου γέγραπται τοῦτο· «† Τέρμα ὧδε λήξας· ἡ θεόπνευστος βίβλος· πλή|μονος [sic] χειρός, ἀναξίου καὶ θύτου· πεφυκὸς εἰμι, | ἐκ πολλῶν ἀμπλακίων· ἀντιβολῶν δέομαι, μὴ | μεφθῶ τῆς γραφήσμου· κἂν μὸι ἐπτέρνησεν, τῆς | χαρτομέλας τὸ ποίμα; ὦ παντέφορε καὶ τρϊ|φεγγεῖς οὐσία· ἡ τῶ κράτει σου τὸ πᾶν περιστϋ|χοῦσα, σκέπε φρούρει φύλαττε τῶ κτισομένω· | πίστει τὲ καὶ πόθω, τὴν δέλτον ὅλην ταύτην· σὺν | τῶ γράψαντι πανευτελῆ γραφέα· ἐντός τε τοῦ | παναγίου καὶ ζωοδόχου, τοῦ δεσπο-

πτικοῦ ἀνά|κηράτου Τάφου. Χ(ριστ)έ, δίδου τοῖς ἐμοῖς πόνοις χάριν. | Θ(εο)ῦ διδόντος, οὐδὲν ἰσχύϊ πόνος· καὶ μὴ δϊδόν|τος, οὐδὲν ἰσχύϊ φθόνος: Τῶ σϋντελεστῆ, τῶν | καλῶν Θ(ε)ῶ χάρις· δόξα σοι ὁ Θ(εὸ)ς ἡμῶν δόξα· ἔτους ,ςϠχδ'». Καὶ πάλιν ἐρυθροῖς γράμμασιν· «† Ἐτοῦτο τὸ Τριώδίον ἔναι τοῦ ἁγίου, καὶ παναγίου καὶ ζωὁδόχου, τοῦ δεσποτικοῦ Τάφου τοῦ κ(υρίο)υ καὶ θ(εο)ῦ σ(ωτῆ)ρ(ο)ς ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· εἴ τις δὲ βουληθῆ, νατὸ στερίσει· ἀπὸ τοῦ παναχηράτου τάφου, τοῦ Χ(ριστο)ῦ· αὐτὴν τὴν βίβλον νὰ ἔχη τάς....».

222. Πραξαπόστολος ἐκ χάρτου μετὰ συναξαρίου, γραφεὶς τῇ τετάρτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι, πλὴν τοῦ 1-ου φύλλου, ὅπερ ἐστὶ μεταγενέστερον· σύγκειται δ' ἐκ φύλλων 245, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τεσσάρων (0,277 × 0,19 = 0,188 × 0,115)· σημείωσαι δέ, ὅτι ἐν τῇ ὀπισθίῳ σελίδι τοῦ 40-ου φύλλου γέγραπται πρόσθετον πασχάλιον διὰ τὰ ἔτη ,ςϠκθ' - ,ςϠο' (= 1421 - 1462).

223. Τρία τεύχη βαμβακεροῦ χάρτου συνδεδεμένα, ἅπερ ἐγράφη τῇ τετάρτῃ καὶ δεκατῃ ἑκατονταετηρίδι· συναριθμεῖ δὲ φύλλα 390 μήκους μὲν 0,276, πλάτους δὲ 0,19· πλὴν ἀλλ' ἡ ἀρίθμησις αὐτῶν ὑπάρχει παντάπασιν ἡμαρτημένη· μετὰ γὰρ τὸ 43-ον φύλλον ἀφέθη φύλλον ἓν ἀναρίθμητον· καὶ πάλιν ἀπὸ τοῦ 101-ου φύλλου μετεπήδησεν ὁ ἀριθμητὴς εἰς τὸν 111-ον ἀριθμόν· τοῦτο δ' αὐτὸ παρατηρεῖται καὶ μετὰ τὸ 201-ον φύλλον, ἔνθα τὸ λοιπὸν ἔχει τὸν 211-ον· οὕτω δὲ καὶ μετὰ τὸ 301-ον· τὸ γὰρ ἀκόλουθον φύλλον ἀριθμὸν ἔχει τὸν 311-ον. Ὥστε τὸ τεῦχος ὅλον ἀριθμεῖ φύλλα μόνα 371. Κεῖται δ' ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου σημείωμα τοιοῦτον ἐφθαρμένον, ἐρυθροῖς γράμμασι γεγραμμένον· «ΙϹ ΧΡ / Ν Κ Βιβλήον ἀφιέρωμένον τοῦ ἐν μο(να)χ(ο)ῖς Ἰωάκεῖμ ἱερομοναχ(ου) εἰς — — — καὶ ἤτης τῶ εὐγάλη ἀπαυτὸ ὕτω πουλείση — — — ἀπὸ τοὺς ἁγίους π(ατέ)ρας καὶ τοῦ π(ατ)ριάρχου τῶν ἀφω[ρισμὸν] — — — ἀφωρισμένος». Ἕτερον δὲ σημείωμα μεταγενέστερον πάνυ γέγραπται παρὰ τοῦ Θεοφάνους Ἱεροσολύμων πατριάρχου ἔτει ,ζϞγ' (1584—1585) ἐν δυσὶ φύλλοις ὑπάρχουσιν ἔνδον τῆς δευ-

τέρας πινακίδος· ἐξ οὗ μανθάνομεν, ὅτι «ἡ βίβλος αὕτη ὑπάρχει τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

1. Κόσμημα κόκκινον, ὅπερ ἐστὶ παρεμφερὲς πρὸς τὸ γράμμα Π· ὑπὸ δὲ τοῦτο κεῖται τὸ «Βίβλος ἱερὰ ἐκ γραφῶν συντεθεῖσα τοῖς ἀναγινώσκουσι, χειραγωγοῦσα εἰς σωστικὴν σύνεσιν θεογνωσίας. Χριστέ, τεὴν προΐαλλε καμάτοισιν ἐμοῖς. Βιβλίον τὸ καλούμενον Θησαυρός», οὗ ἡ ἀρχή· «Θεὸς καταλαμβανόμενος οὐκ ἔστι Θεός», φ. 1-43. Διαιρεῖται δ' εἰς λόγους δέκα καὶ τέσσαρας, ὧν οἱ μὲν ἑπτὰ πρῶτοι τὴν ἱστορίαν ἐπεξέρχονται τῆς παλαιᾶς διαθήκης ἄχρι τῆς Χριστοῦ γεννήσεως, οἱ δὲ λοιποὶ ταῦτα. α') «Λόγος η'· ἀπόδειξις ὅτι Θεὸς ἀληθής ἐστιν ὁ Χριστός, καὶ υἱὸς καὶ λόγος τοῦ Θεοῦ συναΐδιος». Ἀρχ. «Ὅτι Θεός ἐστιν ἀληθής», φ. 27.— β') «Λόγος θ', ὅτι μέγα ἀγαθὸν καὶ πρὸς σωτηρίαν ὁδηγία καὶ φωτισμὸς ἡ τῶν γραφῶν ἀνάγνωσις». Ἀρχ. «Μέγας κρημνὸς πρὸς ἀπώλειαν», φ. 34.—γ') Λόγος ι' περιέχων τὰ μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, φ. 35.—δ') «Λόγος ια', ὅτι οἱ τὸν Χριστὸν ἀρνησάμενοι καὶ τὸ θεῖον ἀθετήσαντες βάπτισμα, χεῖρον καὶ τῶν ἀπίστων κολάζονται, καὶ ὅτι οὐ δεῖ πιστεύειν ὀνείροις». Ἀρχ. «Ἰουλιανὸς ὁ παραβάτης καὶ τοῦ Θεοῦ ἐχθρός», φ. 39. — ε') «Λόγος ιβ', οὗ ἡ ἀρχή· «Περιπατῶν ποτε ὁ ἀββᾶς Μακάριος εἰς τὴν ἔρημον», φ. 41.—ϛ') Λόγος ιγ', οὗ ἡ ἀρχή· «Μοναχὸς γάρ τις ἐν τῷ ὄρει Σινᾶ», φ. 43. — ζ') «Λόγος ιδ', ὅτι μόνη ἡ τῶν χριστιανῶν πίστις ὀρθή τε καὶ ἀπλανής, καὶ περὶ τοῦ προσκυνεῖν κατὰ ἀνατολάς». Ἀρχ. «Πάλαι μὲν ὑπὸ Ἰουδαίων μόνων», φ. 43β.

2. Λόγος ἀνώνυμος, οὗ ἡ ἐπιγραφή· «Ὅτι κυρίως καὶ ἀληθῶς θεοτόκος ἡ ὑπεραγία παρθένος Μαρία ἡ τὸν Χριστὸν ἀσπόρως καὶ ἀφράστως ἐν δυσὶ γεννήσασα φύσεσι τέλειον θεὸν καὶ ἄνθρωπον τέλειον». Ἀρχ. «Εἴ τις οὐ Θεοτόκον κατὰ ἀλήθειαν», φ. 57.

3. Περὶ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων. Ἀρχ. «Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν», φ. 61β.

4. Τεμάχιον Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας περὶ νηστείας, οὗ ἡ ἀρχή· «Μὴ παραβαίνειν νηστείαν Κυρίου», φ. 69.

5. Διήγημα περὶ τοῦ ὁσίου Παχωμίου, οὗ ἡ ἀρχή· «Νεκροῦ ποτε σκήνωμα ἐξεφέρετο», φ. 69β.

6. «Δωροθέου περὶ τῆς τεσσαρακοστῆς». Ἀρχ. «Ἐν τῷ νόμῳ προσέταξεν ὁ Θεός», φ. 70.

7. «Περὶ ἀγαθῆς πολιτείας» ἀνώνυμον, οὗ ἡ ἀρχή· «Πάντων τῶν ἀγαθῶν κεφάλαιον καὶ ῥίζα», φ. 71.

8. Λόγος ἀνωνύμου, οὗ ἡ ἐπιγραφή· «Ὅτι οὐ δεῖ χριστιανὸν ἄνθρωπον φοβεῖσθαι τὸν θάνατον, ἀλλὰ προευτρεπίζεσθαι διὰ μετανοίας (καὶ) ἐξομολογήσεως». Ἀρχ. «Εἷς θάνατος ἡ ἁμαρτία· ψυχῆς γὰρ ὄλεθρος», φ. 71.

9. «Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου, λόγος περὶ ἀρετῆς παραινετικὸς καὶ ὅτι δεῖ μνημονεύειν διηνεχῶς τοῦ θανάτου, καὶ εἰς τὴν ματαιότητα τοῦ κόσμου». Ἀρχ. «Οἱ τὴν θείαν ἑκάστοτε καὶ ψυχωφελῆ», φ. 101β. Λόγος ἀνέκδοτος τύποις, οὗ δεύτερον ἀπόγραφον ὅρα παρὰ τῷ Coxe, Catal. cod. MSS bibl. Bodl. I, σ. 780.

10. «Ἀποφθέγματα τῶν ἁγίων πατέρων καὶ περὶ τῶν ἁγίων μυστηρίων, καὶ ποταπὸν χρὴ εἶναι τὸν ἱερέα καὶ τὸν μοναχόν». Ἀρχ. «Εἶπεν ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος· τρία πράγματα ἀπαιτεῖ ὁ Θεός» κτλ., φ. 126.

11. «Περὶ πορνείας καὶ ἐξομολογήσεως Ἀναστασίου τοῦ Σιναΐτου». Ἀρχ. «Ἡ τῶν σωμάτων ἐπιθυμία γίνεται τῷ ἀνθρώπῳ ἐκ θερμῆς κράσεως τοῦ σώματος», φ. 140β.

12. Τεμάχη διάφορα Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου, Ἰσιδώρου τοῦ Πηλουσιώτου, Ἀναστασίου τοῦ Σιναΐτου καὶ Μαξίμου τοῦ ὁμολογητοῦ, φ. 141β.

13. Ἀνωνύμου «παραίνεσις πρὸς βασιλέα», ἧς ἡ ἀρχή· «Τῶν ἐπὶ γῆς βασιλεύων θείᾳ προνοίᾳ, βασιλεύου καὶ αὐτὸς ἄνωθεν ὑπὸ τοῦ δόντος σοι τὸ βασίλειον ὑψιμέδοντος Θεοῦ», φ. 145β. Ἰδοὺ δὲ νῦν ἓν ἀπόσπασμα τοῦ λόγου τούτου, φ. 148-149. «Καὶ τὸν Κομνηνὸν φασὶν βασιλέα Ἰσαάκιον σώφρονα εἶναι εἰς ἄκρον· νόσος γὰρ τούτῳ ἐνέσκηψέ ποτε νεφρική, ὥστε ἀπογνῶναι τοῦτον καὶ τῆς ζωῆς, διὰ τὸ παρέσει παντελεῖ καὶ ἀκινησίᾳ κατασχεθῆναι· τῶν δὲ ἰατρῶν μετὰ τὸ πᾶσι τοῖς ἄλλοις χρήσασθαι καὶ

ὠφελῆσαι μηδὲν συμβουλευόντων μιγῆναί τινι γυναικί, αὐτὸς οὐχ ὑπήκουσεν· εἰπόντων δέ, ὡς εἰ μὴ ἐπιχειρήσειε τούτῳ, πρὸς ἀνάγκης ἔχειν αὐτὸν καυτῆρι χρήσασθαι, ἐκ τούτου δὲ ἀπαιδίᾳ κατασχεθῆναι καὶ ἀγονίᾳ, αὐτὸς ὑπὲρ σωφροσύνης ἀπολογούμενος ἔφησεν: Ἀρκοῦσί μοι ὁ Μανουὴλ καὶ ἡ Μαρία, οἱ ἤδη μοι γεννηθέντες Χριστοῦ χάριτι· τούτων μὲν γὰρ ἄνευ ἔνεστι τυχεῖν τῆς βασιλείας τοῦ Θεοῦ, σωφροσύνης δὲ χωρὶς οὐδεὶς τὸν Κύριον ὄψεται. Καὶ οὗτος μὲν οὕτως».

14. Ἐρωταποκρίσεις θεολογικαί τε καὶ φιλοσοφικαί, ὧν ἡ ἀρχή· «Ἐρώτησις· τί ἐστι Θεός; Ἀπόκρισις· οὐσία ἀναίτιος, αἰτία παναλκής», φ. 149β.

15. Διήγημά τι, οὗ ἡ ἀρχή· «Ἐγένετό τις ἀρχιληστὴς ἐπὶ τοῖς χρόνοις Μαυρικίου τοῦ τῶν χριστιανῶν βασιλέως, ἐπὶ τὰ μέρη τῆς Θρᾴκης», φ. 162β.

16. Βασιλείου τοῦ μεγάλου «περὶ τιμῆς γονέων καὶ γήρως καὶ νεότητος». Ἀρχ. «Τὸ ἐξεγέρθητι Κύριε», φ. 164β. Migne τ. 32, σ. 1377.

17. «Ἡσυχίου πρεσβυτέρου πρὸς Θεόδουλον λόγος ψυχωφελὴς περὶ νήψεως καὶ ἀρετῆς κεφαλαιώδης· ἀρχὴ φωτισμοῦ, ψυχῆς ἀληθινῆς ὑποθήκη· τὰ λεγόμενα ἀντιρρητικὰ καὶ εὐκτικά», ὧν ἡ ἀρχή· «Νῆψίς ἐστι μέθοδος πνευματικὴ ἐμπαθῶν νοσημάτων», φ. 166β. Migne τ. 96, σ. 1480.

18. «Ἐκ τῆς βίβλου τοῦ ὁσίου πατρὸς ἡμῶν Βαρσανουφίου». Ἀρχ. «Ἐρώτησις· ἐὰν ἴδω τινὰ ποιοῦντα πρᾶγμα ἄτοπον» κτλ., φ. 180. Ἐρωταπόκρισις τν', ἣν ἀνάγνωθι ἐν τούτῳ τῷ βιβλίῳ: «Βίβλος ψυχωφελεστάτη περιέχουσα ἀποκρίσεις διαφόροις ὑποθέσεσιν ἀνηκούσαις, συγγραφεῖσα μὲν παρὰ τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Βαρσανουφίου καὶ Ἰωάννου, ἐπιμελῶς δὲ διορθωθεῖσα καὶ τῇ τῶν ὁσίων βιογραφίᾳ καὶ πλατυτάτῳ πίνακι πλουτισθεῖσα παρὰ τοῦ ἐν μοναχοῖς ἐλαχίστου Νικοδήμου Ἁγιορείτου, νῦν δὲ πρῶτον τύποις ἐκδοθεῖσα» κτλ., Ἐνετίῃσιν 1816, σ. 222.

19. Ἀναστασίου τοῦ Σιναΐτου «λόγος περὶ τῆς ἁγίας συνάξεως καὶ περὶ τοῦ μὴ κρίνειν καὶ τοῦ μνησικακεῖν». Ἀρχ. «Ἀεὶ

μὲν ἡ τοῦ ἁγίου πνεύματος χάρις», φ. 180β. Βίβλος ἡ καλουμένη Ὁδηγὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀναστασίου τοῦ Σιναΐτου· ἐκδίδοται τὸ τρίτον δαπάνῃ Ἱερωνύμου Βούρου μοναχοῦ, ἐν Ἀθήναις [γρ. Σμύρνῃ] 1889, σ. 201, Migne τ. 89, σ. 826.

21. «Λόγος Συμεὼν Ποταμινοῦ [sic], περὶ τοῦ ἐν νῷ ἔχειν τὴν ἡμέραν τῆς ἐξόδου τῆς ἐκ τοῦδε τοῦ βίου». Ἀρχ. «Οὐκ ἀγνοεῖτε, ἀδελφοί, οἷον ἀγῶνα καὶ φόβον καὶ ἀνάγκην», φ. 191. Lambecii, Comment. de aug. bibl. caes. Vindobonensi liber V, 1672, σ. 93-95.

22. Μαξίμου τοῦ ὁμολογητοῦ «λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν», οὗ ἡ ἀρχή· «Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· παρακαλῶ σε πάτερ εἰπέ μοι τίς ὁ σκοπὸς» κτλ., φ. 193. Migne τ. 90, σ. 912.

23. «Διάλεξις τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου κατὰ Σαρακηνοῦ φιλοσόφου περὶ πίστεως, γενομένη ἐν τῇ πόλει Μιλιτινῆς». Ἀρχ. «Ἐρώτησις τοῦ Σαρακηνοῦ· πῶς ὁμολογεῖτε πολυθεΐαν», φ. 222β μέχρι τοῦ 230-ου φύλλου, ἔνθα τὸ κείμενον ἀτελὲς ὑπάρχει· μετὰ δὲ τοῦτο τεῦχος ἕτερον ὑπάρχει, οὗπερ ὁ πίναξ ἐγράφη ἐν τῷ φύλλῳ τῷ πρώτῳ, τῷ νῦν ἀριθμὸν ἔχοντι 231-ον.

24. «Μηνὶ μαΐῳ ιε´· βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παχωμίου τοῦ μεγάλου». Ἀρχ. «Ὁ Κύριος ἡμῶν, ἡ πηγὴ τῆς σοφίας», φ. 231 (Fabric. X, σ. 301). Σημειωτέον δέ, ὅτι πολλαὶ σελίδες εἰσὶν ἄγραφοι, καὶ ὅτι Θεοφάνης ὁ πατριάρχης Ἱεροσολύμων ἔγραψε τὸ ὄνομα αὐτοῦ διὰ μονοκονδυλίας ἐν τῷ 286-ῳ φύλλῳ· τοῦτο δ' ἐποίησε καὶ ἐν τῷ 184-ῳ φύλλῳ.

25. «Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Αὐξεντίου τοῦ ἐν τῷ Βουνῷ ἀσκήσαντος». Ἀρχ. «Καλοὶ μὲν καὶ οἱ ἐξ ἀλλοδαπῆς», φ. 299β—350. Ὅρα ἔμπροσθεν σελίδι 315). Ἐν δὲ τῷ 350-ῳ φύλλῳ κεῖται ἡ ὑπογραφὴ τοῦ γράψαντος τὸν κώδικα τοῦτον· «Διονύσιος ἁμαρτωλός».

26. (Τεμάχιον ἑτέρου κώδικος, φ. 350—390). «Μηνὶ ἰουλίῳ ε´ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν

τῷ Ἄθῳ. Βίος καὶ ἀγῶνες καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ὁσίου» κτλ. Ἀρχ. «Οἱ τῶν ἀρίστων ἀνδρῶν», φ. 350. Ὅρα ἔμπροσθεν σελίδι 269.

27. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ μεγάλου λογοθέτου κυροῦ Κωνσταντίνου τοῦ Ἀκροπολίτου, λόγος καὶ μερικὴ θαυμάτων διήγησις εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ μέγαν Γεράσιμον». Ἀρχ. «Καὶ πάλιν ἐκ τῶν Μύρων μύρον ἡδύπνοον», φ. 390β. Ἔστι δ' ὁ λόγος ἐνταῦθα περὶ τοῦ ἀββᾶ Γερασίμου τοῦ παρὰ τὸν Ἰορδάνην ἀσκήσαντος· ἀτυχῶς ὅμως ἡ ἀρχὴ μόνον ὑπάρχει (τὸ ὅλον γραμμαὶ 33) διὰ τὸν ἐκπεσμὸν τῆς ἀκολουθίας τοῦ προσθέτου τούτου κώδικος· φαίνεται δὲ καὶ τὸ κείμενον εἶναι πρωτοφανὲς ὅλως.

224. Τεῦχος ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ μέσον τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος· ἀριθμεῖ δὲ φύλλα 193, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ πέντε ($0{,}287 \times 0{,}21 = 0{,}208 \times 0{,}145$). Περιέχει δὲ βίους καὶ μαρτύρια τῷ δεκεμβρίῳ μηνὶ συναναγινωσκόμενα· ὁ δὲ τούτων συντάκτης Συμεών ἐστιν ὁ Μεταφράστης.

1. Λείψανον ἀκεφάλου βίου Σάβα τοῦ ἡγιασμένου, ἀρχόμενον ἀπὸ τῶν λέξεων τούτων· «ἔτος τῇ θήκῃ καὶ οὗπερ οἰκείοις πόνοις συλλέγει μισθοῦ», φ. 1.

2. Βίος τοῦ ὁσίου Νικολάου, οὗ τῆς ἐπιγραφῆς ἄνωθεν ἔγραψεν ὁ καλλιγράφος τὸ «Ὅσιε πάτερ ἡμῶν ἀρχιεράρχα καὶ θαυματουργὲ Νικόλαε, πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ ἀναξίου σου δούλου». Ἀρχ. «Σοφόν τι χρῆμα», φ. 3. Migne τ. 116, σ. 317.

3. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀμβροσίου τοῦ Μεδιολάνων ἐπισκόπου. Ἀρχ. «Οὐαλεντινιανὸς μετὰ τελευτήν», φ. 16. Migne, Patrol. Latin. τ. 14, σ. 45.

4. Βίος καὶ πολιτεία τοῦ ὁσίου Παταπίου. Ἀρχ. «Οὐ πολλοὺς Αἴγυπτος», φ. 22β. Migne, Patrol. Gr. τ. 116, σ. 357.

5. Μαρτύριον τῶν ἁγίων Ἑρμογένους καὶ Εὐγράφου, οὗ ἡ ἀρχή· «Μετὰ τὴν ἐπὶ γῆς τοῦ σωτῆρος», φ. 25β. Migne τ. 116, σ. 368.

6. Βίος καὶ πολιτεία τοῦ ὁσίου Δανιὴλ τοῦ στυλίτου. Ἀρχ. «Ὥσπερ ἐπὶ τῶν ἀριστέων», φ. 40β. Migne ἔ. ἀ. σ. 969.

7. Βίος καὶ πολιτεία Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος. Ἀρχ. «Μέγιστον εἰς ψυχῆς», φ. 61. Migne ἔ. ἀ. σ. 417.

8. Ἄθλησις τῶν ἁγίων Εὐστρατίου Αὐξεντίου Εὐγενίου Μαρδαρίου καὶ Ὀρέστου. Ἀρχ. «Βασιλεύοντος Διοκλητιανοῦ», φ. 76β. Fabrici, Bibliotheca Graeca X, σ. 227.

9. Μαρτύριον τῶν ἁγίων Θύρσου Λευκίου Καλλινίκου Φιλήμονος καὶ Ἀπολλωνίου. Ἀρχ. «Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. 88 (Migne ἔ. ἀ. σ. 508)· μετὰ δὲ τὸ τέλος τοῦ μαρτυρίου γέγραφεν ὁ καλλιγράφος τοῦτο· «Ἅγιοι τοῦ Θεοῦ μεγαλομάρτυρες οἱ τὰ αἵματα ἐκχέαντες δι' αὐτόν, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὅπως εὕρω λύσιν τῶν κακῶν, ὧν ἔπραξα, ἐν ἡμέρᾳ τῆς δίκης».

10. Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου, οὗ ἡ ἀρχή· «Αἰλίου Ἀδριανοῦ», φ. 104. Migne τ. 115, σ. 128.

11. Ὑπόμνημα εἰς τὸν προφήτην Δανιὴλ καὶ τοὺς ἐν καμίνῳ τρεῖς παῖδας. Ἀρχ. «Ἄρτι Ναβουχοδονόσορ», φ. 108β. Migne τ. 115, σ. 372.

12. Ἄθλησις τοῦ ἁγίου Βονιφατίου τοῦ Ῥωμαίου. Ἀρχ. «Καὶ τὰ τῶν ἄλλων», φ. 118. Acta Sanctorum, μαΐου τ. III, σ. 19*. Migne τ. 115, σ. 241.

13. Ἄθλησις τῶν ἁγίων μαρτύρων Σεβαστιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ, Ζωῆς Τραγκυλίνου Νικοστράτου Κλαυδίου Κάστορος Τιβουρτίου Καστούλου Μαρκελλίνου καὶ Μάρκου. Ἀρχ. «Πολλῶν κατὰ διαφόρους καιρούς», φ. 122β. Migne τ. 116, σ. 793.

14. Μαρτύριον τοῦ ἱερομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου. Ἀρχ. «Ἄρτι τὰ τῆς Ῥωμαίων βασιλείας», φ. 130. Migne τ. 114, σ. 1269.

15. Μαρτύριον τῆς ἁγίας Ἰουλιανῆς τῆς ἐν Νικομηδείᾳ μαρτυρησάσης. Ἀρχ. «Καὶ ἡ καλλίστη τῶν πόλεων», φ. 135. Migne τ. 114, σ. 1437.

16. Μαρτύριον τῆς ἁγίας Ἀναστασίας τῆς φαρμακολυτρίας

καὶ τῶν σὺν αὐτῇ μαρτυρησασῶν Εἰρήνης Ἀνάπης καὶ Χιονίας. Ἀρχ. «Ἀναστασία γυναικῶν ἡ καλλίστη», φ. 139. Migne τ. 116, σ. 573.

17. Μαρτύριον τῶν ἁγίων δέκα μαρτύρων τῶν ἐν Κρήτῃ. Ἀρχ. «Ἄλλος μὲν ἄλλο τι τῆς θρυλουμένης», φ. 149^{β}. Migne τ. 116, σ. 565.

18. Βίος καὶ πολιτεία καὶ ἄθλησις τῆς ὁσιομάρτυρος Εὐγενίας καὶ τῶν αὐτῆς γονέων. Ἀρχ. «Κομμόδου μετὰ Μᾶρκον», φ. 151^{β}. Migne τ. 116, σ. 609.

19. Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς τὸ γενέθλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Χριστὸς γεννᾶται», φ. 163^{β}. Migne τ. 36, σ. 312.

20. Βασιλείου Καισαρείας ἀρχιεπισκόπου, «λόγος εἰς τὴν γέννησιν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ», οὗ ἡ ἀρχή· «Χριστοῦ γέννησις», φ. 168^{β}. Migne τ. 31, σ. 1457.

21. «Μαρτύριον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου καὶ ἡ εὕρεσις τῶν λειψάνων αὐτοῦ» (κζ' δεκεμβρίου). Ἀρχ. «Στέφανος πλήρης χάριτος», φ. 172^{β}. Κείμενον ἀσημείωτον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

22. «Τῇ αὐτῇ ἡμέρᾳ· βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Γραπτοῦ καὶ Θεοφάνους τοῦ ἀδελφοῦ». Ἀρχ. «Τῶν ὑπὲρ Χριστοῦ τὴν ἄθλησιν», φ. 183. Migne τ. 116, σ. 653.

23. Μαρτύριον τῶν ἁγίων «Ἴνδης καὶ Δόμνας καὶ τοῦ πλήθους τῶν δισμυρίων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων». Ἀρχ. «Ἄρτι Μαξιμιανοῦ δεύτερον ἔτος», φ. 190-ον μέχρι τοῦ 197-ου φύλλου, ἔνθα τὸ κείμενον ἀτελὲς ὑπάρχει διὰ τὸν ἐκπεσμὸν ἐνίων φύλλων· λήγει γὰρ εἰς τὰς λέξεις ταύτας· «εἶτα σκότος ἐκ τοῦ φωτὸς δέχεται καὶ πηρωθεὶς τὰς ὄψεις ἐζήτει περιιὼν....». Ὅλον δὲ τὸ κείμενον ὅρα παρὰ τῷ Migne τ. 116, σ. 1037 κέ.

225. Τεῦχος ἐκ χάρτου, συνιστάμενον ἐκ φύλλων 146, ὧν ἔνια τὴν τάξιν ἄτακτον ἔχει· ταύτην δ' ἐγὼ μικρὸν ἠνώρθωσα νῦν ἐν τῇ κάτω περιγραφῇ, τῶν φύλλων ὅσα κακῶς ὑπὸ τοῦ δέτου συνέρραπται παραδηλώσας ὡς ἥρμοζεν ἐκεῖ· γέγραπται δὲ τὸ

βιβλίον ἔτει 1370-ῳ, καὶ τὸ μὲν κείμενον αὐτοῦ γραμμὰς ἀριθμεῖ κατὰ σελίδα πᾶσαν ὀκτὼ καὶ εἴκοσι, μονόστηλον ὡς εἰκὸς ὑπάρχον· ἃ δὲ περιέχει, τάδ' ἔστιν·

1. «Περὶ τῶν ὀφειλόντων χρισθῆναι μύρῳ» 'Αρχ. «'Αρειανοὺς μὲν καὶ Μακεδονιανοὺς ἤγουν πνευματομάχους», φ. 1. Goar, Εὐχολόγιον, σ. 694.

2. «Εὐχὴ πρὸς χριστιανοὺς ὑπαχθέντας ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ καὶ τῇ ἐκκλησίᾳ προσδραμόντας». 'Αρχ. «Κύριε κύριε ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης», φ. 1β. Εὐχολόγιον τὸ μέγα, ἐκδ. Ῥώμης 1873, σ. 475. Πρβλ. Goar, Εὐχολόγιον, σ. 690.

3. «Εὐχὴ ἐπὶ μιαροφαγησάντων», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς ὁ ἐν ὑψηλοῖς κατοικῶν» κτλ., φ. 2. Goar σ. 534.

4. «Εὐχὴ ἐπὶ ἐξομολογουμένων», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ἡμῶν ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ», φ. 2. Goar σ. 537.

5. «Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ τῆς τοῦ ἀνθρώπου φύσεως», φ. 2. Goar σ. 534.

6. «Εὐχὴ ἐπὶ μιαροῦ ἐμπεσόντος εἰς φρέαρ», ἧς ἡ ἀρχή· «Θεὸς ὁ μέγας καὶ θαυμαστός», φ. 2β. Goar σ. 479.

7. «Τάξις γενομένη εἰ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου καὶ ἐλαίου». 'Αρχ. «Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα αἴρεσθαι», φ. 2β. Goar σ. 481.

8. «'Εγκύκλιος ἐπιστολὴ Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας καὶ πρὸς τὸν πάπα Ῥώμης». 'Αρχ. «Ὁ δεσπότης ἡμῶν καὶ Θεός», φ. 3 καὶ 141α. Ῥάλλη καὶ Ποτλῆ, Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, ἐν 'Αθήναις 1852—1859, σ. 368. J. B. Pitra, Juris eccles. Graecorum historia et monumenta, τ. II, σ. 183.

9. «'Επιστολὴ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως πρὸς 'Αδριανὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης, περὶ τοῦ μὴ γίνεσθαι ἐπὶ χρήμασι τὰς χειροτονίας». 'Αρχ. «Πολυμε-

ρῶς καὶ πολυτρόπως», φ. 141, 143 καὶ 4. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ IV, σ. 375-383. Pitra, Juris eccles. κτλ. τ. II, σ. 304—313.

10. «Τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἰωσὴφ τοῦ ὁμολογητοῦ ἐκ τῆς οἰκειοχείρου ὁμολογίας αὐτοῦ». Ἀρχ. «Ἐπειδὴ βιάζομαι παρά τινων συνθέσθαι τῷ λατινικῷ δόγματι», φ. 5. Συνεξεδόθη μετὰ τῆς ἐν Ἰασίῳ τυπωθείσης (ἔτει 1682) ἀντιρρήσεως Νεκταρίου πατριάρχου τῆς Ἱερουσαλήμ.

11. Epanagoge aucta (φ. 6—94), ἧς ἐν ἀρχῇ κεῖται «πίναξ τῶν τίτλων καὶ λοιπῶν κεφαλαίων»· πάντα δὲ ταῦτα κατὰ μὲν τὸν πίνακα τέσσαρα καὶ ἑξήκοντά ἐστι, κατὰ δὲ τὸ κείμενον αὐτὸ τὸ νῦν ὑπάρχον ἐν τῷ κώδικι πεντήκοντα καὶ δύο· φαίνεται δ' ὅμως, ὅτι μετὰ τὸν νβ' τίτλον ὁ γραφεὺς ἄλλα τινὰ προσέθετο νῦν ἐλλείποντα, ἔξω τῶν τίτλων, οἳ τοὺς ἀριθμοὺς ἔχουσι τούτους· α') «Τίτλος νη', νόμος Ῥοδίων κατ' ἐκλογὴν ἐκ τοῦ ιδ' βιβλίου τῶν διατάξεων». Ἀρχ. «Ἐὰν πλοῖον ὁρμᾷ ἐπὶ λιμένα», φ. 88 (Zachariae, Jus Gr. Rom. IV, σ. 163). β') «Τίτλος νθ', ἀποκρίσεις κανονικαὶ Τιμοθέου τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀλεξανδρείας, ἑνὸς τῶν ρν' πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων ἐπισκόπων καὶ κληρικῶν», φ. 91. Καὶ τί μὲν ἐξέπεσε τοῦ κώδικος ἐγὼ νῦν ἀγνοῶ· νομίζω δ' ὅτι τῶν ἐπιλοίπων κεφαλαίων οἱ τίτλοι παραδηλοῦσιν ἁπλῶς ἐν τῷ κώδικι τούτῳ τὴν νομικὴν εἶναι βίβλον, ἣν Epanagogam Auctam ὀνομάζομεν· καὶ γὰρ οὗτοι τὰς ἐπιγραφὰς ἅμα καὶ τὰς ἀρχὰς ἔχουσιν ἃς ἀκριβῶς ἐκείνης ἔχει τὸ κείμενον ἄχρι τοῦ πεντηκοστοῦ καὶ πρώτου τίτλου (Zachariae, Jus Graeco-Romanum τ. IV, σ. 180—347)· τούτῳ δὲ τῷ τίτλῳ συνέπεται τίτλος ἄλλος, ἀριθμούμενος νγ', ὃς ἐπιγέγραπται «περὶ ἐγγύης»· ἄρχεται δὲ ὧδε· «Γυνὴ καὶ ἀφῆλιξ οὔτ' ἐγγυῶνται» κτλ. Σημείωσαι προσέτι, ὅτι τὰ κράσπεδα τοῦ 52-ου φύλλον πασχάλια φέρει τῶν ἐτῶν ,ϛϠπζ' καὶ ,ϛϠπη' = 1479 καὶ 1480.

12. «Ἀλεξίου τοῦ ἁγιωτάτου πατριάρχου· ἐξ ἐπιστολῆς πρὸς

Θεοφάνην Θεσσαλονίκης» ἀπόσπασμα τοιοῦτον· «Συγγενὴς συγγενοῦς μνηστὴν ἁρπάσας, εἰ μὴ συνεφθάρη, οὐδὲν παρέσχε κώλυμα τοῖς μνηστευθεῖσιν, ἀλλὰ ὁ γάμος προβήσεται· εἰ συνεφθάρη δέ, οὐδαμῶς», φ. 95.

13. «Τοῦ αὐτοῦ ἐκ συνοδικῶν κρίσεων». Ἀρχ. «Τοὺς διγάμους εὐλογήσαντες, ἐν τοσούτῳ τῆς ἱερουργίας ἐπισχεθήσονται» κτλ. φ. 95.

14. «Περὶ γάμων ἐπιτετραμμένων καὶ κεκωλυμένων πρώτου καὶ δευτέρου, ἐγγράφου ἢ ἀγράφου». Ἀρχ. «Συνίσταται γάμος χριστιανῶν», φ. 95β. Πρβλ. Ecloga privata aucta, ἐκδ. Zachariae σ. 65.

15. «Περὶ τοῦ κάσσου». Ἀρχ. «Τὸ ἐξ ἀπαιδίας κάσσον», φ. 96β.

16. «Ἐρωτήσεις τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυροῦ Μάρκου, καὶ ἀποκρίσεις ἐπ' αὐταῖς τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Θεοδώρου τοῦ Βαλσαμῶν». Ἀρχ. «Ὁ μὲν θεοπάτωρ καὶ προφήτης Δαυίδ», φ. 96β, 112—118 καὶ 125—126α (Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. IV, σ. 447 κἑ)· μετὰ δὲ τὰς ἐρωτήσεις ταύτας καὶ τὰς ἀποκρίσεις ὑπάρχουσιν «αἱ παρασύντομοι συγγένειαι», ὧν ἡ ἀρχή· «Δεύτεροι ἐξάδελφοι πρὸς μίαν ἐξαδέλφην κωλύονται» κτλ., φ. 121α.

17. «Τοῦ μακαριωτάτου μητροπολίτου Ἡρακλείας Νικήτα, ἀποκρίσεις πρός τινα Κωνσταντῖνον ἐπίσκοπον περὶ ὧν ἠρωτήθη παρ' αὐτοῦ». Ἀρχ. «Τοὺς εἰς δεύτερον συνοικέσιον ἐρχομένους», φ. 94β. Σύνταγμα κτλ. τ. V, σ. 441.

18. Ἀνεπίγραφον περὶ τῆς νήσου Κύπρου, οὗ ἡ ἀρχή· «Ἐπαρχία τῆς νήσου Κύπρου, ἔχουσα πόλεις δεκατρεῖς, ἥτις ὑπὸ κονσιλαρίων ἐποιμαίνετο, τουτέστι βουλευτῶν», φ. 119β καὶ 103α.

14. «Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβῶς συνειλεγμέναι ἔκ τε συνοδικῶν καὶ ἱστορικῶν γραφῶν περὶ ἐπισκόπων καὶ μητροπολιτῶν καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ἐκκλησιαστικῶν ζητημάτων». Ἀρχ. «Ἐν ποίοις φαίνονται πεπραχότες», φ. 103β. Migne τ. 104, σ. 1220 κἑ.

15. «Διὰ τῶν ἀρχιερέων τῶν χειροτονηθέντων ἀπὸ ἐπισκό-

πων εἰς πατριαρχεῖα καὶ μετατεθέντων καὶ ἐνθρονισθέντων ἀφ' ὧν εἶχον ἐκκλησιῶν εἰς ἑτέρας μητροπόλεις καὶ ἐπισκοπάς». Ἀρχ. «Ὁ μέγας Εὐστάθιος», φ. 105β.

16. «Ἀκριβὴς διαίρεσις τῶν ἐννόμων καὶ κεκωλυμένων γάμων». Ἀρχ. «Ὁ Ῥαδινὸς (πατήρ). Μιχαὴλ (καὶ) Ἄννα ἀδελφοί· κεκώλυται ὁ γάμος οὗτος· δεύτερον γὰρ σῴζουσι βαθμὸν πρὸς ἀλλήλους», φ. 106. Πρβλ. А. Павлова, 50-я глава кормчей книги, какъ историческій и практическій источникъ русскаго брачнаго права, ἐν Μόσχα 1887, σ. 332 κἑ.

17. «Ἐκ τῆς βίβλου τῆς Πείρας, ὅτι δυνατὸν καὶ ἐπὶ τῶν ἀγχιστευσάντων βαθμοὺς λέγεσθαι». Ἀρχ. «Ἡ τοῦ ἀδελφοῦ μου γαμετὴ δευτέρου μοι ἐστὶ βαθμοῦ», φ. 108α. Const. Harmenopuli manuale, ἐκδ. Heimbach σ. 510, ἐν ὑποσημειώσει.

18. «Ἴσον τῆς ἐκτεθείσης συνοδικῆς ψήφου ἐπὶ Μιχαὴλ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου παρὰ Νικήτα τοῦ ὁσιωτάτου πρωτοσυγκέλλου καὶ χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας, κατὰ (τὸ) ͵ςφξ' [sic] ἔτος τῆς ε' ἰνδικτιῶνος». Ἀρχ. «Ἀνήνεγκας ὁ ἱερώτατος», φ. 108α. Σύνταγμα κτλ. τ. V, σ. 40.

19. «Πιττάκιον πατριαρχικὸν ἐκτεθὲν παρὰ Ἰωάννου χαρτοφύλακος τοῦ Ἰωνοπούλου περὶ τοῦ τῇ δισεξαδέλφῃ τῆς ἰδίας μητρὸς συναφθέντος καὶ τῶν ὀφειλόντων δοθῆναι αὐτῷ ἐπιτιμίων». Ἀρχ. «Λαμπάδιος [sic] οὗτος», φ. 110α. Σύνταγμα κτλ. τ. V, σ. 92.

20. «Περί τινος ἁρμοσαμένου τῷ ἰδίῳ υἱῷ πρὸς γάμον θυγατρί τινος ὑπεξουσίαν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς». Ἀρχ. «Ἕτερος [sic] ᾧ τὸ ἐπώνυμον Βομβυλᾶς», φ. 110α. Σύνταγμα κτλ. τ. V, σ. 37.

21. «Διάταξις συνοδικὴ περὶ δευτερογαμίας», ἧς ἡ ἀρχή· «Τίμιον εἶναι τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον», φ. 110β καὶ 94.

22. Ἀνεπίγραφος τάξις τῶν πατριαρχείων τῶν ἐπαρχιῶν τῶν μητροπόλεων καὶ τῶν ἐπισκοπῶν, φ. 122, 123 καὶ 119α.

24. «Ἐρωτήσεις καὶ ἀποκρίσεις τῶν γεγονυιῶν ἐρωτήσεων

παρὰ μοναχῶν ἔξω τῆς πόλεως ἀσκουμένων καὶ ἀποκρίσεων ἀπὸ τῆς ἐν Κωνσταντινουπόλει εὑρεθείσης τηνικαῦτα συνόδου, ἧς προΐστατο ὁ ἁγιώτατος πατριάρχης Νικόλαος, ἐπὶ τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ». Ἀρχ. «Οὐ χρὴ μοναχὸν εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον», φ. 124· φαίνεται δέ, ὅτι τὸ κείμενον τοῦτο κεφάλαιον ἀποσχηματίζει τὸ ἑξηκοστὸν τοῦ προμνησθέντος νομίμου (ὅρα ἄρθρον 11 τοῦ κώδικος τούτου). Σύνταγμα κτλ. τ. IV, σ. 417.

25. «Νομοκάνονον τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως [sic] καὶ τῶν ὑπ' αὐτῷ ἁγίων πατέρων, ἐκ τῶν ἐκκλησιαστικῶν αὐτοῦ συνταγμάτων περὶ διαφόρων κεφαλαίων». Ἀρχ. «Τὰς ὑπὸ αἱρετικῶν ἐνθρονισθείσας ἐκκλησίας», φ. $124^{β}$, 120 καὶ 121. Πρβλ. Σύνταγμα κτλ. τ. IV, σ. 431. Pitra, Jus eccles. Graec. II, σ. 330 λς'.

26. Ἀπόκρισις Ἀναστασίου τοῦ Σιναΐτου εἰς τὸ «ἐάν τις ὁρίσῃ τι ἀγαθὸν μεθ' ὅρκου ποιῆσαι, οἷον ἐπί τινα χρόνον μὴ γεύσασθαι οἴνου ἢ νηστεῦσαι ἢ τῆς οἰκείας συγκοίτου ἀπέχεσθαι, εἶτα ἐκ ῥᾳθυμίας μὴ ἰσχύσας πληρῶσαι ὃ ἐπεχείρησε, τί ὀφείλει ποιῆσαι»; Φύλλ. $121^{α}$.

27. «Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ τῆς τοῦ ἀνθρώπου φύσεως», φ. $121^{α}$.

28. «Ἑτέρα εὐχή», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατός, ὁ διὰ τοὺς σοὺς οἰκτιρμούς», φ. $121^{β}$.

29. Ἀνεπίγραφον περὶ ἀγγέλων, οὗ ἡ ἀρχή· «Ἑκάστῳ ἔθνει ἐφεστάναι φησὶν ἡ γραφὴ ἄγγελον», φ. $121^{β}$.

30. «Κατάκρισις τεθεῖσα ὑπὸ τῶν πανευσεβῶν βασιλέων». Ἀρχ. «Οἶμαι δὲ τῶν κρίνειν λαχόντων», φ. $121^{β}$.

31. «Περὶ τῶν βαθμῶν τῆς συγγενείας· σύγγραμμα Μιχαὴλ νομοφύλακος τοῦ Χούμνου, τοῦ γεγονότος μητροπολίτου Θεσσαλονίκης». Ἀρχ. «Ἡ συγγένεια ὄνομά ἐστι κοινὸν καὶ καθολικόν», φ. 127. Κείμενον διμερές, οὗ τὸ δεύτερον τμῆμα περὶ κεκωλυμένων γάμων πραγματεύεται· τὸ δὲ πρῶτον μέρος ὑπάρχει κἀν τῷ Συντάγματι, τ. V σ. 397.

32. «Περὶ συγγενείας» ἀνώνυμον, οὗ ἡ ἀρχή· «Ἡ συγγένεια ὄνομά ἐστι γενικόν· διαιρεῖται δὲ εἰς τρία, εἰς ἀνιόντας» κτλ., φ. 128α.

33. «Διάγνωσις τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας (Θεοδώρου τοῦ Βαλσαμῶνος) χάριν τοῦ λαληθέντος συνοδικῶς ζητήματος περὶ τοῦ εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα δυσὶ δισεξαδέλφοις συνάπτεσθαι». Ἀρχ. «Οἱ τῶν Ἀθηναίων ἰθαγενεῖς», φ. 129β. Σύνταγμα τ. IV, σ. 556.

34. «Εἰς τὴν ἐπ' ὀλέθρῳ τοῦ κόσμου ἐπεισφρήσασαν ἤδη τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ποίμνῃ ἀθεμιτογαμίαν καὶ πυρὸς δίκην πυρπολοῦσαν τὰ σύμπαντα, ἥτις Θεοῦ χάριτι κανονικῶς καὶ νομίμως συνοδικῇ ἀποφάσει ἐκωλύθη καὶ ἀνῃρέθη κατὰ τὴν εἰκάδα πρώτην τοῦ φεβρουαρίου μηνὸς τῆς ι' ἰνδικτιῶνος, ἐν ἔτει ͵ςφνε'» [sic]. Ἀρχ. «Σισίνιος ἐλέῳ Θεοῦ κτλ. Καὶ ἰατρὸς ἡδίων ἐκεῖνος» κτλ., φ. 142. Σύνταγμα τ. V, σ. 11.

35. «Περὶ μνηστείας καὶ ὅτι οὐδέν ἐστι γάμου τε καὶ μνηστείας διάφορον εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐρρωμένου· μηνὶ ἀπριλίῳ κς' ἔτους ͵ςφοδ'». Ἀρχ. «Προκαθημένου Ἰωάννου τοῦ παναγιωτάτου δεσπότου», φ. 135. Σύνταγμα τ. V, σ. 51.

36. «Ἑτέρα συνοδικὴ σημείωσις περὶ τοῦ αὐτοῦ κεφαλαίου, μηνὶ μαρτίῳ ιθ' ἔτους ͵ςφοε'». Ἀρχ. «Προκαθημένου Ἰωάννου τοῦ ἁγιωτάτου», φ. 135β. Σύνταγμα τ. V, σ. 53.

35. «Χρυσόβουλλον τοῦ μακαρίτου βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου, ἐπικυροῦν τὰς συνοδικὰς ἀποφάσεις τὰς περὶ τῶν ἀθεμίτων γάμων καὶ τῆς μνηστείας γεγενημένας ἐπὶ Ἰωάννου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ Ξιφιλίνου, οὗ μετὰ θάνατον ἐπεβραβεύθη τῇ ἐκκλησίᾳ ὁ ὑποτεταγμένος λόγος». Ἀρχ. «Τὸ ταῖς μεγίσταις τῶν διοικήσεων», φ. 136. Zachariae, Novellae constitutiones, σ. 338.

36. «Τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Σισινίου ἐκ τοῦ συνοδικοῦ τόμου, διαλαμβάνον περὶ κεκωλυμένων συγγενικῶν προσώπων, ἀδελφῶν ἐξαδέλφων ἐγγόνων προεγγόνων καὶ τῶν ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἐπιτρόπων τε καὶ θετῶν υἱῶν καὶ λοιπῶν».

Ἀρχ. «Ἀπηρείσθω δύο ἀδελφούς», φ. 137. Ἀντεγράφη πρὸς τύποις ἔκδοσιν.

37. «Τοῦ σοφωτάτου ὑπάτου τῶν φιλοσόφων Ἰωάννου τοῦ Πεδιασίμου, σύνταγμα περὶ γάμων κεκωλυμένων καὶ ἀκωλύτων», οὗ ἡ ἀρχή· «Ἡ συγγένεια ἢ φύσει ἐστὶν ἢ θέσει» κτλ., φ. 137^{β}–140 καὶ 142. Πρβλ. Prochiron auctum ἐκδ. Zachariae, σ. 87, ἔνθα σημειοῦται ὅτι καὶ Witte τὸ αὐτὸ κείμενον ὑπέδειξεν ἐν τῇ Zeitschrift für Geschichte R. W. VIII, σ. 175. Τὸ ἱεροσολυμιτικὸν ἀπόγραφον ἐκτυπωθήσεται συντόμως.

38. Ἀνεπίγραφον περὶ χειροτονιῶν, οὗ ἡ ἀρχή· «Ἐν ταῖς ἡμέραις τοῦ μεγάλου Ἀθανασίου», φ. 142^{β}, 143, 145 καὶ 146. Ἀντεγράφη καὶ τοῦτο πρὸς τύποις ἔκδοσιν. Σημείωσαι προσέτι, ὅτι τὸ κράσπεδον τῆς ἐμπροσθίου σελίδος τοῦ 143-ου φύλλου πασχάλια περιέχει τῶν ἐτῶν ͵ςϡκ'—͵ςϡλδ' = 1412—1426.

39. «Ἀπὸ τῶν πρακτικῶν τῆς συνόδου». Ἀρχ. «Σημείωσαι ὅτι διαφορά ἐστι μεταθέσεως μεταβάσεως καὶ ἐπιβάσεως», φ. 146^{β}.

40. Σημείωσις τοῦ καλλιγράφου, φ. 146^{β}. «† Ἐγράφη καὶ ἐτελειώθη . . . . αὐγούστου μηνὸς . . . . ἰνδικτιῶνος, ἐν ἔτει ͵ς^{ω} ω^{ω} οη^{ω}». Αὐτόθι καὶ προσθῆκαί τινες· α') «Περὶ ἑνώσεως καὶ ποσαχῶς ἡ ἕνωσις». β') Ἐρωταποκρίσεις περὶ πίστεως. γ') Σημειώματα νομικά.

226. Τεῦχος ἐκ χάρτου, φύλλα περικλεῖον 244, μήκους μὲν 0,272, πλάτους δὲ 0,21· ἐγράφη δὲ τῇ ἕκτῃ καὶ δεκάτῃ (φ. 1 - 219) καὶ τῇ πέμπτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι (φ. 220 - 244). Ἦν δὲ πρότερον Χριστοφόρου τοῦ ἱερέως, ὥς φησι Παΐσιος ὁ Ἱεροσολύμων πατριάρχης, ὃς ἔνδον τῆς δευτέρας πινακίδος ἔγραψεν ὑπόμνημά τι περὶ τοῦ βιβλίου τούτου· Χριστόφορος δὲ ὕστερον ἀνέθηκε τὸν κώδικα τῷ πατριαρχικῷ ναῷ Κωνσταντίνου τοῦ μεγάλου, τῷ ἐν Ἱεροσολύμοις· ὅθεν αὖ χρόνων ἱκανῶν οἰχομένων ἐστάλη τὸ βιβλίον εἰς τὴν λαύραν Σάβα τοῦ ἡγιασμένου.

1. «Πίναξ τοῦ παρόντος θείου βιβλίου», φ. 1.

2. «Χριστέ, παράσχου τοῖς ἐμοῖς πόνοις χάριν, | Ἰωάννου

τάλανος τάχα καὶ θύτου» [1].—«Ἱππολύτου τοῦ μακαριωτάτου ἐπισκόπου Ῥώμης, λόγος περὶ τῆς συντελείας τοῦ κόσμου τούτου καὶ περὶ τοῦ Ἀντιχρίστου πῶς μέλλει βασιλεύειν ἐπὶ τῆς γῆς, καὶ εἰς τὴν δευτέραν παρουσίαν». Ἀρχ. «Ἐπειδὴ οἱ μακάριοι προφῆται», φ. 2. Migne τ. 10, σ. 904.

3. Σωφρονίου τοῦ ἀρχιεπισκόπου Ἱεροσολύμων «βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας». Ἀρχ. «Μυστήριον βασιλέως κρύπτειν», φ. 19. Migne τ. 87, σ. 3697.

4. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν Τελώνην καὶ εἰς τὸν Φαρισαῖον». Ἀρχ. «Ἄνθρωποι δύο ἀνέβησαν», φ. 34β.

5. Ἀθανασίου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας «λόγος περὶ τοῦ γενομένου θαύματος εἰς τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἄρατε τοὺς ὀφθαλμούς», φ. 37β. Migne τ. 28, σ. 805.


6. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Σήμερον ἐκ νεκρῶν ἐγειρόμενος Λάζαρος», φ. 40. Migne τ. 48, σ. 779.

7. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Ὥσπερ μήτηρ φιλότεκνος», φ. 43. Migne τ. 62, σ. 775.

8. Ἀνδρέου τοῦ Κρήτης ἀρχιεπισκόπου «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Λάζαρος τὸν παρόντα», φ. 45β. Migne τ. 97, σ. 960.

9. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν Ἡρώδην καὶ εἰς τὰ βρέφη», οὗ ἡ ἀρχή· «Ὥσπερ ἡλιακὸς πόλος», φ. 551 (ὅρα ἔμπροσθεν σελίδι 146)· μετὰ δὲ τὸ τέλος αὐτοῦ γέγραπται

[1] Μετὰ δὲ τὸ δίστιχον τοῦτο σταυρὸς ὑπάρχει τοιοῦτος



τοιαῦτα πάλιν σημεῖα (μετὰ σταυροῦ παρομοίου) καὶ ἐν ἄλλοις τοῦ βιβλίου τόποις ὑπάρχει.

τοῦτο· «λ'κλνβψβὼ ψβω ηʽηολχ.·. ηοθψγθω»=«ὁ πονητὴς τῆς βίβλου Βλάτζας».

10. Ἀνδρέου τοῦ Κρήτης ἀρχιεπισκόπου «λόγος εἰς τὴν ἱερὰν Κυριακὴν τῶν βαΐων», οὗ ἡ ἀρχή· «Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου», φ. 57. Migne τ. 97, σ. 985.

11. «Ὑπόμνημα εἰς τὸν μέγαν Βασίλειον περὶ τοῦ θαύματος τοῦ γενομένου ἐν τῷ ἁγίῳ αὐτοῦ βαπτίσματι». Ἀρχ. «Καταλαβόντες τὴν Ἱεροσολύμων πόλιν», φ. 61. Κείμενον ἀσημείωτον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

12. «Λεοντίου πρεσβυτέρου Ἱεροσολύμων, λόγος εἰς τὰ βαΐα καὶ εἰς τὴν ἔγερσιν τοῦ Λαζάρου». Ἀρχ. «Ἤδη τῆς δεσποτικῆς πανηγύρεως», φ. 65. Ἐπ' ὀνόματι τοῦ Χρυσοστόμου παρὰ τῷ Migne τ. 61, σ. 715.

13. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα καὶ περὶ τῶν ἀναξίως μεταλαμβανόντων». Ἀρχ. «Στυγνὴν τὴν ἐκκλησίαν ὁρῶ», φ. 68^{β}. Migne τ. 61, σ. 687.

14. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ τοῦ Ἅδου καὶ τοῦ Διαβόλου». Ἀρχ. «Τῆς χθὲς ὑποχέσεως», φ. 71^{β}. Migne τ. 62, σ. 721.

15. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν νιπτῆρα, ὅτε ὁ Σωτὴρ ἔνιψε τοὺς πόδας τῶν ἰδίων μαθητῶν». Ἀρχ. «Ἔλεον Θεοῦ καὶ φιλανθρωπίαν», φ. 74. Migne τ. 64, σ. 1345: spuria et praetermissa.

16. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ τῆς παραδόσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μεγάλου Θεοῦ, καὶ εἰς τὸν σταυρόν». Ἀρχ. «Δεῦρο λοιπὸν υἱέ μου», φ. 77. Λόγος ἀσημείωτος ἐν τοῖς καταλόγοις τῶν Χρυσοστόμου πονημάτων.

17. Ἐπιφανίου τοῦ Κύπρου «λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου» κτλ., οὗ ἡ ἀρχή· «Τί τοῦτο σήμερον», φ. 84. Migne τ. 43, σ. 440.

18. Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς τὸ ἅγιον πάσχα καὶ εἰς τὴν βραδυτῆτα» Ἀρχ. «Ἀναστάσεως ἡμέρα», φ. 92^{β}. Migne τ. 35, σ. 396.

19. Γρηγορίου τοῦ Θεολόγου, «λόγος τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ πάσχα». Ἀρχ. «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι», φ. 94β. Migne τ. 36, σ. 624.

20. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἤκουσες ἀρτίως τοῦ δεσπότου», φ. 99β. Λόγος ἀμφιβαλλόμενος. Ὅρα Migne τ. 64, σ. 1355.

21. Ἰωάννου τοῦ Δαμασκηνοῦ «λόγος εἰς τὴν ὑπερένδοξον μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Δεῦτε πανηγυρίσωμεν», φ. 101β. Migne τ. 96, σ. 545.

22. Γρηγορίου τοῦ Θεολόγου, «σημασία εἰς τὸν Ἰεζεκιήλ». Ἀρχ. «Νομίζομεν τὸν ἄνθρωπον εἶναι», φ. 108β. Migne τ. 36, σ. 665.

23. «Βίος ἐν συντόμῳ τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐφροσύνου τοῦ μαγείρου». Ἀρχ. «Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν», φ. 110. Κείμενον ἀνέκδοτον, ὅπερ ἐν παραφράσει βλέπε παρὰ τῷ Νικοδήμῳ, Συναξαρ. τ. I, σ. 33. Ἀντίγραφα δὲ τοῦ αὐτοῦ βίου καταγράφεται καὶ παρὰ τῷ Coxe (Catal. cod. Bodl. σ. 254, 445, 707, 816) καὶ παρὰ τῷ Matthaei (Accurata cod. Mosqu. notitia, σ. 93 καὶ 227).

24. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ὄρχησιν τῆς Ἡρωδιάδος» κτλ. Ἀρχ. «Ὥσπερ τις ἀνὴρ φιλέρημος», φ. 112. Migne τ. 59, σ. 521.

25. «Τοῦ αὐτοῦ λόγος περὶ ἀγαθῶν γυναικῶν καὶ περὶ πονηρῶν καὶ εἰς τὴν ἀποτομὴν τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Πάλιν Ἡρωδιὰς μαίνεται», φ. 115. Migne τ. 59, σ. 485.

26. Ἀνδρέου τοῦ Κρήτης ἀρχιεπισκόπου «λόγος εἰς τὴν ἀποτομὴν τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Πηδᾷ καὶ γῆρας», φ. 119. Migne τ. 97, σ. 1109.

27. «Ἐκ τοῦ Γεροντικοῦ λόγος ὠφέλιμος», οὗ ἡ ἀρχή· «Φύγωμεν ἀδελφοὶ τὴν μνησικακίαν», φ. 128β.

28. Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα μαρτύρων τῶν ἐν

Σεβαστείᾳ. Ἀρχ. «Κατὰ τοὺς καιροὺς Λικιννίου», φ. 129. Ὅρα ἔμπροσθεν σελίδι 66.

29. Μαρτύριον τῆς ἁγίας Ἀναστασίας τῆς Ῥωμαίας, οὗ ἡ ἀρχή· «Κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ», φ. 133. Κείμενον ἀνέκδοτον, οὗπερ ἀπόγραφον ὑπάρχει καὶ ἐν Μόσχᾳ. Matthaei, Accurata cod. Mosq. notitia, σ. 106.

30. «Ἱστορία Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, εἰς τὴν σύλληψιν τῆς ἁγίας Ἄννης, μητρὸς τῆς ἁγίας Θεοτόκου». Ἀρχ. «Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν», φ. 136β. Tischendorf, Evangelia apocrypha, Lipsiae 1876, σ. 1 κέ.

31. Ἰωάννου τοῦ Δαμασκηνοῦ «ἐγκώμιον εἰς τὸ γενέθλιον τῆς ὑπεραγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἀρχ. «Δεῦτε πάντα τὰ ἔθνη», φ. 143β. Migne τ. 96, σ. 661.

32. Γερμανοῦ Κωνσταντινουπόλεως «ἐγκώμιον εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ὅτε προσηνέχθη ὑπὸ τῶν γονέων αὐτῆς εἰς τὰ ἅγια τῶν ἁγίων». Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἑτέρα πανήγυρις», φ. 148. Migne τ. 98, σ. 309.

33. Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου «λόγος εἰς τὴν Θεοτόκον καὶ εἰς τὴν Ἄνναν καὶ εἰς τὸν Συμεών· τῇ ἡμέρᾳ τῆς ὑπαπαντῆς». Ἀρχ. «Πολλοὶ τῶν μεγάλων ἀνθρώπων», φ. 151. Migne τ. 39, σ. 44.

34. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον εἰς τὸν ἅγιον ἀπόστολον εὐαγγελιστὴν Ἰωάννην τὸν Θεολόγον». Ἀρχ. «Πάλιν ἡμῖν ἐξ οὐρανοῦ ἐπεδήμησεν ὁ μέγας καὶ μόνος θεολόγος Ἰωάννης», φ. 155β. Ἱεροσολ. Βιβλ. Ι, σ. 23 καὶ 231.

35. «Βίος Ἰωάννου μοναχοῦ τοῦ ἐπικληθέντος Καλυβίτου». Ἀρχ. «Βίον καλὸν καὶ ἀμόλυντον», φ. 158. Ἱεροσολυμ. Βιβλιοθ. τ. Ι, σ. 286, 456.

36. Ἐφραὶμ τοῦ Σύρου «λόγος εἰς τὸν ὅσιον Ἀνδρόνικον καὶ εἰς τὴν σύμβιον αὐτοῦ Ἀθανασίαν». Ἀρχ. «Ἀκούσατε οἱ πλούσιοι», φ. 164. Κείμενον ἀμνημόνευτον ὑπὸ τοῦ Φαβρικίου, Bibl. Graeca VIII, σ. 226-247. X, σ. 196.

37. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν

τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια», φ. 174β. Migne τ. 50, σ. 791.

38. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος δεύτερος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Βασιλικῶν μυστηρίων ἑορτήν», φ. 177. Migne τ. 60, σ. 755.

39. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, συνταχθεὶς κατ' ἀλφάβητον. Ἀρχ. «Τῆς παρούσης τιμίας καὶ βασιλικῆς», φ. 180. Migne τ. 64, σ. 1409: spuria et ideo a Savilio omissa.

40. Ἀθανασίου τοῦ μεγάλου «λόγος εἰς τὸ γενέθλιον τοῦ τιμίου Προδρόμου καὶ εἰς τὴν Ἐλισάβετ καὶ εἰς τὸν εὐαγγελισμόν». Ἀρχ. «Χώραν μὲν ἀποχερσωθεῖσαν», φ. 187β (Migne τ. 28, σ. 905)· μετὰ δὲ τὸ τέλος ὁ βιβλιογράφος ἐσημειώσατο τοῦτο· «῾β ξὲν υεϟͲ ῾β ζͲθτθωθ ψ῾βν ἤϟηολν ψθ΄χψβν· ωθκ΄βωεψθϟ φέχ· πθϟ ζεν΄βωεψθϟ πλ΄νϟω» = «Ἡ μὲν χεὶρ ἡ γράψασα τὴν βίβλον ταύτην σαπήσεται φεῦ καὶ γενήσεται κόνις».

41. Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς τὴν ἡμέραν τῶν ἁγίων Θεοφανείων», οὗ ἡ ἀρχή· «Πάλιν Ἰησοῦς ὁ ἐμός», φ. 190β. Migne τ. 36, σ. 336.

42. Ἐπιφανίου τοῦ ἀρχιεπισκόπου Κύπρου, «λόγος ἐγκωμιαστικὸς εἰς τὸν μέγαν Νικόλαον», οὗ ἡ ἀρχή· «Ἄνθρωπε τοῦ Θεοῦ», φ. 197β. Ἐπ' ὀνόματι Ἀνδρέου τοῦ Κρήτης ἀρχιεπισκόπου παρὰ τῷ Migne τ. 97, σ. 1192.

43. «Ὑπόμνημα εἰς τὴν πάνσεπτον κοίμησιν τῆς πανυμνήτου Θεοτόκου». Ἀρχ. «Ἄρτι τῆς δεσποτικῆς οἰκονομίας», φ. 202. Κείμενον ἀσημείωτον παρὰ τῷ Φαβρικίῳ.

44. Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐγκώμιον εἰς τὴν κοίμησιν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Μνήμη δικαίων», φ. 204. Migne τ. 96, σ. 700.

35. «Τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου, λόγος ἱστορικὸς εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας».

Ἀρχ. «Τῆς ἁγίας ἐνδόξου Θεοτόκου», φ. 213. Tischendorf, Apocalypses apocryphae, σ. 95.

46. «Ἐξήγησις τοῦ Πάτερ ἡμῶν» γενομένη παρ' αὐτοῦ τοῦ Χριστοῦ πρὸς τὸν ἀπόστολον Πέτρον. Κείμενον ἀπόκρυφον, οὗ ἡ ἀρχή· «Καὶ ἀκούσαντες οἱ μαθηταὶ διηπόρουν πρὸς ἀλλήλους ὑπὲρ τῆς εὐχῆς ταύτης», φ. 218β—219α.

47. Μαρτύριον τοῦ μεγαλομάρτυρος Μηνᾶ τοῦ Αἰγυπτίου, οὗ ἡ ἀρχή· «Ἔτους δευτέρου τῆς βασιλείας Γαΐου», φ. 220. Κείμενον ἀνέκδοτον, οὗπερ ἀπόγραφα κἀν τοῖς ἑξῆς ὅρα βιβλίοις. Lambecii, Comment. de aug. bibl. liber VIII, σ. 269. Coxe, Catal. bibl. Bodl. σ. 254, 551. Ἀ Π. Κεραμέως, Κατάλογος τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ βιβλιοθήκης, σ. 8.

48. «Τιμοθέου ἀρχιεπισκόπου Ἀλεξανδρείας, περὶ τῶν θαυμάτων τοῦ ἁγίου μάρτυρος Μηνᾶ». Ἀρχ. «Ἄνθρωπός τις ἦν ἐκ τῆς χώρας τῶν Ἰσαύρων», φ. 222. Δεύτερον δὲ ἀντίγραφον τοῦ τύποις ἀνεκδότου τούτου κειμένου εὗρον ἐν Σμύρνῃ. Κατάλογος τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ βιβλιοθήκης τῆς εὐαγγελικῆς σχολῆς, σ. 8.

49. «Διήγησις εἰς τὸν θρῆνον Ἱερεμίου τοῦ προφήτου περὶ τῆς Ἱερουσαλὴμ καὶ εἰς τὴν ἀνάλωσιν αὐτῆς, καὶ περὶ τῆς ἐκστάσεως Ἀβιμέλεχ». Ἀρχ. «Ἱερεμίας οὗτος ὁ μέγας προφήτης», φ. 226. Hardt, Catal. cod. MSS graecorum bibl. regiae Bavaricae, τ. III, σ. 63.

50. «Θαῦμα γενόμενον ὑπὸ τῶν ἁγίων τοῦ Χριστοῦ ὁμολογητῶν Γουρία Σαμωνᾶ καὶ Ἀβίβου εἰς τὴν κόρην Εὐφημίαν». Ἀρχ. «Νῦν καιρὸς εὔκαιρος», φ. 230. Ὅρα ἔμπροσθεν, σελίδι 63.

51. «Θαῦμα γενόμενον ἐν Κωνσταντινουπόλει, ἐν ταῖς ἡμέραις τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου τοῦ μεγάλου». Ἀρχ. «Ἐν ταῖς ἡμέραις Θεοδοσίου τοῦ βασιλέως ἦν τις ἀνὴρ ἐν Κωνσταντινουπόλει ἐκ τῶν ἀρχαίων γερόντων», φ. 235.

52. «Διήγησις περὶ τῶν τριῶν γυναικῶν τῶν φανερωθεισῶν ἐπὶ τῶν ἡμερῶν βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου». Ἀρχ. «Διηγήσατό τις λέγων ὅτι ἐπὶ τῆς βασιλείας», φ. 237β.

53. «Βίος τοῦ ὁσίου Παύλου τοῦ ἁπλοῦ», οὗ ἡ ἀρχή· «Διηγεῖτο ὁ δοῦλος τοῦ Θεοῦ Ἱέραξ», φ. 239.

54. Μαρτύριον τοῦ μεγαλομάρτυρος Ἰακώβου τοῦ Πέρσου. Ἀρχ. «Κατὰ τοὺς καιροὺς ἐκείνους ὁ μακάριος Ἰάκωβος», φ. 240β. Κείμενον ἀσημείωτον παρὰ τῷ Φαβρικίῳ.

55. Μαρτύριον τῆς μεγαλομάρτυρος Βαρβάρας, οὗ ἡ ἀρχή· «Κατ' ἐκείνους τοὺς καιροὺς τοῦ ἀσεβεστάτου καὶ τυράννου», φ. 244 (Fabric. X, σ. 203)· τὸ τέλος ἐλλείπει τῷ κώδικι, τοῦ μαρτυρίου λήγοντος ἁπλῶς εἰς τὰς λέξεις ταύτας· «τὸ ξίφος τοῦ σφάξαι αὐτήν· προσηύξατο δὲ ἡ ἁγία καὶ ἐσχίσθη [ἡ πέ]τρα καὶ ἐδέξατο αὐτὴν μέσον».

227. Ἀνθολόγιον ἐκκλησιαστικῶν ἀκολουθιῶν, ἀκέφαλόν τε καὶ ἀτελές, ἔχον ἤδη φύλλα χάρτου 194, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα πᾶσαν δίστηλον· καὶ μήκους μὲν ἔστι 0,285, πλάτους δὲ 0,205· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος. Καὶ ἐν μὲν τῇ ἀρχῇ κεῖται μέρος ἀκολουθίας ᾀσματικῆς εἰς τοὺς τεσσαράκοντα μάρτυρας (9 μαρτίου), ἀρχόμενον ὧδε· «ἀλλ' αὐτοῦ τὸ θεομάχον στόμα τοῖς κατὰ τῶν μαρτύρων λίθοις βάλλεται» κτλ. Ἐν δὲ τῷ τελευταίῳ φύλλῳ γέγραπται τίτλος, οὗ ἡ ἐπιγραφή· «αἱ εὐχαὶ τῆς λιτῆς, λεγόμεναι εἰς ἀγρυπνίαν». Ὅσαι δὲ τῶν ἀκολουθιῶν ὑπάρχουσι τέλειαι, καταγράφονται νῦν ὧδε· α') Μαρτίου κε' τοῦ εὐαγγελισμοῦ τῆς Θεοτόκου, φ. 5β.—β') Ἀπριλίου κγ' τοῦ μεγαλομάρτυρος Γεωργίου, φ. 17.—γ') Ἀπριλίου κε' τοῦ ἀποστόλου Μάρκου, φ. 30β.—δ') Μαΐου β' τοῦ μεγάλου Ἀθανασίου, φ. 33β.—ε') Μαΐου η' Ἰωάννου τοῦ θεολόγου καὶ Ἀρσενίου τοῦ μεγάλου, φ. 36β.—ς') Μαΐου κα' Κωνσταντίνου καὶ Ἑλένης, φ. 43β.—ζ') Μαΐου κε' τῆς τρίτης εὑρέσεως τῆς τοῦ τιμίου Προδρόμου κεφαλῆς, φ. 46β—η') Ἰουνίου η' τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου, φ. 50β..—θ') Ἰουνίου δ' τοῦ προφήτου Ἐλισσαίου καὶ Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως, φ. 54.—ι') Ἰουνίου κδ' τὸ γενέσιον τοῦ Προδρόμου, φ. 59.—ια') Ἰουνίου κθ' τῶν ἀποστόλων Πέτρου καὶ Παύλου, φ. 68.—ιβ') Ἰουνίου λ' τῆς συνάξεως τῶν δώδεκ'

ἀποστόλων, φ. 76β.—ιγ') Ἰουλίου α' τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, φ. 87.—ιδ') Ἰουλίου β' τῆς καταθέσεως τῆς τιμίας ἐσθῆτος τῆς Θεοτόκου, φ. 87.—ιε') Ἰουλίου ζ' τοῦ ὁσίου Θωμᾶ τοῦ ἐν τῷ Μαλεῷ καὶ τοῦ ὁσίου Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι, φ. 90.—ις') Ἰουλίου η' τοῦ μεγαλομάρτυρος Προκοπίου, φ. 95.—ιζ') Ἰουλίου ιγ' τῆς συνάξεως τοῦ ἀρχαγγέλου Γαβριὴλ καὶ τοῦ ὁσίου Στεφάνου τοῦ Σαβαΐτου, φ. 99β.—ιη') Ἰουλίου ιε' τῶν ἁγίων Κηρύκου καὶ Ἰουλίττης, φ. 103.—ιθ') Ἰουλίου ις' τῆς συνάξεως τῶν ς' οἰκουμενικῶν συνόδων, τοῦ μάρτυρος Ἀθηνογένους καὶ τῶν ι' μαθητῶν αὐτοῦ, φ. 107· ἔστι δὲ ὁ περὶ τῶν συνόδων ᾀσματικὸς κανὼν ποίημα Γερμανοῦ Κωνσταντινουπόλεως.—κ') Ἰουλίου ιζ' τῆς μάρτυρος Μαρίνης, φ. 110β.—κα') Ἰουλίου κ' τοῦ προφήτου Ἠλιοῦ, φ. 114β· ὁ δὲ κανών, ὅς ἀκροστιχίδα φέρει τὸ "αἰνῶ χορεύων Ἠλιοῦ τὰ θαύματα", ποίημα ὑπάρχει τοῦ μοναχοῦ Ἰωάννου.—κβ') Ἰουλίου κβ' Μαρίας τῆς Μαγδαληνῆς καὶ Φωκᾶ τοῦ ἱερομάρτυρος.—κγ') Ἰουλίου κε' τῆς κοιμήσεως Ἄννης, φ. 128β.—κδ') Ἰουλίου κς' τῶν ἁγίων Ἑρμολάου καὶ Παρασκευῆς, φ. 134β.—κε') Ἰουλίου κζ' τοῦ μάρτυρος Παντελεήμονος, φ. 140β.—κς') Αὐγούστου α' τῶν ἁγίων Μακκαβαίων, φ. 145β.—κζ') Αὐγ. β' τῆς ἀνακομιδῆς τῶν λειψάνων Στεφάνου τοῦ πρωτομάρτυρος, φ. 151β.—κη') Αὐγ. ς' τῆς μεταμορφώσεως τοῦ Κυρίου, φ. 156β.—κθ') Αὐγ. ζ' τοῦ μάρτυρος Δομετίου, φ. 167β.—λ') Αὐγ. ιδ' τῆς κοιμήσεως τῆς Θεοτόκου, φ. 168β.—λα') Αὐγ. ις' τῆς ἐξ Ἐδέσσης ἀνακομιδῆς τοῦ τιμίου μανδηλίου, ἔτι δὲ τοῦ μάρτυρος Διομήδους, φ. 178.—λβ') Αὐγ. κθ' τῆς ἀποτομῆς τοῦ Προδρόμου, φ. 181β.—λγ') Αὐγ. λ' τῶν πατριαρχῶν Κωνσταντινουπόλεως Ἀλεξάνδρου Ἰωάννου καὶ Παύλου τοῦ νέου, φ. 190.—λδ') Αὐγ. λα' τῆς καταθέσεως τῆς τιμίας ζώνης τῆς Θεοτόκου.

228. Τεῦχος ἐκ φύλλων χάρτου βαμβακεροῦ 406, ὧν ἄγραφα μένει τάδε: 195β—198· εἶχε δὲ πρότερον ἔτι φύλλα τέσσαρα, ἅπερ ἔκειτο μετὰ τὸ νῦν 174-ον φύλλον. Καὶ ταῦτα μὲν ὡς εἰκὸς ἤδη κοσμεῖ τὴν ἐν Πετρουπόλει συλλογὴν Πορφυ-

ρίου τοῦ Οὐσπένσκη (ἀριθ. 432. Отчетъ Имп. Публ. Библ. за 1883 г., σ. 150)· ἔχει δὲ τὸ τεῦχος κατὰ σελίδα κείμενον ἐκ μιᾶς στήλης ἀριθμούσης γραμμὰς 30 ἢ 31 (0,282 × 0,19 = 0,20 × 0,12.

1. Μηναῖον τοῦ Νοεμβρίου μηνός (φ. 1—195), ἔχον ὑπὸ τὸ τέλος ἐρυθροῖς γράμμασι τὸ σημείωμα τοῦτο· «Ἐτελειώθ(η) τῶ παρὸν μηναίον μηνὶ ἰουλίω κε': ἐνέτει ,ςϠι ἰν(δικτιῶν)ος ι' ἡμέρα γ' (1402): — Δωρόθεος ἐλέω Θ(εο)ῦ πατριάρχης Ἱεροσολύμων».

2. Μηναῖον τοῦ Δεκεμβρίου μηνός (φ. 199—405), ἔχον ὑπὸ τὸ τέλος ἐρυθροῖς γράμμασι τὸ σημείωμα τοῦτο· «Ἐτελειώθη ὁ παρὸν δεκέμβριος μήν· ἐνέτει ,ςϠθ ἰν(δικτιῶν)ος θης: μηνὶ αὐγούστω: κε (1401):—Δωρόθεος ἐλέω Θ(εο)ῦ πριάρχης Ἱεροσολύμων· πάσης Παλαιστίνης· Συρΐας Ἀραβίας· παίραν Ἰορδάνου· ἁγίας Σηῶν καὶ Κανὰ τῆς Γαλλιλαίας». Καὶ πάλιν· «✝ Ἐσταχώθ(η) ὑ παροῦσα αὕτη ἡ βίβλος διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου Σίμονος· τάχα καὶ ἱερομονάχου ποτὲ ἐν τὸ Χαλήλη· καὶ ἡ ἀναγινώσκοντες πρες καὶ ἀδελφοὶ εὔχεσθαι ὑπὲρ ἐμοῦ διὰ τὸν κν'. Ενέτει ,ςϠια ὠκτοβρ(ίου) η'» (1402). Σημειωτέον ἔτι, ὅτι τοῦ βιβλίου προτέτακται φύλλα τρία μὴ γεγραμμένα, ὧν τὸ τρίτον ἔχει τόδε μόνον· «✝ Ἐτούτον τὸ μειναῖον ἐστὶν τοῦ Ἁγίου Τάφου. ✝ ὁ πατριάρχης Γερμανὸς Ἱεροσολύμων»· καὶ πάλιν ὅτι τὸ 406-ον φύλλον ἔχει σημείωμα τοῦ Δωροθέου πατριάρχου, γεγραμμένον ἀραβικοῖς γράμμασιν.

229. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, γεγραμμένον ἔτει 1395 φ καὶ φύλλα περιέχον 424, μήκους μὲν 0,28, πλάτους δὲ 0,185· πρότερον δὲ φύλλα περιπλέον ἠρίθμει δύο, ἅπερ ἔκειτο μετὰ τὸ νῦν 313-ον φύλλον. Καὶ ταῦτα μὲν ὡς εἰκὸς κοσμεῖ νῦν τὴν ἐν Πετρουπόλει συλλογὴν Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 431. Отчетъ Импер. Публ. Библ. за 1883 годъ, σ. 150)· κείμενον δ' ἔχει τὸ τεῦχος ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἐκ δύο στηλῶν, εἴκοσι καὶ ὀκτὼ γραμμὰς ἀριθμούσης ἑκατέρας (0,208 × 0,121)· ἔχει δὲ καὶ κοσμήματα παρεμφερῆ πρὸς τὸ

*

γράμμα Π, καί τινα πάλιν τὸ σχῆμα ταινιοειδῆ τε καὶ κεχρωματισμένα· φύλλα δὲ ἄγραφα τάδ' ἐστι: 283 καὶ 422β—424.

1. Μηναῖον τοῦ Ἰανουαρίου μηνός (φ. 1-282), ἔχον ὑπὸ τὸ τέλος ἐρυθροῖς γράμμασι τὸ σημείωμα τόδε· «Τέλος εἴληφεν ὁ ἰαννουάριος μὴν· τοῦ ἁγίου καὶ ζωοδόχ|ου Τάφου τοῦ Κ(υρίο)υ δϊασυνεργείας τὲ καὶ ἐξόδου καὶ πολλῆς | ἐπιμελείας τοῦ παναγϊωτάτου ἡμῶν δεσπότου πρς καὶ πρϊ|ἄρχου τῆς ἁγίας πόλεως Ἱεροσολύμων χυροῦ Δωροθέου· | τοῦ Ἀγϊονόρεῖτω εἶτα καὶ Ἀγίωσαβίτου: ✝ | —Γραφεὺς διὰ χειρὸς ἐμοῦ ἁμαρτωλοῦ Ἰακώβου καὶ | οἱ ἀναγινώσκωντες εἰς αὐτ(ὸ) πρες καὶ ἀδελφοὶ εὔχεσθαί μου | διὰ τὸν κν' ὅπως λυτρωθῶ τῆς αἰωνίου κολάσεως· διὰ | τῶν ἁγίων σας εὐχῶν· ὅτϊ μεγάλος ἡμάρτικα τῶ κω' ὡς οὐ|δεῖς γεγενημένος ἐπὶ τῆς γῆς: ✝ ἔτους ,ςΤΡιδ: | ἐν μη(νὶ) σεπτεβρίω εἰς τας λ: ἡμέρα τοῦ ἁγίου Γρηγορίου | τῆς μ(ε)γ(ά)λ(ης) Ἀρμενίας: ἡμέρα δ: καὶ τὸν θν δόξα σοι: ✝». Τὸ ἰσότυπον τοῦ σημειώματος τούτου ἴδε ἐν τῷ προσκειμένῳ πίνακι.

2. Μηναῖον τοῦ Φεβρουαρίου μηνός (φ. 284 - 422α), ἔχον ὑπὸ τὸ τέλος ἃ νῦν ἀπαραλλάκτως ἀντιγράφω· «Οἶδον γάρ, οἶδον τὸ ποθούμενον τέλος: δόξα σοι ὁ θσ' καὶ πάλιν ἐρῶ δόξα σοι: ✝ — Ἐτελειώθ(η) τὸ παρὸν δὴμηναίον, ἰαννουάριος καὶ φευρουἅριος τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου τοῦ χυ', διασυνεργείας τὲ καὶ ἐξόδου καὶ πολλῆς ἐπιμελείας τοῦ παναγιωτάτου πρς', καὶ πριἄρχου τῆς ἁγίας πόλεως, Ἱεροσολύμων χυροῦ Δωροθέου τοῦ Ἀγιονόρείτ(ου), εἶτα, τῶ Ἀγιωσαβίτου: καὶ ἐγράφη διαχειρὸς, κἀμοῦ ἁμαρτωλοῦ καὶ ταπεινοῦ Ἰάκώβου, καὶ οἱ ἀναγινώσκοντες εἰς αὐτὸν πρες καὶ ἀδελφοί, εὔχεσθαι ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίω τῆς πάσης διὰ τὸν κν': ἐνορθωθεῖτ καὶ μὴ καταράσθαι ὅπως λυτρωθῶ τῆς αἰωνίου κολάσεως· διὰ τῶν ἁγίων σας εὐχῶν ὅτι μεγάλος ἡμάρτικα τῶ κω', ὡς οὐδῆς γεγενημένος ἐπὶ τῆς γῆς, δόξα τὸ δόντι τέλος ἀμὴν, καὶ τὸν θεὸν δόξα σοι.


Θείου νοητοῦ ἄνθρακας πυρὸς φέρω: ✝
Κατάφλέγοντα δαιμόνων πανττευχείαν: ✝
Κρυμῶν λύοντας ψυχικῶν παθημάτων:

[illegible] τὸ [illegible] καὶ [illegible]
[illegible] τοῦ ἔτους 283 καὶ 424.
[illegible] (φ. 1-28[illegible]) [illegible]
[illegible]
[illegible] καὶ [illegible] Τ[illegible]
[illegible] καὶ [illegible] καὶ πολλῆς ἐπιμελείας [illegible]
[illegible] δεσπότου [illegible] τῆς ἁγίας [illegible]
Ἱεροσολύμων [illegible] Ἀρχιμανδρίτου εἶτα καὶ [illegible]
[illegible] Ἠ[illegible] χεῖρας [illegible] ἁμαρτωλοῦ [illegible]
[illegible] οἱ [illegible] εἰς [illegible] πρὸς καὶ [illegible]
[illegible] ὅπως λυτρωθῶ τῆς αἰωνίου κολάσεως [illegible]
[illegible] μεγάλως ἥμαρτηκα τῷ Κῷ [illegible]
[illegible] + [illegible]
[illegible] Γρηγορίου [illegible] τῆς [illegible]
[illegible] δόξα σοι [illegible]. Τὸ [illegible]
[illegible] ἐν τῷ προσκειμένῳ [illegible].
2. [illegible] Φ[illegible] (φ. 284 - [illegible]).
[illegible] ἀπαραλλάκτως [illegible]
[illegible] τέλος· δόξα σοι ὁ Θς [illegible]
[illegible] (Τ[illegible]) τὸ [illegible] ἁμαρτωλοῦ [illegible]
[illegible] καὶ [illegible] Τ[illegible]
[illegible] καὶ πολλῆς ἐπιμελείας [illegible]
[illegible] πόλεως Ἱεροσολύμων [illegible]
[illegible] εἶτα, τῷ Ἀρχιμανδρίτου καὶ [illegible]
[illegible] καὶ ταπεινοῦ [illegible]
[illegible] εἰς [illegible] καὶ ἀδελφοί, εὔχεσθέ [illegible]
[illegible] τῆς [illegible] διὰ τὸν Κν [illegible]
[illegible] λυτρωθῶ τῆς αἰωνίου κολάσεως [illegible]
[illegible] μεγάλως ἥμαρτηκα τῷ Κῷ, ὡς [illegible]
[illegible] τῷ δόντι τέλος [illegible] καὶ [illegible]

[illegible]
[illegible]
[illegible]

Σελ. 356.
Κῶδ. Σαβαϊτικὸς 220, ἔτους 1405, φ. 282.

но цензурою 15 Января 1892 г. С. П. Б.		Фототипія Н. Индутнаго. Сергіевская ул., №20.



Σελ. 356-357.
Κώδ. Σαβαΐτικος 229, έτους 1405, φ. 421β-422.

Дозволено цензурою 15 Января 1892 г. С.П.Б. Фототипія Н. Индутнаго. Сергіевская ул. №20.


UNIV.
OF
MICH.

Ὀθοῦντας ἀχλὺν, ἀπρεπῶν νοημάτων:
Καὶ φῶς βροτείαν ἐντιθέντὰς καρδίας: +
Μηναίων γὰρ εἰμὴ γράμμα, εἰς κεχριμένος φίλαι:
Μνήσθητι κἀμοῦ, ὁ ταῦτα ἐντυγχάνω(ν): +
Ἰακώβου πλήμωνι, καὶ λαουτρόπω:
Ὅπω(ς) τύχοιμι ψυχικῆς σωτηρίας:
Ἐν τῆ φοβερὰ ἐτάσεως ἡμέρα:
Ὅταν ὁ Χ(ριστὸ)ς ἥξει, τοῦ κρίναι πάντας:
Χ(ριστ)ὲ παράσχοι, τῶ κτισαμένω χάριν:
Ὀφλημάτων λύτρωσιν τῶ γεγραφῶτι:
Τῶ ἀναγινώσκοντι ἔλλαμψιν θείαν:
Ἡ χεὶρ μὲν ἡ γράψασα, σάπη τῶ τάφω:
Ἡ γραφὴ δὲ μένη, εἰς αἰῶνας ἀπεράντους:
Ὥσπερ ξένη χαίρωντες ἰδεῖν π(ατ)ρίδα:
Οὕτως καὶ οἱ γράφοντες βιβλίου τέλος:
Ἄνακτε Χ(ριστ)ε πατροκόλπιον φάος:
Μήδων τοῦ π(ατ)ρ(ὸ)ς, καὶ πρύτανι τῶν ὅλων:
Σὲ ἐκδυσωπῶ τὸν παναχτὶ δυνάμει:
Σκέπε φρούρει φύλαττε τὸν σὸν οἰκέτην: +
Τὸν καὶ ξίσαντα τὴν θείαν δέλτον ταύτην:
Ὁ τὴνδὲ κρατῶν δέλτον π(άτ)ερ, καὶ τὰς ἐν αὐτῆ λιτὰς
Καὶ εὐχὰς πρὸς φέρων τῶ δεσπότη:
Μέμνησο κἀμοῦ, τοῦ γράψαντος συνάμα χρωμ(έν)ω:
Τὸ τέρμα δεδωρκῶς, τῶν τῆςδὲ βίβλου:
Γεγηθα λιτὰς ἀναπέμψαι, Χ(ριστ)ῶ τῶ τελεστῆ, τῶν
Ἀγαθῶν πάντων: +

Ἐγράφη εἰς τὰ Ἱεροσόλυμα, ἐντὸς τοῦ σχολίου τὸν ἐ[illegible]αβέστατον πρα ἡμῶν κυροῦ παπᾶ Σάδεκα, κληρικὸς τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου τοῦ χυ: + ἔτους ,ςωλδ, ἐν μηνὶ νοέμβρίω: εἰς τὰς: λ': ἡμέρα δευτέρα, ὥρας θ': ἰν(δικτιῶν)ος» [sic].

230. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, γραφὲν ἔτει 1330-ῷ, φύλλα δὲ περικλεῖον 483, ὧν τὰ τέσσαρα πρῶτα περὶ τὸ τέλος τοῦ ὀκτωκαιδεκάτου αἰῶνος προσετέθη δι' ἀναπλήρωσιν ἰσαρίθμων φύλλων, ἅπερ ἔλειπε τότε. Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν 24 (0,272 × 0,185 = 0,192 × 0,13). Περιεχόμενα·

1. «Εὐχὴ Ἰωάννου τοῦ Χρυσοστόμου», ἧς ἡ ἀρχή· «Κύριε Ἰησοῦ Χριστέ, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμούς», φ. 1.

2. Ἐφραὶμ τοῦ Σύρου διάφορα πονημάτια, ὧν πρώτιστον ὑπάρχει τόδε· «Ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν περὶ ὑπομονῆς», ἧς ἡ ἀρχή· «Πολλὰ παραινέσαντες», φ. 2. Assem. II, σ. 186.

3. «Περὶ ἀρετῆς πρὸς νεώτερον μοναχόν». Ἀρχ. «Ὁ Κύριος ἐπὶ σωτηρίᾳ», φ. 7β. Assem. τ. I, σ. 201.

4. «Κεφάλαια δέκα περὶ ἀρετῆς», ὧν ἡ ἀρχή· «Ἀναγκαῖον δὲ ἡγησάμην», φ. 20β. Assem. I, σ. 216.

5. Λόγος εἰς τὸ Πρόσεχε σεαυτῷ. Ἀρχ. «Ὀφειλέται ἐσμὲν ἀγαπητοί», φ. 33. Assem. I, σ. 230.

6. «Ὅτι οὐ δεῖ γελᾶν καὶ μετεωρίζεσθαι, ἀλλὰ κλαίειν καὶ πενθεῖν ἑαυτούς». Ἀρχ. «Ἀρχὴ καταστροφῆς ψυχῆς», φ. 55. Assemani I, σ. 254.

7. «Συμβουλία περὶ πνευματικοῦ βίου πρὸς Νεόφυτον μοναχόν· κεφάλαια ϟγ'», ὧν ἡ ἀρχή· «Ἐπαίνεσά σου τὴν πίστιν», φ. 58β. Assem. I, σ. 258.

8. «Περὶ ὀρθοῦ βίου κεφάλαια πθ'», ὧν ἡ ἀρχή· «Ὀρθοῦ βίου ὀρέγῃ», φ. 75. Assem. II, σ. 56.

9. «Τοῦ αὐτοῦ μακαρισμοί». Ἀρχ. «Μακάριος ὅς γέγονεν ὅλως», φ. 84β. Assem. I, σ. 282.

10. «Τοῦ αὐτοῦ μακαρισμοὶ ἕτεροι», ὧν ἡ ἀρχή· «Μακάριος ὅς μισήσας», φ. 89β. Assem. I, σ. 292.

11. «Τοῦ αὐτοῦ λόγοι παραινετικοὶ πρὸς μοναχούς». Ἀρχ. «Δόξα σοι ὁ Θεὸς δόξα σοι», φ. 94β. Assem. II, σ. 72.

12. «Περὶ τῶν ἐκπιπτόντων ἐξ οἰκείας ἀμελείας καὶ προφασιζομένων προφάσεις ἐν ἁμαρτίαις». Ἀρχ. «Ἀδελφὲ τὸν μονήρη βίον», φ. 165. Assem. II, σ. 148.

13. «Πρὸς ἀδελφὸν ἐκπεσόντα καὶ περὶ μετανοίας». Ἀρχ. «Τοῖς ἐν ὑποταγῇ καθεζομένοις», φ. 171. Assem. II, σ. 154.

14. «Ὅτι οὐ δεῖ ὀμνύειν οὔτε δυσφημεῖν». Ἀρχ. «Τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν», φ. 178β. Assem. II, σ. 161.

15. «Πρός τινα ἀδελφὸν λόγος εἴρηται, ὅτι κρεῖσσον γαμεῖν ἢ πυροῦσθαι». Ἀρχ. «Ἄκουε τοῦ ἀποστόλου», φ. 181. Assem. II, σ. 164.

16. «Περὶ φόβου Θεοῦ». Ἀρχ. «Πρόσεχε σεαυτῷ», φ. 183 Assem. II, σ. 165.

17. «Περὶ ἀγάπης». Ἀρχ. «Ἀγαπητέ, ἐὰν ἀξιωθήσῃ γνώσεως», φ. 186. Assem. II, σ. 169.

18. «Παραίνεσις πρὸς Εὐλόγιον», ἧς ἡ ἀρχή· «Εἰς τὸν καρπὸν τῆς ὑπακοῆς», φ. 187β. Assem. II, σ. 170.

19. «Πρὸς ἀκηδιαστὴν μοναχὸν λέγοντα: ἀφίημι καὶ εἰς τὸν κόσμον ὑπάγω». Ἀρχ. «Ἔφη ὁ Κύριος τῆς δόξης», φ. 192. Assem. II, σ. 174.

20. «Παραίνεσις περὶ κακοηθείας», ἧς ἡ ἀρχή· «Ὃν τρόπον ξίφος νευροκοπεῖ», φ. 201. Assem. II, σ. 183.

21. «Περὶ διαφορᾶς τοῦ μοναχικοῦ βίου ὑπὲρ τὸν κοσμικόν». Ἀρχ. «Ἀγαπητὲ ἀδελφέ, ἐὰν ἀποταξάμενος», φ. 202β. Assem. II, σ. 185.

22. «Τοῦ αὐτοῦ κεφάλαια ἑκατόν», ὧν ἡ ἀρχή· «Κεφ. α'· πῶς κτᾶταί τις ταπεινοφροσύνης», φ. 204 (Assem. I, σ. 299)· ἐν τῷ κρασπέδῳ τοῦ 206-ου φύλλου γέγραπται τοῦτο διὰ τῆς χειρὸς τοῦ καλλιγράφου· «† Ἡ βίβλος αὕτη πέλει τῆς διακειμένης ἁγίας μονῆς ἔγγιστα τοῦ ἁγιωτάτου ἐν ποταμοῖς Ἰορδάνου τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου».

23. «Περὶ τοῦ τέλειον εἶναι τὸν μοναχόν». Ἀρχ. «Πέρυσί μοι προσῆλθον τινές», φ. 232. Assem. II, σ. 411.

24. «Περὶ τῆς θείας χάριτος». Ἀρχ. «Σπεῦδε ἔχειν τὴν θείαν χάριν», φ. 244. Assem. III, σ. 42.

25. «Τοῦ αὐτοῦ περὶ γλωσσαλγίας». Ἀρχ. «Ἐσπαρμέναι εἰσίν», φ. 248β. Assem. II, σ. 279.

26. «Περὶ ἀρετῆς καὶ κακίας». Ἀρχ. «Μακαρίζω τὴν ὑμῶν ζωήν», φ. 258. Assem. I, σ. 1.

27. «Περὶ φοβου Θεοῦ». Ἀρχ. «Μακάριος ὁ ἄνθρωπος ἐκεῖνος», φ. 259. Assem. I, σ. 2.

28. «Περὶ ἀφοβίας». Ἀρχ. «Ὁ μὴ ἔχων τὸν φόβον», φ. 259β (Assem. I, σ. 3). Παρέπονται κεφάλαια διάφορα, οἷον περὶ ἀγάπης, περὶ τῶν μὴ ἐχόντων ἀγάπην κλπ.

29. «Ἔλεγχος αὐτῷ καὶ ἐξομολόγησις». Ἀρχ. «Ἀδελφοὶ συμπαθήσατε», φ. 272β. Assem. I, σ. 18.

30. «Τοῦ αὐτοῦ πρὸς καθαίρεσιν ὑπερηφανίας». Ἀρχ. «Ματαία πᾶσα ἄσκησις», φ. 276β. Assem. I, σ. 23.

31. «Λόγος κατανυκτικός», οὗ ἡ ἀρχή· «Δεῦτε ἀγαπητοί, δεῦτε πατέρες», φ. 282. Assem. I, σ. 28.

32. «Λόγος ἀσκητικός», οὗ ἡ ἀρχή· «Ὁ πόνος τοῦ λέγειν, ἀναγκάζει με» φ. 293β. Assem. I, σ. 40.

33. «Τοῦ αὐτοῦ κατὰ μίμησιν τῶν παροιμιῶν». Ἀρχ. «Ὁ πιστεύων εἰς τὸν υἱόν», φ. 318. Assem. I, σ. 318.

34. «Περὶ φόβου». Ἀρχ. «Φοβοῦ τὸν Κύριον», φ. 319β. Assem. I, σ. 71.

35. «Τοῦ αὐτοῦ πρὸς διόρθωσιν τῶν ἐν παιδείᾳ διαγόντων καὶ τιμὰς ἀπαιτούντων». Ἀρχ. «Ἀγωνιῶ ἀδελφοί μου», φ. 360β. Assem. I, σ. 111.

36. «Λόγος παραινετικός», οὗ ἡ ἀρχή· «Πρόσεχε σεαυτῷ ὦ νεότης», φ. 366β. Assem. I, σ. 166.

37. «Λόγος εἰς πατέρας τελειωθέντας». Ἀρχ. «Τὴν καρδίαν μου ἀλγῶ», φ. 372β. Assem. I, σ. 172.

38. «Λόγος ἕτερος εἰς πατέρας τελειωθέντας». Ἀρχ. «Ἐν ταύτῃ τῇ ἡμέρᾳ», φ. 376. Assem. I, σ. 175.

39. «Λόγος τετρασύλλαβος», οὗ ἡ ἀρχή· «Νικηθεὶς δὲ κατακράτος», φ. 381β. Assem. I, σ. 181.

40. «Λόγος ἑπτασύλλαβος», οὗ ἡ ἀρχή· «Εἰδότες οὖν ἀδελφοί», φ. 382β. Assem. I, σ. 182.

41. «Περὶ φόβου ψυχῆς». Ἀρχ. «Ἐγὼ Ἐφραὶμ ἁμαρτωλός», φ. 383. Assem. I, σ. 183.

42. «Εὐχὴ ἐκ τῆς τοῦ ἁγίου Ἐφραὶμ διδασκαλίας». Ἀρχ. «Ἥμαρτον εἰς τὸν οὐρανόν», φ. 387. Assem. III, σ. 160.

43. «Ὑπομνηστικόν», οὗ ἡ ἀρχή· «Πᾶσαν ὥραν ἐν νῷ ἔχω», φ. 388. Assem. I, σ. 188.

44. «Περὶ κρίσεως καὶ κατανύξεως». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοί», φ. 399 (Assem. II, σ. 50). Μετὰ τὸ 405-ον φύλλον

ὑπῆρχε λόγος «περὶ ὑπομονῆς», οὗ ἡ ἀρχή· «Ὁ βουλόμενος Θεῷ εὐαρεστῆσαι» κτλ. Τοῦτον ὅμως τὸν λόγον, εἰς δύο φύλλα περιλαμβανόμενον, ἔχει νῦν ἡ ἐν Πετρουπόλει βιβλιοθήκη, μεταξὺ τῶν ὑπὸ Πορφυρίου παραχωρηθέντων αὐτῇ χειρογράφων (ἀριθ. 409. Отчетъ Импер. Пубд. Библ. за 1883 годъ, σ. 146).

45. «Περὶ μακαρισμοῦ καὶ ταλανισμοῦ». Ἀρχ. «Μακάριοι οἱ τὸν Θεὸν ἀγαπήσαντες», φ. 411β. Assem. II, σ. 334.

46. «Ἐξομολόγησις ἤγουν προσευχὴ πρὸς Θεόν», ἧς ἡ ἀρχή· «Ἴασαί με Κύριε», φ. 413β. Assem. I, σ. 199.

47. «Εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» λόγος, οὗ ἡ ἀρχή· «Προσέλθετε καὶ δεῦτε», φ. 415β. Assem. I, σ. 167.

48. «Περὶ πίστεως». Ἀρχ. «Ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ», φ. 420β. Assem. II, σ. 336.

49. «Περὶ ἱερωσύνης». Ἀρχ. «Ὢ θαῦμα παράδοξον», φ. 425. Assem. III, σ. 1.

50. «Περὶ κατανύξεως». Ἀρχ. «Κατανύγηθι ψυχή μου», φ. 430. Assem. I, σ. 161.

51. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ μετανοίας», οὗ ἡ ἀρχή· «Τὸν μετανοοῦντα οὐ χορέννυσθαι», φ. 434β.

52. Ἐφραὶμ «ἀρχὴ τοῦ ια' λόγου». Ἀρχ. «Μὴ ὀλιγορῶμεν ἀδελφοί», φ. 477β. Assem. I, σ. 252.

53. Τοῦ αὐτοῦ «ἀπολογία πρὸς ἀδελφὸν περὶ Ἠλεὶ τοῦ ἱερέως». Ἀρχ. «Ἐρώτησις· τῆς γραφῆς λεγούσης» κτλ., φ. 478β (Assemani III, σ. 6). Μετὰ δὲ τὸ τέλος τοῦ λόγου γέγραπται τὸ σημείωμα τοῦτο, ὅπερ ἀπαράλλακτον ὡσαύτως ὑπάρχει καὶ ἐν τῷ κρασπέδῳ τοῦ 358-ου φύλλου· «Ἐτελειώθη ἡ παροῦσα βίβλος τοῦ κυροῦ Ἐφραὶμ ἐξ ἐπιτροπῆς τοῦ καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ τιμίου Προδρόμου ἐν τῷ Ἰορδάνῃ καὶ πνευματικοῦ πατρὸς ἡμῶν κυροῦ Παμβῶ ἱερομονάχου, διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ πάντων ἁμαρτωλῶν ἁμαρτωλοῦ καὶ κατακεκρυμένου [sic] Ματθαίου ἱερομονάχου· ἔτους ,ςωλη» = 1329-1330.

231. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1338-ῳ καὶ συνιστάμενον ἐκ φύλλων 191, ὧν τὰ τελευταῖα σφόδρα βεβλαμμένα· λείπει δὲ καὶ ἡ ἀρχή. Ἔστι δὲ τὸ κείμενον κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 44 (0,283 × 0,195 = 0,223 × 0,145).

1. (Νικήτα μητροπολίτου Ἡρακλείας) ἀκέφαλος συναγωγὴ ἑρμηνειῶν εἰς τοὺς ψαλμούς, φ. 1-135. Συγγραφεῖς: Ἀθανάσιος, Ἀλέξανδρος, Ἀδριανός, Ἀπολλινάριος, Ἀναστάσιος, Ἀρσένιος, Ἀστέριος, Βασίλειος, Γρηγόριος Νύσσης, Γρηγόριος Θεολόγος, Διόδωρος, Δίδυμος, Διονύσιος, Εὐσέβιος, Ἡσύχιος, Θεοδοτίων, Θεοδώριτος, Θεόδωρος, Ἱερώνυμος, Ἰσίδωρος, Ἰωάννης Χρυσόστομος, Κύριλλος Ἀλεξανδρείας, Λεόντιος, Μάξιμος, Σύμμαχος, Ὑπάτιος, Ὠριγένης.

2. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου, ἑρμηνεία εἰς τοὺς ἀναβαθμούς» (φ. 135β—180), τουτέστιν ἀποσπασμάτια τοῦ Χρυσοστόμου περὶ τῶν ψαλμῶν ριθ'—ρν'. Πρόλογος τοῦ Νικήτα πιθανῶς, οὗ ἡ ἀρχή· «Ψαλμὸς ριθ', ᾠδὴ τῶν ἀναβαθμῶν. Ἕτερος ἑρμηνευτὴς λέγει· ᾠδὴ τῶν ἀναβάσεων. Τὴν πρώτην ᾠδὴν τῶν ἀναβαθμῶν ᾄδει ἐν Βαβυλῶνι λαὸς ἀδημονῶν ἐπὶ τῷ μήκει τῆς αἰχμαλωσίας καὶ εὐχόμενος ἐλευθερωθῆναι» κτλ. Μετὰ δὲ τὸ τέλος ἀναγινώσκεται τοῦτο· «Μηνὶ μαρτίῳ ἰν(δικτιῶν)ος ς', ἡμέρᾳ ε', ἔτους ͵ςωμς' (- 1338): ὅτι ἐν τῇ εἰς τὸν Ψαλτῆρα αὐτοῦ ἑρμηνείᾳ αὐτὸς ἑαυτῷ κρείττων ὤφθη ὁ Χρυσόστομος· πανταχοῦ γὰρ τοῖς λόγοις αὐτοῦ τὸ καθαρὸν καὶ λαμπρὸν μετὰ τοῦ ἡδέος ἐπιδεικνύς, τοῖς τε ἐνταῦθα μάλιστα διαπρέπει καὶ τῇ τῶν παραδειγμάτων εὐπορίᾳ καὶ τῇ τῶν ἐνθυμημάτων ἀφθονίᾳ, καὶ εἴ που δέοι καὶ δεινότητι, καὶ ἁπλῶς ἔν τε λέξει καὶ συνθέσει καὶ μεθόδῳ καὶ νοήμασιν ἄριστα τὴν συγγραφὴν κατεσκευάσατο· πότε δὲ διεπονήθη, πότερον ἀρχιερατεύοντα ἢ πρότερον, οὐδὲν ἐξ ὧν ἐνταῦθα λέγει, ὥσπερ εἴωθε πολλάκις ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις ποιεῖν, ὑποδηλοῖ· εἰκάσαι δέ ἐστιν, ὅτι πρὶν ἀρχιερατεῦσαι· οὔτε γὰρ ὁμιλίαις τὸ βιβλίον διῄρηται, ὡς ποιεῖν εἴωθεν ἀρχιερατεύων, καὶ ἡ δύναμις καὶ τὸ κάλλος τοῦ λόγου σχολάζειν αὐτὸν μᾶλλον ἀλλ' οὐ πράγμασιν ἐνστρέφεσθαι διαδείκνυσιν».

3. «Ἑρμηνεῖαι διαφόρων ἐξηγητῶν εἰς τὰς ᾠδάς», φ. 180-191. Ἐλλείπει τὸ τέλος. Ὀνόματα τῶν ἑρμηνευτῶν: Εὐσέβιος, Γρηγόριος Νύσσης, Ἡσύχιος, Κύριλλος, Θεοδώριτος.

4. Ἑπτὰ φύλλα δύο διαφόρων τευχῶν τῆς ιδ' ἑκατονταετηρίδος, εὑρισκόμενα παρὰ τὰς πινακίδας τοῦ κώδικος. 1) Ἓν φύλλον μηναίου τινὸς τοῦ Δεκεμβρίου, περιέχον τὴν ἀρχὴν ᾀσματικῆς ἀκολουθίας, ψαλλομένης τῇ 31-ῃ ἡμέρᾳ τούτου τοῦ μηνός· ἔστι δὲ τὸ κείμενον ἐκ γραμμῶν 30 κατὰ σελίδα καὶ μονόστηλον. 2) Ἓξ φύλλα μετὰ κειμένου διστήλου καὶ ἐκ γραμμῶν 37 κατὰ στήλην· ὧν τέσσαρα μὲν ἔχει μέρος ἀκεφάλου τε καὶ ἀτελοῦς τινος διηγήσεως περὶ τοῦ μαρτυρίου τῶν ἁγίων Δωροθέου Μαρδονίου Μυγδονίου Γοργονίου καὶ Ἴνδης· τὰ δὲ λοιπὰ δύο μέρος αὖθις ἐμπεριέχει τοῦ διὰ Συμεῶνος τοῦ Μεταφράστου συγγεγραμμένου βίου τοῦ ὁσίου Μαρκέλλου τοῦ ἀρχιμανδρίτου, οὗ ἡ ἀρχή· «Ἔννοιά μοι πολλάκις γέγονε» κτλ.

232. Τεῦχος μεμβράνινον ἀκέφαλον, ἀπογραφὲν ἀμφὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος καὶ φύλλα νῦν ἐμπεριέχον 240, μήκους μὲν 0,282, πλάτους δὲ 0,23· τὸ δ' ἐν αὐτοῖς κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα (0,218 × 0, 15)· μόνα δὲ πέντε φύλλα (128—1132) ἐκ βαμβακεροῦ χάρτου ἐστίν, προστεθέντα πρὸς ἀναπλήρωσιν ἐκεῖ πεσόντος κειμένου περὶ τὴν τρίτην καὶ δεκάτην ἑκατονταετηρίδα· ἐλλείπει δὲ καὶ τὸ πρῶτον τετράδιον καὶ τὸ πρῶτον φύλλον τοῦ β' τετραδίου. Περιέχει δὲ τέλος ὁ κῶδιξ ἑρμηνευτῶν ἀποσπάσματα περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, οἷον Ὠριγένους, Θεοδώρου Ἡρακλείας, Εὐσεβίου Καισαρείας, Ἰωάννου τοῦ Χρυσοστόμου, Κυρίλλου Ἀλεξανδρείας, Σευήρου, Θεοδώρου Μοψουεστίας, Γρηγορίου Νύσσης καὶ Φωτίου πατριάρχου (τοῦ δὲ Φωτίου τὰ τεμάχη συνεξέδωκα τύποις ἐντεῦθεν ἀπογραψάμενος) [1]. Ἄρχεται δὲ τὸ τεῦχος ὧδε·

[1] Φωτίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τὸ περὶ τοῦ τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπομνημάτιον καὶ ἄλλα τινὰ πονημάτια τοῦ αὐτοῦ ἑλληνιστί τε καὶ ἀρμενιστὶ γεγραμμένα, ἐκδοθέντα μετὰ προλόγου ὑπὸ Ἀ. Π. Κεραμέως καὶ μετὰ ῥωσσικῶν μεταφράσεων Γ. Δεστούνη καὶ Νικολάου Μάρρου· ἐν Πετρουπόλει 1892 (Правосл. Палест. Сборникъ, τεῦχος 31-ον), σ. VI—IX καὶ 53—140.

«λέξεις· τῆς ἐνσάρκου γεννήσεως καὶ τῶν κατὰ σάρκα ἁμαρτωλῶν πατέρων, υἱὸς Θεοῦ ἀποφαινόμενος» κτλ. Τέλος· «Εὐαγγέλιον κατὰ Ματθαῖον, στίχοι ͵βχ'. τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξεδόθη ὑπ' αὐτοῦ ἐν Ἱερουσαλήμ, μετὰ χρόνους /// τῆς Χριστοῦ ἀναλήψεως». Σημειωτέον ἔτι, ὅτι ὁ κῶδιξ οὗτος ὑπῆρχεν ἐν τῇ μονῇ τοῦ ἀββᾶ Γερασίμου περὶ τὴν πεντεκαιδεκάτην ἑκατονταετηρίδα.

233. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἀποτελούμενον ἐκ φύλλων ἠριθμημένων τκα', μήκους μὲν 0,26, πλάτους δὲ 0,20· καὶ τὸ μὲν ἐν αὐτοῖς κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ πέντε (0,19 × 0,14), φύλλα δ' ἐκ χάρτου περιέχει ὀκτὼ μόνα, τὰ πρώτιστα ἑπτὰ καὶ τὸ τριακοστὸν τρίτον, ἃ προσετέθη δι' ἀναπλήρωσιν ἐκπεσόντος αὐτοῦ κειμένου περὶ τὸ μέσον τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· πρὸ δὲ τούτων αὖθις ὑπάρχει φύλλα δύο ἐκ χάρτου, τὸν πίνακα περιέχοντα τῶν ἐν τῷ κώδικι γεγραμμένων· ἅπερ ἐστὶ λόγοι δέκα καὶ ἐννέα Γρηγορίου τοῦ Θεολόγου, ὧν ὁ μὲν πρῶτος ἐπιγέγραπται «λόγος εἰς τὸ ἅγιον πάσχα καὶ εἰς τὴν βραδυτῆτα», ὁ δὲ τελευταῖος «εἰς ἑαυτὸν καὶ εἰς τὸν γέροντα», οὗ ἡ ἀρχή· «Τὸ στόμα μου ἤνοιξα» κτλ. Περιέχει δὲ τὸ βιβλίον καὶ κεφαλαιώδη τινὰ γράμματα κεχρωματισμένα καὶ κοσμήματα πάλιν ἐπίχρυσα καὶ ποικιλόχροα, τέσσαρα μὲν ταινιοειδῆ τὸ σχῆμα, τρισκαίδεκα δὲ παρεμφερῆ πρὸς τὸ Π στοιχεῖον· ἦν δ' ἐξ ἀρχῆς ὡς φαίνεται κτῆμα «τῆς λαύρας τοῦ ἁγίου Σάβα». Σημειωτέον ἔτι, ὅτι τὸ βιβλίον ἔχει φύλλα μόνα 319, διὰ τὸ εἶναι τὴν ἐνυπάρχουσαν ἀρίθμησιν αὐτῶν ἡμαρτημένην μετὰ τὸ ρϞ' καὶ τὸ σπζ' φύλλον.

234. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, γραφὲν ὡς ἔοικε περὶ τὴν τρίτην καὶ δεκάτην ἑκατονταετηρίδα, φύλλα δὲ περιέχει 173, μήκους μὲν 0,27, πλάτους δὲ 0,19· ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ πέντε (0,196 × 0,125). Τὸ πρῶτον φύλλονἐμπεριέχει πράξεις ἀριθμητικάς, τὸ δεύτερον ἄσημά τινα σημειώματα, πλὴν

τούτου· «✝ Nomine sanctae et individuae trinitatis· amen. Nos Donatus Marcelus pro illustrissimo et excelentissimo Duchallis Domnio Joanis Dolphinis et Nicholaus Michaul consiliarii regni Cypri». Καὶ πάλιν ἐν τῷ τρίτῳ φύλλῳ· «✝ κατὰ τϊν σΐμερον ημέραν αὐγουστως· εις τας ιη· ημ(έ)ρ(α)· δ· την ενχρονιαν ͵ς· ω· νς· του Χου. ἀγωράστην· ταυτ᾽ βηβλή(ον)· ≪·π· κε δηα ποθου· καὶ σύνδρωμῆς· Βράχημ Νταιλιοῦς· και εδόθ(η) εις τον πάσεπτον ναῶν τοῦ τϊμΐου καὶ ζωόπηοῦ. καὶ αληθηνου· και ὁμολ(ο)γητοῦ Στ(αυ)ροῦ· τοῦ Μὲσόκηπου. Γράψας ηπογραψας παπὰ Γεωργιος απο χ(ω)ρίον λεγομενον Κρίτου: καὶ η αναγινωσκώτες εὔχεστε μου δη(ὰ) χν τον Θν' ηνα εὕρω ελεημ(ο)σίνην: ηερωμον(α)χ(ο)ς παπα Βλασ(ι)ως». Καὶ πάλιν ἐν τῷ χρασπέδῳ τοῦ 52-ου φύλλου κεῖται σημείωμα τῆς ιδ' ἑκατονταετηρίδος· «✝ δεησις τοῦ δούλου τοῦ Θεοῦ Ἀντωνΐου ἱερομονάχου | ✝ καὶ Νικολῶ Ἀντ(ω)ν(ίου) Βαπτισμένου | νομίσματα ς'». Ἕτερον ἐν τῷ 101-ῳ φύλλῳ· «✝ ομολογω εγο Ζορζης της κηρας της Καπετανησας το πος χροστο του αφεντ(η) του γουμενου ονομησματ(α) τεσερα τα πηα επηρα δηα δανηκα κε· χραζομε καθαρος χρηοφελετης του ανοθε αφεντ(η) τοῦ γουμενοῦ». Καὶ πάλιν ἄλλο ἐν τῷ 1-ῳ φύλλῳ· «Ἐτουτο βιλυον (-βιβλίον) εγορασθη δία χηρός ἐμου του Βρα(ί)μη Τελυούς ̔(σ)τ(ὰς) τὸ και οτις να το παρι να εχι το αναθημα». Περιεχόμενα·

1. Τοῦ κατὰ Ἰωάννην εὐαγγελίου κεφάλ. α', στίχος 1—17, φ. 1.

2. Περὶ τοῦ πῶς δεῖ τοὺς Ἑβραίους ὁρκίζεσθαι, φ. 2.

3. «Τοῦ ἐν ἁγίοις ἀββᾶ Μαξίμου κεφάλαια· ἑκατοντάδες δ' περὶ ἀγάπης». Ἀρχ. «Ἀγάπη μὲν ἔστι», φ. 4. Migne τ. 99, σ. 960.

4. «Τοῦ ἐν ἁγίοις ἀββᾶ Μαξίμου κεφαλαιώδης λόγος περὶ θεολογίας καὶ ἀλληγορικὸς περὶ ἀρετῶν». Ἀρχ. «Εἷς Θεὸς ἄναρχος ἀκατάληπτος», φ. 102. Migne τ. 99, σ. 1084.

5. Ἀσματικὴ ἀκολουθία εἰς τὸν ἅγιον Μάξιμον τὸν ὁμολογητήν, ψαλλομένη τῇ ιγ' Αὐγούστου, φ. 169β—173β. Στιχηρὰ τροπάρια, ὧν τὸ πρῶτον ἄρχεται ὧδε· «Τὸν δι' οἶκτον γενόμενον» κτλ. Κανὼν ἄνευ ἀκροστιχίδος, οὗ ἡ ἀρχή· «Τῆς ἀνωτάτω σοφίας» κτλ.

235. Λειτουργικὸν εὐαγγέλιον ἐκ μεμβράνης ἔτει 1184-ῳ γραφὲν καὶ φύλλα νῦν ἔχον 215, μήκους μὲν 0,288, πλάτους δὲ 0,235· πρότερον δὲ συνηρίθμει φύλλα 216, ὅ ἐστιν 27 τετράδια· πλὴν ἀλλὰ τὸ ἐλλεῖπον ὑπάρχει νῦν ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 299. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 126)[1]. Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων δίστηλον καὶ ἐκ γραμμῶν 23 μέχρις 26, ὅ ἐστι χῶρον ἔχει ὡς 0,218×0,17· ὃ κοσμεῖται πολλαχοῦ μεγάλοις κεφαλαιώδεσι γράμμασιν ἐγκόσμοις καὶ κοσμήμασι πάλιν ἁπλοῖς ἑπτά· ὧν τρία μὲν ἔστι ταινιοειδῆ, τὰ δὲ λοιπὰ προσόμοια τῷ γράμματι Π. Καὶ ἐν μὲν τῇ ἀρχῇ τοῦ βιβλίου γέγραπται τοιαύτη ἐπιγραφή· «Ἅγιον εὐαγγέλιον σὺν Θεῷ τοῦ ὅλου περιέχον χρόνου τὴν ἀκολουθίαν ἀνελλιπῶς», ὅπερ ἔχει καὶ συναξάριον ἐκτενές (φ. 177—215), ἐξ οὗ μεταγράφω τὴν ἐφεξῆς τυπικὴν ὁδηγίαν (φ. 204β)· «Τῇ αὐτῇ ἡμέρᾳ (ια' μαΐου) τὸ γενέθλιον τῆς Πόλεως· τοῦτο ἀναγινώσκεται ἐν τῷ Φόρῳ ἀπερχομένης τῆς λιτῆς. Ἐκ τοῦ κατὰ Ἰωάνην: Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· καθὼς ἠγάπησέ με ὁ πατὴρ κτλ. Ἐν δὲ τῇ μεγάλῃ ἐκκλησίᾳ, ὑποστρεφούσης τῆς λιτῆς καὶ τελουμένης τῆς λειτουργίας, ἀναγινώσκεται τοῦτο: Ἐκ τοῦ κατὰ Ἰωάννην: Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς» κτλ. Μετὰ δὲ τὸ συναξάριον ὑπάρχει τοῦ καλλιγράφου σημείωμα, λέγον ταῦτα· «Ἐγράφη τὸ παρὸν ἅγ(ιον) καὶ | ἱερὸν εὐαγγέλιον ἐν τῇ | εὐαγεστάτη μονῇ τοῦ αγ(ίου) μ(ε)γ(α)λ(ο)|μάρτ(υρος) Ἀλεξάνδρου· διὰ προσ|τάξεως αὐτοῦ τοῦ καθήγουμ(έ)ν(ου) | καὶ πανηγιασμένου π(ατ)ρ(ὸ)ς ἱερο|(μον)άχ(ου) Βαρλαάμ· μη(νὶ) αὐ(γού)στ(ω) ιη· | ἐν τὸ ,ςχϞβ' ἔτ(ει)· ἐπὶ τῆς | βασιλ(εί)ας τοῦ εὐσεβοὺς Ἀνδρονίκ(ου) | τοῦ Κωμνηνοῦ· οἱ ἀνα|γινώσκοντ(ες) εὔχεσθ(ε) διὰ τὸν | Κ(ύριο)ν τῶ γράψαντ(ι) (μον)αχ(ῶ) Εὐδοκίμω | καὶ ἁμαρτωλῶ πα|ρὰ πᾶσι | τῶν ἐπὶ | τῆς γῆς ἀν(θρώπ)ων». Ὅρα δὲ τὸ τῆς ὑπογραφῆς ταύτης ἰσότυπον ἐν τῷ προσκειμένῳ φωτοτυπικῷ

[1] Ἔκειτο δὲ τὸ ἐλλεῖπον μετὰ τὸ 103-ον φύλλον τοῦ κώδικος.

[illegible]

2115 [illegible] μεταγράφω [illegible] (με [illegible] καὶ [illegible]) τὸ [illegible] ἀναγινώσκεται ἐν τῷ [illegible] κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος τοῖς [illegible] ἠγάπησέ με ὁ πατὴρ κτλ. Ἐν δὲ τῇ μεγάλῃ [illegible] τῆς [illegible] καὶ [illegible] τῆς [illegible]: Ἐκ τοῦ κατὰ Ἰωάννην: Εἶπεν ὁ Κύριος [illegible] ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς» κτλ. [illegible] τοῦ καλλιγράφου σημείωμα, λέγον ταῦτα: [illegible] ἁγίου καὶ | ἱεροῦ εὐαγγελίου ἐν τῇ | [illegible] τοῦ ἁγίου μεγ(αλο)μ(ά)ρτ(υρος) Ἀλεξάνδρου [illegible] τοῦ καθηγουμ(έν)(ου) | καὶ [illegible] Βαρλαὰμ [illegible] [illegible] ἐπὶ τῆς | βασιλ(εί)ας τοῦ εὐσεβ[illegible] Κομνηνοῦ οἱ ἀναγινώσκοντ(ες) εὔχεσθ[illegible] τῷ γράψαντ(ι) (μοναχ)(ῷ) Εὐδοκίμῳ | καὶ [illegible] πᾶσι | τῶν ἐπὶ | τῆς γῆς ἀνθρώπων» [illegible] ἰσότυπον ἐν τῷ προκειμένῳ [illegible]

[illegible] μετὰ τὸ 105ον φύλλον τοῦ κώδικος.

Σελ. 366.

Κῶδ. Σαβϊτικὸς 235, ἔτους 1184, φ. 215.

чено цензурою 15 Января 1892 г.

Фототипія Н. Индутнаго. Сергіевская ул., №20.


UNIV.
OF
MICH.

Σελ. 367.

Κῶδ. Σαβαϊτικὸς 237, ἔτους 1389, φ. 167β-168α.

[illegible] ποιούμενον τε [illegible]

[illegible] Σα[illegible]

[illegible] τοχής [illegible]

[illegible] ταῦτα [illegible]

[illegible] πρῶτον τε [illegible]

[illegible] ατρέων, ὅπ[illegible]

[illegible] ὑπὸ [illegible] γράμματ[illegible]

[illegible] κ[illegible]ακῇ τ[illegible]

[illegible] ἐκ [illegible]

[illegible] 0,185 [illegible] δὲ περιέχ[illegible]

[illegible] ἐκ [illegible] εἴκοσι καὶ [illegible]

[illegible] 195 [illegible] 15 Π[illegible]

1. [illegible]

[illegible] τό [illegible] γράμματ[illegible]

[illegible] Ἱεροσολ[illegible] εἶτα

[illegible] 1889.

2. [illegible] Ἰουνίου χωρὶς [illegible] 160 374,

[illegible] εἰς [illegible] τέλος ἀπαύστως ὑπόμνημα [illegible] κάλλιστ[illegible] τοιοῦτον

πίνακι, ἐν ᾧ μετὰ τὸ σημείωμα φαίνονται στίχοι τινές· μετὰ δὲ τούτους ἀνάγνωσμα περικοπῆς εὐαγγελίου κεῖται, προστεθείσης τῷ ιγ' πιθανῶς αἰῶνι. Οἱ δὲ στίχοι λέγουσι τάδε· «Ὦ τίς ἂν καὶ ἀξίως ἐκπληροίη τῶν τῇδε; | ἄκρος ἀρετῆς ἐληλακώς, τὸν τρόπον | ταπεινός τε καὶ σώφρων, πτωχεύων τε τὸ πνεῦμα | μακαρισμοῦ τεύξεται τῷ λόγῳ τοῦ Σωτῆρος· | εἰ δὲ καὶ προσληφθῇ (?) μία κεραία τῆσδε | μικροῦ νυχὸς ἔοικε(ν) ἀετῷ βροχωμένω.

236. Λειτουργικὸν εὐαγγέλιον ἐκ μεμβράνης εἰς τριάκοντα καὶ τέσσαρα τετράδια νενεμημένον, ἀπογραφὲν ἴσως ἀμφὶ τὸ τέλος τῆς δεκάτης ἑκατονταετηρίδος· φύλλα δὲ μεταγενέστερα, τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ταῦτα μόνα ἐστίν: 259-271. Ἔστι δὲ τὸ βιβλίον μήκους μὲν 0,282, πλάτους δὲ 0,20· τὸ δὲ κείμενον αὐτοῦ ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ μιᾶς, ὅπερ ἔχει καὶ μεγάλα κεφαλαιώδη γράμματα, τὰς ἀρχὰς ἐπικοσμοῦντα τῶν περικοπῶν, καὶ μουσικὰ πανταχοῦ σημεῖα διὰ κινναβάρεως ἀποσχηματισθέντα· κοσμεῖ δὲ καὶ τὴν ἀρχὴν τοῦ κώδικος ἓν ἐγκόσμητον κόσμημα χρυσοῦν τε καὶ χρώμασι ποικίλοις κεχρωματισμένον, ὅπερ ἔχει σχῆμα παρεμφερὲς πρὸς τὸ γράμμα Π· ὑπὸ δὲ τοῦτο γράμμασι κοκκίνοις γέγραπται τὸ «Εὐαγγέ(λιον) τῇ ἁγία μεγάλη Κυριακῇ τοῦ πάσχα».

237. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, οὗ τὸ πρῶτον φύλλον ἄγραφον ἀφέθη· σύγκειται δ' ἐκ φύλλων 374, μήκους μὲν 0,275, πλάτους δὲ 0,185· κείμενον δὲ περιέχει μονόστηλον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἐκ γραμμῶν εἴκοσι καὶ ἕξ, ὧν ὁ χῶρός ἐστιν ὡς 0,195 × 0,115. Περιεχόμενα·

1. Μηναῖον τοῦ Μαΐου χωρὶς τῶν συναξαρίων (φ. 2-168), ἔχον εἰς τὸ τέλος αὐτοῦ γράμμασιν ἐρυθροῖς ὑπόμνημα τοιοῦτον· «Ἐτελειώθ(η) ὁ παρὸν Μάιος μήν· | διάχειρὸς ἐλέω Θ(εο)ῦ π(ατ)ριάρχου Ἱεροσολύμων· Δωροθέου τοῦ πο|τὲ Ἁγϊορίτου· εἶτα καὶ Ἁγιωσα|βΐτου: Ἐνέτει ϛωηζ μη|νὶ αὐγούστω γ ἰν(δικτιῶν)ος ιβ' ἡμέρα | τρίτη» = 1389.

2. Μηναῖον τοῦ Ἰουνίου χωρὶς τῶν συναξαρίων (φ. 169-374), ἔχον εἰς τὸ τέλος ὡσαύτως ὑπόμνημα τοῦ καλλιγράφου τοιοῦτον·

«Ἐτελειώθ(η) δὲ τὸ πα|ρὸν μηναῖον· τῇ λα τοῦ δεκεβρίου δι|ά-χειρὸς τοῦ ταπεινοῦ Δωροθέου τοῦ π(ατ)ριάρχ(ου) Ἱ|εροσολύμων: ἐνέτ(ει) ͵ςωϟη ἰν(δικτιῶν)ος ιγ εἰς | τὴν Ἁγίαν Ἀνάστασιν τοῦ Χ(ριστο)ῦ μου» = 1389. Σημειωτέον ἔτι, ὅτι τοῦ μηναίου τούτου φύλλα δύο κεῖται νῦν ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 429. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 149)· ὑπῆρχε δὲ ταῦτα πρότερον μετὰ τὸ 363-ον φύλλον τοῦ κώδικος.

238. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ γραφὲν ἔτει 1391-ῳ καὶ φύλλα συναποτελοῦν 318, ὧν ἄγραφα τάδ' ἔστιν: 1, 2, 78β-80, 157β-159, 222β-223. Περιέχει δὲ τοῦτο τὴν Παρακλητικὴν λεγομένην βίβλον, ἐγκεκοσμημένην ἐνιαχοῦ κοσμήμασι ταινιοειδέσι καί τισιν ἄλλοις ὁμοίοις τῷ γράμματι Π· ἧς τὸ κείμενον ἐγράφη μονόστηλον, ἀριθμοῦν εἴκοσι γραμμὰς καὶ ἓξ ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων, ἔξω τῶν ἀτελῶν (0,278 × 185 = 0,20 × 0,11). Γραφεὺς δὲ τοῦ βιβλίου Κάλλιστος ὑπάρχει, καθάπερ ἐμφαίνει τὰ σημειώματα ταῦτα. Φύλλ. 222 «† Παμμεδέοντϊ πα(τρ)ὶ σὺν ὑέϊ πν(εύματ)ι, δόξα.·. | †Θ(εο)ῦ τὸ δῶρον; καὶ πόνος τοῦ, | Καλλίστου». Φύλ. 309β «† Ἐτελειώθη, ἡ παροῦσα Παρακλητϊκὴ· δϊὰ χειρὸς χαμοῦ τοῦ ἐν μοναχοῖς ἐλαχίστου· καὶ ἁμαρτωλοῦ, Καλλίστου Ῥαδηνοῦ, τοῦ Τραπεζουντίου· δϊὰ σὺνεργείας τὲ, καὶ ἐξόδου· καὶ πολλῆς ἐπιμελείας, καὶ πόθου· τοῦ ἐν ἱερομονάχοις, εὐλαβεστάτου· κυροῦ, Θωμᾶ· π(ατ)ρϊαρχοῦντος, τοῦ ἁγϊωτάτου· καὶ παναγϊωτάτου ἡμῶν δεσπότου π(ατ)ρ(ὸ)ς καὶ π(ατ)ριάρχου τῆς ἁγίας πόλεως Ἱ(ερουσ)αλὴμ· κὺροῦ Δωροθέου.·.—†Ἄνακτε Χ(ριστ)έ, πατροκόλπιον φάος· | μέδον τοῦ π(ατ)ρ(ὸ)ς, καὶ πρύτανι τῶν ὅλων· | σὲ ἐκδυσωπῶ τὸν παναχτὶ δὺνάμει· | σκέπε φρούρει φῦλαττε, τὸν σὸν οἰκέτην· | τὸν καὶ ξίσαντα τὴν θεῖαν δέλτον ταύτην· | ὁ τήνδε κρατῶν δέλτον πά(τε)ρ, καὶ τὰς ἐν αὐτῇ λϊτὰς καὶ εὐχὰς προσφέρων τῷ δεσπότῃ· μέμνησο χάμοῦ τοῦ γράψαντος, σὺνάμα τῷ χρωμένῳ: ἐν ἔτει, ͵ςωϟθ: μηνὶ ἰαννουαρίῳ κα: ἡμέρα σαββάτω: ὥρα θ: — Τὸ, τέρμα δεδωρκὼς, τῶν τῆσδε βίβλου γέγηθα λϊτὰς ἀναπέμψας, Χ(ριστ)ῷ τῷ τελεστῇ τῶν ἀγαθῶν πάντων: †† Ἐγράφη, εἰς τὰ Ἱεροσόλϋμα, ἐντὸς τοῦ κελίου τοῦ δεσπότου μου, τοῦ

ἁγίου τοῦ π(ατ)ριάρχου:—†† Εὔχου μοι ὦ θύτα, εὔχου μοι τῷ ἁμαρτωλῷ, Καλλίστῳ· ὅπως διὰ τῶν σῶν ἁγίων εὐχῶν, ῥυσθῶ τῆς κολάσεως, καὶ τῆς γεέννης τοῦ πυρός: ἀμήν † — † Θωμᾶ, ἱερομονάχου †». Καὶ πάλιν ἐν τῷ 317-ῳ φύλλῳ, μετὰ τὸ ἔσχατον ἑωθινὸν εὐαγγέλιον· «Δόξα σοι ὁ Θ(εό)ς, καὶ πάλιν ἐρῶ δόξα σοι: | † οἶδον γὰρ οἶδον, τὸ ποθούμενον τέλος † | † Παμμεδέοντι πατρὶ» κτλ.

239. Τριῴδιον καὶ Πεντηκοστάριον μετὰ τῶν οἰκείων συναξαρίων, ὅπερ ἐστὶν ἐκ χάρτου βαμβακεροῦ, τὸ κείμενον ἔχον ἐν ἑκάστῃ σελίδι μονόστηλον, ἐκ γραμμῶν τριάκοντα (0,278 × 0,186= 0,20 × 0,112), ἐν αὐτῇ δὲ τῇ ἀρχῇ κόσμημα κόκκινον, ἄξιον λόγου διὰ τὸν ἀραβικὸν αὐτοῦ σχηματισμόν· σύγκειται δ' ἐκ φύλλων 394· πλὴν ἀλλὰ πρότερον ἠρίθμει τέσσαρα περιπλέον, ἅπερ ἦν μετὰ τὸ 210-ον φύλλον· ταῦτα δὲ νῦν ὡς εἰκὸς ἐν τῇ βιβλιοθήκῃ τῆς Πετρουπόλεως ὑπάρχει, τὴν ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη δοθεῖσαν αὐτῇ συλλογὴν ἐπικοσμοῦντα (ἀριθ. 434. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 150). Ἔχει δὲ τέλος ὁ κῶδιξ ὑπόμνημα τοῦ καλλιγράφου κόκκινον, ὅπερ ἀπαραλλάκτως ὧδε τίθεμαι (φ. $394^{β}$)· «† Πέρας εἴληφεν ἡ παροῦσα βίβλος· ἐντὸς τοῦ | παναγίου καὶ ζωοδόχου τοῦ δεσποτικοῦ Τάφου· | παρὰ τλήμονός τινος, ῥακεντοθύτου· ἐπὶ ἔτους | ,ϛϡκϛ' (1417-1418): ἰν(δικτιῶν)ος, ια: τῷ συντελεστῇ τῶν καλῶν, Θ(ε)ῷ | χάρις. Χ(ριστ)ὲ δίδου, τοῖς ἐμοῖς πόνοις χάριν».

240. Προφητολόγιον ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ μέσον τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, φύλλα δὲ περιέχον 272, μήκους μὲν 0,275, πλάτους δὲ 0,212· καθ' ἑκάστην δὲ σελίδα τὸ κείμενον ὑπάρχει μονόστηλον, ἀριθμοῦν ὀκτωκαίδεκα γραμμάς, ὅ ἐστι χῶρον ἔχει ὡς 0,187 × 0,11.

241. Τεῦχος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἀριθμοῦν ἐν συνόλῳ φύλλα μεμβράνινα 230, μήκους μὲν ὡς ἔγγιστα 0,276, πλάτους δὲ 0,208· τούτων δὲ μεταγενέστερα, τῆς ιγ' ἑκατονταετηρίδος, ταῦτα μόνα ἐστίν: 11, 225-230, προστεθέντα διὰ τὴν ἀναπλήρωσιν ἐκπεσόντος κειμένου. Ὑπάρχει δὲ τὸ κείμενον ἀπαν-

ταχοῦ μονόστηλον, ἀριθμοῦν κατὰ σελίδα πᾶσαν γραμμὰς τριάκοντα (0,202 × 0,135). Καὶ ἐν μὲν τῷ τελευταίῳ φύλλῳ τετράκις γέγραπται σημείωμα τοιοῦτον, ὅπερ ἴσως ἐστὶ τοῦ τρίτου καὶ δεκάτου αἰῶνος· «† Τοῦ ἀρχιεπισκόπου Κεσαρίας Σοφρονίου, υἱὸς ἱερεὺς Βάρδας κεκλήροκέ με καὶ ὑπὲρ αὐτοῦ εὔξασθε». Ἔνδον δὲ τῆς δευτέρας πινακίδος ὑπάρχει κώδικος ἄλλου φύλλον ἓν ἐκ μεμβράνης, ἀριθμοῦν κατὰ σελίδα γραμμὰς τριάκοντα, κείμενον δὲ ἔχον μονόστηλον, ὅπερ ἐστὶ μέρος ᾀσματικοῦ τινος κανόνος εἰς τὸν Ἰησοῦν Χριστόν· ἐγράφη δὲ τὸ φύλλον τοῦτο περὶ τὸν ιδ' αἰῶνα· μεθ' ὃ πάλιν ὑπάρχει φύλλον ἓν ἐκ μεμβράνης, ὅπερ ἐστὶ λείψανον ἑτέρου κώδικος τοῦ δεκάτου αἰῶνος, ἔχον ὡς ἔοικεν ἀπόσπασμα λόγου τινὸς Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Μωσαϊκῆς Γενέσεως· ἔστι δὲ τὸ κείμενον αὐτοῦ κατὰ σελίδα δίστηλον καὶ ἐκ 33 γραμμῶν. Καὶ ταῦτα μὲν περὶ τῆς ὄψεως τοῦ τεύχους· ἐμπεριέχει δὲ τοῦτο μηναῖα τρία, ἄνευ συναξαρίων.

1. Μηναῖον τοῦ Μαρτίου (φ. 1-78), ὅπερ ἔξω στιχηρῶν ἀνεκδότων ἔχει κανόνας ᾀσματικοὺς ὡσαύτως ἀνεκδότους τύποις· α') Μαρτίου α' κανὼν εἰς τὴν ἁγίαν Εὐδοχίαν, οὗ ἡ ἀρχή· «Τὴν τῆς ψυχῆς κάκωσιν», φ. 1.—β') Μαρτ. β' κανὼν εἰς τὸν ἱερομάρτυρα Θεόδοτον ἐπίσκοπον Κυρηνείας, οὗ ἡ ἀκροστιχίς· «Θεοῦ δόσις πέφυκας εἰκότως, μάκαρ», φ. 3β. — γ') Μαρτίου δ' κανὼν Ἰωσὴφ τοῦ μελῳδοῦ, οὗ ἡ ἀκροστιχίς· «Τριῶν μεγίστων ἆθλα τιμῶ μαρτύρων Ἰωσήφ», φ. 5β. — δ') Μαρτίου ε' κανὼν Ἰωσὴφ εἰς τοὺς μάρτυρας Παῦλον καὶ Ἰουλιανήν, οὗ ἡ ἀκροστιχίς· «Τὴν αὐτάδελφον αἰνέσω ξυνωρίδα Ἰωσήφ», φ. 8.—ε') Μαρτ. ε' κανὼν Ἰωάννου εἰς τὸν ὁσιομάρτυρα Κόνωνα, ὁ παρὰ τοῖς μηναίοις ἀνώνυμος ὑπάρχων, φ. 10.—ϛ') Μαρτ. ϛ' κανὼν Ἰωσὴφ εἰς τοὺς ἐν Συρίᾳ τελειωθέντας 42 μάρτυρας, οὗ ἡ ἀκροστιχίς· «Ἄθλους ἐπαινῶ καλλινίκων μαρτύρων Ἰωσήφ», φ. 12. — ζ') Μαρτίου ιδ' κανὼν ἄνευ ἀκροστιχίδος Θεοφάνους τοῦ μελῳδοῦ εἰς τὸν ὅσιον Εὐσχήμονα τὸν ἐπίσκοπον Λαμψάκου· οὗ ἡ ἀρχή· «Τῆς ἐγκρατείας», φ. 32. — η') Μαρτ. ιε' κανὼν ἀνώνυμος εἰς Θωμᾶν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, οὗ ἡ ἀκροστιχίς·

«Θωμᾶς ὑμνείσθω τῶν μοναστῶν τὸ κλέος», φ. 34β.—θ΄) Μαρτ. ιϛ΄ κανὼν εἰς τὸν μάρτυρα Σαβῖνον, οὗ ἡ ἀκροστιχίς· «Ἀθλητικῶς Σαβῖνον αἰνέσω πόθῳ», φ. 37. Ἔστι δὲ ποίημα Θεοφάνους.—ι΄) Μαρτ. κδ΄ κανόνες ἀνώνυμοι δύο, ὁ μὲν εἰς τὴν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς· «Χαρᾶς με τῆς σῆς πλῆσον εὐλογημένη»· ὁ δ' ἕτερος εἰς τοὺς μάρτυρας Ἀλέξανδρον καὶ Διονύσιον ἄνευ ἀκροστιχίδος, φ. 56β-60. — ιε΄) Μαρτ. κε΄ κανὼν Θεοφάνους, οὗ ἡ ἀκροστιχὶς κατὰ ἀλφάβητον· μόνη δὲ ἡ η΄ ᾠδὴ ποίημά ἐστιν Ἰωάννου μοναχοῦ, φ. 61. — ιβ΄) Μαρτ. κη΄ κανὼν Στεφάνου εἰς τὸν ὅσιον Στέφανον τὸν θαυματουργόν, οὗ ἡ ἀκροστιχίς· «Ὁμότροπον, Στέφανε, σὸν ὁμώνυμον τίθει», φ. 70β. — ιγ΄) Μαρτ. κθ΄ κανὼν ἀνώνυμος εἰς τὸν ὅσιον Ἱλαρίωνα τὸν νέον, οὗ ἡ ἀκροστιχίς· «Λιταῖς με, πάτερ, ἱλαρύναις ἐνθέως», φ. 73. — ιδ΄) Μαρτ. λ΄ κανὼν ἀνώνυμος εἰς Ἰωάννην τὸν Σχολαστικόν, οὗ ἡ ἀρχή· «Ἐν φωτὶ ἀΰλῳ καὶ νοητῷ», φ. 75β. — ιε΄) Μαρτ. λα΄ κανὼν ἀνώνυμος εἰς τὸν ἅγιον Μᾶρκον ἐπίσκοπον Ἀρεθουσίων καὶ Κύριλλον τὸν αὐτοῦ διάκονον, οὗ ἡ ἀρχή· «Τῆς ἐκκλησίας τοῦ Χριστοῦ», φ. 77β.

2. Μηναῖον τοῦ Ἀπριλίου (φ. 79β-153), ἔχον ὡσαύτως ἀνέκδοτα στιχηρὰ καὶ κανόνας ἐπίσης ἀνεκδότους, οἷον α΄) Ἀπρ. α΄ κανὼν Ἰωάννου μοναχοῦ εἰς τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν, οὗ ἡ ἀρχή· «Ἐκ τῆς Αἰγύπτου» κτλ.—β΄) Ἀπρ. ε΄ κανὼν Ἰωσὴφ εἰς Θεόδουλον καὶ Ἀγαθόπουν τοὺς μάρτυρας, οὗ ἡ ἀκροστιχίς· «Τῶν σῶν γεραίρω, Χριστέ, μαρτύρων κλέος Ἰωσήφ», φ. 89.— γ΄) Ἀπρ. ια΄ κανὼν ἀνώνυμος εἰς τὸν ἱερομάρτυρα Ἀντίπαν, ἐπίσκοπον Περγάμου, οὗ ἡ ἀκροστιχίς· «Ὠδαῖς σε, μάρτυς Ἀντίπα, στέφω πόθῳ», φ. 103.—δ΄) Ἀπρ. ιε΄ κανὼν ἀνώνυμος εἰς τὸν μάρτυρα Κρήσκεντα, οὗ ἡ ἀρχή· «Ἄνωθεν ἡμῖν» κτλ., φ. 113.— ε΄) Ἀπρ. ιζ΄ κανὼν Ἰωσὴφ εἰς τὸν ἅγιον Ἀκάκιον ἐπίσκοπον Μελιτινῆς, οὗ ἡ ἀκροστιχίς· «Πηγήν σε πολλῶν θαυμάτων μέλπω, μάκαρ, Ἰωσήφ», φ. 117β. — ϛ΄) Ἀπρ. ιθ΄ κανὼν Θεοφάνους εἰς τὸν ἱερομάρτυρα Παφνούτιον, οὗ ἡ ἀκροστιχίς· «Δέχου τὸν ὕμνον θεοφόρε Παφνούτιε», φ. 122β. — ζ΄) Ἀπρ. κα΄ κανὼν ἀνώνυμος

εἰς τὸν ἱερομάρτυρα Συμεὼν τὸν ἐν Περσίδι, οὗ ἡ ἀρχή· «Ἐκ προμηθείας τῆς τοῦ Χριστοῦ», φ. 127. — η') Ἀπρ. κβ' κανὼν Ἰωσὴφ εἰς τὸν ὅσιον Θεόδωρον τὸν Συκεώτην, οὗ ἡ ἀκροστιχίς· «Τοὺς εὐκλεεῖς σου δοξάζω πόνους, πάτερ» φ. 128^{β}.—θ') Ἀπρ. κγ' κανὼν Ἰγνατίου εἰς τὸν μεγαλομάρτυρα Γεώργιον, οὗ ἡ ἀκροστιχίς· «Χαίροις ἀθλητὰ παμμάκαρ Γεώργιε», φ. 132.—ι') Ἀπρ. κδ' κανὼν ἀνώνυμος εἰς τὸν μάρτυρα Σάβαν τὸν στρατηλάτην, οὗ ἡ ἀκροστιχίς· «Στρατηγέτην σε τιμῶ μαρτύρων Σάβα», φ. 135.— ια') Ἀπρ. κε'· σημειωτέον ὅτι τὸν ἐν τοῖς μηναίοις ὑπάρχοντα κανόνα εἰς τὸν εὐαγγελιστὴν Μᾶρκον εἴκασε Βαρθολομαῖος ὁ Κουτλουμουσιανὸς ποίημα Θεοφάνους εἶναι· τὴν εἰκασίαν οὖν ταύτην ἀκριβῶς ὁ κῶδιξ οὗτος ἐπιβεβαιοῖ, φ. 138. — ιβ') Ἀπρ. κς' κανὼν ἀνώνυμος εἰς τὸν ἱερομάρτυρα Βασιλέα τὸν ἐπίσκοπον Ἀμασείας, οὗ ἡ ἀκροστιχίς· «Παθῶν βασιλεὺς καὶ πλάνης ὤφθης πάτερ», φ. 140^{β}. — ιγ') Ἀπρ. κζ' κανὼν ἀνώνυμος εἰς τὸν ὅσιον Συμεὼν τὸν νέον στυλίτην καὶ εἰς τὸν ἀδελφὸν αὐτοῦ Γεώργιον, οὗ ἡ ἀκροστιχίς· «Τοὺς αὐταδέλφους εὐλογῶ θεηγόρους», φ. 143.— ιδ') Ἀπρ. κη' κανὼν Ἰωσὴφ εἰς τὸν ἀπόστολον Ἰάσωνα, οὗ ἡ ἀκροστιχίς· «Τὸν κλεινὸν Ἰάσωνα ὑμνῶ προφρόνως Ἰωσήφ», φ. 146 *).

3. Μηναῖον τοῦ Μαΐου (φ. 154-230), περιέχον ὡσαύτως τροπάρια στιχηρὰ τύποις ἀνέκδοτα καὶ κανόνας ᾀσματικοὺς ἐπίσης ἀνεκδότους, οἷον α') Μαΐου β' κανὼν Γεωργίου εἰς τὸν Ἀλεξανδρείας Ἀθανάσιον τὸν μέγαν, οὗ ἡ ἀκροστιχίς· «Γεώργιος μέλποιμι σὴν μάκαρ χάριν», φ. 156.—β') Μαΐου δ' κανὼν Θεοφάνους εἰς τὴν ἁγίαν Σεβαστιανήν, οὗ ἡ ἀκροστιχίς· «Ἆσμα Σεβαστιανῇ θεοειδεῖ μάρτυρι μέλπω», φ. 160^{β}.—γ') Μαΐου ιγ' κανὼν ἀνώνυμος εἰς τὴν ἁγίαν Γλυκερίαν, οὗ ἡ ἀρχή· «Πικρίας με ῥῦσαι», φ. 183^{β}. — δ') Μαΐου ις' κανὼν ἀνώνυμος εἰς τὸν ἅγιον

*) Τῇ κθ' ἀπριλίου πανηγυρίζεται κατὰ τὸ μηναῖον τοῦτο Συμεὼν ὁ συγγενὴς τοῦ Κυρίου καὶ ἐπίσκοπος Ἱεροσολύμων (φ. 148)· τοῦτ' αὐτὸ βεβαιοῖ καὶ συναξάριον εὐαγγελίου τοῦ δεκάτου αἰῶνος ὑπάρχον ἐν Μόσχᾳ. Ὅρα Σέργιον, **Полный Мѣсяцесловъ Востока** τ. I, σ. 111.

Ἑλλάδιον, οὗ ἡ ἀρχή· «Ἄνθεσι ψαλμικοῖς», φ. 190β.—ε') Μαΐου ιη' κανὼν Θεοφάνους εἰς τὸν ὅσιον Ἀκάκιον τῆς Κλίμακος, οὗ ἡ ἀκροστιχίς· «Ἀκάκιον τὸν ἄριστον ὑπήκοον ᾄσμασιν ᾄδω», φ. 195.—ς') Μαΐου κζ' κανὼν ἀνώνυμος εἰς τὸν ἱερομάρτυρα Θεράποντα, οὗ ἡ ἀρχή· «Ἱερωτάταις χορείαις», φ. 219.—ζ') Μαΐου κη' κανὼν ἀνώνυμος εἰς τὸν ὅσιον Κλήμεντα τὸν ποιητήν, οὗ ἡ ἀκροστιχίς· «Κλήμεντα μέλπω τὸν μελουργὸν ἐμφρόνως», φ. 221β.—η') Μαΐου λ' κανὼν ἀνώνυμος εἰς τὸν ὅσιον Ἰσαάκιον τὸν ἐν τῷ Σήμ(ατι?), οὗ ἡ ἀρχή· «Τῶν τῆς ἐρήμου ὁρίων», φ. 225.

242. Τεῦχος μεμβράνινον ἐκ φύλλων 398, ὧν τινων αἱ γωνίαι τεμάχη φέρουσι κεκολλημένα φύλλων ἀπεσπασμένων ἐκ μεμβρανίνων λειτουργικῶν βιβλίων· ἐγράφη δὲ παρὰ δύο ἢ καὶ πλειόνων βιβλιογράφων ἀμαθῶν ἀμφὶ τὴν ἀρχὴν τῆς δεκάτης ἑκατονταετηρίδος, καὶ μήκους μὲν ἔστι 0,275, πλάτους δὲ 0,20· τὸ δὲ κείμενον ὑπάρχει μονόστηλον, ἀριθμοῦν ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων εἴκοσι γραμμὰς καὶ τέσσαρας (0,196 × 0,11), ὅπερ ἔχει καὶ κοσμήματά τινα ταινιοειδῆ καὶ κεφαλαιώδη που μεγάλα στοιχεῖα, κεκαλλωπισμένα καὶ πολυχρώματα, τὰς ἀρχὰς ἐπικοσμοῦντα τῶν ἐμπεριεχομένων συνταγμάτων· αἱ δὲ τούτων ἐπιγραφαὶ γράμμασιν ὡσαύτως εἰσὶ κεφαλαιώδεσι γεγραμμέναι. Ἔχει δὲ τὸ βιβλίον καί τινα σημειώματα μεταγενέστερα, οἷον ἓν τῆς ιβ' ἑκατονταετηρίδος, ὅπερ ἔχει ὧδε (φ. 398α)· «† Κ(ύρι)ε βοήθει τῷ σῷ δούλῳ Μιχαὴλ ασπαθ(αρίῳ)». Ἕτερον αὖθις ὑπάρχει τοῦ 1332-ου ἔτους, ἀραβιστὶ γεγραμμένον ὄπισθεν τοῦ αὐτοῦ φύλλου, δηλοῦν ὅτι τὸ βιβλίον ἀνετέθη τῇ μονῇ τοῦ Προδρόμου, τῇ παρὰ τὸν Ἰορδάνην ποταμόν. Καὶ πάλιν ἄλλο σημείωμα γεγραμμένον ὡσαύτως ἀραβικοῖς γράμμασιν ἔτει 1292-ῳ τοῦτ' αὐτὸ βεβαιοῖ· γέγραπται δὲ τοῦτο ἐν τῷ πρώτῳ φύλλῳ, ἔνθα καὶ σημείωμα πάλιν ὑπάρχει ταυτοσήμαντον ἑλληνικοῖς μὲν γράμμασι γεγραμμένον, ἀπεσπογγισμένον δέ. Περιεχόμενα.

1. Πίναξ τῶν ἐν τῷ κώδικι κειμένων, φ. 1.

2. «Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὸν εὐαγγελισμὸν τῆς δεσποίνης ἡμῶν, τῆς ἁγίας Θεοτόκου». Ἀρχ. «Τῇ

προτέρᾳ Κυριακῇ τὴν ὀρθόδοξον ταύτην ἐκκλησίαν», φ. 2. Migne τ. 62, σ. 763.

3. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου». Ἀρχ. «Προαπέστειλεν ὁ Θεὸς τὸν ἀρχάγγελον», φ. 13β. Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 226.

4. Ἀνδρέου ἀρχιεπισκόπου Κρήτης, τοῦ Ἱεροσολυμίτου, «λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἀρχ. «Ἐπέστη σήμερον ἡ πάντων χαρά», φ. 19β. Migne τ. 97, σ. 881.

5. Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου, «ὁμιλία εἰς τὸν ἅγιον τετραήμερον Λάζαρον», ἧς ἡ ἀρχή· «Φέρε πάλιν εἰς μέσον», φ. 38β. Migne τ. 39, σ. 60.

6. «Μαρτύριον τοῦ ἁγίου Ἀθηνογένους ἐπισκόπου» (ιζ' ἰουλίου), οὗ ἡ ἀρχή· «Ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἦν πολλὴ μανία», φ. 44β. Λατινιστὶ παρά τε τῷ Λιπομάννῳ καὶ τῷ Σουρίῳ (17 ἰουλίου). Ἀπόγραφον δὲ τοῦ ἑλληνικοῦ κειμένου σημειοῦται καὶ Coxe (Catal. cod. graec. bibl. Bodl. I, σ. 661) καὶ Νικόδημος ὁ Ἁγιορείτης (Συναξαρ. II, σ. 263)·

7. «Μαρτύριον τοῦ ἁγίου Ἀθηνογένους» (ιζ' ἰουλίου), οὗ ἡ ἀρχή· «Τοῦ βίου καὶ τῆς ἀθλήσεως», φ. 50. Κείμενον ἀσημείωτον ἄλλοθί που.

8. «Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Ἀγαθονίκου (κβ' αὐγούστου). Ἀρχ. «Ἀρχὴ φωνὴ τοῦ ἀγαθοῦ Θεοῦ», φ. 78β. Κείμενον ὡσαύτως ἄγνωστον τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

9. «Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαρκιανοῦ, γενομένου πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας» (ι' ἰανουαρίου). Ἀρχ. «Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ» κτλ., φ. 91. Κείμενον ὡσαύτως ἄγνωστον, ἀντιγραφὲν ἤδη παρ' ἐμοῦ πρὸς τύποις ἔκδοσιν.

10. «Μηνὶ ἰαννουαρίῳ ι', βίος καὶ θαύματα τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐστρατίου, ἡγουμένου μονῆς τῶν Αὐγάρου». Ἀρχ. «Ὅτι μὲν ὦ φιλάγιον ἄθροισμα», φ. 104. Κείμενον ὡσαύτως ἄγνωστον, ὅπερ ἐκδοθήσεται προσεχῶς τύποις.

11. (Παυλίνου) «βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμβροσίου

ἐπισκόπου Μεδιολάνων». Ἀρχ. «Προτρέπει με Αὐγουστῖνε», φ. 140β. Ἀ. Π. Κεραμέως, Ἀνάλ. Ἱεροσολυμιτικῆς Σταχυολογίας Ι, σ. 27—88.

12. «Βίος τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης» (κα' ἰανουαρίου). Ἀρχ. «Πᾶσαι αἱ πολιτεῖαι καὶ αἱ μαρτυρίαι», φ. 173. Δεύτερον ἀπόγραφον τοῦ τύποις ἀνεκδότου τούτου βίου σημειοῦται Coxe, Catal. cod. graec. bibl. Bodl. I, σ. 656.

13. «Μηνὶ ἰαννουαρίῳ ιζ', βίος καὶ πολιτεία τοῦ μακαρίου Ἀντωνίου» (συγγραφεὶς ὑπὸ Ἀθανασίου τοῦ μεγάλου). Ἀρχ. «Ἀγαθὴν ἅμιλλαν ἐνεστήσασθε», φ. 185β. Migne τ. 26, σ. 835.

14. «Εἰς τὴν ὑπεραγίαν Θεοτόκον προσευχὴ ἐξομολογήσεως», ἧς ἡ ἀρχή· «Φιλάνθρωπε μῆτερ τοῦ φιλανθρώπου Θεοῦ, τοῦ ἐλεήμονος ἐλεήμων, ἡ ἀγαθὴ τοῦ ἀγαθοῦ» κτλ., φ. 258β.

15. «Λόγος εἰς τὴν ἐπάνοδον τοῦ τιμίου λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κ/πόλεως, τοῦ Χρυσοστόμου». Ἀρχ. «Πάλιν ἐπ' ἐμὲ δόγμα καὶ πρόσταγμα», φ. 262.

16. «Μηνὶ δεκεμβρίῳ γ'· μαρτύριον τῆς ἁγίας Δόμνης καὶ τοῦ πλήθους τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων». Ἀρχ. «Πολιτεία καὶ βίος θεοφιλής», φ. 272. Κείμενον ἀνέκδοτον τύποις· ἕτερα δὲ ἀπόγραφα σημειοῦνται Matthaei (Acc. cod. gr. not. σ. 93) καὶ Miller (Catal. des MSS grecs de l' Escurial, σ. 278).

17. «Μαρτύριον τοῦ ἁγίου Κλήμεντος ἐπισκόπου Ἀγκύρας», οὗ ἡ ἀρχή· «Ἔτει διακοσιοστῷ», φ. 309β. Κείμενον ἀνέκδοτον, οὗπερ ἀπόγραφον ὅρα καὶ παρὰ τῷ Omont, Catalogue des MSS grecs des bibliothèques de Suisse, Leipzig 1886, σ. 13.

18. (Κρισπίνου) «βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Παρθενίου ἐπισκόπου Λαμψάκου». Ἀρχ. «Πόθῳ καὶ ἀγάπῃ κινούμενος», φ. 351. Migne τ. 114, σ. 1348.

19. «Μηνὶ μαΐῳ θ'· μαρτύριον τοῦ ἁγίου Χριστοφόρου καὶ τῶν σὺν αὐτῷ μαρτύρων». Ἀρχ. «Ἔτους τετάρτου τῆς βασιλείας Δεκίου ἦν πολλὴ μανία κατὰ τῶν εὐσεβούντων», φ. 379β. Τέλος· «φέρετε μοι ἵνα μόνον ἅψωμαι καὶ ἀποθάνω· οἱ δὲ ἀπελθόντες οὐδὲν εὗρον τότε ὅπου εἱστήκει τὸ σῶμα τοῦ δικαίου τιμωρού-

μενον· γῆν λαβόντες ἤνεγκαν καὶ ἐν ὕδατι λύσαντες ἐπότισαν αὐτόν, καὶ οὕτως ἀπέδωκεν ἐν κρίσει τὴν ψυχὴν αὐτοῦ καὶ ἐδοξάσθη τὸ ὄνομα τοῦ Κυρίου ἕως τοῦ αἰῶνος. Ἐτελειώθη δὲ ὁ ἅγιος Χριστοφόρος μηνὶ μαΐῳ θ', βασιλεύοντος τοῦ ἀσεβεστάτου Δεκίου, κατὰ δὲ ἡμᾶς βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστου, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν». Πρβλ. H. Usener, Acta S. Marinae et S. Christophori. Bonnae 1886, σ. 56—76.

20. Γρηγορίου τοῦ Θεολόγου, λόγος ὁ περὶ φιλοπτωχίας ἀκέφαλος, φ. 363.

243. Τετραευαγγέλιον ἐκ μεμβράνης, γραφὲν τῇ ια' ἑκατονταετηρίδι καὶ συναποτελούμενον ἐξ 190 φύλλων, μήκους μὲν 0,272, πλάτους δὲ 0,205· τὸ δὲ κείμενον ὑπάρχει δίστηλον, ἀριθμοῦν κατὰ σελίδα πᾶσαν εἴκοσι καὶ ἓξ γραμμάς (0,207× 0,135)· ἦν δὲ ποτὲ κτῆμα «τοῦ Ζεβελίνου» (ὅρα τὸ 2--ον φύλλον). Καὶ ἐν μὲν τῇ ἀρχῇ κεῖται κανόνιον τῶν ἀναγνωσμάτων ἑλληνιστί τε καὶ ἀραβιστὶ γεγραμμένον, ὃ προσέθηκε χεὶρ τοῦ ιγ' αἰῶνος· ἡ αὐτὴ δὲ χεὶρ ἀντέγραψε τὸ αὐτὸ κανόνιον καὶ ἐν τοῖς κρασπέδοις τοῦ κώδικος, ὡς αἱ καθ' ἑκάστην ἡμέραν ἀπῄτουν χρεῖαι. Ἔχει προσέτι τὸ βιβλίον ἐν τοῖς δυσὶ τελευταίοις φύλλοις ἀραβικά τινα σημειώματα, ἐξ ὧν δῆλον ὅτι τοῦτο παλαιόθεν ἐν Παλαιστίνῃ παρευρίσκετο· ἔχει δὲ καὶ κοσμήματα δύο κόκκινα, τὸ μὲν ταινιοειδὲς (φ. 149β), τὸ δὲ προσόμοιον τῷ γράμματι Π. Σημειωτέον ἔτι, ὅτι πολλῶν φύλλων ἡ γραφὴ δυσανάγνωστος ὑπάρχει νῦν διὰ τὴν πολλὴν ἄλλοτε τοῦ κώδικος μεταχείρισιν, καὶ ὅτι πάλιν ἄλλων φύλλων ἡ γραφὴ διωρθώθη πρὸς ἀνάγνωσιν.

244. Τετραευαγγέλιον ἐκ μεμβράνης, γραφὲν τῇ ιβ' ἑκατονταετηρίδι καὶ συναποτελούμενον ἤδη ἐκ φύλων 350, μήκους μὲν 0,267, πλάτους δὲ 0,19· τὸ δὲ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 18 μέχρις 20 (0,172×0,115)· μόνα δὲ τὰ φύλλα 43—58 γραμμὰς ἔχει κατὰ σελίδα 25. Καὶ ἐν μὲν τῇ ἀρχῇ τοῦ βιβλίου γέγραπται πρόσθετον κανόνιον τῶν ἀναγνωσμάτων, μεθ' ὃ κεῖται τὸ κατὰ Ματθαῖον εὐαγγέλιον

(φ. 3—110)· μετὰ δὲ τοῦτο φαίνεται φύλλον ἓν ἀποκεκομμένον διὰ ψαλλίδος· δύο δὲ πάλιν φύλλα Πορφύριος ἔκοψεν, ἅπερ ἔκειτο μετὰ τὸ νῦν 123-ον φύλλον· ταῦτα δὲ μέρος εἶχε τοῦ κατὰ Μᾶρκον εὐαγγελίου καὶ νῦν ὡς εἰκὸς τὴν ἐν Πετρουπόλει κοσμεῖ βιβλιοθήκην (ἀριθ. 300. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 126). Ἀτελὲς δὲ μένει καὶ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον (φ. 281—350), ἕνεκα τῆς ἀπωλείας τῶν ἐξ ἀρχῆς τελευταίων φύλλων τοῦ κώδικος· μετὰ δὲ τοῦτο προσέθηκεν ὁ δέτης τεμάχιον εὐγγελίου λειτουργικοῦ τῆς αὐτῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ὅπερ ἔχει κατὰ σελίδα γραμμὰς 25 καὶ γραφὴν ὁμοίαν τῇ τῶν φύλλων 43 — 58 τοῦ κώδικος τούτου· σύγκειται δὲ τὸ τεμάχιον τοῦτο μόνον ἐκ φύλλων τεσσάρων, καὶ μετὰ 4 περικοπὰς ἀναγνωσμάτων ὑπάρχει ἐν αὐτοῖς α') «Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν καὶ τὴν τῶν εὐαγγελιστῶν διαδοχήν, πόθεν τε ἄρχονται καὶ ποῦ καταλήγουσιν»· καὶ β') «Δήλωσις πῶς δεῖ εὑρίσκειν τὰ ζητούμενα εὐαγγέλια».

245. Λειτουργικὸν εὐαγγέλιον ἀτελὲς καὶ ἀκέφαλον, ἀρχόμενον ἀπὸ τῶν λέξεων τούτων· «ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται» κτλ. Σύγκειται νῦν ἐκ φύλλων χάρτου βαμβακεροῦ 207, μήκους μὲν 0,271, πλάτους δὲ 0,197· τὸ δὲ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἕξ (0,205×0,132)· γέγραπται δὲ τῇ ιγ' ἑκατονταετηρίδι.

246. Λειτουργικὸν εὐαγγέλιον ἐκ χάρτου βαμβακεροῦ, γεγραμμένον ἀμφὶ τὸ τέλος τῆς ιβ' ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐξ 94 φύλλων, μήκους μὲν 0,265, πλάτους δὲ 0,215· ἔχει δὲ τὸ κείμενον αὐτοῦ κατὰ σελίδα δίστηλον ἐκ γραμμῶν 27—29· ὃ καὶ γράμματα κεφαλαιώδη πολλὰ φιλοκάλως ἐσκευασμένα τὸ δὲ χρῶμα κόκκινον ἔχει καὶ κίτρινον, τὰς ἀρχὰς ἐπικοσμοῦντα τῶν ἀναγνωσμάτων· ἔχει δὲ καὶ κοσμήματα τρία, τὸ μὲν ταινιοειδές, τὰ δὲ παρεμφερῆ πρὸς τὸ γράμμα Π (ὅρα φ. 1, $14^{β}$ καὶ $27^{β}$). Ἐν δὲ τῷ κρασπέδῳ τῆς ὀπισθίου σελίδος τοῦ 94-ου φύλλου γέγραπται περὶ τὸν ιδ' αἰῶνα σημείωμα τοιοῦτον· «Εὐαγγέλιον τοῦ ἁγίου Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ ͼβμ».

247. Προφητολόγιον ἐκ μεμβράνης ἀκέφαλον, ἀρχόμενον ἀπὸ τῶν λέξεων τούτων· «...σεται εἰς κρίσιν Κύριος καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ» κτλ. Ἐγράφη δὲ τῇ ἐνδεκάτῃ ἑκατονταετηρίδι καὶ νῦν ἐκ φύλλων ἀποτελεῖται 188, μήκους μὲν 0,277, πλάτους δὲ 0,22· τὸ δὲ κείμενον αὐτοῦ δίστηλον ὑπάρχει κατὰ σελίδα (0,215 × 0,165), σημεῖα φέρον ἁπανταχοῦ μουσικὰ διὰ κινναβάρεως γεγραμμένα καὶ κατὰ τὴν ἀρχὴν μιᾶς ἑκάστης τῶν περικοπῶν ἐπικοσμούμενον ἐγκεκαλλωπισμένῳ τινὶ γράμματι κεφαλαιώδει, τὸ χρῶμα κόκκινον ὡς ἐπὶ τὸ πολὺ ἔχοντι. Ὑπάρχουσι δὲ καὶ κοσμήματα ταινιοειδῆ τὰ τμήματα διακρίνοντα τῶν ἀναγνωσμάτων, καὶ ἕτερον πάλιν ἐν τῷ 124-ῳ φύλλῳ παρεμφερὲς πρὸς τὸ Π γράμμα· ὅπερ διαχωρίζει τὸ συναξάριον τῶν προφητειῶν. Ἠρίθμει δὲ τὸ βιβλίον ἐξ ἀρχῆς κς' τετράδια· ἐξ ὧν ἐλλείπει τὸ πρῶτον τὸ δεύτερον, ἑπτὰ φύλλα τοῦ τρίτου καὶ δύο τοῦ τελευταίου τετραδίου, ἔνθα καὶ σημείωμα τοιοῦτον ὑπάρχει τῆς ιγ' ἑκατονταετηρίδος (φ. 188), ἐν τῷ κρασπέδῳ γεγραμμένον· «✝ Ἐσταχώθ(η) ὁ παροῦσα αὕτη ἡ βίβλος διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου Σίμονος ἱερομονάχου» κτλ. Τὸ μὲν συναξάριον, διὰ τὸν ἐκπεσμὸν δύο φύλλων, ὑπάρχει νῦν ἀτελές, εἰς τὴν ιθ' αὐγούστου λῆγον (φ. 124—188)· αὐτὸ δὲ τὸ προφητολόγιον ἔχει πολλαχοῦ καὶ διατάξεις ἐκτενεῖς περὶ τῶν τελετῶν διαφόρων ἑορτῶν, ἐξ ὧν ἐγὼ τὴν ἐφεξῆς ἀντέγραψα παραδείγματος ἕνεκεν, ἀναφερομένην δὲ εἰς τὴν ἐν τῷ μεγάλῳ Σαββάτῳ τελουμένην ἱερὰν λειτουργίαν (φ. 117)· «Ἐν τῷ ψάλλεσθαι δὲ τὸ εὐαγγέλιον οἱ πρεσβύτεροι μετὰ τῶν διακόνων κατέρχονται ἐκ τοῦ συνθρόνου καὶ ἀλλάσσουσιν στολὴν εὐθύς, καὶ οὕτως εἰσέρχονται μετὰ τοῦ ἀρχιεπισκόπου καὶ τῶν νεοφωτίστων εἰς τὴν β' εἴσοδον, πάντων λευχειμονούντων, (μετὰ) μανουαλίων γ', ὀψικευόντων καὶ λεγόντων προκείμενον (εἰς) ἦχον β': Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Στίχος· "Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσεται Κύριος ἁμαρτίαν". Ὅταν δὲ ἔλθωσιν εἰς τοὺς μεσοπυλῶνας, ὁ ψάλτης λέγει· "Ἐὰν ἐξογορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ". Ὅτε δὲ ἀκούσει ὁ ψάλτης ὁ ἑστὼς ἐν τῷ ἄμβωνι καὶ ψάλλων τὸ εὐαγγέλιον τοῦ

ἑτέρου ψάλλοντος τὸ "Μακάριοι ὧν ἀφέθησαν", κατέρχεται ἀπὸ τοῦ ἄμβωνος καὶ οὕτως ἀνέρχεται ἐκεῖνος ἐν τῷ ἄμβωνι· εἶθ' οὕτως μετὰ τὴν συμπλήρωσιν δίδωσιν αὐτῷ ὁ ἀρχιδιάκονος καιρὸν ἐκ τοῦ θυσιαστηρίου καὶ λέγει τὴν περισσήν, καὶ παραχρῆμα κατέρχεται· εὐχὴ δὲ οὐ γίνεται, ἀλλ' εὐθὺς ἀνέρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι καὶ λέγουσιν ἀντὶ τοῦ τρισαγίου "Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε"· προκείμενον δὲ οὐκ ἀνέρχεται [sic], ἀλλ' εὐθὺς ὁ ἀπόστολος πρὸς Ῥωμαίους· "Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε". Τέλος· "ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν". Ἀντὶ τοῦ Ἀλληλούια ἦχος βαρύς· "Ἀνάστα ὁ Θεὸς κρίνων τὴν γῆν". Τούτου δὲ ψαλλομένου αἴρεται ἡ λευκὴ ὀθόνη ἐφηπλωμένη ἐν τῇ ἁγίᾳ τραπέζῃ παρὰ τῶν διακόνων, ἥτις εἰς τύπον ἐπιτελεῖσθαι παρεδόθη παρὰ τῶν θείων πατέρων τοῦ ἀποκυλισθέντος λίθου ἐκ τῆς θύρας τοῦ ζωαρχικοῦ μνήματος τοῦ θεανθρώπου λόγου καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἶθ' οὕτως λέγεται ὁ α' στίχος· "Ὁ Θεός ἐστιν ἐν συναγωγῇ". Στίχος· "ἕως πότε κρίνετε ἀδικίαν" ἕως "καὶ πένητ(ες) δίκαιοι": Στίχος "Ἐξέλεσθε πένητας καὶ πτωχοὺς" ἕως "καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε". Τὸ "Ἀνάστα ὁ Θεὸς κρίνων". Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μαθαῖον· "Ὀψὲ σαββάτων". Τέλος· "ἕως τῆς συντελείας". Κοινωνικόν· "Ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος". Τοῦτο δὲ χρὴ εἰδέναι, ὅτι τῇ ὅλῃ ἑβδομάδι τῆς διακινησίμου μέχρι τοῦ σαββάτου ἀντὶ τοῦ τρισαγίου ψάλλεται τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε».

248. Τετραευαγγέλιον ἐκ μεμβράνης ἀκαλλέστατον, ἔχον ἐν τῇ ἀρχῇ κόσμημα μέγα, παριστῶν ἐπὶ πρασίνου χρώματος ὄρνεα δύο φαντασιώδη· σύγκειται δ' ἐκ φύλλων 192, μήκους μὲν 0,265, πλάτους δὲ 0,17· τὸ δὲ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον, ὅπερ ὡς ἔοικεν ἐγράφη διὰ τριῶν ὁμοῦ γραφέων ἀδεξιωτάτων. Ἐκ τῶν εὐαγγελίων ἐλλιπές ἐστι μόνον τὸ κατὰ Λουκᾶν, ἕνεκα τῆς ἀποκοπῆς ἐνίων φύλλων· ἐγράφη δὲ τὸ βιβλίον περὶ τὴν ἀρχὴν τῆς ιγ' ἑκατονταετηρίδος.

249. Τεῦχος μεμβράνινον ἀκέφαλον ἐκ φύλλων 189, μήκους μὲν 0,262, πλάτους δὲ 0,215· ἐγράφη περὶ τὴν ἀρχὴν

τῆς ἐνδεκάτης ἑκατονταετηρίδος, καὶ τὸ κείμενον αὐτοῦ κατὰ σελίδα δίστηλον ὑπάρχει, γραμμὰς ἀριθμοῦν 29 ἢ 30 (0,213×0,146). Περιέχει δὲ λόγους ἠριθμημένους εἴκοσιν Ἰωάννου τοῦ Χρυσοστόμου, ἐξ ὧν ἐλλείπουσι νῦν ὁ η', ὁ ια', ὁ ιβ', ὁ ιδ' καὶ τὰ τέλη τινῶν ἄλλων ὁμιλιῶν.

1. Λόγοι περὶ τῆς ἁγίας Ἄννης ε', ὧν ὁ πρῶτος ἀκέφαλος, ἀρχόμενος ἀπὸ τῶν λέξεων τούτων· «[παν]ταχοῦ τὴν ἡσυχίαν ἔστιν ὁρᾶν, ἀλλ' οὐχὶ νῦν οὕτως, ἀλλ' εὐθέως ὑπὸ τὴν ἕω» κτλ. Ἀρχὴ τοῦ β' λόγου· «Οὐδὲν ἄρα εὐχῆς ἴσον» κτλ., φ. 9β. Ὅρα Migne τ. 54, σ. 643 κἑ.

2. Ὁμιλίαι δύο, ἡ πρώτη καὶ ἡ δευτέρα, περὶ Δαβὶδ καὶ Σαούλ, φ. 40—67. Migne τ. 54, σ. 675—694.

3. Ὁμιλίαι τρεῖς εἰς τὸν Λάζαρον, φ. 68 — 110. Migne τ. 48, σ. 963—990 καὶ 1005—1017.

4. «Εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου: Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ἵνα μὴ λυπεῖσθε, καθὼς καὶ οἱ λοιποί». Ἀρχ. «Ἡμέρας τεσσαράκοντα ἀναλώσαμεν», φ. 111. Migne τ. 48, σ. 1017.

5. «Περὶ τελείας ἀγάπης καὶ τῆς κατ' ἀξίαν τῶν ἔργων ἀνταποδώσεως, καὶ περὶ κατανύξεως καὶ κρίσεως καὶ ἐπιθυμίας τῶν μελλόντων ἀγαθῶν, καὶ πρὸς τῷ τέλει περὶ τῶν ἀπιστούντων ὅτι ἔστι γέεννα». Ἀρχ. «Πᾶσα πρᾶξις ἀγαθή», φ. 120. Migne τ. 56, σ. 279.

6. Λόγοι τρεῖς πρὸς Σταγείριον, φ. 130β — 174. Migne τ. 47, σ. 423—496.

7. Κατηχήσεις δύο πρὸς τοὺς μέλλοντας φωτίζεσθαι, φ. 175—189. Migne τ. 49, σ. 224—241.

250. Ἡ θεία λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου, γραφεῖσα περὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ συγκειμένη ἐκ φύλλων χάρτου εἴκοσι, μήκους μὲν 0,27, πλάτους δὲ 0,20· τὸ δὲ κείμενον ὑπάρχει μονόστηλον, ἀριθμοῦν κατὰ σελίδα πᾶσαν ὀκτωκαίδεκα γραμμὰς (0,20×0,116)· κοσμεῖται δὲ τοῦτο πολλαχοῦ μεγάλοις ἀρκτικοῖς κεφαλαιώδεσι γράμμασι ῥοδοχρόοις καὶ

κοκκίναις ἐπιγραφαῖς καὶ μεγάλῳ τινὶ κοσμήματι τὴν ἀρχὴν ἐπικοσμοῦντι τοῦ τεύχους· ὅπερ ἐστὶ τὸ σχῆμα τετράγωνον παραλληλόγραμμον, ἐπίχρυσον· μετὰ δὲ τὸ τέλος ἔγραψεν ὁ καλλιγράφος αὐτοῦ τὸ «Μνήσθητι Κύριε τοῦ δούλου σου Δανιὴλ ἱεροθύτου».

251. Τεῦχος ἐκ χάρτου, συνιστάμενον ἐκ φύλλων 69, μήκους μὲν 0,274, πλάτους δὲ 0,20· ἐγράφη δὲ παρὰ τοῦ Σαβαΐτου Ἰωαννικίου, ὃς καὶ τὸ ὄνομα τὸ ἑαυτοῦ παρεπέγραψεν ἐν τῷ κρασπέδῳ τοῦ πρώτου φύλλου κατὰ τὸν ἑξῆς τρόπον· «Ἰωαννικίου καὶ τόδε πρὸς τοῖς ἄλλοις· ἀφιέρωσα εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα: ✝ 1784-ῳ». Περιεχόμενα·

1. Ἐκλογαὶ τῆς βίβλου Παύλου τοῦ Εὐεργετικοῦ, φ. 1 κέ. Ἀρχ. «Περὶ τοῦ πῶς καὶ πόθεν τις τῶν λογισμῶν περιγίνεται καὶ μέχρι τίνος ἐπὶ τούτοις οὐκ εὐθυνόμεθα: ἐν τῷ Γεροντικῷ. Ἠρώτησεν ὁ ἀββᾶς Ἡσαΐας τὸν ἀββᾶν Ποιμένα περὶ ῥυπαρῶν λογισμῶν» κτλ.

2. «Τοῦ μακαριωτάτου Ἰωάννου μητροπολίτου Εὐχαΐτων ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον· αὕτη δὲ ἁρμόζει καὶ παντὶ κελλιώτῃ». Ἀρχ. «Ἐδεξάμην σου πάτερ», φ. 62.

3. Εὐχαὶ δύο τῆς ἁγίας Μακρίνης καὶ Βασιλείου τοῦ μεγάλου, φ. $69^{β}$.

252. Θεοτοκάριον ἐκ χάρτου συναριθμοῦν 278 σελίδας· ἔστι δὲ μήκους μὲν 0,275, πλάτους δὲ 0,18. Ἀρχ. «Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ ἀπόδειπνον κανὼν τῆς Θεοτόκου· ᾠδὴ α', ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος κραταιὰ» κτλ. Μετὰ δὲ τὸ τέλος ὑπάρχει τὸ σημείωμα τοῦτο· «Τῶ παρὸν θεοτοχάριων ἐγράφυ δὶ ἀχυρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Ἰακόβου ἱερομονάχου του Θεσαλονικέου· εἰς τὴν λαύραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ὑγῆάσμένου· εἰς τοὺς—1815—ἐν μινὺ ἰάνουαρίου 25» κτλ.

253. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, ὑπὸ πέντε μεμβρανίνων φύλλων περικεκαλυμμένον, ἃ μέρος ἐστὶ Τριῳδίου τινὸς τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· τούτου δὲ τὸ κείμενον κατὰ σελίδα μονόστηλον ὑπῆρχε καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ὀκτώ. Σύγκειται τοίνυν τὸ τεῦχος ἐκ φύλλων 72, μήκους μὲν 0,278, πλάτους δὲ 0,185·

περιέχει δὲ λόγους τέσσαρας Ἰωάννου τοῦ Χρυσοστόμου, ἕνα περὶ τῶν ὑπὸ Ἡρώδου ἀναιρεθέντων νηπίων καὶ τρεῖς περὶ τῆς Θεοτόκου· μετὰ δὲ τούτους Γρηγορίου τοῦ Ναζιανζηνοῦ "λόγον εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν" καὶ Βασιλείου τοῦ μεγάλου λόγους τρεῖς, ὧν ἔσχατός ἐστιν ὁ περὶ παρθενίας.

254. «Βιβλίον λεγόμενον Παράδεισος», ὑπὸ Σαμουὴλ ἱερομονάχου τοῦ Κυπρίου γραφὲν ἔτει 1799-ῳ καὶ τῇ λαύρᾳ τοῦ ὁσίου Σάβα δωρηθὲν ὑπ' αὐτοῦ· σύγκειται δ' ἐκ σελίδων 428 καὶ μήκους μὲν ἔστι 0,27, πλάτους δὲ 0,192.

255. «Κανόνες καὶ εὐλογητάρια ψαλλόμενα ἐν τῷ κουβουκλίῳ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου ἐν ἑκάστῃ ἑβδομάδι, ἐν τῇ παρασκευῇ ἑσπέρας». Τεῦχος ἐκ φύλλων χάρτου 28, μήκους μὲν 0,293, πλάτους δὲ 0,19· ἐγράφη δὲ τῇ 5-ῃ μαΐου τοῦ 1820-οῦ ἔτους.

256. Ἀντίγραφον ἐντύπου βιβλιαρίου, φύλλα συναριθμοῦν ἑκκαίδεκα· φέρει δὲ τὴν ἐπιγραφὴν ταύτην· «Ἀκολουθία τοῦ ἁγίου ἐνδόξου ἱερομάρτυρος Μοδέστου, ἀρχιεπισκόπου Ἱεροσολύμων, συγγραφεῖσα μὲν παρὰ Ἀγαπίου μοναχοῦ τοῦ Κρητός, ἤδη δὲ τύποις ἐκδοθεῖσα δι' ἀδείας τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Γρηγορίου, καὶ δι' ἐξόδων καὶ ἐπιμελείας τοῦ πανοσιωτάτου ἐν ἱερομονάχοις Θεοδοσίου, προηγουμένου τῆς κατὰ τὸ ἁγιώνυμον ὄρος ἱερᾶς καὶ σεβασμίας μονῆς τοῦ Σταυρονικήτα, τοῦ ἐπιτρόπου τῆς κοινότητος χρηματίσαντος, πρὸς χρῆσιν καὶ ὠφέλειαν τῶν ὀρθοδόξων. Ἐν Κωνσταντινουπόλει ͵αωιθ'». Τὴν ἔκδοσιν ταύτην οὐδεὶς τῶν βιβλιογράφων ἐγνώρισεν, οὔτε Βρετὸς οὔτε Σάθας οὔτε Παῦλος ὁ Λάμπρος· περὶ δὲ τοῦ Μοδέστου ὅρα τὸ βιβλίον τοῦτο: Ἄθλησις τοῦ ἁγίου Μοδέστου ἀρχιεπισκόπου Ἱεροσολύμων, ἐκδοθεῖσα ὑπὸ Χρυσάνθου Λοπαρέβου, ἐν Πετρουπόλει 1892 (τεῦχος 91-ον τῆς συλλογῆς: **Памятники Древней Письменности**).

257. Τεῦχος ἐκ φύλλων 396, ὧν τὰ μὲν πρῶτα 115 καὶ τὰ τελευταῖα δέκα καὶ ἑπτὰ χάρτινά ἐστι, γραφέντα περὶ τὴν ιε' ἑκατονταετηρίδα· φύλλα δέ τινα (368—379) βαμβακεροῦ

χάρτου προσετέθη περὶ τὴν ιγ' ἑκατονταετηρίδα· πάντα δ' ὅμως τὰ λοιπὰ μεμβράνινα ὑπάρχει (φ. 116-367), καὶ ἡ γραφὴ τούτων φαίνεται καλλιγράφου τινὸς εἶναι πόνημα περὶ τὸ τέλος ἀκμάσαντος τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος· ἔστι δὲ τὸ τεῦχος μήκους μὲν 0,265, πλάτους δὲ 0,22. Περιεχόμενα·

1. Ἀναβαθμοὶ τῆς Ὀκτωήχου, ὧν ἡ ἀρχὴ λείπει, φ. 1.

2. Στιχηρὰ σταυροθεοτοκία καὶ ἕτερα τοιαῦτα, φ. 4β.

3. «Κανὼν εἰς τὴν ἁγίαν καὶ ζωαρχικὴν τριάδα· ποίημα Μητροφάνους, οὗ ἡ ἀκροστιχίς: Μίαν σε μέλπω τὴν τρισήλιον φύσιν», φ. 78.

4. «Ἀναγνώσματα ἑωθινὰ ἀναστάσιμα» εὐαγγέλια, φ. 103.

5. «Ἑρμηνεία τοῦ ιη' ψαλμοῦ», ἧς ἡ ἀρχή· «Τῶν θείων νόμων εἴδη τρία παρὰ τοῦ μακαρίου διδασκόμεθα Παύλου», φ. 110.

6. Παρακλητικὴ ἤτοι ὀκτώηχος ἡ μεγάλη, τὰ μεμβράνινα φύλλα κατέχουσα (116-367), τάξιν ὅμως ἔχουσα διάφορον τῆς νῦν· διὸ καὶ τὰ λείποντα ταύτῃ προσέθηκεν ἕτερος ὕστερον ἐν τοῖς προτεταγμένοις ἐκ χάρτου φύλλοις. Ἐπεὶ δὲ τὴν ἀρχὴν αὐτῆς ὁ χρόνος ἔφθειρε, τὸ κείμενον ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τούτων· «Χαῖρε ἡ τῆς χάριτος πηγή, χαῖρε ἡ κλίμαξ» κτλ., φ. 116. Εἰς φ. 119 «Τῇ Κυριακῇ ἑσπέρας στιχηρὰ κατανυκτικά· ἦχος α'». Ἀρχ. «Ὅτι τὸ πέλαγος πολὺ τῶν παραπτωμάτων μου» κτλ.—Φύλ. 367 «Ἐξαποστειλάρια τῶν ια' εὐαγγελίων τῶν ἑωθινῶν», ὧν ἐλλείπει τὸ τέλος.

7. «Συνοδικὸν ἀναγινωσκόμενον τῇ Κυριακῇ τῆς ὀρθοδοξίας», φ. 368-380.


8. Μακαρισμοὶ τῆς Ὀκτωήχου, φ. 381-ον μέχρι τοῦ 396-ου φύλλου, ἔνθα γέγραπται τοῦτο· «Τέλος σὺν Θεῷ ἁγίῳ τῶν μακαρισμῶν τῶν ὅλων ἑβδομάδων, καὶ τὸ ἀνθιβόλιν ἦτον κακὸν πολλά».

258. Τεῦχος ἐκ μεμβράνης, γραφὲν ἀμφὶ τὴν ἑνδεκάτην ἑκατονταετηρίδα καὶ φύλλα σῷζον ἤδη 233, μήκους μὲν 0,261, πλάτους δὲ 0,192· πρότερον δὲ φύλλα συνηρίθμει 281, καθάπερ ὡμολόγησε τοῦτο Πορφύριος ὁ Οὐσπένσκης, ὑποσημειωσάμενος ἰδίᾳ χειρὶ τὸν ἀριθμὸν ἐκεῖνον εἰς τὸ τέλος αὐτοῦ τοῦ κώδικος. Ἔστι

δὲ τὸ κείμενον αὐτοῦ κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα, ὡς εἶναι τὸν χῶρον αὐτοῦ 0,184×0,115· καὶ ἐν μὲν τῇ πρώτῃ σελίδι περιέχεται καταγραφὴ λόγων ἑπτακαίδεκα Γρηγορίου τοῦ Θεολόγου, περιεχομένων ἐξ ἀρχῆς ἐν τῷ κώδικι· ὧν πρώτιστος μὲν ἔστιν ὁ περὶ τοῦ πάσχα καὶ τῆς βραδυτῆτος, ἔσχατος δὲ ὁ περὶ τῆς πληγῆς τῆς χαλάζης· οὗτος δ' ὅμως ἐλλείπει νῦν· ἐλλείπει δ' ὡσαύτως καὶ λόγος ἕτερος, ὅς ἀριθμὸν ἔφερε τὸν ἕκτον· ἐλλείπει δὲ καὶ τὸ τέλος τοῦ ις' λόγου, λήγοντος ἤδη τούτου ταῖς λέξεσι ταύταις· «καὶ πάντα τὰ τῆς φιλανθρωπίας ῥήματα, μόνον ἂν ἴδῃ σε τοῖς». Σημειωτέον ἔτι, ὅτι τὴν μὲν ὀπίσθιον σελίδα τοῦ πρώτου φύλλου κατέχει πίναξ ἀπεικάζων ἐπὶ χρυσοῦ στρώματος τὸν συγγραφέα τῶν λόγων, Γρηγόριον τὸν Θεολόγον, ἐπὶ σκίμποδος καθήμενον καὶ γράφοντα βιβλίον ἐπὶ τῶν γονάτων, ἔχοντα δὲ κατενώπιον αὐτοῦ τὸ λεγόμενον ἀναλογεῖον καὶ μετὰ τοῦτο δωμάτιον οἰκίας ἕν· ὑπεράνω δὲ τῆς ἀρχῆς τοῦ πρώτου λόγου χρυσοῖς μὲν κεφαλαιώδεσι δὲ γράμμασιν ὑπάρχει τὸ «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὸ πάσχα καὶ εἰς τὴν βραδυτῆτα»· ὅπερ ἔχει ἄνωθεν κόσμημα καλὸν ἐπίχρυσον καὶ χρωματιστόν, ὅμοιον τὸ σχῆμα τῷ γράμματι Π· τοὺς δ' ἄλλους ἐν τῷ κώδικι λόγους ἁπλῶς ἐχώρισε κοσμήματα καλὰ τὸ σχῆμα ταινιοειδῆ· ἕκαστον δὲ τῶν λόγων ἀρκτικὸν γράμμα κεφαλαιῶδες ὑπάρχει, μέγιστον, εὔμορφον καὶ χρώμασι κεκοσμημένον· εἰσὶ δὲ καὶ τούτων αἱ ἐπιγραφαὶ συνόλως ἐπίχρυσοι.

259. Τεῦχος μεμβράνινον ἐκ φύλλων 317, μήκους μὲν 0,26, πλάτους δὲ 0,212· ὅπερ ἐξ ἀρχῆς ἠρίθμει φύλλα 336· ἐλλείπει γὰρ ἤδη τὸ δέκατον καὶ τὸ συνεπόμενον τούτῳ τετράδιον, ἔτι δὲ φύλλον ἓν (τὸ μετὰ τὸ νῦν 132-ον φύλλον), ὅπερ ἐκ παλαιοῦ διὰ ψαλλίδος ἀπεκέκοπτο, καὶ πάλιν ἕτερα φύλλα δύο, παλαιοὺς ἀριθμοὺς ἔχοντα (275 καὶ 276), ἅπερ ἐξ ἀρχῆς ὑπῆρχε μετὰ τὸ νῦν 287-ον φύλλον, ἔνθα τὸ τέλος ἦν ἀνωνύμου συγγραφῆς περὶ τῆς ἁγίας μάρτυρος Εὐφημίας· τὰ δὲ φύλλα ταῦτα, τὰ δύο, Πορφύριος ἔκοψεν ὁ Οὐσπένσκης καὶ τῇ βιβλιοθήκῃ Πετρουπόλεως





Σελ. 385.

Κῶδ. Σαβαΐτ. 259, ἔτους 1089-1090, φ. 317.

Дозволено цензурою 15 Января 1892 г. Фототипія Н. Индутнаго. Сергіевская ул.

[illegible]

[illegible]
[illegible] 17 [illegible]
[illegible]
[illegible] 30' [illegible]
[illegible]
[illegible] τοῦ [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
ἐν τῷ [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] καὶ [illegible]
[illegible] καὶ [illegible]
[illegible] τοῦ [illegible]

1. [illegible]
[illegible]
[illegible]

2. [illegible]
[illegible]
[illegible] σ. 421.

3. [illegible] τοῦ [illegible]
[illegible]
[illegible] σ. 731.

ὕστερον ἔδωκεν (ἀριθ. 376. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 139). Ὡς μὲν οὖν ἔχει νῦν ὁ κῶδιξ οὗτος, ἀριθμεῖ φύλλα μόνα 317· γραφὴν δ' ἐμφέρει κακὴν ἀνορθόγραφον, ἐνιαχοῦ μορφὴν ἔχουσαν ἑτεροίαν, ἐν δὲ μιᾷ ἑκάστῃ τῶν σελίδων οὖσαν δίστηλον καὶ γραμμὰς ἀριθμοῦσαν 27 μέχρι 30· ποικίλλεται δ' οὐχ ἧττον ἐπιγραφαῖς, χρώματι κροκώδει σχηματισθείσαις· ὡς δὲ τὸ σημείωμα λέγει τοῦ γραφέως, τὸ γεγραμμένον ἐν τῷ τελευταίῳ φύλλῳ, τὸ τεῦχος ὑπάρχει πόνημα τοῦ 1089-ου ἢ τοῦ 1090-ου ἔτους· γέγραπται δὲ τὸ σημείωμα κατὰ τὸν ἑξῆς τρόπον· «Ἐτελεΐώθεῖ· ἡ παροῦ|σα δέλτος· διασυνδρο μεῖς Βασιλείου κουβουκλησίου χωρίου Βάβλας | καὶ ἐτέθει εἰς τον πάν|σεπτον ναὸν τοῦ ἁγίου | [πρς ἡμῶν καὶ ἱεράρχου Νικολάου εἰς Ἀκροτήριν] | ἐγράφη χειρὶ Γερασίμου | μοναχοῦ καὶ πρεσβυτέ|ρου· ἔτους κόσμ(ου)· ,ϛφ|ϙη· ιἢ ϊδ». Ὅρα δὲ τὸ ἰσότυπον τοῦ σημειώματος ἐν τῷ προσκειμένῳ φωτοτυπικῷ πίνακι· ἔνθα προσέτι σημείωσαι τὴν ἐν αὐτῷ νοθείαν, οὖσαν ὁμολογουμένως ἔργον ὑστέρων χρόνων, ἣν ἐγὼ δι' ἀγκυλῶν ἐνταῦθα παρεδήλωσα· πρότερον γὰρ ἐκεῖ μονῆς ἀγνώστου νῦν ἡμῖν ὄνομα συνυπῆρχε. Τὸ βιβλίον ἔχει προσέτι σημείωμα δεύτερον, ὄπισθεν τοῦ 72-ου φύλλου γραφὲν ὡς ἔοικε τῇ ιβ' ἑκατονταετηρίδι· λέγει δὲ τοῦτο τάδε· «Ἐγὸ εὐτελῆς Φιλόθ(εος) (μον)αχ(ὸς) καὶ ὑποτακτηκὸς οἰγουμένου μο(νῆς)///ίμι, Στίλλου καὶ Ἀγροῦ· τῷ ὁσϊοτάτῳ π(ατ)ρὶ ἡμῶν Μακαρίῳ ϊερο-(μον)άχ(ῳ) καὶ [ἡγ]ούμένῳ». Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τῆς ἱστορίας τοῦ κώδικος· ἃ δὲ περιέχει τὸ τεῦχος, τάδ' ἔστιν·

1. «Ἀνδ[ραγα]θήμα[τα ἤτοι] ἄθλησις τῶν ἁγίων τριῶν παίδων, Ἀνανίου Ἀζαρίου Μισαὴλ, καὶ Δανιὴλ τοῦ προφήτου». Ἀρχ. «Βούλομαι τοίνυν ὑφήγησιν», φ. 1. Ἱεροσολ. Βιβλ. Ι, σ. 25.

2. «Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας, λόγος εἰς τὸ ἅγιον βάπτισμα», οὗ ἡ ἀρχή· «Ὁ μὲν σοφὸς Σολομῶν», φ. 21. Migne τ. 31, σ. 424.

3. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια», φ. 31. Migne τ. 50, σ. 791.

4. Ἐπιφανίου Κύπρου «λόγος τῇ Κυριακῇ τῶν βαΐων», οὗ ἡ ἀρχή· «Χαῖρε σφόδρα θύγατερ», φ. 37. Migne τ. 43, σ. 428.

5. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὴν συκῆν, οὗ ἡ ἀρχή· «Ὀφθαλμὸς μὲν ὁρῶν», φ. 45. Migne τ. 59, σ. 585.

6. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὰς δέκα παρθένους, οὗ ἡ ἀρχή· «Ὅταν τὸ εὐδαπάνητον», φ. 51. Migne τ. 59, σ. 527.

7. Ἐφραὶμ τοῦ Σύρου «ὁμιλία εἰς τὴν πόρνην, ἥτις τὸ ἀλάβαστρον μύρον ἤλειψε τοὺς πόδας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τῇ μεγάλῃ δ'». Ἀρχ. «Πολλῶν ὄντων ἁγίων», φ. 55. Assemani II, σ. 297.

8. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σεβηριανοῦ ἐπισκόπου Γαβαλῶν [sic], λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα· τῇ ἁγίᾳ ε'». Ἀρχ. «Δεῦρο τοίνυν ἀγαπητὲ καὶ περὶ τῆς προδοσίας», φ. 93β. Λόγος ἀσημείωτος παρὰ τῷ Φαβρικίῳ.

9. «Τὰ παιδικὰ μεγαλεῖα τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἀναγκαῖον ἡγησάμην ἐγὼ Θωμᾶς Ἰσραηλίτης γνωρίσαι πᾶσιν τοῖς ἐξ ἐθνῶν ἀδελφοῖς ὅσα ἐποίησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, γεννηθεὶς ἐν τῇ χώρᾳ ἡμῶν Βηθλεέμ, κώμῃ Ναζαρέτ· ὧν ἡ ἀρχὴ ἔστιν αὕτη» κτλ., φ. 66-72. Πρβλ. Tischendorf, Evangelia apocrypha (Lipsiae 1881) σ. 140 καὶ 158. Τὸ ἱεροσολυμιτικὸν ἀπόγραφον ἔχει διαφορὰς ἀξιολόγους· μετὰ δὲ τὸ 72-ον φύλλον ὑπῆρχε τετράδια δύο νῦν ἐλλείποντα.

10. Λείψανον ἀποκρύφου βιβλίου, φ. 73-74α. Ἀρχ. «— — ὁ καὶ Ἄγριππας ὁ γενόμενος ἔτι ζῶν σκωληκόβρωτος» κτλ. Τέλος· «ἀποστέλλει αὐτῷ κατ' ἐνιαυτόν· ὃ καὶ ἐποίησαν ἅπαντες, ἵνα ὁμοφωνῇ τὸ κήρυγμα τοῦ Χριστοῦ· αὐτῷ ἡ δόξα» κτλ.

11. «Θαῦμα γενόμενον ἐν Κωνσταντίνου πόλει περὶ Νικήτα τοῦ χαρτουλαρίου». Ἀρχ. «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ φησὶν ὁ μακάριος Δαυίδ», φ. 74.

12. «Ἐκ τῆς ἀρχαίας ἱστορίας· κατάθεσις Ἰουδαίου ὁμολογήσαντος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος εἶναι καὶ τῆς ἁγίας Θεοτόκου Μαρίας, καὶ μετὰ τὸ γεννῆσαι παρθένος πάλιν μεμένηκεν». Ἀρχ. «Ἐν τοῖς χρόνοις τοῦ

εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ ὑπῆρχεν ἄνθρωπός τις, ᾧ ὄνομα αὐτοῦ Θεοδόσιος», φ. 77β.

13. «Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀρτέμονος τοῦ θαυματουργοῦ». Ἀρχ. «Ἔτους εἰκοστοῦ τετάρτου ὑπὸ [sic] τῆς βασιλείας Διοκλητιανοῦ», φ. 84. Κείμενον ἄγνωστον τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

14. «Ἰωάννου πρεσβυτέρου πόλεως Κωνσταντίας, εἰς τὸν βίον τοῦ μακαρίου καὶ ἀοιδίμου Ἐπιφανίου ἐπισκόπου Κύπρου πόλεως Κωνσταντίας». Ἀρχ. «Ἐπιφάνιος ὁ ἀοίδιμος καὶ ἐν μακαρίᾳ τῇ μνήμῃ», φ. 96. Κείμενον ἀσημείωτον παρά τε τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

15. «Πολυβίου ἐπισκόπου Ῥινοκουρούρων πόλεως Θηβαΐδος, εἰς τὰ λειπόμενα τοῦ βίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου, ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου». Ἀρχ. «Δόξα τῷ παρέχοντι ἡμῖν τὸ ζῆν», φ. 117β. Migne τ. 41, σ. 73.

16. Ἰακώβου διακόνου μετάνοια τῆς ἁγίας Πελαγίας ἀκέφαλος, ἀρχομένη τῶν λέξεων τούτων· «[ὡρα]ϊσμοῦ αὐτῆς οὐχ ἦν χόρος, μάλιστα τοῖς δημοχαρέσι καὶ φιληδόνοις ἀνθρώποις· αὐτὴ δὲ διελθοῦσα δι' ἡμῶν ἐπλήρωσε» κτλ., φ. 133. Πρβλ. H. Usener, Legenden der Pelagia, Bonn 1879, σ. 4,10.

17. «Βίος τοῦ ἁγίου πατρὸς ἡμῶν ἐπισκόπου Σπυρίδωνος, πόλεως Τριμηθούντων, συνταχθεὶς ὑπὸ Θεοδώρου ἐπισκόπου Πάφου». Ἀρχ. «Ἐν ἀρχῇ ἦν ὁ λόγος», φ. 140. Fabrici, Bibl. Graeca X, σ. 326.

18. Βίος καὶ μαρτύριον τῆς ἁγίας Εὐδοκίας τῆς ἀπὸ Σαμαρειτῶν. Ἀρχ. «Κατὰ τοὺς χρόνους Τραϊανοῦ», φ. 187β. Acta Sanctorum, μαρτίου τ. I, σ. 870.

19. Μαρτύριον τῶν ἁγίων Εὐτροπίου Κλεονίκου καὶ Βασιλίσκου. Ἀρχ. «Ὁ μακάριος Θεόδωρος τελέσας αὐτοῦ τὴν μαρτυρίαν», φ. 206. Παράφρασις τοῦ κειμένου τούτου κεῖται παρὰ τῷ Ἰβηρίτῃ Ἱεροθέῳ: Λόγοι καὶ παραινέσεις Ἐφραὶμ τοῦ Σύρου εἰς ἁπλῆν γλῶσσαν μεταφρασθέντες καὶ μερικοὶ βίοι ἁγίων τινῶν, Ἐνετίῃσι 1721, σ. 370.

*

20. *Βίος καὶ πολιτεία καὶ μαρτύριον τῆς ἁγίας Φεβρωνίας.* Ἀρχ. «Ἐγένετο ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ», φ. 216. Acta Sanctorum, ἰουνίου τ. VII, σ. 16.

21. Μαρτύριον τοῦ ἁγίου Οὐάρου καὶ τῶν σὺν αὐτῷ καὶ βίος τῆς ἁγίας Κλεοπάτρας καὶ τοῦ υἱοῦ αὐτῆς. Ἀρχ. «Ἐγένετο ἐν ταῖς ἡμέραις Μαξιμιανοῦ», φ. 238. Acta Sanctorum, ὀκτωβρίου τ. VIII, σ. 428.

22. «Μαρτύριον τῆς ἁγίας πρωτομάρτυρος καὶ ἰσαποστόλου Θέκλης», οὗ ἡ ἀρχή· «Ἀναβαίνοντος Παύλου εἰς Ἰκόνιον», φ. 247. Acta apostolorum apocrypta, Lips. 1891, σ. 235.

23. Μαρτύριον τοῦ ἁγίου Εὐλαμπίου καὶ τῆς ἁγίας Εὐλαμπίας. Ἀρχ. «Ἔτους ἑβδόμου τῆς βασιλείας Μαξιμιανοῦ», φ. 256β. Acta Sanctorum, ὀκτωβρίου τ. V, σ. 69.

24. Μαρτύριον τῶν ἁγίων Ναζαρίου Γερβασίου Προτασίου Κελσίου. Ἀρχ. «Βασιλεύοντος Νέρωνος τοῦ ἀσεβοῦς», φ. 271. Κείμενον ἀσημείωτον παρὰ τῷ Φαβρικίῳ καὶ τῷ Νικοδήμῳ.

25. Μαρτύριον τῆς ἁγίας Εὐφημίας, οὗ ἡ ἡ ἀρχή· «Κατὰ τοὺς καιροὺς ἐκείνους ἦν ἀθροισμὸς ἐν πόλει Χαλκηδόνι», φ. 284 (Πρβλ. Fabrici, Bibl. Graeca X, σ. 224). Δύο φύλλα τοῦ τύποις ἀνεκδότου μαρτυρίου τούτου κατέχει νῦν ἡ ἐν Πετρουπόλει βιβλιοθήκη, τὸ τέλος αὐτοῦ διεξερχόμενα.

26. «Τοῦ αὐτοῦ [sic] ὁμιλία εἰς Πέτρον καὶ Ἠλίαν», ἧς ἡ ἀρχή· «Ὀλίγοι ἡμῖν σήμερον οἱ παραγενόμενοι», φ. 292β. Λόγος Ἰωάννου τοῦ Χρυσοστόμου, παρὰ τῷ Migne τ. 50, σελ. 725.

27. Μαρτύριον τοῦ ἁγίου Νικηφόρου τοῦ ἐν Ἀντιοχείᾳ Θεουπόλει. Ἀρχ. «Ἦν τις ἀνὴρ πρεσβύτερος», φ. 306. Πρβλ. Migne τ. 114, σ. 1368.

28. «Τοῦ αὐτοῦ [sic] ὁμιλία εἰς τὴν Σωσάνναν», ἧς ἡ ἀρχή· «Ἤχομεν ὑμῖν εὐγνώμονες», φ. 310β. Migne τ. 56, σ. 589.

260. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, γεγραμμένον περὶ τὸ τέλος τῆς τρισκαιδεκάτης ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐκ φύλλων 41, μήκους μὲν 0,268, πλάτους δὲ 0,185· τὸ δὲ χεί-

μενον αὐτοῦ κατὰ σελίδα πᾶσαν ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν 27 (0,19×0,112)· περιέχει δὲ ταῦτα·

1. Μηναῖον ἀκέφαλον τοῦ Σεπτεμβρίου (φ. 1—93), ἀρχόμενον ἀπὸ τῶν ἑξῆς ὀνομάτων ἀπολυτικίου τινὸς εἰς τὴν ἴνδικτον ψαλλομένου· «ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος» κτλ. (Μηναῖον τοῦ Σεπτεμβρίου, Βενετία 1890, σ. 4)· μετὰ δὲ τὸ τέλος τοῦ μηναίου κεῖται σημείωμα σφόδρ' ἀνορθόγραφον, ὅπερ ἐγὼ διωρθωμένον ὧδε παρατίθεμαι· «✝ Κἀγὼ ὁ ἐλάχιστος ἐν ἱερομονάχοις Πέτρος ὅταν γοῦν ἦρτα ἀπὲ τὴν διακονίαν τῆς Κύπρου ἔφερά το ἀπὲ τὰ βιβλία τὰ εἶχαν εἰς τὸν Ἅγιον Νικόλαον, εἰς τὸ μετόχιν τοῦ Ἁγίου Γερασίμου· ἦτον περισσίας καὶ ἔφερα ἕτερα δ' βιβλία· ἕνα βιβλίον μέγαν, τὸ τριῷδιν μὲ τὰς προφητείας καὶ μὲ τὸ πεντηκοστάριν· καὶ ἔχει καὶ μηναῖον ἑξαμηναῖον καὶ πᾶσαν ἀκολουθίαν. Ἄρχεται γοῦν ἀπὲ τὸν Μάρτιον μῆναν ἕως τοῦ Αὐγούστου, καὶ θεοτοκάριν, κατὰ Ἰωάννην εὐαγγέλιον (?) ἀναγνωστικὸν καὶ πατερικόν, καὶ ἐπαφῆκά τα εἰς τὸ μοναστῆριν τοῦ ἁγίου Γερασίμου. Εἴ τις δὲ βουληθῇ νὰ τὸ στερήσῃ τὸ μηναῖον ἐτοῦτο ἀπὲ τὴν λαύραν τοῦ ἁγίου Γερασίμου, εἴτε ἀπὲ τὴν Ὁδηγητρίαν τὸ μοναστῆριν, νὰ ἔχῃ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἡ μερὶς αὐτοῦ μετὰ Ἰούδα τοῦ προδότου καὶ μετὰ τῶν κραξάντων "ἆρον ἆρον σταύρωσον αὐτόν". Ἔτους ,ςωϞς' ἰνδικτιῶνος ια', μηνὶ ἰουλίῳ (1388) εἰς τὰς β'. καὶ εἴ τις βουληθῇ νὰ κόψῃ τέτραδον, εἴτε φύλλον εἴτε τοὺς ἀφορισμοὺς ἐτούτους, νὰ ἔναι ἀφωρισμένος ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. Γένοιτο, γένοιτο, ἀμήν». Καὶ πάλιν ὄπισθεν τοῦ 93-ου φύλλου θεοτοκία τρία προσετέθη καὶ σημείωμα γεγραμμένον ἀραβικοῖς γράμμασι τῇ 22 ὀκτωβρίου τοῦ ἔτους ,ζνδ' (1545), ἐν ᾧ λέγεται ὅτι τὸ βιβλίον τοῦτο κτῆμα ὑπάρχει τοῦ διακόνου Χανούν, υἱοῦ Γιάχνα τοῦ Ἀλιμάτ, τοῦ ἐκ κώμης Ἴσας, ἐπαρχίας Bhka.

2. Μηναῖον τοῦ Ὀκτωβρίου (φ. 94—207), ἔχον ὑπὸ τὸ τέλος τοῦ κειμένου σημείωσιν ἀραβικήν, γραφεῖσαν ἔτει ,ζνε', μηνὶ ὀκτωβρίῳ (1546)· λέγεται δ' ἐν αὐτῇ ὅτι τὸ βιβλίον ὑπάρχει τοῦ

διακόνου Χανούν, υἱοῦ Γιάχνα, υἱοῦ Καράμη τοῦ διακόνου, υἱοῦ Δαβὶδ ἱερέως, τοῦ ἐκ κώμης Ἴσας, ἐπαρχίας Bhka-Aziz-Allah· ὅτι Χανούν οὗτός ἐστιν Ἕλλην τὸ γένος (Ῥωμαῖος) καὶ ὅτι τὴν ἑλληνικὴν ἐξέμαθε γλῶσσαν ἐν τῇ κώμῃ Dibith τῆς ἐπαρχίας Arzloun.

3. Μηναῖον τοῦ Νοεμβρίου, φ. 208—341.

4. Βιβλιάριον ἐξ εἴκοσι φύλλων χάρτου βαμβακεροῦ (φ. 341—360), γεγραμμένον ὑπὸ χειρὸς ἀδεξίου περὶ τὴν ιδ' ἑκατονταετηρίδα, περιέχον δὲ στιχηρὰ τροπάρια, δοξαστικά, ἀπόστιχα, ψαλλόμενα κατὰ τοὺς μῆνας Ὀκτώβριον καὶ Σεπτέμβριον.

261. Πανηγυρικὸν ἐκ χάρτου γραφὲν ἀμφὶ τὸ τέλος τῆς ιδ' ἑκατονταετηρίδος· εἶχεν ἐξ ἀρχῆς φύλλα συνηριθμημένα 283· τανῦν ὅμως ἐλλείπει τὰ πρῶτα 25, τὸ 190-ον καὶ τὰ φύλλα 205—206 καὶ 207. Ἔστι δὲ μήκους μὲν 0,272, πλάτους δὲ 0,207· τὸ δὲ κείμενον αὐτοῦ κατὰ σελίδα πᾶσαν ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν 26 μέχρις 28 (0,198×0,15). Περιεχόμενα·

1. Ἐγκώμιον ἀκέφαλον εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας, ἀρχόμενον ἀπὸ τῶν λέξεων τούτων· «[ἄ]λλοι τοῖς ἀγῶσιν ἐμβάντες εἶτα διαρκέσαι πρὸς τὸ πέρας τῶν πόνων» κτλ., φ. κς'.

2. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια», φ. λα'. Migne τ. 50, σ. 791.

3. «Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος καὶ διήγησις περὶ τοῦ γεγονότος θαύματος τῶν κολλύβων». Ἀρχ. «Μαξιμιανῷ καὶ Μαξιμίνῳ τοῖς βασιλεῦσι», φ. λε'. Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 235. Matthaei, Accurata cod. graec. Mosqu. notitia, σ. 119 καὶ 122.

4. «Διήγησις διαλαμβάνουσα περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καὶ ὅπως καὶ δι' ἣν αἰτίαν παρέλαβεν τὴν ὀρθοδοξίαν ἡ τοῦ Θεοῦ ἁγία ἐκκλησία ἐτησίως τελεῖν τῇ πρώτῃ Κυριακῇ τῶν ἁγίων νηστειῶν». Ἀρχ. «Τοῦ βασιλέως Θεοφίλου», φ. μγ'. Fr. Combefis, Historia haeresis Monothelitarum, σ. 716.

5. Βασιλείου τοῦ μεγάλου «ἐγκώμιον εἰς τὸν ἅγιον μάρτυρα

Γόρδιον», οὗ ἡ ἀρχή· «Νόμος ἐστὶ ταῖς μελίσσαις», φ. να'. Migne τ. 31, σ. 489.

6. Μαρτύριον τοῦ μεγαλομάρτυρος Γεωργίου, οὗ ἡ ἀρχή· «Ἄρτι τοῦ τῆς εἰδωλομανίας», φ. νζ'. Migne τ. 115, σ. 141.

7. Βίος καὶ πολιτεία καὶ ἄσκησις Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἀρχ. «Τοῖς τετηρηκόσι τὸ κατ' εἰκόνα», φ. ξς'. Acta Sanctorum τ. II μαΐου, σ. 1 app.

8. Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Πολλοὶ τῶν μεγάλων», φ. πγ'. Migne τ. 39, σ. 44.

9. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν Τελώνην καὶ εἰς τὸν Φαρισαῖον», οὗ ἡ ἀρχή· «Καθάπερ νεφῶν συνδρομή», φ. πθ'. Migne τ. 64, σ. 1361: pars homiliae quartae de incomprehensibili, quae incipit: Ἐπειδὰν μέλλῃ τις etc.

10. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν ἄσωτον υἱόν», οὗ ἡ ἀρχή· «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν», φ. ϟβ'. Migne τ. 59, σ. 515.

11. Ἰωσὴφ τοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης «λόγος εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν· τῇ Κυριακῇ τῆς μεσονηστίμου». Ἀρχ. «Σταυροῦ πρόκειται σήμερον», φ. ϟζ'. Gretzeri, De cruce Christi II, σ. 116.

12. Σωφρονίου Ἱεροσολύμων βίος τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, οὗ ἡ ἀρχή· «Μυστήριον βασιλέως», φ. ρ'. Migne τ. 87, σ. 3697.

13. Διήγησις περὶ τῆς ἑορτῆς τοῦ Ἀκαθίστου. Ἀρχ. «Ἐν τοῖς χρόνοις Ἡρακλείου», φ. ρις'. Migne τ. 106, σ. 1336.

14. Ἀνδρέου Κρήτης λόγος εἰς τὸν τετραήμερον Λάζαρον, οὗ ἡ ἀρχή· «Λάζαρος τὸν παρόντα», φ. ρκδ'. Migne σ. 97, σ. 960.

15. Τοῦ αὐτοῦ λόγος εἰς τὴν Κυριακὴν τῶν βαΐων, οὗ ἡ ἀρχή· «Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου», φ. ρλε'. Migne τ. 97, σ. 985.

16. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος ἐκ τῆς ἑρμηνείας τοῦ

κατὰ Ματθαῖον εὐαγγελίου». Ἀρχ. «Βαβαὶ πόση ἡ πώρωσις», φ. ρμη'. Migne τ. 58, σ. 737.

17. Γεωργίου Νικομηδείας «λόγος τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ». Ἀρχ. «Πρὸς ὑψηλοτάτην ἡμῖν ἀναδραμών», φ. ρνς'. Migne τ. 100, σ. 1457.

18. Ἐπιφανίου Κύπρου λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Τί τοῦτο σήμερον», φ. ρο'. Migne τ. 43, σ. 440.

19. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Καὶ ὅτε σταυροῦ μνείαν», φ. ρπα'. Migne τ. 50, σ. 441.

20. Τοῦ αὐτοῦ λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Δεῦτε ἀδελφοὶ φιλόχριστοι», φ. ρϟα'. Κείμενον ἀσημείωτον ἐν τοῖς πίναξι τῶν Χρυσοστόμου πονημάτων.

21. Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐγκώμιον τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Μνήμη δικαίων μετ' ἐγκωμίων», φ. ρϟδ'. Migne τ. 96, σ. 700.

22. Ἐφραὶμ τοῦ Σύρου λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Ἐκ τῆς χώρας θέρους», φ. σδ' (Assem. II, σ. 41). Μόνον ἡ ἀρχή.

23. Ἰωάννου τοῦ Δαμασκηνοῦ λόγος «εἰς τὸ γενέθλιον τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Δεῦτε πάντα τὰ ἔθνη», φ. σια'. Migne τ. 96, σ. 661.

24. Ἀνδρέου Κρήτης «λόγος εἰς τὴν παγκόσμιον ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Σταυροῦ πανήγυριν», φ. σιθ'. Gretzeri, De cruce Christi II, σ. 94.

25. Βίος ἀκέφαλος τοῦ ὁσίου Νικολάου, ἀρχόμενος ὧδε· «ἐν τῷ ναῷ κατέχεται, ὑπὸ τοῦ θείου ἀνδρὸς διερωτᾶται», φ. σκζ'.

26. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν Πρόδρομον καὶ εἰς τὰ Φῶτα». Ἀρχ. «Ἰωάννου τοῦ βαπτιστοῦ πανήγυριν ἄγομεν», φ. σλς'. Migne τ. 50, σ. 801.

27. «Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, | διήγησίς τις ἐν στίχοις ἰαμβείοις | τινῶν θαυμάτων τοῦ θείου Νικολάου, | ὧν

οὐδαμῶς μέμνηται ὁ Μεταφράστης», φ. σμβ'. Τὸ τύποις ἀνέκδοτον τοῦτο κείμενον, ἀντιγράψας ἐντεῦθεν ἀπαραλλάκτως, ἡτοίμασα πρὸς ἐκτύπωσιν.

28. Θεοδώρου τοῦ Στουδίτου «ἐγκώμιον εἰς τὸ γενέσιον τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Ἀηδόνι τινὶ πολυφώνῳ», φ. σμη'. Migne τ. 99, σ. 748.

29. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον εἰς τὸν προφήτην Ἠλίαν», οὗ ἡ ἀρχή· «Πρότερον μὲν τῶν Ἰουδαίων», φ. σνγ'. Migne τ. 56, σ. 583.

30. Τοῦ αὐτοῦ λόγος εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου, οὗ ἡ ἀρχή· «Ὥσπερ τις ἀνὴρ φιλέρημος», φ. σνζ'. Migne τ. 59, σ. 521.

31. «Βασιλείου Σελευκείας εἰς τὴν ἀποτομὴν τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ εἰς τὴν παμμίαρον καὶ πανασελγῆ Ἡρωδιάδα». Ἀρχ. «Τὴν τῆς Ἡρωδιάδος ὄρχησιν», φ. σξα'. Migne τ. 85, σ. 225.

32. Μαρτύριον τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου. Ἀρχ. «Λικιννίῳ τῷ βασιλεῖ», φ. σξε'. Fabrici-Harles, Bibl. Graeca X, σ. 333.

34. (Νικήτα τοῦ Παφλαγόνος) ἐγκώμιον τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου. Ἀρχ. «Τίς ὁ τερπνὸς οὗτος ἦχος», φ. σοε'—σπγ'. Combefis, Auctarium Noviss. I, σ. 327. Migne τ. 105, σ. 37.

35. Πρόσθετον τετράδιον ἐκ χάρτου βαμβακεροῦ, μέρος ὂν ἄλλου τινὸς κώδικος, ὃς τὴν μεγάλην ἐμπεριεῖχεν Ὀκτώηχον.

262. Θεοφυλάκτου Βουλγαρίας ἀρχιεπισκόπου, ἑρμηνεία τῶν τεσσάρων εὐαγγελίων, γραφεῖσα μεταξὺ τῶν ἐτῶν 1331 καὶ 1332, καθάπερ ἐμφαίνει τὸ σημείωμα τοῦτο, ὅπερ ὑπὸ τὸ τέλος ὑπάρχει τοῦ κειμένου· «Ἐγράφη ἡ παροῦσα δέλτος, διὰ χειρὸς ἐμοῦ Ἰω(άννου) ἀναγνώστου τοῦ Μοδᾶ· ἐν ἔτει, ςωωμ: καὶ οἱ ταύτην θεασάμενοι, εὔχεσθέ μοι τῷ ἁμαρτωλῷ, καὶ ἀθλίῳ †». Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, φύλλα νῦν ἔχον 442, μήκους μὲν 0,255, πλάτους δὲ 0,182· πρότερον δὲ φύλλα περιεῖχεν ἐννέα περιπλέον, ὧν ἓν ἐκ παλαιοῦ διὰ ψαλίδος ἀφῃρέθη, κοπὲν ἀπὸ τοῦ ιδ' τε-

τραδίου· τὰ δὲ λοιπὰ συναποτελοῦντα τὸ ϛ′ τετράδιον ἀφείλετο Πορφύριος ὁ Οὐσπένσκης (Βιβλιοθήκη Πετρουπ. ἀριθ. 407. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 148). Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἐκ γραμμῶν 29 ἢ 30, ὧν ὁ χῶρος ἐμβαδὸν ἀποτελεῖ μήκους μὲν 0,198, πλάτους δὲ 0,13.

263. Θεοφυλάκτου Βουλγαρίας ἑρμηνεία τῶν κατὰ Μᾶρκον καὶ Λουκᾶν εὐαγγελίων, ἣν ἔγραψε καλλιγράφος τῆς ιγ′ ἑκατονταετηρίδος ἐν τεύχει συναποτελεσθέντι διὰ μεμβράνης καὶ διὰ χάρτου βαμβακεροῦ· καὶ φύλλα μὲν ἔστι μεμβράνινα τάδε: 1—8 καὶ 159—288· χάρτινα δὲ ταῦτα: 9—158. Τὸ δὲ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ τριῶν (0,26 × 0,172 = 0,20 × 0,12).

264. Τεῦχος ἀκέφαλον ἐκ χάρτου βαβακεροῦ, γραφὲν ἀμφὶ τὸ τέλος τῆς τρισκαιδεκάτης ἑκατονταετηρίδος, καὶ φύλλα συναριθμοῦν 97, μήκους μὲν 0,253, πλάτους δὲ 0,20· ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ἑπτά (0,20 × 0,16)· ὕστερον δὲ Ἰωαννίκιος ὁ Σαβαΐτης εἴκοσι καὶ ἑνὶ φύλλοις ἐπηύξησε τὸ τεῦχος· ἃ δὲ περιέχει, τάδ' ἐστιν·

1. Βίος ἀκέφαλος Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ, οὗ τὸ ἐλλεῖπον ἀνεπλήρωσεν Ἰωαννίκιος διὰ τῆς Ἀγαπίου παραφράσεως, φ. 1—21 καὶ 22—101.

2. Ἐφραὶμ τοῦ Σύρου «λόγος ἐγκωμιαστικὸς εἰς τὸν πάγκαλον Ἰωσήφ, πῶς ἐγένετο τύπος Χριστοῦ, καὶ περὶ τῆς πράσεως αὐτοῦ καὶ βασιλείας τῆς ἐν Αἰγύπτῳ». Ἀρχ. «Ὁ Θεὸς τοῦ Ἀβραάμ», φ. 102 κἑ. Assem. II, σ. 21.

265. Πατερικὸν ἐκ χάρτου βαμβακεροῦ γραφὲν ἀμφὶ τὴν ἀρχὴν τῆς δεκάτης καὶ τετάρτης ἑκατονταετηρίδος, καὶ συνιστάμενον ἐκ φύλλων 236, μήκους μὲν 0,235, πλάτους δὲ 0,17· τὸ δὲ κείμενον αὐτοῦ κατὰ σελίδα μονόστηλον ὑπάρχει καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τριῶν (0,178 × 0,12). Καὶ ἐν μὲν τῷ πρώτῳ φύλλῳ γέγραπται τοῦτο· «† Τὸ παρὸν πατερικὸν ὑπάρχει κἀμοῦ Νικοδήμου μοναχοῦ καὶ τὸ ἀφίνω αὐτὸ εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα κτλ. ͵αχλγ′ δεκεμβρίου». Ἀπὸ δὲ τοῦ 223-ου φύλλου γέ-

γραπται «Παύλου ἐπισκόπου Μονοβασίας διήγησις περὶ ἐναρέτων καὶ θεοσεβῶν ἀνδρῶν τε καὶ γυναικῶν τῶν φανερωθέντων ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως»· ἧς ἡ ἀρχή· «Διηγήσατο διοικητής τις λέγων» κτλ. Ἕτερα δὲ κείμενα λόγου τινὸς ἄξια ταῦτα κατ' ἐκλογήν ἐστιν· α') «Περὶ Νικήτα τοῦ χαρτουλαρίου» διήγησις, ἧς ἡ ἀρχή· «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ», φ. 74.— β') Τεμάχη Κυρίλλου Ἱεροσολύμων, Γρηγορίου Νύσσης, Κυρίλλου Ἀλεξανδρείας ἐκ τῶν κατὰ Ἰουλιανοῦ, Νικηφόρου Κωνσταντινουπόλεως ἐκ τῶν κατὰ εἰκονομάχων.

266. Πραξαπόστολος ἐκ μεμβράνης ἀκέφαλος μὲν ἐλλιπὴς δ' οὐχ ἧττον ἐνιαχοῦ καὶ διὰ τὴν ἀφαίρεσιν ἱκανῶν φύλλων· ὡς δ' ἔχει νῦν, ἀριθμεῖ φύλλα συνόλως 178, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ δύο (0,238 × 0,185—0,178 × 0,122) [1]· ἄρχεται δὲ ἀπὸ τῶν λέξεων τούτων· «οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδα» κτλ. Ἔστι δὲ τὸ κείμενον τῶν περικοπῶν μετὰ τόνων ἐρυθρῶν τῆς μουσικῆς παρασημάνσεως. Τὸ τεῦχος μὲν οὖν ἐγένετο περὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· κατὰ δὲ τὸ ἐν αὐτῷ συναξάριον ἐμπεριέχει καθόλου διάταξιν ἀναγνωσμάτων συνήθη τότε μόνῃ τῇ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως· καὶ γὰρ ἀπὸ τοῦ 94-ου φύλλου γέγραπται μακρὸν «Κανονάριον τῶν δεσποτικῶν ἑορτῶν καὶ τῶν ἁγίων ὅλου τοῦ ἐνιαυτοῦ, ἔχον πᾶσαν ἀκολουθίαν τῶν δώδεκα μηνῶν» κτλ. Ὅπερ ἀληθῶς ἐξιδιασμένας ἐμπεριέχει τυπικὰς διατάξεις περὶ ἑορτῶν ἐν Κωνσταντινουπόλει μόνον ἐπιτελεσθεισῶν· διόπερ ἐστὶν ἄξιον ἐκδόσεως, ἵνα τούτῳ χρῶνται οἱ συνασχολούμενοι περὶ τὴν ἱστορίαν τοῦ τυπικοῦ τῆς μεγάλης ἐκκλησίας. Ἐγὼ δὲ νῦν ὀλίγα τινὰ δείγματος ἕνεκα παρατίθεμαι τοῖς ἀναγνώσταις τοῦ καταλόγου τούτου· α') Ὀκτωβρίου λ' «μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπό-

[1] Ἦν ἄλλοτε Ἰωακεὶμ μητροπολίτου Β[— — —]. Ὅρα τὸ ἐν τῷ 93-ῳ φύλλῳ διεφθαρμένον ὑπόμνημα.

λεως Κυριακοῦ», φ. 107β.—β΄) Νοεμβρίου κ΄ μνήμη «τῶν ἁγίων πατριαρχῶν Κωνσταντινουπόλεως Μαξιμιανοῦ Πρόκλου Ἀνατολίου καὶ Γενναδίου», φ. 113. — γ΄) Δεκεμβρίου κη΄ μνήμη «τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως», φ. 125β.—δ΄) Αὐγούστου θ΄· «τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κωνσταντίνου πατριάρχου Κωνσταντινουπόλεως. Τροπάριον· ἦχος πλάγιος δ΄: Τὰς ἐκκλησίας ἐν ἐλαίῳ ἐλίπανας | καὶ τὸ ποίμνιον ἡτοίμασας τράπεζαν, | τὸν πλοῦτον τοῦ πνεύματος | ἐν τοῖς ἀπόροις δαψιλευσάμενος | καὶ πρακτικὸς ἐν ἱερωσύνῃ, ὅσιε, | κόσμος τῷ βίῳ γέγονας· | πρέσβευε Χριστῷ τῷ Θεῷ», φ. 178. — ε΄) Φύλλ. 152-152. «Ἑτέρα ἀκολουθία. Ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, χρὴ εἰδέναι ὅτι γίνεται ἡ τριθέκτη ἐν τῇ ἁγίᾳ Εἰρήνῃ καὶ ἡ κατήχησις, καὶ ἀνέρχεται ἡ λιτὴ ἐν τῷ Φόρῳ ψάλλοντες τὸ "Σήμερον τῆς σωτηρίας", καὶ ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις ψάλλουσα τὸ αὐτὸ τροπάριον· καὶ γίνεται ἡ ἀκολουθία τοῦ Εὐαγγελισμοῦ ἕως τοῦ ἁγίου εὐαγγελίου. Καὶ ἀφίει ἐκεῖ ὁ πατριάρχης ἐγκαθέτους πρεσβυτεροδιακόνους, καὶ ποιοῦσι τὴν θείαν λειτουργίαν μετὰ τῆς προσκομιδῆς, καὶ ἀνέρχεται ὁ πατριάρχης ἐν τῇ προγεγραμμένῃ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης καὶ ποιεῖ τὴν ἀκολουθίαν τῆς θείας λειτουργίας ἄνευ τῆς προσκομιδῆς. Ὁ ἁγιοπολίτης ψάλλεται τὰ στιχηρὰ τοῦ Εὐαγγελισμοῦ καὶ τῆς μεγάλης Παρασκευῆς, καὶ ἀντὶ τῶν ἀναγνωσμάτων καὶ τῶν ἀποστόλων καὶ τῶν εὐαγγελίων, χρὴ εἰδέναι ὅτι καὶ τῇ ἁγίᾳ Παρασκευῇ εἰς τὸν Ἰὼβ λέγει "Φῶς Χριστοῦ φαίνει πᾶσιν"· εἰς δὲ τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου λέγομεν τὸν β΄ ἀπόστολον καὶ τὸ β΄ εὐαγγέλιον· οὐ τελειοῦται μετὰ τῆς προσκομιδῆς ἡ θεία λειτουργία.—Ἑτέρα ἀκολουθία τοῦ Εὐαγγελισμοῦ. Δεῖ εἰδέναι, ὅτι ἐὰν φθάσῃ τῷ μεγάλῳ Σαββάτῳ, μετὰ τὸ γενέσθαι τὴν ὑπαλλαγὴν ἀνέρχεται ἡ λιτὴ ἐν τῷ Φόρῳ ψάλλουσα τροπάριον "Σήμερον τῆς σωτηρίας ἡμῶν"· καὶ οὕτως ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις ψάλλουσα τὸ αὐτὸ τροπάριον, καὶ γίνεται ἡ προγεγραμμένη ἀκολουθία, καθὼς τῇ ἁγίᾳ Παρασκευῇ· καὶ ἀνελθὼν ὁ πατριάρχης εἰς τὴν Μεγάλην Ἐκκλησίαν,

ποιεῖ τὴν ἀκολουθίαν τοῦ μεγάλου Σαββάτου. Τὰ ἀναγνώσματα οὐ ῥέσκονται, οὐδὲ ὁ ἀπόστολος, οὐδὲ τὸ εὐαγγέλιον, διὰ τὸ εἶναι πολλὴν τὴν ἀκολουθίαν τοῦ μεγάλου Σαββάτου· ἐὰν δὲ προσθήσῃ, οὐδὲν ἥμαρτεν».

267. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς, νεώτατον, ἐμπεριέχον σὺν ἄλλοις "τὰ κατ' ἦχον κεκραγάρια τοῦ ἀειμνήστου διδασκάλου Ἰακώβου πρωτοψάλτου", ἕτερα Πέτρου τοῦ Μπερεκέτη καὶ ἐν τῇ ἀρχῇ τὸ "Νῦν αἱ δυνάμεις" τοῦ Ἰακώβου πάλιν. Συνίσταται δ' ἐκ σελίδων 160, καὶ ἔστι μήκους μὲν 0,248, πλάτους δὲ 0,17.

268. «Λόγοι πάνυ ψυχωφελεῖς τῶν θεοφόρων πατέρων μας, ἐκλελεγμένοι ἐκ τῆς βίβλου τοῦ Εὐεργετινοῦ». Σελίδες 342, γραφεῖσαι περὶ τὸ τέλος τῆς ιη' ἑκατονταετηρίδος· ἐν δὲ τῇ ἀρχῇ κεῖται πίναξ τῶν ἐμπεριεχομένων, καὶ πρὸ τούτου ὑπάρχουσιν εἰκόνες δύο ληφθεῖσαι παρ' ἐντύπων βιβλίων· ἔστι δὲ τὸ τεῦχος μήκους μὲν 0,243, πλάτους δὲ 0,184.

269. Νεκρώσιμοι κανόνες ἐκ τῆς Ὀκτωήχου, ψαλλόμενοι τοῖς Σάββασιν εἰς τὸν ὄρθρον. Βιβλιάριον ἐκ χάρτου γραφὲν ἀμφὶ τὸ τέλος τῆς ιη' ἑκατ., καὶ φύλλα συναριθμοῦν εἴκοσι καὶ ἐννέα.

270. Βιβλιάριον ἐκ φύλλων χάρτου 91, γραφὲν ὑπὸ Ἰωαννικίου τοῦ Σαβαΐτου καὶ περιέχον α') Ἀντωνίου τοῦ μεγάλου «κεφάλαια ἠθικὰ ἑκατὸν τεσσαράκοντα», β') «Διάλεξιν ἁγίων γερόντων πρὸς ἀλλήλους περὶ λογισμῶν», γ') Θεοδώρου τοῦ Σαβαΐτου «κεφάλαια πρακτικὰ ἑκατόν», δ') Ἰωάννου τοῦ Καρπαθίου κεφάλαια διμερῆ. Ἔστι δὲ μήκους μὲν 0,24, πλάτους δὲ 0,172.

271. Τετράηχος ἡ μεγάλη ἢ Παρακλητική, γραφεῖσα ἐν τῇ λαύρᾳ Σάβα τοῦ ἡγιασμένου διὰ χειρὸς Σωφρονίου (͵ζμθ' ἰανουαρίῳ ις', 1541) καὶ παρ' αὐτοῦ τούτου τῷ ναῷ τῆς λαύρας ἀφιερωθεῖσα. Σύγκειται δ' ἐκ φύλλων χάρτου 277, μήκους μὲν 0,23, πλάτους δὲ 0,164· τὸ δὲ κείμενον ὑπάρχει μονόστηλον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων καὶ ἐκ γραμμῶν εἴκοσι καὶ τριῶν (0,164 × 0,11). Μέρος δὲ τοῦ αὐτοῦ κώδικος, ἀποκοπὲν ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη (μετὰ τὸ 283-ον φύλλον), ὑπάρχει νῦν ἐν Πετρουπόλει (ἀριθ. 446. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 152).

272. «Κανόνες ἱκετήριοι εἰς τὴν ὑπεραγίαν καὶ δέσποιναν ἡμῶν Θεοτόκον· ποίημα Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ», ἔχον ὑπὸ τὸ τέλος αὐτοῦ τὸ σημείωμα τοῦτο· «Ἔτει ἀπὸ Χριστοῦ ͵αωλε'· ἔτει ἀπὸ Ἀδὰμ μαρτίου ζ', ἰνδικτιῶν(ος) η', ͵ζτμγ'». Τεῦχος ἐκ σελίδων τλη', οὗ τὸ κείμενον ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ μιᾶς (0,24×0,179=0,175×0,122).

273. Τόμος πρῶτος τῶν ἔργων Ἀθανασίου τοῦ μεγάλου, ἀντιγραφεὶς ἐξ ἐντύπου βιβλίου περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατονταετηρίδος· σύγκειται δ' ἐκ φύλλων 434.

274. Πνευματικαὶ πλάκες Ἰωάννου τοῦ τῆς Κλίμακος, γραφεῖσαι περὶ τὴν ιε' ἑκατονταετηρίδα. Τεῦχος ἐκ φύλλων χάρτου 208, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ δύο (0,238×0,17=0,178×0,117).

275. «Κανὼν ἐγκωμιαστικὸς εἰς τὴν κοίμησιν τῆς δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὅστις ψάλλεται κατὰ τὴν τάξιν τοῦ κανόνος τοῦ μεγάλου Σαββάτου, παρισταμένων τῶν ἱερέων κύκλω τοῦ ἐπιταφίου τῆς Θεοτόκου· ὁ δὲ πρῶτος τῶν ἱερέων λαβὼν θυμιατήριον θυμιᾷ σταυροειδῶς τὸν ἐπιτάφιον· εἶτα ποιήσας εὐλογητὸν ἄρχεται ψάλλων τὸ πρῶτον τροπάριον εἰς ἦχον πλάγιον α'», οὗ ἡ ἀρχή· «Ἡ ἁγνὴ ἐν τάφῳ» κτλ. Τεῦχος ἐκ σελίδων 37 καὶ μιᾶς εἰκόνος ἀπεικαζούσης μὲν τὴν κοίμησιν τῆς Θεοτόκου, ληφθείσης δ' ἐξ ἐντύπου βιβλιαρίου· ἔστι δὲ μήκους μὲν 0,234, πλάτους δὲ 0,164· μετὰ δὲ τὸ τέλος τοῦ κειμένου σημείωμα γέγραπται τοιοῦτον· «Ἐγράφθη δὲ παρὰ τοῦ μα(κα)ρίτου Ἰακώβου ἱ(ε)ρ(ο)μ(ονάχου) τοῦ Κρητός, καὶ ἐτελειόθει παρ' ἐμοῦ τοῦ ἀμαθοῦς καὶ ἐλαχίστου Ἰωάσαφ ἱερομονάχου, ὑπάρχοντος κἀμοῦ Κρητός, ἐκ τῆς ἐπαρχίας τοῦ ἁγίου Κνωσοῦ, γεννηθέντος εἰς χορίον Γονιαίς, ἀντιγραφέντος δὲ εἰς χορίον Ἀπάνο-Ἀρχάνες», τῇ ιε' ἰουνίου 1822.

276. Βιβλιάριον ἐκ φύλλων χάρτου 56, γραφὲν ἔτει 1787-ῳ παρ' Ἰωαννικίου τοῦ Σαβαΐτου, καὶ περιέχον α') τεμάχη διάφορα γερόντων, λόγους Ἡσαΐου ἀββᾶ, Ἐφραὶμ τοῦ Σύρου, Ἰωάννου τοῦ

τῆς Κλίμακος καὶ Θεοδώρου τοῦ Σαβαΐτου· β') Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου λόγον εἰς τὰ ἄκαρπα δένδρα καὶ γ') συνταγμάτιον ἀνώνυμον «περὶ τῶν πρότερον μὲν ὄντων δικαίων, μετὰ δὲ ταῦτα ἀσεβῶν γενομένων καὶ τὸ ἀνάπαλιν». Ἔστι δὲ τὸ βιβλιάριον ὕψους μὲν 0,234, πλάτους δὲ 0,172.

277. Τεῦχος ἐκ φύλλων χάρτου 98, γραφὲν ἔτει 1827-ῳ παρὰ Κυρίλου μοναχοῦ τοῦ Χίου καὶ παρ' αὐτοῦ τούτου τῇ λαύρᾳ Σάβα τοῦ ἡγιασμένου δωρηθέν, ὑπὸ δὲ τοῦ ἐξ Ἰωαννίνων Ἱεροθέου τοῦ ἱερομονάχου συμπηχθέν· ἔστι δὲ μήκους μὲν 0,234, πλάτους δὲ 0,18· καὶ πρῶτον μὲν ἐμπεριέχει κανόνας ᾀσματικοὺς εἰς τὸν ὅσιον Σάβαν ὀκτώ, ποιηθέντας ὑπὸ Ἰωσὴφ τοῦ Σαβαΐτου καὶ ψαλλομένους εἰς τὸν ὄρθρον ἑκάστου Σαββάτου, εἶτα δὲ μεγαλυνάρια Νεοφύτου ἱερομονάχου, ποιηθέντα πρὸς τὸ "Ἄξιόν ἐστιν ὡς ἀληθῶς" καὶ ψαλλόμενα ἐν τῇ ἐκκλησίᾳ τῆς λαύρας, «ὁπόταν ἔρχωνται οἱ προσκυνηταὶ καὶ ἀσπάζωνται τὰς εἰκόνας»· μεθ' ἃ ψάλλεται ὁ πολυχρονισμὸς τοῦ πατριάρχου.

278. (Ἀνθίμου πατριάρχου Ἱεροσολύμων) θεολογικόν, ἀρχόμενον ἀπὸ τοῦ τρίτου βιβλίου, λῆγον δὲ εἰς τὸ πέμπτον· ὑπὸ δὲ τὸ τέλος αὐτοῦ γέγραπται τοῦτο· «ζήτησον τὰ ἐπίλοιπα εἰς τὸν τρίτον τόμον, ἐν ᾧ γέγραπται καὶ κατὰ σποράδην τὰ ἐλλείποντα μετὰ τῶν σημαδίων αὐτῶν». Τεῦχος ἐκ φύλλων χάρτου 521, τὸ πρωτότυπον, ὃν μήκους μὲν 0,231, πλάτους δὲ 0,17.

279. Θηκαρᾶς ἐκ φύλλων χάρτου 350, γραφεὶς ἐπιμεμελημένως ἀμφὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· εἶχε δ' ἐξ ἀρχῆς καὶ σημείωμα καλλιγράφου τινὸς (μετὰ τὸ 346-ον φύλλον), ὡς δείκνυσιν ἡ σωθεῖσα τούτου συνέχεια· μετὰ δὲ ταύτην ὑπάρχει (φ. 347) τόδε· «Εἰς τοὺς 1601 ἰανουαρίῳ... ἐχάρισα τοῦ υἱοῦ μου Ἀντώνι τὸν Θηκαρᾶ» κτλ. Ἔστι τοίνυν ὁ κῶδιξ οὗτος μήκους μὲν 0,218, πλάτους δὲ 0,16· κείμενον δ' ἐνέχει κατὰ σελίδα πᾶσαν μονόστηλον, ὅπερ ὧδε διῄρηται· α') «Διονυσίου μοναχοῦ κεφάλαια τριάκοντα περὶ διαφορᾶς τῶν θείων ὕμνων», φ. 1.—β') «Τοῦ αὐτοῦ ἑρμηνεία πῶς δεῖ μεταγράφειν τοὺς ὕμνους καὶ ὅτι οὐ δεῖ ἀφιέναι τι ἐκ τῆς ὅλης ἀκολουθίας

ταύτης, καὶ πότε δεῖ λέγειν τὴν ἀσκητικὴν τῆς ἡμέρας ἀκολουθίαν, καὶ πῶς δεῖ λέγειν τοὺς ὕμνους καὶ τὰς εὐχὰς ἁπάσας, καὶ περὶ τῶν κοντακίων καὶ ἀπολυτικίων», φ. 14β.—γ') «Ὡρολόγιον σὺν Θεῷ τῶν ὕμνων καὶ εὐχαὶ μετὰ τροπαρίων εἰς τὸ Ψαλτήριον· εἰσὶ πόνημα Θηκαρᾶ μοναχοῦ· προοίμιον τοῦ Θηκαρᾶ τοῦ περὶ πίστεως λόγου», φ. 17.—δ') «Στίχοι ἰαμβικοὶ τοῦ Θηκαρᾶ», φ. 38.—ε') «Τοῦ αὐτοῦ περὶ τῆς προσηκούσης τυπώσεως καὶ συντάξεως τῶν ὕμνων, καὶ ἑρμηνεία μερικὴ ἐπὶ τούτοις σύντομος», φ. 38β.—ε') «Εὐχαὶ εἰς τὸ μεσονυκτικὸν μετὰ τὸ Πάτερ ἡμῶν», φ. 47.—ϛ') «Ὕμνος τριαδικός», φ. 48.—ζ') «Κατήχησις περὶ τῆς ἀσκητικῆς ἀκολουθίας», φ. 151. — η') Ὧραι, φ. 154. — θ') «Τοῦ αὐτοῦ εὐχαὶ συλλεχθεῖσαι ἀπὸ τῆς θείας Γραφῆς, πλεῖσται δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραίμ, τοῖς βουλομένοις πολεμῆσαι τινὰ αὐτῶν πρὸς τὰ πάθη καὶ τὰς ἡδονὰς ἐγκειμένην προαίρεσιν», φ. 241.— ι') «Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων, πῶς θεόθεν δεδώρηνται» κτλ., φ. 292.—ια') «Εὐχὴ ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον», φ. 347β.

280. Βιβλιάριον ἐκ φύλλων χάρτου 36, γραφὲν ἴσως περὶ τὴν ἀρχὴν τῆς ἐνεστώσης ἑκατονταετηρίδος, καὶ μήκους μὲν ὂν 0,231, πλάτους δὲ 0,172· περιέχει δὲ α') Ἀκολουθίαν ᾀσματικὴν εἰς τὸν ἱερομάρτυρα Κλήμεντα καὶ τὸν ἅγιον Ἀγαθάγγελον (φ. 1—29), ψαλλομένην τῇ 23-ῃ τοῦ Ἰανουαρίου· β') «Ἀκολουθίαν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ξενοφῶντος καὶ τῆς συνοδείας αὐτοῦ, συντεθεῖσαν παρά τινος Κοσμᾶ ἱερομονάχου Ἁγιοταφίτου, ἐκ χώρας Γάνου».

281. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἀκέφαλον ὅμως καὶ ἀτελές· ὅπερ, ὡς ἔχει νῦν, ἀριθμεῖ φύλλα 267, μήκους μὲν 0,235, πλάτους δὲ 0,163· τινὰ δὲ τούτων ἀτάκτως ἐτοποθέτησεν ὁ δέτης αὐτοῦ. Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν τριάκοντα καὶ τριῶν (0,19×0,125). Περιεχόμενα·

1. Λόγος ἀκέφαλος περὶ τῆς Θεοτόκου, ἀρχόμενος ὧδε· «— — εἰ δὲ καὶ παρὰ ἀγγέλου ἐρεῖς γράφεσθαι ταῦτα», φ. ιϛ'.

2. «Βίος καὶ πολιτεία τῶν ἁγίων καὶ ἐνδόξων καὶ φιλευσεβῶν μεγάλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης, καὶ φανέρωσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου», φ κα'. Κείμενον ἀνέκδοτον, οὗτινος ἀπόγραφα σημειοῦνται Νικόδημος (Συναξαρ. τ. II, σ. 164), Hardt (Catal. cod. graec. bibl. Bavar. τ. V, σ. 291), Coxe (Catal. cod. bibl. Bodl. σ. 464, 609), Bandini (Catal. cod. Graec. τ. II, σ. 524).

3. Χριστοφόρου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας «παραίνεσις ψυχωφελὴς περὶ τοῦ ὄφεως, φέρουσα τί (lege: φανεροῦσα τίνι) ὡμοίωται ὁ βίος οὗτος». Ἀρχ. «Πάντας μὲν ἀγαπητοί», φ. μγ'. Migne τ. 100, σ. 1216.

4. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν μάταιον βίον καὶ περὶ κατανύξεως», οὗ ἡ ἀρχή· «Ὅσοι τὰ τοῦ βίου μάταια», φ. μθ', ριη'—ρκ'. Ἐπ' ὀνόματι Ἐφραὶμ τοῦ Σύρου παρὰ τῷ Assemani, τ. III, σ. 308.

5. «Κλήμεντος ἐπισκόπου Ῥώμης Ἰακώβῳ ἐπισκόπῳ Ἱεροσολύμων, περὶ τῶν πράξεων καὶ περιόδων τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, αἷς καὶ ὁ αὐτοῦ συμπεριείληπται βίος. Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων ἐπιτομή». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ Κυρίῳ» κτλ., φ. ρμα'—ρν' καὶ ν'—πδ'. Migne τ. 2, σ. 469.

6. «Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος, ἐπισκόπου Ῥώμης». Ἀρχ. «Αὕτη μὲν οὖν ἡ πλήρης», φ. πδ'. Migne τ. 2, σ. 617.

7. «Ἐρώτησις περὶ Ἰουδαίου ὁμολογήσαντος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος καὶ υἱὸν εἶναι τῆς ἀχράντου θεοτόκου Μαρίας καὶ ὅτι μετὰ τὸ γεννῆσαι αὐτὸν πάλιν παρθένος διέμεινεν». Ἀρχ. «Ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ», φ. πθ'.

8. «Περὶ τοῦ τίνων σύμβολα κατὰ τὸ ἅγιον βάπτισμα καὶ τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν τελούμενα». Ἀρχ. «Ἡ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ τῆς τοῦ βρέφους γεννήσεως τοῦ ὀνόματος σημασία

διὰ τῆς πατρικῆς σημειώσεως» κτλ., φ. ϟε΄. Τέλος· «Ἡ ἐνταφίασις τοῦ σουδαρίου σταυροειδῶς καὶ ἡ τῆς σινδόνος σπαργάνωσις τὴν ἐνταφίασιν Χριστοῦ τὴν ὑπὸ Ἰωσὴφ γεγονυῖαν ἐμφαίνει».

9. «Περὶ μοναχῶν» ἀνώνυμον, οὗ ἡ ἀρχή· «Τί σημαίνει τὸ μοναχικὸν σχῆμα καὶ πρὸ τούτων τίς ἡ ἀπόκαρσις», φ. ρα΄.

10. Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου, «λόγος εἰς τὰ ἄκαρπα δένδρα καὶ ὅπως εἰκόνα φέρουσι κατὰ παντὸς ἀνθρώπου τοῦ τε βίου τούτου καὶ τοῦ μέλλοντος, καὶ ὅπως αἱ τῶν μετανοούντων ψυχαὶ παραλαμβάνονται ὑπὸ τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων, καὶ ὅπως ἀποκαθίστανται εἰς τὸν τῆς ἀναπαύσεως τόπον, διήγησίς τε μυστικὴ περὶ τῆς θείας λειτουργίας καὶ περὶ τῶν μετεχόντων ἀναξίως ἡ κατάκρισις». Ἀρχ. «Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη», φ. ρβ΄.

11. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ τῆς αἰωνίου καὶ ἀτελευτήτου κολάσεως», οὗ ἡ ἀρχή· «Μηδαμῶς ἀδελφοί, ἵνα μίαν ῥοπὴν τρυφήσωμεν», φ. ρκ΄. Λόγος ἀμνημόνευτος ἐν τοῖς πίναξι τῶν τοῦ Χρυσοστόμου πονημάτων.

12. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸ Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν». Ἀρχ. «Προτρέπεται κόλπος βύθιος ἁλιέα», φ. ρκβ΄. Migne τ. 55, σ. 559.

13. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος, ὅτι οὐ μόνον κοινωνεῖν ἀλλ' οὐδὲ εὔχεσθαι ὁ μνησίκακος δύναται, καὶ ὅτι οὐδεμία ἀπολογία τοῖς μνησικάκοις». Ἀρχ. «Τίνα ἔχοιμεν εἰπέ μοι συγγνώμην», φ. ρκε΄. Λόγος ὡσαύτως ἀμνημόνευτος ἐν τοῖς πίναξι τῶν τοῦ Χρυσοστόμου πονημάτων.

14. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν προφήτην Ἠλίαν καὶ εἰς τὴν χήραν», οὗ ἡ ἀρχή· «Ἀκούσατε ἀδελφοὶ συνετῶς», φ. ρκη΄. Καὶ οὗτος ἀσημείωτος.

15. Τοῦ αὐτοῦ «λόγος εἰς τὸ Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ»· οὗ ἡ ἀρχή· «Θαυμάζω τί δήποτε ὁ προφήτης», φ. ρλα΄. Migne τ. 55, σ. 707.

16. «Διήγησις περὶ τῆς αἰχμαλωσίας τῆς Ἰερουσαλὴμ καὶ εἰς τὸν Ἱερεμίαν». Ἀρχ. «Ἐγένετο ἡνίκα αἰχμαλωτίζεσθαι ἤμελ-

λεν», φ. ρλδ'. Κείμενον, ὡς φαίνεται, διάφορον τοῦ παρὰ τῷ Rendel-Harris, The rest of the words of Baruch, London 1889.

17. «Κανόνες τοῦ ἁγίου Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως». Ἀρχ. «Δεῖ τὰς μοναζούσας εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον», φ. ρν'—ρνβ' (Pitra, Juris eccles. Graec. historia et monumenta II, σ. 332 μζ'). Καὶ πάλιν ὕστερον ὑπάρχει κανονικὰ κεφάλαια παρειλημμένα «ἐκ τῶν μετὰ τὸν κώδικα», ἐκ τῶν κανόνων τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἐκ τῶν τοῦ Τιμοθέου Ἀλεξανδρείας καὶ λοιπῶν.

18. (Φωτίου πατριάρχου) νομοκάνων εἰς ιδ' τίτλους, ἄνευ τοῦ προλόγου, φ. ργγ'.

19. Ὅρος τῆς ζ' οἰκουμενικῆς συνόδου, φ. σιε'.

20. «Νόμος Ἰουστινιανοῦ», φ. σκγ'.

21. Ἰωάννου τοῦ Νηστευτοῦ «περὶ ἐξαγορεύσεως. Διάφοροι διαφοραὶ καὶ διαθέσεις τῶν ἐξομολογουμένων κρύφια ἁμαρτήματα καὶ τῶν τούτοις ἀναδεχομένων ἀληθιναὶ καὶ ἄπταιστοι πρὸς Θεὸν καὶ ὑπὸ Θεοῦ καὶ ἐκ Θεοῦ διακρίσεις, ὡς οἶμαι ὁ ταπεινός». Ἀρχ. «Ὅτι δεῖ τὸν ἐξομολογούμενον», φ. σκη'.

22. «Νομοκάνονον ἐξ ὅτου γένηται ὁ ἄνθρωπος νόμου τῆς ἡλικίας». Ἀρχ. «Ἐὰν περιπατήσῃ τις μετὰ τῆς ἰδίας μητρός», φ. σλζ'.

23. «Ἐκ τῶν διδασκαλιῶν τοῦ Χρυσοστόμου τρόποι τῆς τοῦ Θεοῦ προνοίας». Ἀρχ. «Πάντα ἐκ Θεοῦ καὶ τὰ λυπηρά», φ. σλη'.

24. «Ὁμιλία τοῦ Χρυσοστόμου περὶ μετανοίας», ἧς ἡ ἀρχή· «Διὰ τοῦτο συνεχῶς», φ. σλθ'. Migne τ. 63, σ. 589.

25. «Σωφρονίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἱεροσολύμων, λόγος δογματικὸς περὶ πίστεως», οὗ ἡ ἀρχή· «Χρὴ παντα χριστιανὸν ὁμολογεῖν», φ. σμε'.

26. «Διαφοραὶ ἐπιτιμήσεων, λίαν συμπαθέσταται». Ἀρχ. «Τῆς θείας καὶ παναγάθου», φ. σμη'.

27. «Τοῦ Χρυσοστόμου λόγος περὶ πίστεως», οὗ ἡ ἀρχή· «Πιστεύω εἰς ἕνα Θεὸν παντοκράτορα· πιστεύω, οὐκ ἐρευνῶ· πιστεύω, οὐ διώκω» κτλ., φ. σνβ'.

*

28. Ἰωάννου τοῦ Νηστευτοῦ ἐπιτίμια, φ. σνγ΄.

29. Κανόνες διαφόρων συνόδων, φ. σνε΄.

30. Ἀπόκρισις ἀνώνυμος εἰς τὸ «Πόθεν ὁρῶμεν τινὰς πιστοὺς σωματικὰ πταίσματα ποιοῦντας, ὑπὸ δὲ τοῦ Θεοῦ εὐεργετουμένους καὶ κινδύνων διασῳζομένους», φ. σνϛ΄.

31. Τέμαχος ἀνεπίγραφον τοῦ Χρυσοστόμου, φ. σνϛ΄.

32. Ἀποφθέγματα ὁσίων πατέρων, φ. σνϛ΄.

33. Μαξίμου τοῦ ὁμολογητοῦ «λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν πρὸς τὸν ἑαυτοῦ μαθητήν». Ἀρχ. «Ἀδελφὸς ἠρώτησε γέροντα λέγων», φ. σνζ΄.

34. Ἰωάννου Καρπαθίου «ἐκ τῶν ἀσκητικῶν κεφαλαίων τὸ ρ΄», οὗ ἡ ἀρχή· «Μὴ θαυμάσῃς ποτέ», φ. σξη΄.

35. «Συμεὼν μητροπολίτου Εὐχαΐτων, ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον, ἁρμόζουσα καὶ παντὶ μοναχῷ». Ἀρχ. «Ἐδεξάμην σου πάτερ πνευματικέ», φ. σο΄.

36. Ἐκλογαὶ Γεροντικοῦ, φ. σοϛ΄.

37. Ἀποκρίσεις Βαρσανουφίου πρὸς Θεόδωρον μοναχόν. Ἀρχ. «Οἱ πατέρες λέγουσι περὶ τοῦ μέτρου τῆς ἐγκρατείας», φ. σοθ΄. Ἐκδόσεως Νικοδήμου σ. 43.

38. «Ἀκολουθία εἰς ἅγιον σχῆμα μοναχοῦ». Ἀρχ. «Μετὰ τὰ ἀντίφωνα γενομένης τῆς εἰσόδου», φ. σπ΄. Goar σ. 389.

39. «Ἀκολουθία γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα». Ἀρχ. «Ἀπὸ ἑσπέρας εἰσφέρεται τὸ ἱμάτιον καὶ τὰ λοιπὰ τοῦ μέλλοντος κουρευθῆναι», φ. σπα΄. Τρία μόνα φύλλα.

282. Τεῦχος ἐκ χάρτου, γραφὲν ὑπὸ δύο βιβλιογράφων περὶ τὴν ἀρχὴν τῆς ιδ΄ ἑκατονταετηρίδος· ἔστι δὲ μήκους μὲν 0,218, πλάτους δὲ 0,153. Καὶ ἐν μὲν τῇ ἀρχῇ φύλλα πρόσθετα συνυπάρχει τρία, καταγραφὴν ἐνέχοντα τῶν ἐν τῷ κώδικι περιεχομένων, καὶ «Ἰωάννου μοναχοῦ μετάφρασιν τοῦ ἁγίου συμβόλου» τῆς πίστεως, ἧς ἡ ἀρχή· «Πιστεύω εἰς ἕνα πατέρ' αὐτογένεθλον»· μετὰ δὲ ταῦτα σελίδες ἠριθμημέναι συνυπάρχουσι 519, περιέχουσαι πρῶτον μὲν ἑκκαίδεκα λόγους Γρηγορίου τοῦ Θεολόγου, εἶτα δὲ πέντε ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου, ὧν

ἡ ἐσχάτη ἐπιγέγραπται «λόγος εἰς τὸν σταυρὸν» κτλ. Ἄρχεται δὲ αὕτη ὧδε· «Τοῦτό ἐστιν ἀδελφοὶ τὸ σημεῖον» κτλ.

283. Αὐτόγραφος κῶδιξ τοῦ θεολήπτου μοναχοῦ Μαθουσάλα τοῦ Μαχεῖρος, οὗ κώδικες ἄλλοι συνυπάρχουσιν ἐκ παλαιοῦ ἐν τῇ βιενναίᾳ βιβλιοθήκῃ (Lambecii, Comment. liber VII, 1675, σ. 69, 79, 84, 99, 102, 105, 100). Τὸ τεῦχος οὖν τοῦτο συναριθμεῖ φύλλα 281, γεγραμμένα κατ' ἐποχὰς διαφόρους ὑπὸ τοῦ Μαθουσάλα, καὶ ἔστι μήκους 0,221, πλάτους δὲ 0,16· περιέχει δὲ τὰ ἐφεξῆς κείμενα·

1. Ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ἐπὶ μὲν τῆς μιμητικῆς εἰκόνος κατὰ τὴν ἰδίαν ἤτοι μορφὴν ἡ ὁμοίωσις», φ. 1.

2. Ἀμὼς προφητεῖαι, φ. 2—12. Κείμενον καὶ σχόλια Μαθουσάλα ἐν τοῖς μετωπίοις· μετὰ δὲ τὸ τέλος ὑπάρχει τοῦτο· «† Τέλος τῶν Ἀμὼς λόγων παρὰ Μαθουσάλα τοῦ μοναχοῦ καὶ ὃν οἱ χρησμοὶ ἀνέκαθεν προηγόρευσαν, καὶ αὐτὸς ὁ θειότατος Ἰωάννης εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει· καὶ ὃς εἶδε καὶ τὴν φρικτὴν καὶ περίκλυτον καὶ πολυθρύλλητον ἀποκάλυψιν ἐν τῇ κατ' Ἀλεξάνδρειαν Θηβαΐδι καὶ Αἰγύπτῳ, μετὰ τὸ πολλὰ παθεῖν καὶ ὁδεῦσαι πλειστάκις εἰς τὸ Σίναιον ὄρος καὶ εἰς τὸν Ἅγιον Τάφον, εἴς τε τὴν Κρήτην καὶ Κύπρον καὶ τὰς νήσους ἁπάσας· ὃς πολλάκις ἐθαλασσομάχησε καὶ ἐναυάγησε μυριάκις καὶ ἐδιώχθη ὑπὸ πολλῶν καὶ ὁ Θεὸς αὐτὸν ἐκ πάντων τούτων ἐρύσατο †».

3. Τέμαχος «τοῦ ἁγίου Μαξίμου», οὗ ἡ ἀρχή· «Ἡγείσθω δὲ Θεὸς τῶν νοουμένων τε καὶ λεγομένων», φ. 12β.

4. Ὁράσεις Ἡσαΐου τοῦ προφήτου, φ. 13-94. Κείμενον καὶ σχόλια ἐν τοῖς κρασπέδοις ὑπὸ Μαθουσάλα, ὃς (κατὰ τὸ σημείωμα τὸ ἐν τῷ 92-ῳ φύλλῳ) «ἀπόκειται εἰς σημεῖον τοῦ ἀποκαταστῆσαι πάντα».

5. Τεμάχιον ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Αἰσθητήρια μὲν ἔστι τὰ τοῦ σώματος ὄργανα», φ. 94β. Καὶ πάλιν αὐτόθι· «Τοῦτο τὸ βιβλίον ἔγραψε Μαθουσάλας ὁ καὶ Μαχεὶρ εἰς τὸν Ξηρὸν Λόφον προαναγεγραμμένος, ὅπου καὶ οἱ λοιποὶ χρησμοί, πλέον δὲ ὁ ἡμέτερος. Τοῦτο τὸ ἐμὸν ὄνομα ἐκεῖσε οἱ ἄγγελοι φέρουσιν ἐν ταῖς

χερσὶν αὐτῶν, καὶ μηδεὶς οἰέσθω με ψευδῆ φάσκειν, ἀλλ' ἀληθείᾳ· οὐ γὰρ ἀπ' ἐμαυτοῦ λέγω, ὡς καὶ προϊὼν ὁ λόγος δηλώσει· οὐ γὰρ ψευδὴς ἡ ἀποκάλυψις, ἣν ὁ Θεὸς ἔδειξέ μοι καὶ ἣν Ἰωάννης ὁ εὐαγγελιστὴς ὑπεφώνησε καὶ Μεθόδιος ὁ Πατάρων καὶ κῦρ Λέων ὁ σοφὸς ἐχρησμοδότησε».

6. Κεφάλαια τῶν προφητειῶν Ἡσαΐου, φ. 95.

7. «Ἰεζεκιὴλ προφητεία ἱστορικὴ ἠθικὴ διδασκαλικὴ καὶ ἁπλῶς εἰπεῖν πᾶν εἶδος ἀρετῆς διδάσκουσα», φ. 101 - 179. Κείμενον καὶ σχόλια Μαθουσάλα· ὑπάρχει δ' ὑπὸ τὸ τέλος τὸ ἑξῆς ὑπόμνημα· «Τέλος Ἰεζεκιὴλ προφήτου. Ἐτελειώθη παρὰ Μαθουσάλα, ὃν οἱ χρησμοὶ προηγόρευσαν καὶ αὐτὸς ὁ θειότατος Ἰωάννης εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει, καὶ ὃς μέλλει ποιῆσαι πολλὰ καὶ ἐξετάσαι καὶ ἐρευνῆναι κατ' ἀκρίβειαν περὶ πάντων, καὶ διῶξαι καὶ ἐξωστρακίσαι πάντας τοὺς ἐναντία φρονοῦντας κατὰ τῆς ὑγειοῦς ἡμῶν πίστεως [in marg. ἐν καιρῷ ἀνάγκης ἔγραψα καὶ ὁ τόπος ἐστάλλαζε καὶ οὐκ εἶχον οὐδὲ ποῦ καθίσαι, καὶ ἐν διωγμῷ ἤμην καὶ κεκρυμμένος ἀπὸ τῶν ἐκκλησιαστικῶν καὶ χειμὼν ἦν· μέμνησθέ μου τὸν πολύτλαν], τοὺς ἔν τε τῷ φανερῷ καὶ τῷ κρυπτῷ, οἷοί εἰσιν οἱ ψευδώνυμοι ἐπίσκοποι καὶ ἀρχιερεῖς τουνῦν καιροῦ, οἱ κακοὶ ἐργάται, οἱ χείρονες τῶν ἀσεβῶν καὶ πολὺ τούτων διενηνοχότες, καθόσον δοκοῦσι πιστεύειν, οὐ πιστεύουσι δὲ τῇ ἀληθείᾳ, ἀλλὰ πλανοῦσι καὶ πλανῶνται. Καὶ νῦν ἔφθασεν ὁ καιρὸς τῆς ἀπωλείας αὐτῶν, ὅτι δι' αὐτῶν ἀπώλετο ὁ κόσμος· καὶ ἰδοὺ οὐκέτι ἐστί, καὶ εἰ ἔστιν, ὡς μὴν ὢν ἔστι· διορθώσειε δὲ ὁ Θεὸς ἐν τάχει καὶ ἐπισκέψαιτο τὸ ποίμνιον αὐτοῦ, κἀμὲ σὺν αὐτῷ:— Ἐν ἔτει ͵ζν'· ἐν Κωνσταντινουπόλει ἐτελειώθη» (1541 - 1542). Καὶ πάλιν ἐν τῷ κρασπέδῳ· «Σημειωτέον ὅτι οἱ πόνοι μου πάντες ἀπώλοντο καὶ εἰς κενὸν ὁ μόχθος ὁ περισσὸς ἐγένετο καὶ ἡ μικρὰ σπουδὴ καὶ ἡ τῶν προσκυνημάτων ὁδός, ἐφ' ἣν κακὰ πολλὰ πέπονθα. Εἰμὶ δὲ μόνος μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι, ἐμπαιζόμενος παρὰ πάντων τῶν χριστιανῶν καὶ τῶν ἱερέων καὶ τῶν ἀρχιερέων καὶ τῶν διακόνων καὶ τῶν ἀναγνωστῶν καὶ τῶν μικρῶν παιδίων· καὶ ποῦ ὁ Θεὸς ὁ δείξας μοι τὴν ἀποκάλυψιν; Οἶδας

Θεὲ καὶ τὴν ἐμὴν τρίβον καὶ τὴν καρδίαν, καὶ ὅτι οὐκ ἔστι δόλος ἐν τῇ καρδίᾳ μου, οὐδὲ ψεῦδος ἐν τοῖς χείλεσί μου». Καὶ πάλιν· «✝ Διὰ λόγον ἐμὸν ἐποίησα τοῦτο καὶ διὰ χρείαν ἰδίαν πρὸς ὠφέλειαν καὶ σπουδαίως καὶ ὡς ἔφθην εἰπὼν ἐν διωγμῷ καὶ ἐν στενῷ πάνυ τόπῳ καὶ διερρωγότι καὶ ἐσπασμένῳ οἰκίσκῳ· μόσυν γὰρ ἦν τὸ ὅλον· οὐ γὰρ εἶχε θεμελίους, καὶ Ἑβραίων ἦν τὸ οἴκημα καὶ διὰ ν(ο)ικίου ἐκαθεζόμην ἐν δυσωδίᾳ πολλῇ, καὶ ἄκων ὑπέμενον· οὐ γὰρ εἶχον τόπον εἰς κατάπαυσιν καὶ ἀνάπαυσιν, ἀλλὰ τόπον ἐκ τόπου ἤμειβον καὶ ἐν ἐρήμοις πολλάκις διὰ τὸν φόβον τῶν ἐκκλησιαστικῶν καὶ τὸν διωγμὸν τῶν ἱερέων, καὶ ἀπὸ τῶν καλογήρων τὸ πλεῖστον, ἀλλὰ καὶ ἐν πενίᾳ πολλῇ καὶ μεγάλῃ καὶ ἐσχάτῃ καὶ ἐν γυμνώσει πολλῇ, καὶ ὁ ἐλεῶν οὐδείς. Εἰ καί που τυχὸν ὑπῆγον εἰς τὴν ἐκκλησίαν, οὐ τὴν καθολικήν — ἄπαγε —, ἀλλ' εἰς πτωχικάς, πάντες παρεβλέποντό με καὶ ἔλεγον "ἴδε ὁ πλάνος, ὃς ἴδε [sic] τὰς ὁράσεις καὶ ὀπτασίας καὶ ἀποκαλύψεις"· καὶ ἐκίνουν τὰς κεφαλὰς αὐτῶν καὶ ὀνείδιζόν [sic] με πολλὰ καὶ ἔφασκον, ὡς Ἰουδαῖοι ποτὲ τῷ ἐμῷ Χριστῷ· "ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις, μάταιε, συχαντὲ καὶ βδελυρέ, ἀγράμματε καὶ μωρέ; καὶ ἵνα τί πλανᾶσε [sic]; κακῶς σε ἔχει ἡ τύχη. πείσθητι ἡμῶν καὶ βοηθοῦμέν σοι τῆς τε πενίας καὶ τῶν ἄλλων, ὧν χρῄζεις· μόνον γενοῦ μεθ' ἡμῶν καὶ λέγε ὡς ἡμεῖς, καὶ μὴ κηρύττεις λύτρωσιν τῷ Ἰσραήλ, τῷ χριστιανικῷ λαῷ, ἀλλὰ λέγε ὅτι οὐκ ἔστιν αὐτοῖς λύτρωσις ἀπὸ τοῖς ἐπηρεάζουσιν [sic]". Ὁ σκοπὸς ἐκείνων τίς; ἵνα πάντως ἀεὶ αὐτοὶ τὰ κακὰ πράττωσιν ἀδεῶς, οὐ νόμου κωλύοντος, οὐ βασιλέως εὐσεβοῦς φόβος εἴργοντος, οὐκ ἀρχιερέως παραίνεσις ὁδηγοῦντος καὶ συμβουλεύοντος ἀποθέσθαι μὲν τῆς κακίας τὴν γνώμην, τῆς ἀρετῆς δὲ ὅλους ὅλως γενέσθαι, ἐν ὅλῃ τῇ γνώμῃ ἡ ἀρετὴ καὶ ἡ γνώμη ἐν ὅλῃ τῇ ἀρετῇ, καὶ οὕτω συγκραθῆναι τελέως. Ταῦτα ἦν, ὡς ἔπος εἰπεῖν, δι' ἅπερ ἐμισούμην ἐγώ, ἐπεὶ ἐβουλόμην εἶρξαι τῶν κακῶν καὶ οὐκ ἠδυνάμην, καὶ ὁ καιρὸς καὶ ἡ τῶν κρατούντων ἐξουσία κατεδάμαζέ μου τὸν τόνον, αὐτοὶ δὲ ὅλοι τοῦ καιροῦ ἐγένοντο, εἰ μή τινες ἐξ αὐτῶν οὐκ ἦσαν,

πένητες λέγω καὶ οὐ τῆς μερίδος καὶ τάξεως αὐτῶν· ὧδε· ἕως τίνος βραδυνεῖς»;

8. Τεμάχη δύο «ἐκ τῆς βίβλου τῆς καλουμένης τῶν Ὁδηγῶν». Ἀρχ. «Τῶν ὑποστάσεων αἱ μὲν εἰσι προσωπικαί», φ. 180β.

9. «Συνοπτικὸν σύνταγμα φιλοσοφίας Γρηγορίου μοναχοῦ, ὡς δ' ἐμοὶ δοκεῖ καὶ ἡ ἀλήθεια ἐστί, Γρηγορίου τοῦ Θεολόγου, τοῦ οἰκουμενικοῦ φωστῆρος». Ἀρχ. «Ὥσπερ οἱ ἀναγινώσκοντες πρῶτον μὲν τὰ στοιχεῖα μανθάνουσιν», φ. 181. Περὶ τῶν ἐκδόσεων ὅρα Φαβρίκιον, Bibl. Gr. III, σ. 220. XI, σ. 632.

10. «Εὐαγρίου τοῦ μοναχοῦ καὶ φιλοσόφου» τεμάχιον, οὗ ἡ ἀρχή· «Πᾶσα πρότασις ἢ γένος», φ. 189.

11. «Περὶ ἑρμηνείας· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου». Ἀρχ. «Ἰστέον δὲ λοιπὸν κἂν τῷ περὶ ἑρμηνείας», φ. 189β.

12. «Περὶ σχημάτων. Γρηγορίου τοῦ Θεολόγου μερικόν», καὶ σχόλια Μαθουσάλα ἐν τοῖς κρασπέδοις. Ἀρχ. «Ἀλλ' ἴωμεν ἤδη καὶ ἐπὶ τὰ σχήματα», φ. 193.

13. «Ἔτι περὶ διαφορᾶς Γρηγορίου τοῦ Θεολόγου» καὶ σχόλια Μαθουσάλα. Ἀρχ. «Διαφορά ἐστιν, ἣ πλεονάζει τὸ εἶδος τοῦ γένους ταῖς διαφοραῖς», φ. 202.

14. Ἰσαὰκ τοῦ Σύρου τάξις δευτέρα καὶ τρίτη τῆς γνώσεως. Ἀρχ. «Ὅτε ἀφήσῃ τις τὴν τάξιν», φ. 210. Πρβλ. ἐκδ. Νικηφόρου τοῦ Θεοτόκου σ. 382.

15. «Κεφάλαια σύντομα τοῦ αὐτοῦ ὑπὲρ ἄλλων τρόπων τῆς διαφορᾶς τῶν ἐννοιῶν τῆς γνώσεως». Ἀρχ. «Ἡ γνῶσις ἡ ἀναστρεφομένη ἐν τοῖς ὁρατοῖς», φ. 211β. Ἐκδ. Νικηφόρου σ. 388.

16. «Μαξίμου περὶ διαφορᾶς οὐσίας καὶ φύσεως κατὰ τοὺς ἔξω». Ἀρχ. «Τὸ μὲν τῆς οὐσίας ὄνομα», φ. 212β.

17. Γρηγορίου τοῦ Θεολόγου, «λόγος εἰς Ἀθανάσιον ἀρχιεπίσκοπον Ἀλεξανδρείας» (φ. 213), ἔχων ἐπὶ κεφαλῆς τὸ ἐπίγραμμα τοῦτο·

Ἀθανάσιον πύργον ὀρθοδοξίας
ἐγκωμιάζει Γρηγόριος ἐμφρόνως.

Ἀθανάσιε τάχα καὶ ζῇς καὶ πνέεις,
ὡς οὐ παρελθὼν τὸν βραχὺν τοῦτον βίον·
ἀθάνατον γὰρ πανταχοῦ σε δεικνύων
ὁ γρήγορος νοῦς τόνδε σοι πνεῖ τὸν λόγον.

18. «Οἱ μαργαρώδεις λόγοι τοῦ Χρυσοστόμου· λόγος ιζ'», οὗ ἡ ἀρχή· «Αὗται αἱ παραβολαὶ τῇ προτέρᾳ», φ. 229. Migne τ. 58, σ. 711.

19. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸν δεῖπνον τὸν μυστικόν· λόγος ιθ'», οὗ ἡ ἀρχή· «Βαβαί, ποία πήρωσις», φ. 238β. Migne τ. 58, σ. 737.

20. Τοῦ αὐτοῦ λόγος κ', οὗ ἡ ἀρχή· «Πανταχοῦ ἡ πλάνη», φ. 243β. Migne τ. 58, σ. 781.

21. «Πρόλογος τῆς φιλοθέου ἱστορίας, ἤτοι ἀσκητικῆς πολιτείας· Θεοδωρήτου ἐπισκόπου». Ἀρχ. «Τῶν ἀρίστων ἀνδρῶν», φ. 247β. Ἐκδ. Χάλλης τ. III, σ. 1099.

22. «Τοῦ αὐτοῦ Θεοδώρου ἐπισκόπου Κυρήνης καὶ διδασκάλου μεγάλου, περὶ τῆς θείας ἀγάπης καὶ ἔρωτος θείου λέγω: μετὰ τὸ τέλος τοῦ βιβλίου τοῦτο». Ἀρχ. «Ἡλίκοι μὲν οἱ τῆς ἀρετῆς ἀθληταί», φ. 250. Ἐκδ Χάλλης τ. III, σ. 1296.

23. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος ε' περὶ ἱερωσύνης, οὗ ἡ ἀρχή· «Ὅσης μὲν ἐμπειρίας», φ. 255. Dübner I, σ. 309.

24. Τοῦ αὐτοῦ «περὶ ἀκαταλήπτου καὶ ὅτι ἐστὶ συγκατάβασις φορητὴ ἐν τῆς Σεραφείμ· λόγος γ'», οὗ ἡ ἀρχή· «οἱ φιλόπονοι τῶν γεωργῶν», φ. 258β (Migne τ. 48, σ. 719). Ἐν τῷ φ. 262β· «Τὸ τέλος τοῦ λόγου ὀλίγον καὶ οὐχ ἠθέλησα γράψαι, ὡς γνώριμον καὶ ἐπεὶ μέχρι τοῦδε ἤθελον ἰδεῖν».

25. Τοῦ αὐτοῦ ὁμιλία, ἧς ἡ ἀρχή· «Πανταχοῦ μὲν εὐλαβοῦς διανοίας δεῖ», φ. 263. Migne τ. 63, σ. 19.

26. «Κυρίλλου Ἱεροσολύμων πρόρρησις περὶ τοῦ κεχρυμμένου μοναχοῦ, τοῦ ἐξαιρέτου καὶ καλλίστου» φ. 268β. Πλάσμα τοῦ Μαθουσάλα, ἔχον ὧδε· «Καὶ ἀνὴρ τις περιλαμπὴς τῷ γένει καὶ τῇ ψυχῇ ἐν ἀσκήσει ὁσιωτάτως πονέσας τῳόντι πολὺ καὶ ταῖς θριξὶ λάμπων ἐπιθήσει ἐπὶ τὸν δίκαιον βασιλέα τὰς χεῖρας αὐτοῦ

καὶ εὐλογήσει καὶ δώσει αὐτῷ τὸ διάδημα καὶ κρατήσει τῆς ἁγίας Σιών, τουτέστι τῆς Ἁγίας Σοφίας καὶ πάντων τῶν ἐκκλησιῶν· ἔσται δὲ οὗτος γένους ἐνδόξου καὶ ἐκ παιδόθεν τῷ Θεῷ ἀνατεθεὶς καὶ ἐν τῇ Ἑπταλόφῳ εἰσοικισθήσεται, ἔχων ἀποκάλυψιν Θεοῦ καὶ τοῦ θείου φωτὸς ἐμπεφορημένος, καὶ ὑποδεύει χρόνους πολλοὺς καὶ ἐπὶ χρόνον τινὰ θεολογήσει· ἔστι δὲ μεσῆλιξ, μικρὸς ὡς ἐπὶ πλάτος, πλατὺς τὸ γένειον, ἱερὸν ὄντα καὶ σταυρὸν ἠμφιεσμένος—τὸ δὲ ὄνομα αὐτοῦ ἐν τῷ Ξηρῷ Λόφῳ κεῖται—,ἀσκήσας ὑπὲρ πάντας τοὺς θεοσεβεῖς καὶ ἀφαντώσει πάντα τὰ ἱερατεῖα καὶ ἀποστελεῖ εἰς τοὺς θρόνους τῶν πατριαρχῶν ὁσίους ἄνδρας τοὺς ἁγιάζειν καὶ φωτίζειν καὶ διδάσκειν τοῦ Θεοῦ τὴν ὡραιότητα, καὶ ἐκλικμήσει τὴν ἅλωνα τῆς ἁμαρτίας, ἀπὸ πάσης ἱερατικῆς καταστάσεως· περὶ οὗ λέγεται καὶ ἀλλαχοῦ "Βλέπε σὺ ὁ τὰ θεῖα φορῶν πρὸς τὸν τότε πατριαρχεύοντα, μή σου ἡ κόμη ὄνειδος γένηται καὶ μεγάλως ἀχρειωθήσῃ, καὶ ἀναστήσεται ὁ ἠλειμμένος, καὶ οὗ τὸ ἐπώνυμον αὐτοῦ Μαχείρ· καὶ οὗτος ἐστί, ὃς μέλλει κόψειν καὶ τὰ γένεια τοῦ τότε πατριάρχου", ὡς ἔναι καὶ ἀλλαχοῦ γεγραμμένον "Ὁ πτωχὸς καὶ κεχαρμένος καὶ ῥάκκια ἐνδεδυμένος, διὰ τὸ μὴ χρησιμεύειν ὅλως· ὃν ἐδίωξαν οἱ ἄνθρωποι, ὡς νεκρὸν καὶ εἰς οὐδὲν χρησιμεύοντα" καὶ τὰ ἑξῆς· "καὶ ὁ βουλόμενος ζητεῖν ζητείτω· ὁ Μαθουσάλας ἔναι, νασασπῶ τὴν ἀλήθειαν, καὶ ἄνοιξε τὰ ὄμματά σας καὶ ἔφθασεν ὁ καιρός". Καὶ ἀλλαχοῦ· "Οὐαί σοι πόλις Ἑπτάλοφε, ὅταν τὸ ἀγγελικὸν σκῆπτρον βασιλεύσει ἐν σοί".

27. «Ἠθικὸς α', περὶ τοῦ δεῖν καθαροὺς εἶναι ἀπὸ ἁμαρτίας καὶ ὅτι καὶ τὰ δοκοῦντα μικρὰ τῶν ἁμαρτημάτων σφόδρα μεγάλα τυγχάνει». Ἀρχ. «Ἐπεὶ οὖν καθαρισμὸν ἐποίησας τῶν ἁμαρτιῶν ἐμοῦ», φ. 270. — «Ἠθικὸς β', κατὰ ὑπερηφανείας καὶ παραίνεσις πλουσίοις καὶ πένησιν». Ἀρχ. «Ταῦτ' οὖν εἰδότες μηδὲν ἐπαισχυνώμεθα», φ. 272. — «Ἠθικὸς γ', περὶ πνευματικῶν χαρισμάτων». Ἀρχ. «Ἐνταῦθα καί τι ἄλλο αἰνίττεσθαί μοι δοκεῖ», φ. 275-277 καὶ 269.

28. Γρηγορίου Νύσσης τεμάχιον περὶ τοῦ «τίς ἡ τοῦ ἐκπο-

ρεύεσθαι δύναμις», φ. 278. — «Ὅτι διττὴ ἡ τοῦ ἁγίου πνεύματος ἐκπόρευσις», φ. 279. Ἕτερον Γρηγορίου τοῦ Θαυματουργοῦ καὶ παρατηρήσεις Μαθουσάλα, καὶ πάλιν τεμάχη περὶ τοῦ ἁγίου πνεύματος ἐκ τῶν τοῦ Μαξίμου καὶ τοῦ Ἰουστίνου.

284. Τεῦχος ἐκ χάρτου γραφὲν ἔτει 1527-ῳ καὶ συνιστάμενον ἐκ φύλλων 139, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι (0,218 × 0,16 = 0,17 × 0,095)· ἐπιγραφὴν δὲ τοιαύτην ἔχει· «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ μεταγλωττίσματος τοῦ βιβλίου ὅπου κράζεται Φίορ-δὲ-Βερτοῦ, τουτέστιν ἄνθος τῆς ἀρετῆς, ἀπὸ φράγγικον εἰς ρωμέκον». Ἀρχ. «Ἀρχεύγει ἕναν ἔργον πολλὰ διαφορικὸν τὸ ποῖον κράζουν Φίορ-δὲ-Βερτοῦ· τὸ ποῖον ξηγᾶται διὰ ὅλα τὰ βίτζια τὰ ἀνθρώπινα, τὰ ποῖα οἱ ἄνθρωποι ὅπου πεθυμοῦν νὰ ζήσουν κατὰ Θεὸν πρέπει νὰ τὰ φεύγουν· καὶ παραγγέλλει τὸ αὐτὸν βιβλίον τὸ πῶς νὰ κερδέσουν οἱ ἄνθρωποι τὲς ἀρετές, τὰ κουστούμια τὰ ἠθικά, προβιάζοντα μὲ πογέριν καὶ δασκαλίαν τῶν ἁγίων θεολόγων καὶ μὲ πολλοὺς φιλοσόφους πολλὰ δασκαλεμένους.—Πρόλογος. Διὰ νὰ δροσίσω χαμπόσον τὸ πτωχὸν πλάσμα τὸ ἀνθρώπινον κατὰ τὸν ἀχαμνόν μου σκοπὸν καὶ ἀψὴν ἀγάπην, μὲ γλυκιὰν ἀποσκότισιν καὶ ταπεινὸν ἀπλαζίριν, ἀπὸ τὸ βρωμισμένον βίτζιον καὶ θανατίσιμον τὴν ὀκνιὰν» κτλ. Μετὰ δὲ τὸ τέλος τοῦ βιβλίου γέγραπται τοῦτο· «Ἐτελειώθη ἡ παροῦσα δέλτος τὸ Φίορ-δὲ-Φερτοῦ, τὴν σήμερον ἡμέρᾳ παρασκευεῖ [sic]. ιβ΄. ἰουλίου μηνός· ὥρα ιβ΄ τῆς ἡμέρας· ὑπὸ χειρὸς ἐμοῦ Λουκὰ ἱερέως Ντόργια καὶ οἱ ἀναγινώσκοντες, εὔχαιστέ μοι δϊὰ τὸν Κ(ύριο)ν:-ἀμήν: — ἐν χρονίας· ͵α. φ. κζ΄. Χ(ριστο)ῦ». Καὶ πάλιν μετὰ τοῦτο·

Τὸ χέριν ἀποῦ σέγραψεν πολὺν καιρὸν νὰ ζήσῃ
καὶ μὲ τὰ χρόνια τὰ πολλὰ νὰ καλοθανατίσῃ
καὶ μὲ τὸν νοῦν καὶ μὲ σκοπὸν συγχώρησιν νὰ ποίσῃ
καὶ τὸ κορμάκιν τοῦ Χριστοῦ νὰ δῇ νὰ τὸ γρονίσῃ.
Ἄγγελοι τὴν ψυχούλαν του νὰ τὴν περικρατοῦσιν,
Χριστέ, νὰ τὴν ἐβάλασιν σόμορφον παραδεῖσι,
νὰ περπατῇ νὰ χαίρεται, πολὺν καιρὸν νὰ ποίσῃ.

285. Ψαλτήριον τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων χάρτου 76, μήκους μὲν 0,228, πλάτους δὲ 0,15· ἔχει δὲ κατὰ τὴν ἀρχὴν αὐτοῦ φύλλον ἓν πρόσθετον, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «† Τὸ παρὸν ψαλτήριον ἐδόθη τοῦ μοναχοῦ Ἰωὴλ τοῦ Θηβαίου ἐν Τριπόλει τῆς Φοινίκης, ἐκ χειρὸς τοῦ πανιερωτάτου μητροπολίτου κῦρ Δωροθέου, καὶ ὁ ἄνωθεν εἰρημένος Ἰωὴλ τὸ ἔδοσε εἰς τὴν μεγίστην λαῦραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα ἐν Ἱεροσολύμοις, εἰς χεῖρας τοῦ ἱερομονάχου καὶ πνευματικοῦ πατρὸς κῦρ Φιλίππου: † κατὰ μῆναν μάρτιον, β'. τῇ, ζη τῆς βας ἑβδομάδος, τῶν νηστειῶν· τοῦ ,ζπεου ἔτους (1577): καὶ ἔδωσέ μου χάρις τοῦ οὐκ εἶχα τὸ ἐμὸν ψαλτήριον καὶ τὸ ἀφῆκα στὴν πόλιν Δαμασκόν».

286. Μαλαξοῦ νομοκάνων ἐκ κεφαλαίων τδ', γραφεὶς τῇ ἑπτακαιδεκάτῃ ἑκατονταετηρίδι διὰ χειρὸς Κύρκου τοῦ ἱερέως καὶ πωληθεὶς ἀντὶ γροσίων τριῶν τῷ Ἁγιοταφίτῃ καλογήρῳ Παρθενίῳ· τούτου δ' ὅμως τὸ ὄνομα Γεράσιμός τις ἀπέσβεσεν. Ἔστι δὲ τὸ τεῦχος μήκους μὲν 0,228, πλάτους δὲ 0,16· φύλλα δὲ συναριθμεῖ 172.

287. Μαλαξοῦ νομοκάνων ἐπίτομος ἐκ φύλλων χάρτου 87, μήκους μὲν 0,23, πλάτους δὲ 0,171· ἐγράφη δὲ περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος.

288. Τεῦχος ἐκ φύλλων χάρτου 315, γραφὲν τῇ πεντεκαιδεκάτῃ ἑκατονταετηρίδι καὶ τῶν πινακίδων ἔνδον ἔχον φύλλα δύο μεμβράνινα, συναπεσπασμένα ἐξ ἑβραϊκοῦ τινος βιβλίου· ἔστι δὲ μήκους μὲν 0,22, πλάτους δὲ 0,154· τὸ δὲ κείμενον αὐτοῦ μονόστηλον ὑπάρχει, γραμμὰς ὀκτωκαίδεκα συναριθμοῦν ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων (0,147 × 0,093)· ἐπιγραφὴν δὲ τὸ τεῦχος ἔχει ταύτην· «† Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας, τῆς Ἰνδῶν λεγομένης, πρὸς τὴν ἁγίαν πόλιν μετενεχθεῖσα παρὰ Ἰωάννου μοναχοῦ, ἀνδρὸς τιμίου καὶ ἐναρέτου, μονῆς τοῦ ἁγίου Σάβα». Ἀρχ. «Ὅσοι πνεύματι Θεοῦ ἄγονται» κτλ. Μετὰ δὲ τὸ τέλος αὐτῆς διὰ κιτρίνης βαφῆς ὁ καλλιγράφος τοῦ τεύχους ἔγραψε στίχους πολιτικοὺς πέντε, τοὺς ἐφεξῆς· «† Ἰδοὺ

καὶ τέλος ἤλιφεν ἡ βίβλος Ἰωάσαφ· | ἁμαρτωλοῦ καὶ διστιχοῦς καὶ χωρικοῦ γραφέως· | ἀλλ' ὦ Χριστὲ πανβασιλεῦ δώς μοι ἰσχὺν καὶ δάκρια, | ὅπως ἐκβλήσω σταλαγμῶν ρυπτικῶν μελημάτων, | καὶ ὄψομαι τὴν δόξαν σου καὶ ζήσω εἰς αἰῶνας». Ὑπάρχει δ' αὐτόθι καὶ σημείωσις Ἱεροσολύμων πατριάρχου, τοῦ Θεοφάνους, περὶ τοῦ ὅτι τὸ βιβλίον ἐστὶν ἀπόκτημα τοῦ παναγίου Τάφου.

289. Βιβλιάριον Ἰωαννικίου τοῦ Σαβαΐτου, γραφὲν ἔτει 1783-ῳ καὶ παρ' αὐτοῦ τοῦ Ἰωαννικίου δωρηθὲν τῇ λαύρᾳ Σάβα τοῦ ἡγιασμένου· συναριθμεῖ φύλλα χάρτου 99, μήκους μὲν 0,22, πλάτους δὲ 0,167. Περιέχει δὲ τεμάχη Βασιλείου Καισαρείας, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰσιδώρου τοῦ Πηλουσιώτου καὶ μάλιστα (φ. 4—17) «λόγους ἡδυτάτους καὶ πάνυ ὠφελίμους καὶ σωτηριώδεις τῶν τροπαρίων τοῦ μεγάλου κανόνος, ἑρμηνευθέντας παρὰ τοῦ μακαριωτάτου σοφωτάτου πατρὸς ἡμῶν καὶ πατριάρχου Ἱεροσολύμων κυρίου Παρθενίου». Ἀρχ. «Ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι» κτλ.

290. Τεῦχος ἐκ φύλλων χάρτου 204 (0,217 × 0,17), γραφὲν ἔτει 1719-ῳ, καθάπερ ἐκδηλοῖ τὸ σημείωμα τοῦτο (φ. 48^{α})· «Ἐτελειώθη τὸ παρὸν πατερικὸν διὰ χειρὸς τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου καὶ ἁμαρτωλοῦ τ' οὔνομα Γερασίμου ἐκ τῆς Χίου, ἐν ἔτει κατὰ τὸ ,αψιθ' ἰουνίου λ', ἔξωθεν τῶν σεβασμίων μοναστηρίων, ἤτοι εἰς τὴν ἁγίαν μονὴν τοῦ ἁγίου ἐνδόξου προφήτου Ἠλιοῦ τοῦ θεσβίτου, καὶ οἱ ἀναγινώσκοντες εὔχεσθε». Καὶ πάλιν ἐν τῷ 138-ῳ φύλλῳ· «Τέλος τῷ δὲ Θεῷ χάρις· κατὰ τῷ ,αψιθ' ἔτῳ [sic]· τὸ παρὸν πατερικὸν ἐγράφθει παρ' ἐμοῦ τοῦ εὐτελοῦς, ἀμαθοὺς τε καὶ ἀναξίου ἱερομονάχου, τ' οὔνομα Γερασίμου, ἀπὸ δὲ πατρίδος ἐκ περιφήμου νήσσου, ὀνομαζομένης Χίου: — καὶ ἐδόθη τῷ πανοσιωτάτῳ καὶ μουσικολογιωτάτῳ ἁγίῳ πνευματικῷ καὶ ἐφημερίῳ κυρίῳ κὺρ Σαμουήλ, τῷ ἡμετέρῳ μοι ἀδελφῷ καὶ προσφιλεστάτῳ, πανευτυχῶς». Περιεχόμενα·

1. Βίος καὶ πολιτεία Μακαρίου τοῦ Ῥωμαίου. Ἀρχ. «Παρακαλοῦμεν ἡμεῖς, ἀδελφοί μου χριστιανοί», φ. 1.

2. Βίος καὶ πολιτεία τῶν ἁγίων μακάρων. Ἀρχ. «Κατ' ἐκεῖνον τὸν καιρὸν ἀνήρ τις θαυμαστὸς ὀνόματι Ζώσιμος», φ. 8β.

3. «Ὑπομνήματα εἰς τὰ πραχθέντα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ Ποντίου Πιλάτου, συγγραφέντα ὑπὸ Νικοδήμου ἄρχοντος τῆς συναγωγῆς τῶν Ἰουδαίων, μεταγραφέντα ὑπό [sic] τινος βιβλίου παλαιοῦ τοῦ ἁγίου καὶ θεοβαδίστου ὄρους Σινᾶ, ἐν τῷ ,αυϑ' τῆς θεογονείας ἔτος». Ἀρχ. «Ἐν ἔτει δέκα Τιβερίου καίσαρος τῆς βασιλείας τῶν Ῥωμαίων καὶ Ἡρώδου βασιλέως τῆς Ἰουδαίας» κτλ. φ. 15. Πρβλ. C. Tischendorf, Evang. apocr. σ. 211 κἑ. — «Ἱστορία ἀκριβὴς περὶ τῶν κατὰ τὴν σταύρωσιν καὶ ἀνάστασιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τελεσθέντων, συγγραφεῖσα τὸ πρῶτον ὑπὸ Ἰουδαίου τινὸς Αἰνέα, συγχρόνου τοῦ Κυρίου, μεταφρασθεῖσα μὲν εἰς τὴν λατινίδα γλῶσσαν ὑπὸ Νικοδήμου τοπάρχου τοῦ ἐκ Ῥώμης, μετενεχθεῖσα δ' εἰς τὴν ἑλληνικὴν ὑπὸ μοναχοῦ ἀνωνύμου, σώζεται ἔν τινι χειρογράφῳ ἐν τῷ Ἁγ. Ὄρει καὶ ἐκδίδοται τὸ πρῶτον ἤδη εἰς φῶς». Ἐν Ἀθήναις [γρ. Σμύρνῃ] 1889, σ. 12 κἑ.

4. «Λόγος σύντομος εἰς τὸ σωτήριον πάθος τοῦ Χριστοῦ». Ἀρχ. «Ἐπῆρεν ὁ ἀνθρωποκτόνος καὶ φθονερώτατος Κάιν», φ. 31.

5. «Ἐκ τοῦ Πατερικοῦ λόγος ὠφέλιμος τοῦ ἀββᾶ Μακαρίου· λόγος α'», οὗ ἡ ἀρχή· «Οὗτος ὁ πανθαύμαστος ἀββᾶ κῦρ Μακάριος κάποτες εἰς τοὺς καιροὺς ὁποῦ εὑρίσκετον», φ. 42β.

6. «Ἐξήγησις περὶ τοῦ Ἀλληλούια». Ἀρχ. «Μακάριοι οἱ ἄμωμοι κτλ. Μᾶς ἑρμηνεύει ἡ ἐπάνω γραφή», φ. 47β.

7. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Νήφωνος Κωνσταντιανῆς.... διὰ τὴν Ἀλεξάνδρειαν». Ἀρχ. «Εἰ μυστήριον βασιλέως κρύπτειν καλόν», φ. 49. Κείμενον ἐκ τῆς ἑλληνικῆς εἰς δημώδη φωνὴν μεταπεφρασμένον· ἀντίγραφα δὲ τοῦ παλαιοῦ κειμένου ὅρα παρὰ τῷ Montfaucon (Biblioth. Coisliniana, σ. 416), παρὰ τῷ Omont (Inventaire sommaire des MSS grecs de la Bibl. Nationale I, σ. 261, κῶδ. 1195, φύλλ. 444) καὶ παρὰ τῷ Coxe (Catal. cod. graec. bibl. Bodl. σ. 445).

8. Λόγος τοῦ ὁσίου Ἐφραὶμ τοῦ Σύρου». Ἀρχ. «Γίνωσκε τέκνον, ὅτι ὀκτὼ εἰσιν οἱ λογισμοί», φ. 141.

9. «Περὶ ἱερωσύνης». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ζαχαρίας, ὅτι καθημένου μου ποτὲ μετὰ τοῦ ἀββᾶ Μακαρίου», φ. 144β.

10. Τεμάχη διάφορα Γεροντικοῦ, φ. 146.

11. Βίος καὶ πολιτεία Μάρκου τοῦ Ἀθηναίου, οὗ ἡ ἀρχή· «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Σεραπίων», φ. 155. Acta Sanctorum, μαρτίου τ. III, σ. *33. Δευτέρα ἔκδοσις Ἰακώβου Πατμίου τοῦ Ἀναστασίου: Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Χριστοδούλου κτλ. Ἑνετίῃσι ,αψνε' σ. *1—*7. Μετατύπωσις σμυρναϊκή, ἧς ἡ ἐπιγραφή· «Διήγησις τοῦ ἀββᾶ Μάρκου τοῦ Ἀθηναίου, ὡς εὕρηται ἐν μεμβράναις, καὶ ἑτέρα διήγησις τοῦ ἀββᾶ Ἀντωνίου καὶ ἁγίας Ταϊσίας τῆς ἁμαρτωλῆς· ἑτέρα διήγησις τοῦ γεγονότος θαύματος ἐν Αἰγύπτῳ, ἐπονομαζομένου Ντοὺρ Ντὰγ τουρκιστί. Δαπάνῃ καὶ πρὸς ὄφελος τῆς ἐν τῇ Ἄνω Συνοικίᾳ Φιλανθρωπικῆς Ἀδελφότητος». Σμύρνῃ 1877, σ. 1—15.

12. Ἀναστασίου Σιναΐτου «πόθεν ἡ βλασφημία τίκτεται καὶ πῶς θεραπεύεται». Ἀρχ. «Πόθεν ἡ ψυχὴ τοῦ ἀνθρώπου», φ. 165β.

13. «Ἡ ἀποκάλυψις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, ὅταν ἐπῆγεν εἰς τὸν Ἅδην καὶ ἰδοῦσα τὰς ψυχὰς τῶν ἁμαρτωλῶν πῶς κολάζονται». Ἀρχ. «Τῷ καιρῷ ἐκείνῳ ὁποῦ ἔμελλεν ἡ ὑπεραγία», φ. 167β.

14. «Διήγησις περὶ τοῦ προφήτου, τοῦ καὶ σοφωτάτου, τοῦ βασιλέως Σολομῶντος· λόγος β'», οὗ ἡ ἀρχή· «Διήγησις περὶ τοῦ σοφωτάτου βασιλέως Σολομῶντος πολὺ ὠφέλιμος, ὁποῦ ἦτον υἱὸς τοῦ προφήτου Δαυίδ» κτλ., φ. 177β.

15. Ἐκλογαὶ Γεροντικοῦ, φ. 191β.

16. Ἰωάννου τοῦ Χρυσοστόμου «περὶ τί ἐστι γυνή». Ἀρχ. «Γυνή ἐστιν ἐπὶ γῆς ναυάγιον», φ. 203.

17. «Περὶ τῶν πέντε ἐργασιῶν ὁποῦ θεραπεύεται ὁ Θεὸς εἰς αὐτές». Ἀρχ. «Ἡ πρώτη ἔναι ἡ καθαρὰ προσευχή», φ. 204.

291. Ἐξοδιαστικὸν ἀξιολογώτατον ἐκ χάρτου στιλπνοῦ, συγκείμενον δ' ἐξ 120 φύλλων καὶ μήκους μὲν ὑπάρχον 0,22, πλάτους

δὲ 0,17· κείμενον δὲ περιέχει δίστηλον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων καὶ γραμμὰς 22 (0,134×0,11), ὅπερ ἐγράφη περὶ τὴν ἀρχὴν τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος. Περιεχει δὲ τάξιν καὶ ἀκολουθίαν περὶ κηδείας ἱερωμένου· ἧς ἡ ἀρχή· «Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλος τοῦ καταλόγου τοῦ ἱερατικοῦ ἐκδημήσει πρὸς Κύριον, ἀπέρχονται τρεῖς ἱερεῖς καὶ καταβιβάζουσιν αὐτὸν τῆς κλίνης καὶ τιθέασιν ἐπὶ τῆς γῆς ἐν ψιαθίῳ» κτλ. Πρβλ. Goar, Εὐχολόγιον, σ. 451.—Σημειωτέα α') Ἰωάννου τοῦ Δαμασκηνοῦ στιχηρὰ ἰδιόμελα, ὧν ἡ ἀκροστιχίς· «Πέντε», φ. 34.—β') Θεοφάνους στιχηρὰ προσόμοια, ὧν ἡ ἀκροστιχίς· «Ὀδυρμός», φ. 41.—γ') «Στιχηρὰ προσόμοια τοῦ κῦρ Θεοφάνους, πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου». Ἀρχ. «Ῥώμην τοῦ θανάτου καὶ φθοράν», φ. 42β. Goar σ. 440 (ἀνωνύμως). — δ') Ἰωάννου τοῦ Δαμασκηνοῦ στιχηρά, ὧν ἡ ἀκροστιχίς· «Παρακαλῶ», φ. 49.—ε') Θεοφάνους στιχηρὰ προσόμοια κατ' ἦχον γ', ὧν ἡ ἀρχή· «Τῷ τύπῳ τοῦ σταυροῦ σου φιλάνθρωπε», φ. 50β. Goar ἀνωνύμως, σ. 447.—ς') Στιχηρὸν ἰδιόμελον Ἰωάννου Δαμασκηνοῦ κατ' ἦχον γ', οὗ ἡ ἀρχή· «Ἰδοὺ κεῖμαι ἀγαπητοί μου ἀδελφοί», φ. 51β. Goar σ. 462 (ἀνωνύμως). —ζ') Ἰδιόμελα Ἰωάννου Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· «Πενθῶ», φ. 55.— η') «Στιχηρὰ προσόμοια τοῦ κῦρ Θεοφάνους, πρὸς τὸ Ἔδωκας σημείωσιν»· ὧν ἡ ἀρχή· «Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον», φ. 56β. Ἀνωνύμως παρὰ τῷ Goar σ. 441.—θ') Οἶκοι λεγόμενοι παρὰ τοῦ ἀναγνώστου «ἐπάνω τοῦ λειψάνου, πρὸς ἀκρόασιν τῶν ἑστώτων ἀδελφῶν, ὧν ἡ ἀκροστιχίς: Ἀναστασίου τοῦ ταπεινοῦ αἶνος». Ἀρχ. «Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος», φ. 57. Pitra, Analecta sacra spicilegio Solegmensa parata I, σ. 342 κέ.— ι') Οἶκοι, ὧν ἡ ἀχροστιχίς· «Ἱλαρίωνος τὰ ὅλα», φ. 61β. — ια') Στιχηρὰ ἰδιόμελα Ἰωάννου Δαμασκηνοῦ κατ' ἦχον πλάγιον α', ὧν ἡ ἀροστιχίς· Οἶκτος», φ. 69.—ια') «Ἕτερα ἰδιόμελα τοῦ αὐτοῦ, ἄνευ τῆς ἀκροστιχίδος». Ἀρχ. «Ἐμνήσθην τοῦ προφήτου βοῶντος», φ. 70. Πρβλ. Goar σ. 463.—ιβ') Στιχηρὰ προσόμοια Θεοφάνους εἰς ἦχον πλάγιον α', ὧν ἡ ἀρχή· «Αἴγλῃ τοῦ

σοῦ προσώπου Χριστέ», φ. 70β. Ἀνωνύμως παρὰ τῷ Goar σ. 442. — ιγ') Ἰδιόμελα Ἰωάννου Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· «Τετρασύλλαβος τοῦ ἀλφαβήτου: ἦχος πλάγιος β'», φ. 76.— ιδ') «Ἕτερα τοῦ αὐτοῦ, ὧν ἡ ἀκροστιχίς· Ἄλγος», φ. 77. — ιε') «Ἕτερα στιχηρὰ προσόμοια τοῦ κῦρ Θεοφάνους· ἦχος ὁ αὐτός», φ. 77β.—ις') Ἰδιόμελα Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· «Κλαυθμός», φ. 83.—ιζ') Στιχηρὰ προσόμοια Θεοφάνους, πρὸς τὸ Καταφρονήσαντες πάντες. Ἀρχ. «Νενεκρωμένος ὡράθης», φ. 84β. Ἀνωνύμως παρὰ τῷ Goar σ. 443.—ιη') Στιχηρὰ ἰδιόμελα Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· «Θρηνῶ», φ. 92. Ψάλλονται δὲ κατ' ἦχον πλάγιον δ'.—ιθ') «Ἕτερα στιχηρὰ κατὰ ἀλφάβητον Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχὶς τετρασύλλαβος· ἦχος πλάγιος δ'». Ἀρχ. «Ἀμέτρητος ὑπάρχει», φ. 93β. Ἀνωνύμως παρὰ τῷ Goar σ. 464.—κ') «Ἕτερα στιχηρὰ προσόμοια τοῦ κῦρ Θεοφάνους· ἦχος ὁ αὐτός, (πρὸς τὸ) Ὢ τοῦ παραδόξου». Ἀρχ. «Βασιλικῶς μοι ὑπέγραψας», φ. 94β. Ἀνωνύμως παρὰ τῷ Goar σ. 444.—κα') Οἶκοι, ὧν ἡ ἀκροστιχίς· «Τοῦ ταπεινοῦ Ῥωμανοῦ ψαλμός». Ἀρχ. «Τοῖς τοῦ βίου τερπνοῖς», φ. 98. Pitra, Analecta sacra, τ. I, σ. 44—52.—κβ') «Διονυσίου μυστήριον περὶ τῶν ἱερῶς κεκοιμημένων». Ἀρχ. «Συναγαγὼν ὁ ἱεράρχης ἱερὸν χορόν, εἰ μὲν ἱερατικῆς ἐγεγόνει τάξεως ὁ κεκοιμημένος, ἐπίπροσθεν τοῦ θυσιαστηρίου κατακλίνας αὐτὸν ἀπάρχεται τῆς πρὸς Θεὸν εὐχαριστίας» κτλ., φ. 119β.

292. Πανηγυρικὸν ἐκ χάρτου γραφὲν ἔτει 1611-ω ἢ 1612-ῳ, καθάπερ ἐμφαίνει τὸ μετὰ τὸν πίνακα σημείωμα (φ. 3α), τὸ ἔχον ἀπαραλλάκτως ὧδε· «Ἔτους ζ^ω^ρκ^ω^. καὶ ὁ γράψας Ἰωσὴφ (μον)αχ(ός), μάληστα δὲ καὶ Λεσβέως· καὶ ὑ ἀναγινόσκοντες εὔχαισθαι καὶ ὑπερεμοῦ τοῦ ταπεινοῦ, διότη ὖμε ἄτεχνος τ" γραμάτων· καὶ ἀνεπηλαθόμην τίποτες, συγχωρήτε με:-καὶ ὅπιως βουληθῆ ὑστερῆσι να ἔχι τ" ἅγιον Σάββαν ἀντίδικον» κτλ. Σύγκειται δ' ἐκ φύλλων ἠριθμημένων φια' καὶ 14 ἄλλων οὐκ ἠριθμημένων, ὧν ἓξ μὲν ἐν τῇ ἀρχῇ τοῦ βιβλίου κεῖται, τὰ δὲ λοιπὰ παντάπασιν ἄγραφα πρὸς τῷ τέλει τοῦ κώδικος ὑπάρχει· καὶ τῶν ἓξ

πάλιν εἰρημένων φύλλων ἔγγραφα μόνα τὰ πρῶτα τρία ἐστί, τὸν πίνακα περιλαμβάνοντα τῶν ἐν τῷ κώδικι κειμένων. Εἰρήσθω προσέτι, ὅτι τῶν ἠριθμημένων φύλλων οἱ ἀριθμοὶ μεγάλας ἔχουσιν ἐλλείψεις, ἐξ ἀρχῆς ὑπ' αὐτοῦ τοῦ βιβλιογράφου γεγενημένας· οὗτος γὰρ ἐπελάθετο τοῦ φύλλου ϡϛ' καὶ τοῦ σχθ'· ἐπελάθετο δὲ καὶ φύλλου συνυπάρχοντος ὄπισθεν τοῦ ἀριθμοῦ σμϛ'· ἐπελάθετο δὲ καὶ ἀριθμοῦ τϡη', ὃν ὑπερέβη συναριθμῶν τὰ φύλλα τοῦ κώδικος καὶ πάλιν ἀριθμοῦ υλη'· καὶ πάλιν ἀριθμῶν δέκα, ὅ ἐστι υν'-υνθ', μὴ ὑπαρχόντων ἐξ ἀρχῆς ἐν τῷ κώδικι· πρὸς δὲ τούτοις ἐλλείπει φύλλα δύο (οϛ' καὶ οζ'), ἅπερ εὕρηται νῦν ἐν Πετρουπόλει, συναπαρτίζοντα τὴν ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη συγκεκροτημένην ἄθροισιν ἱκανῶν ἱεροσολυμιτικῶν χειρογράφων. Καὶ ταῦτα μὲν οὕτως· ἔστι δὲ τὸ τεῦχος μήκους μὲν 0,22, πλάτους δὲ 0,153· τὸ δ' ἐν αὐτῷ κείμενον ὑπάρχει μονόστηλον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων, ἀριθμούσῃ καθόλου γραμμὰς ἑπτακαίδεκα (0,15 × 0,9). Περιεχόμενα·

1. Ἀνδρέου Κρήτης «ἐγκώμιον εἰς τὸ γενέσιον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἀρχ. «Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν», φ. α'. Migne τ. 97, σ. 805.

2. «Λόγος ἀφησημαντικὸς [sic] εἰς τὴν εὕρεσιν τοῦ τιμίου καὶ ἁγίου σταυροῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, συγγραφεὶς παρὰ φιλευσεβῶν καὶ ὀρθοδόξων ἀνδρῶν ἀπὸ ἀληθοῦς χρονογραφικῆς ἱστορίας». Ἀρχ. «Τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν», φ. ιζ'. Ἱεροσολ. Βιβλιοθ. I, σ. 224, 236.

3. Ταρασίου Κωνσταντινουπόλεως «λόγος εἰς τὴν ἁγίαν καὶ ἄχραντον δέσποιναν ἡμῶν Θεοτόκον, ὅτε προσηνέχθη ἐν τῷ ναῷ τριετίζουσα». Ἀρχ. «Φαιδρὰ καὶ πανέορτος», φ. νδ'. Migne τ. 98, σ. 1481.

4. Σωφρονίου Ἱεροσολύμων «λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἄλλο Χριστοῦ τοῦτο μυστήριον», φ. ο' (H. Usener, Sophronii de praesentatione Domini. Bonnae 1889). Δύο δὲ φύλλα τοῦ κειμένου τούτου συναπέσπασεν ἐντεῦθεν ὁ Πορφύριος. Отчет. Импер. Публич. Библ. за 1883 г., σ. 154, ἀριθ. 462.

5. Βασιλείου Καισαρείας «λόγος εἰς τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Χριστοῦ γέννησις», φ. ϟς'. Migne τ. 31, σ. 1457.

6. Βασιλείου Καισαρείας «λόγος προτρεπτικὸς εἰς τὸ ἅγιον βάπτισμα». Ἀρχ. «Ὁ μὲν σοφὸς Σολομῶν», φ. ρια'. Migne τ. 31, σ. 424.

7. Βασιλείου Καισαρείας «λόγος περὶ πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος· τί ἐστιν ἡ τριάς». Ἀρχ. «Ὁ βαπτιζόμενος εἰς τριάδα», φ. ρλη'. Migne τ. 31, σ. 1429.

8. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ». Ἀρχ. «Ἐπέστη σήμερον», φ. ρμδ'. Λόγος Ἀνδρέου Κρήτης. Migne τ. 97, σ. 881.

9. Διήγησις περὶ τῆς Ἀκαθίστου, ἧς ἡ ἀρχή· «Ἐν τοῖς χρόνοις Ἡρακλείου», φ. ροα'. Migne τ. 106, σ. 1336.

10. Ἀνδρέου Κρήτης «λόγος εἰς τὸν τετραήμερον Λάζαρον», οὗ ἡ ἀρχή· «Λάζαρος τὸν παρόντα», φ. ϟα'. Migne τ. 97, σ. 960.

11. Τοῦ αὐτοῦ λόγος εἰς τὰ βαΐα, οὗ ἡ ἀρχή· «Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου», φ. σκδ'. Migne τ. 97, σ. 985.

12. Γρηγορίου τοῦ Θεολόγου, λόγος εἰς τὸ ἅγιον πάσχα, οὗ ἡ ἀρχή· «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι», φ. σξα'. Migne τ. 36, σ. 624.

13. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀπιστίαν τοῦ Θωμᾶ καὶ εἰς τὴν πίστιν». Ἀρχ. «Ἤκω τὸ χρέος», φ. τα'. Migne τ. 59, σ. 681.

14. Μιχαὴλ μοναχοῦ «ἐγκώμιον εἰς τοὺς ταξιάρχας τῶν ἀγγέλων, Μιχαὴλ καὶ Γαβριήλ». Ἀρχ. «Τὸ στόμα μου ἤνοιξα», φ. τιβ'. Ἱεροσολ. Βιβλιοθ. I, σ. 229.

15. Μαρτύριον τοῦ ἁγίου Γεωργίου, οὗ ἡ ἀρχή· «Ἡ μὲν τοῦ σωτῆρος ἡμῶν», φ. τλη'. А. Н. Веселовскаго, Разысканія въ области русскихъ стиховъ, 1880, σ. 172.

16. Μαρτύριον τοῦ ἁγίου Γεωργίου, οὗ ἡ ἀρχή· «Ὁ ἅγιος καὶ ἔνδοξος», φ. τξ'. Ἱεροσολ. Βιβλιοθ. I, σ. 230.

17. Μαρτύριον τοῦ αὐτοῦ μάρτυρος, οὗ ἡ ἀρχή· «Ἄρτι τοῦ τῆς εἰδωλομανίας νέφους», φ. τξε΄. Migne τ. 115, σ. 141.

18. «Λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς θεοπρεποῦς τε γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ ὃ μέχρι τῆς ζωηφόρου αὐτῆς συνέδρα τελευτῆς· προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος, καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος χριστιανοῖς τεθησαύρισται». Ἀρχ. «Ἐχρῆν ἀληθῶς τὴν παρθένον», φ. τπθ΄. Ὅρα ἔμπροσθεν, σελίδι 269.

19. Θεοδώρου Στουδίτου «ἐγκώμιον εἰς τὸ γενέσιον τοῦ τιμίου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Ἀηδόνι τινὶ πολυφώνῳ», υξς΄. Migne τ. 99, σ. 748.

20. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸ γενέθλιον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου». Ἀρχ. «Ἀγαπητοί, εὔκαιρος ἡμέρα», φ. υοη΄. Migne τ. 61, σ. 757.

21. Πρόκλου Κωνσταντινουπόλεως λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Δεῦτε φιλέορτοι», φ. υϟε΄. Πρβλ. Migne τ. 65, σ. 764.

22. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὰ ἅγια Θεοφάνεια», οὗ ἡ ἀρχή· «Ἡ πηγὴ τῶν εὐαγγελικῶν», φ. φγ΄. Migne τ. 50, σ. 803.

293. Ψαλτήριον ἐκ φύλλων χάρτου 256, γραφὲν ἀμφὶ τὸ μέσον τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· ὃ μήκους μὲν ἐστι 0,21, πλάτους δὲ 0,162· τὸ δὲ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἀριθμεῖ γραμμὰς ἑπτακαίδεκα (0,135 × 0,085). Ἔστι δ' ἐλλιπέστατον, διὰ τὸν ἐκπεσμὸν τῶν τριῶν πρώτων τετραδίων, διὰ τὴν λύμανσιν τοῦ πρώτου φύλλου τοῦ δ΄ τετραδίου καὶ διὰ τὴν ἀποκοπὴν δύο φύλλων ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη, ὧν ἡ τύχη τό γε νῦν ἄγνωστος· ὅτι δὲ καὶ τούτου τοῦ κώδικος ἀφείλετο φύλλα δύο Πορφύριος, ἐκδηλοῖ τὸ διὰ τῆς αὐτοῦ χειρὸς ἐν αὐτῷ τῷ κώδικι σεσημειωμένον Д (ὅρα τὸ 131-ον φύλλον). Σημειωτέον ἔτι, ὅτι ἓν ἕκαστον τῶν τετραδίων ἀριθμὸν ἔχει σλαβικὸν (д҃-лѕ҃)

καὶ ὅτι τὸ τέρμα τοῦ κώδικος ἐμφαίνει τὸν αὐτοῦ γραφέα: «† Μαθουσάλα πόνος, καὶ οὗ τὸ ἐπώνυμον αὐτοῦ· Μαχεἰρ· τοῦ ἠλειμμένου». Ἐντὸς δὲ πλαισίου (φ. 256β) κεῖται τὸ σημείωμα τοῦτο·

ê д
«† Свѧ́ꙁqсі qψgпк ієромонg Єѵлогїсѡ мѡ̂ско»· καὶ μετὰ τοῦτο πάλιν· «Ἔγωγε ἱερομόναχος ἀλιτρὸς Εὐλόγιος ὁ ὢν ἀπὸ τῆς Μολτοβλαχίας, ἀπὸ τὸν νεὼν τὸν ἐπονομαζόμενον παρ' ἡμῶν Ποῦτνα, ἥρμοσα τουτοῖ τὸ Ψαλτήριον ὡς ἔνι, καὶ ηὐτρέπισα ὡς οἷόν τε ἐμοί· καὶ ἔνι τὸ παρὸν βιβλίον τῆς ἁγίας πόλεως Ἱερουσαλήμ· οὗ ἐστιν ὁ τύμβος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ οἱ ἀναγινώσκοντες μέμνησθέ μου τὸν ποιήσαντα ἐνταυθοῖ πόνον, ἐσαείποτε. ͵ζξγ' μηνὶ ἀπριλλ(ίῳ) λ'. ἐν Κωνσταντινουπόλει» (1555).

294. Βιβλιάρια δύο συνδεδεμένα, μήκους μὲν 0,227, πλάτους δὲ 0,162.

α') Αὐτόγραφον Ἀνθίμου μοναχοῦ τοῦ ἐξ Ἀγχιάλου, συνιστάμενον ἐξ ἕνδεκα φύλλων, ὧν τὸ μὲν πρῶτον ἔχει τὸ σημείωμα τοῦτο· «Ἡ ἱερὰ αὕτη ἀκολουθία μετὰ τῆς ἁγίας εἰκόνος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου, ἀφιερώθη παρὰ τοῦ πανιερωτάτου ἁγίου Πέτρας καὶ σεβασμιωτάτου ἐπιτρόπου κυρίου Μισαήλ, ὅπως κατ' ἔτος γίγνηται ἡ ἑορτὴ αὐτοῦ κανονικῶς, κατὰ τὴν ιθ' τοῦ ἰαννουαρίου, ἐν αὐτῇ τῇ ἱερᾷ μονῇ τοῦ ἁγίου Σάββα, καὶ οὕτως ἐξακολουθεῖν δεῖ». Ἀπὸ δὲ τοῦ δευτέρου μέχρι τοῦ τελευταίου φύλλου περιλαμβάνεται «Σύνοψις καὶ ἐκ τῶν πολλῶν ὀλίγα περὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Σάββα καὶ τῆς ἱερᾶς αὐτοῦ μονῆς»· ἣν ἔγραψεν Ἄνθιμος ὁ ἐξ Ἀγχιάλου. Ταύτης δὲ μέρος ἀξιόλογον ὑπάρχει τόδε· «Τῷ χιλιοστῷ ἑκατοστῷ τετάρτῳ ἔτει πάλιν (ἡ λαύρα) κατερημώθη ὑπὸ τῶν Ἀγαρηνῶν, ἐπικρατησάντων τῶν Λατίνων· καὶ πάλιν ἠνεώχθη καὶ κατῳκίσθη. Τῷ χιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ τρίτῳ πάλιν κατερημώθη, τῶν ἐν αὐτῷ Βουλγάρων μοναχῶν ἐκφυγόντων κρύφα μετὰ τῶν Ἀρχαγγελιτῶν, βαρυτάτοις χρέεσιν ὑποπεσόντων· τῷ δὲ χιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ πέμπτῳ ἔτει πάλιν ἠνεώχθη

καὶ εἰς κοινόβιον ἀπεκατέστη ὑπὸ τοῦ μακαριωτάτου ἀοιδίμου Θεοφάνους. Τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ ἔτει τῶν περιβόλων κατεδαφισθέντων, κατερημώθη, ἅτε δὴ ἀπροσφύλακτος διαμένουσα καὶ ταῖς ὁρμαῖς τῶν βαρβάρων Ἀράβων ἀκωλύτως ἐκκειμένη ἡ ἱερὰ αὕτη μονή· οἳ δὴ καὶ τὰς σκηνὰς ἐν αὐτῇ ἐπήξαντο καὶ τὴν ἐκκλησίαν εἰς ἀποθήκην τῶν καρπῶν καὶ ἀποσκευῶν αὐτῶν μετεποιήσαντο, τὸν δὲ περίαυλον ὅλον ὀνοκαμηλοστάσιον. Ἀλλ' ὁ ἀοίδιμος Δοσίθεος ἐξέωσεν αὐτοὺς αὐτόθεν τῇ τοῦ σατράπου δυνάμει κατὰ τὸ ἑξακοσιοστὸν ὄγδοον ἔτος, καὶ ἀνεκαίνισε τὴν ἱερὰν ταύτην μονήν, ὡς ἤδη ὁρᾶται· τὰς δὲ ἐπισκευὰς καὶ ἐκ νέου αὐτοῦ οἰκοδομὰς εὑρήσεις εἰς πλάτος ἐν τῇ Δωδεκαβίβλῳ αὐτοῦ.—Ὑποσημειώσεις.—Πρὸ τῆς πτώσεως τοῦ ῥωμαϊκοῦ κράτους εἶχεν εἰς ἐξουσίαν ἰδίαν ὁ Ἰπεκίου μακαριώτατος τὴν μονὴν τοῦ Ἀρχαγγέλου· ἐν ποίᾳ δὲ χρονολογίᾳ καὶ ἐπὶ τίνι λόγῳ καὶ ὑπὸ τίνος ἔλαβεν, οὐκ ἔσχον εὑρεῖν. Οἱ ἐν αὐτῇ οὖν μοναχοὶ μὴ ἰσχύοντες δασμοφορεῖν τοὺς βαρυτάτους τότε φόρους τοῖς φορολόγοις, συνεκοινοβίασαν τοῖς Ἁγιοσαββίταις, οὖσι καὶ αὐτοῖς Βουλγάροις, καὶ οὕτως ἐγένοντο παραίτιοι δύο κακῶν Πρῶτον· οὐ κατεδέχοντο εἶναι σύμφωνοι τῷ πατριάρχῃ, ἀλλ' ἰδίως ἀπέδιδον τοὺς φόρους τοῖς φορολόγοις ἐξουσιασταῖς καὶ ἐζήτουν ἴδιον τόπον ἔχειν ἐν τοῖς προσκυνήμασιν· ὁ δὲ ἡγούμενος αὐτῶν ἤρχετο πρὸς τὸν πατριάρχην μετὰ βακτηρίας. Τούτων οὖν οὕτως ἐχόντων, ἀπῆλθον καὶ εἰς Βασιλεύουσαν πρὸς τοὺς πατριάρχας προσκλαιόμενοι ὅτι ἀδικοῦνται ὑπὸ τοῦ Ἱεροσολύμων. Λαμβάνουσι τοίνυν γράμματα τοῦ Κωνσταντινουπόλεως καὶ οὕτω προσκαλοῦνται τὸν Ἀντιοχείας καὶ Ἀλεξανδρείας, ὅπως ὑπ' αὐτῶν κριθῶσι μετὰ τοῦ Ἱεροσολύμων. Τούτου γενομένου ἐπιβεβαιοῦσιν οἱ δύο πατριάρχαι αὐτοὺς ἐλευθέρους εἶναί τε καὶ διαμένειν, καὶ οὕτως οἱ ἐπίηργοι ἐκεῖνοι πατριάρχαι, ἢ ἀργυρίοις δελεασθέντες ἢ ἀγνωσίᾳ κατεχόμενοι, ἀφῄρεσαν τὸ ἔκκλητον τοῦ πατριάρχου ἐν τοῖς μοναστηρίοις, οὖσιν ἁπλῶς κατὰ τὴν ἐπαρχίαν, ἀλλ' (οὐχ) ἐν τῇ πόλει τοῦ θρόνου αὐτοῦ, ἐνεργήσαντες κατὰ τῶν ἱερῶν κανόνων· καὶ οὕτως ἐπῆραν ὀφρῦν οἱ Ἀρχαγγελοαγιοσαββῖται. Δεύτε-

ρον δέ, ὅτι ἐρχομένων τῶν προσκυνητῶν ἐξήρχοντο οὗτοι προϋπαντῶντες καὶ προσῆγον αὐτοὺς τῇ αὐτῶν μονῇ, ὁ δὲ πατριάρχης ἔμενε κεναῖς ταῖς χερσίν. Ἐν τῷ μεταξὺ τούτων συνέβη κατατρέχεσθαι ὑπὸ τῶν Ἀράβων τοὺς Ἀρχαγγελοαγιοσαββίτας· ἐφ' ᾧ καὶ πύργον ἐσοφίσθησαν δομῆσαι ἔξωθεν τῆς μονῆς, κατ' ἄντικρυ πρὸς τὸ δυτικόν, ἐπὶ τῇ αὐτῶν ἀσφαλείᾳ. Συνεποσώθη δὲ ἡ δαπάνη ἕως δώδεκα χιλιάδας γρόσια· καὶ δὴ ἐκ τῆς δαπάνης ταύτης καὶ ἐκ τῆς αὐτῶν ἀφροσύνης κατάχρεοι γεγονότες, ἐπώλησαν τὰ ἐν τοῖς μοναστηρίοις κειμήλια πρὸς ἀπαλλαγὴν τοῦ χρέους. Ἀλλ' οὐκ ἔσχον· δι' ὃ καὶ κρύφα φυγῇ διεσώθησαν· ἐφ' ᾧ οἱ Φράγκοι ἐζήτουν λαβεῖν πρὸς ἑαυτοὺς τὴν τοῦ Ἀρχαγγέλου μονήν, ὡς παρακειμένην τῇ ἑαυτῶν ἤδη μονῇ· ἑτέρωθεν δὲ οἱ Ἀρμένιοι ἐζήτουν προσκτήσασθαι τὴν μονὴν τοῦ ἁγίου Σάββα. Ἀλλ' ὁ ἀοίδιμος πατριάρχης Θεοφάνης ὑφὲν ἀποδοὺς καὶ καταμετρήσας τὸ ὅλον αὐτῶν χρέος, ποσωθὲν εἰς τεσσαράκοντα καὶ πέντε χιλιάδας γρόσια, παρεκτὸς τῶν προσφερθέντων τῷ τε σατράπῃ καὶ τοῖς ἄλλοις προὔχουσιν, ἀμφότερα οὐκ ἀφῆκεν ξένοις γενέσθαι κτήματα, καὶ οὕτω τὰ ἡμέτερα πρὸ χρόνων καὶ ἤδη ἡμέτερα γεγόνασι καὶ τοῖς ἡμετέροις συγκατηρίθμηνται.—Πατέρες ἁγιώτατοι, ὑπερεύχοισθε τοῦ ταπεινοῦ Ἀνθίμου μοναχοῦ τοῦ ἐξ Ἀγχιάλου, συνοπτίσαντος ταῦτα καὶ ἱστορικῶς ὧδε καταστρώσαντος, ὅπως ἔχητε ἀποκρίνασθαι πρὸς τοὺς ἐπερωτῶντας περὶ τῆς ἱερᾶς ταύτης βασιλικῆς καὶ πατριαρχικῆς μονῆς. ͵αωκδ', δεκεμβρίου ιγ-ῃ».

β') Ἀκολουθία ψαλλομένη τῇ ιθ' ἰανουαρίου, τῆς ἑορτῆς ἀγομένης Μάρκου τοῦ Εὐγενικοῦ. Ἀρχ. «Ὅλος ἐκ νεότητος ἀνατεθεὶς τῷ Κυρίῳ» κτλ. Φύλλα δέκα γεγραμμένα περὶ τὴν ἀρχὴν τοῦ ιθ' αἰῶνος· ἡ δὲ προμνημονευθεῖσα τούτου εἰκών, ἥπερ ὡς εἰκὸς τὴν ἀρχὴν ἐκόσμει τῆς ἀκολουθίας, ἐλλείπει νῦν.

295. «Διδασκαλία περὶ ἐξομολογήσεως κατ' ἐρωταπόκρισιν» ὑπὸ Καλλινίκου πατριάρχου Κωνσταντινουπόλεως, ἧς ἡ ἀρχή· «Τὰ τῆς ἁγίας ἡμῶν ἐκκλησίας μυστήρια» κτλ. (Ἱεροσολυμ. Βιβλιοθ. I, σ. 270, 328, 366, 453). Ἐγράφη διὰ χειρὸς Ἰωαννικίου τοῦ Σαβαΐτου, καὶ συνίσταται ἐκ φύλλων 44, μήκους 0,24, πλάτους

0,175. Αἱ δὲ πινακίδες αἱ τὸ τεῦχος τοῦτο περικαλύπτουσαι, συνεγκλείουσι φύλλα δέκα μεμβράνινα, συναπεσπασμένα ἐκ μηναίου τινὸς τοῦ μηνὸς Φεβρουαρίου, ὅπερ ἐγέγραπτο τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι.

296. Πραξαπόστολος ἐκ φύλλων χάρτου 389, γραφεὶς ὡς ἔοικε περὶ τὴν ἀρχὴν τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος· ἔχει δὲ καὶ μηνολόγιον ἐκτενές, μεθ' ὃ κεῖται α') «Εἴδησις τῶν ἐαθέντων ἀποστολοευαγγελίων τῶν μὴ ἑορταζομένων ἁγίων», ἧς ἡ ἀρχή· «Ἰστέον ὅτι τῶν ἐν τῷ τυπικῷ διαλαμβανομένων ἁγίων ἐν τῷ δρόμῳ αὐτῶν ἐτυπώθησαν» κτλ.—β') «Εἴδησις πῶς μέλλεις εὑρίσκειν τὸν ἀπόστολον τοῦ δρόμου, τὸ εὐαγγέλιον, τὸν ἦχον τὸ ἐξαποστειλάριον σὺν τῷ ἑωθινῷ ἰδιομέλῳ καὶ τῷ ἑωθινῷ εὐαγγελίῳ». Ἀρχ. «Δεῖ γινώσκειν πρῶτον ἐν ποίῳ μηνὶ τυγχάνει» κτλ.—γ') «Προκείμενα τῆς ὅλης ἑβδομάδος». Ἔστι δὲ τὸ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν ἐννεακαίδεκα (0,217×0,16=0,135×0,085)· πρὸ δὲ τῆς ἀρχῆς αὐτοῦ συνυπάρχει φύλλα τρία, περιέχοντα κανόνας τινὰς ἀποστολικούς.

297. Θεοδώρου Στουδίτου κατηχήσεις πολυάριθμοι, γραφεῖσαι μεταξὺ τῶν ἐτῶν 1565 καὶ 1593 παρὰ τοῦ Σαβαΐτου μοναχοῦ Ἰωὴλ. Μετὰ τὴν β' κατήχησιν (φ. 31) ἔγραψεν οὗτος· «Τέρμα ἐνθάδε ἡμέρα ϛ' τῆς ε' ἑβδομάδος τῶν νηστειῶν, μαρτίου κϛ', ὥρα ι' τῆς ἡμέρας ,ζϥγ'». Καὶ πάλιν μετὰ τὴν η' κατήχησιν· «Τὸ παρὸν ἀνάγνωσμα ἔλαβε τέρμα τῇ ἑσπέρα καὶ νύξ, οἷον τῇ ϛ' τοῦ ἁγίου καὶ δικαίου Λαζάρου, τοῦ ,ζ^ου^ϥγ^ου^ ἔτους, ἀπριλίου β'». Καὶ πάλιν ἐν τῷ κρασπέδῳ τοῦ 178-ου φύλλου, ἔνθα λήγει ἡ νθ' κατήχησις· «†Ἰούλ(ιος), κζ'. ἡμέρα ζ', ὥρα ι' τῆς ἡμέρας ,ζϥϛ', ἰνδικτιῶνος α' ἰ-η-λ-ω ». Καὶ πάλιν ὑπὸ τὸ τέλος τῆς πδ' κατηχήσεως· «Τῇ ε' τῆς δ' ἑβδομάδος, μαρτίου κβ' τοῦ ,ζ^ου^ρα' ἔτους τῶν νηστειῶν». Τὸ τεῦχος τοῦτο, ὡς νῦν ἔχει, συναριθμεῖ φύλλα χάρτου 245, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον· ἔστι δὲ μήκους μὲν 0,22, πλάτους δὲ 0,145. Καὶ ἐν μὲν τῇ ἀρχῇ γέγραπται κατήχησις, ἧς ἡ ἐπιγραφή· «Ἱστορικὴ περὶ τῶν

ἀναιρεθέντων ἐν Βουλγαρίᾳ χριστιανῶν, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ, ἕνεκεν τῆς κρεοφαγίας»· ἀριθμεῖται δὲ αὕτη ξγ'· μεθ' ἣν ὑπάρχουσι κατηχήσεις (φ. 4 - 26) ἠριθμημέναι μέχρι τοῦ ογ' ἀριθμοῦ· καὶ μετ' αὐτὰς ἕτεραι κατηχήσεις πάλιν, ἀριθμοὺς εὐτάκτους ἔχουσαι (α'—ξγ')· μετὰ δὲ ταύτας ἕτεραι πάλιν εἰσὶν 24 (οε'—ϟη'). Τελευταία δ' ἐστὶν ἡ «περὶ τοῦ ὑπείκειν τῷ καθηγουμένῳ καὶ τοῦ μετ' εὐχαριστίας ὑποφέρειν τὰ ἔπαθλα τῆς ὑποταγῆς»· ἀλλὰ τῆς κατηχήσεως ταύτης ἀτυχῶς ἐλλείπει τὸ τέλος. Σημειωτέον ἔτι, ὅτι προτέτακται τοῦ βιβλίου φύλλον ἓν ἄνευ ἀριθμοῦ, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «Ἐκ τῆς ἁγίας λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου· εὑρεθέντι ἔνδοθεν τοῦ παρεκκλησίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἄνωθεν τῆς μεγάλης σπηλιᾶς, ἐν ᾗ εἰσὶ πάμπολλα, οὐ μόνον βιβλία, ἀλλὰ καὶ θαυμάσια λείψανα ἐκ τῶν ἀρχαίων ἁγίων πατέρων, καὶ ἄλλα σκεύη κάθε λογῆς ὁποῦ μεταχειρίζονταν τοὺς καιροὺς ἐκείνους οἱ ἅγιοι πατέρες οἱ εὑρισκόμενοι εἰς τὰ πέριξ καὶ κύκλω τοῦ μοναστηρίου. 1787 φεβρ. 10. Ego Dion(y)sie Fratter».

298. Τεῦχος ἐμπεριχλεῖον δύο βιβλία, α') «Ἐκλογὴν τοῦ Ψαλτηρίου παντὸς εἰς δοξολογίαν καὶ αἴτησιν»· φύλλα 20 γεγραμμένα περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος. — β') Λείψανον τῆς ὑπὸ Νεκταρίου πατριάρχου τῶν Ἱεροσολύμων συγγραφείσης Ἀντιρρήσεως, ἐν Ἰασίῳ δὲ τετυπωμένης ἔτει 1682, ἀπὸ τῆς 30-ῆς μέχρι τῆς 204-ης σελίδος, γραμμῆς 14-ης. Σημειωτέον ὅτι τὸ κείμενον ὑπάρχει πολλαχοῦ κατὰ σύνταξιν σφόδρα διάφορον τοῦ τύποις ἐκδεδομένου, καὶ ὅτι φύλλα τινὰ τοῦ λειψάνου τούτου συνεδέθη τῷ 198-ῳ κώδικι (ὅρα σελίδα 304). Σύγκειται δὲ νῦν τὸ λείψανον ἐκ φύλλων 193, ἅπερ ἐγράφη περὶ τὸ μέσον τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος· μία δ' ἑκάστη τῶν σελίδων γραμὰς ἀριθμεῖ 25· γέγραπται δὲ καὶ ἐν τῷ κρασπέδῳ τοῦ 48-ου φύλλου σημείωμα τοιοῦτον· «Θέσις ε'· ἐντεῦθεν ἄρχεται ο//// ὅλως μέχρι τέλους τὸ σύνταγμα τῆς ἀπολογίας ἐξ Ἱλαρίωνος ξυγγραφῆς, ἀσθενήσαντος ἐκ χρονίας ἀρθρίτιδος Νεκταρίου· ἔστι δ' ὅπου (ἱ)κανὰ με-

ταξὺ προσέθηκε [καὶ] μικρὰς παρασημειώσεις Νεκτάριος· δῆλαι δὲ αὗται, διὰ τοῦ αὐτοῦ ἐκτεθειμέναι ὀνόματος».

299. Βιβλιάριον Ἰωαννικίου τοῦ Σαβαΐτου, γραφὲν ἔτει 1761-ῳ· περιέχει δ' ἐκλογὰς ἀσκητικῶν λόγων ὁλοκλήρων ἢ τετεμαχισμένων, οἷον Μακαρίου Αἰγυπτίου, Νείλου μοναχοῦ, Ἰσαὰκ Σύρου, Βασιλείου Καισαρείας, Μάρκου τοῦ ἐρημίτου, Μαξίμου τοῦ ὁμολογητοῦ, Ἐφραὶμ τοῦ Σύρου, Ἀναστασίου τοῦ Σιναΐτου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Συνίσταται δ' ἐκ φύλλων 126 (0,22×0,16) καὶ ἐν μὲν τῇ ἀρχῇ γέγραπται λόγος Μακαρίου τοῦ Αἰγυπτίου, οὗ ἡ ἀρχή· «Ὁ βουλόμενος προσελθεῖν τῷ Κυρίῳ»· μετὰ δὲ τὸ τέλος τοῦ βιβλίου σεσημείωται τὸ «1761 μαρτίου 22».

300. Τεύχη δύο συνερραμμένα τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος, ἀποτελοῦντα φύλλα χάρτου 311, μήκους μὲν 0,215, πλάτους δὲ 0,155. Ἦν δὲ πρότερον «Δαμασκηνοῦ τόδε καὶ πρὸς τοῖς ἄλλοις».

α') Τετράδια κη' (φ. 1-215), ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν 26 (0,148×0,89). Θεοφυλάκτου Βουλγαρίας ἑρμηνεία τοῦ λειτουργικοῦ εὐαγγελίου, ἧς ἡ ἀρχή· «Ἐν ἀρχῇ ἦν ὁ λόγος· ὅπερ καὶ ἐν προοιμίοις εἶπον, πάλιν καὶ τοῦτο ἐρῶ» κτλ.

β') Φύλλα 96 συναποτελοῦντα προφητολόγιον ἀτελές (φ. 216-311), οὗ ἡ ἐπιγραφή· «Μερικὰ ἄνθη τὰ ἐκλεχθέντα ὑπὸ(-ἀπὸ) τοῦ Τριῳδίου». Ἀρχ. «Ἦχος α'. Μὴ προσευξώμεθα φαρισαϊκῶς» κτλ. Ἔστι δὲ τὸ κείμενον κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν 21 (0,16×0,105).

301. Πεντηκοστάριον ἐκ φύλλων χάρτου 378, γραφὲν ἔτει 1493-ῳ, μήκους μὲν 0,222, πλάτους δὲ 0,167· ἔστι δὲ τὸ κείμενον αὐτοῦ μονόστηλον καὶ ἐκ γραμμῶν 22 (0,16×0,098). Καὶ ἐν μὲν τῷ 370-ῷ φύλλῳ γράμμασιν ἐρυθροῖς ἀναγινώσκεται τὸ σημείωμα τοῦτο· «† Ἐτελειώθη ἡ παροῦσα βίβλος διαχειρὸς κἀμοῦ τοῦ εὐτελοῦς καὶ ἁμαρτωλοῦ Ἠσαΐα μοναχοῦ τοῦ κατὰ κόσμον Παντάγαλλι, ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτό-

κου, ἐν τῇ νήσῳ τῶν Στροφαδίων, ἐν μηνὶ φευρουαρίῳ α', ἡμέρα παρασκευῇ, ἐπὶ ἔτους ͵ζα^{ϑ}· καὶ οἱ ἀναγινώσκοντες αὐτὴν μὴ καταράσθαι [sic] μοι, ὅτι ἄπειρός εἰμι τῆς γραμματικῆς καὶ τὸ ἀθηβόλον ἐσφαλμένον». Ὄπισθεν δὲ τοῦ αὐτοῦ φύλλου γέγραπται σημείωμα τοιοῦτον· «͵αχοθ'. † τὸ παρὸν πεντικοστάριον ὑπάρχι σὺν τοῖς ἄλλης (— ἄλλοις) ταπεινοῦ μ͞ροπολίτου Πτολεμαΐδος Ἰωάσαφ».

302. Πεντηκοστάριον ἀκέφαλον, ὅπερ ἐγράφη ἔτει 1512-ῳ διὰ χειρὸς Νικολάου, ἀναγνώστου καὶ συγκέλλου. Σύγκειται νῦν ἐκ φύλλων 389, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον· ἔστι δὲ μήκους μὲν 0,215, πλάτους δὲ 0,158.

303. Θεοτοχάριον ἐκ φύλλων χάρτου 186, γραφὲν ἔτει 1539-ῳ, μήκους μὲν 0,222, πλάτους δὲ 0,164· πρότερον δὲ φύλλον ἓν εἶχε περιπλέον, ὅπερ ἔκειτο μετὰ τὸ 36-ον φύλλον· ὑπάρχει δὲ νῦν τὸ ἐλλεῖπον ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 447. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 152). Καὶ τὸ μὲν κείμενον τοῦ κώδικός ἐστι κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν 22 (0,178 × 0,115), ἄρχεται δὲ τοῦτο ὧδε· «Τῷ Σαββάτῳ ἑσπέρας εἰς τὸ ἀπόδειπνον κανὼν τῆς Θεοτόκου. Ὠδὴ α', ἦχος α': Σοῦ ἡ τροπαιοῦχος.—Πάντων καὶ ἀγγέλων καὶ βροτῶν» κτλ. Μετὰ δὲ τὸ τέλος τοῦ κειμένου γέγραπται τοῦ καλλιγράφου σημείωμα, τὸ ἐφεξῆς· «† Τὸ παρὸν θεοτοχάριον ἐγράφη διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ τάχα καὶ μοναχοῦ Συμεών, ἐν τῇ ἁγία λαύρα τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου· καὶ ἀφιερώθη εἰς τὴν αὐτὴν ἁγίαν λαύραν, εἰς τὸν ναὸν τῆς Παναγίας μου· καὶ εἴ τις βουληθῇ ὑστερῆσαι, ναἔχει ἀντίδικον τὴν Παναγίαν καὶ τὴν σφοδρὰν ἀγανάκτησιν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου:—† Ἐγράφη ἐπὶ ἔτους ͵ζμζ' ἰν(δικτιῶν)ος ιβ' μηνὶ ἰουλ(ίῳ) γ':—Οἱ ἀναγινώσκοντες εὔχεσθαι [sic] ὑπὲρ τοῦ γράψαντος, ὅπως εὕρω ἄνεσιν ἐν τῇ ἡμέρα τῆς κρίσεως». Καὶ πάλιν ἐν τῷ ἐσχάτῳ φύλλῳ τοῦ κώδικος, ὅπερ ἐστὶ μεταγενέστερον, ὑπάρχει τοῦτο· «Ἐσταχόθ(η) διαχειρὸς ἐμοῦ,

Κυπριανοῦ μοναχοῦ, καὶ ἱεροδιακόνου, εἰς ἔτος ,ζϟθ'. ,αφϟα' μηνὶ σεπτ. κς'».

304. Ὡρολόγιον τοῦ Θηχαρᾶ συγκείμενον ἐκ φύλλων χάρτου 315, ὧν τὰ πρῶτα ὀκτὼ πρόσθετα· ἔστι δὲ μήκους 0,222 καὶ πλάτους 0,16· τὸ δὲ κείμενον ὑπάρχει μονόστηλον ἐκ γραμμῶν 21 (0,158×0,095). Ἐγράφη ἔτει 1566-ῳ, καθάπερ ἐμφαίνει τὸ σημείωμα τοῦτο (φ. 315)· «† Ἔτι ἀποστάσεως κόσμου ,ζοε: | † ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ,αφξς' | † ἡλίου κύκλος ιθ' σελήνης θεμέλιον κ' | † δικτιδνος ι-ης μηνὶ ἰουλίω α'. | † Ἐτελειδθη ὁ παρὸν Θηχαρὰς διαχειρὸς | ἐμοῦ τοῦ ἁμαρτωλοῦ Ἰωάννου Δϊακόει | ἐκ Ναυπάκτου· εὔχεσθεν καὶ μὴ καταράστεν | δϊὰ τῶν χν' ὀτϊβϊ ἕως ἔγραψα αὐτῶ εἰς χωρίων | λεγόμενον Ἁγίου Στεφάνου πλησίον τῆς Κωνσταντίνου | πόλεως· καὶ ἐτελείωσα αὐτῶ μῆναν ἕναν». Σημειωτέον ἔτι α') ὅτι ἐν ἀγράφῳ τινὶ φύλλῳ, περὶ τὴν ἀρχὴν τοῦ βιβλίου, γέγραπται τὸ «Μνήσθητι Κύριε † Σωφρονίου πατριάρχου Ἱερουσαλήμ. † πρωσιλομένο ηστον Ἅγιον Κωνσταντίνο-Ἁγία Ἑλένη»· β') ὅτι μετὰ τὸ 296-ον φύλλον ὑπάρχει χάσμα δύο φύλλων, ἅπερ ἔκοψε Πορφύριος ὁ Οὐσπένσκης (ἀριθ. 463. Отчеть Императорской. Публ. Библ. за 1883 г., с. 154).

305. Θηχαρᾶς ἐκ φύλλων χάρτου 168, γραφεὶς ὡς ἔοικε περὶ τὸ μέσον τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· εἶχε δ' ὑπ' ὄψιν ὁ ἀντιγραφεὺς ἀπόγραφον ἐλλειπτικόν· διὸ καὶ τὰ πρῶτα τρία φύλλα κατέλιπεν ἄγραφα, γράψας ἐν τῷ τετάρτῳ τὸ σημείωμα τοῦτο· «† Λύπουσιν εἰς τὴν ἀρχὴν τοῦ βιβλίου φύλλα γ' καὶ διὰ τοῦ(το) ἠρξάμ(ην) ἐκ τῶν ὧδε: Ἦν δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐ μέσον τῶν ἀκτίνων» κτλ. Καὶ πάλιν ἐν τῷ 8-ῳ φύλλω· «Λύπουσι ὧδε φύλλα β'»· δι' ὃ καὶ τοσαῦτα παντάπασιν ἄγραφα κατέλιπε πάλιν ἐνταῦθα (φ. 8β — 10α). Ἐν δὲ τῷ τελευταίῳ φύλλῳ μονοκονδυλία τις ὑπάρχει δυσανάγνωστος· ἀνωτέρω δ' αὐτῆς ἀναγινώσκεται τοῦτο· «† Εἰς τὴν ἰνδικτιῶνα ιγ' επηραν των αυτών Θυχαρὰν ἀποτουιερωμωνάχης Αντωνειον Ζαβειρώτιν εκ πῶλεως Μΐλον». Ἔστι δὲ τὸ τεῦχος μήκους 0,22, πλάτους

0,16· ἐν μιᾷ δ' ἑκάστῃ τῶν σελίδων ἐμπεριέχει κείμενον μονόστηλον ἐκ γραμμῶν 25 (0,148 × 0,094).

306. Τεῦχος ἐκ φύλλων χάρτου 334, μήκους μὲν 0,220, πλάτους δὲ 0,158· ἐγράφη διὰ τριῶν βιβλιογράφων τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ τὸ πρῶτον αὐτοῦ φύλλον ἔχει τὸ σημείωμα τοῦτο· «† Τὸ παρὸν βιβλίον ἔναι τῆς λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου». Περιεχόμενα·

1. Ἀσματικὴ ἀκολουθία περὶ τῆς ἰνδίκτου, ψαλλομένη τῇ α' σεπτεμβρίου, φ. 1β.

2. «Κανὼν εἰς τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον, οὗ ἡ ἀκροστιχίς· Τὸν ἄγγελον μέλπω σε τὸν φύλακά μου· ᾠδὴ μοναχοῦ Ἰωάννου», φ. 9. Ὡρολόγιον τὸ μέγα, Βενετία 1882, σ. 489.

3. Ἀνθολόγιον ᾀσματικῶν ἀκολουθιῶν ἔκ τε τῶν Μηναίων καὶ τοῦ Τριῳδίου, φ. 17—269.

4. Νομοκάνων ἀνεπίγραφος εἰς δημώδη γλῶσσαν ἐγγεγραμμένος, διῃρημένος δὲ εἰς κεφάλαια σζ'· ἄρχεται δὲ ἀπὸ τοῦ 191-ου κεφαλαίου, οὗ ἡ ἀρχή· «Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων», φ. 270 — 288. Τὰ τελευταῖα δέκα φύλλα μεταγενέστερα, γραφέντα ἔτει 1565-ῳ, καθάπερ ἐμφαίνει τὸ σημείωμα τοῦτο (φ. 288)· «,ζογ' φεβρουαρίου. Σωθῇ ὁ ἔχων, ἐλεηθῇ ὁ γράψας σὺν τῷ ἀναγινώσκοντι προηγουμένως τῷ τυχόντι πνευματικῷ πατρί. χεολφθω+λ'κ ηφχ' ἀλυ αφθνλξ ηφ ὀβθν αφθαθν: — † ησΠλήοφλπ».

5. Ἐρωταποκρίσεις διάφοροι, θεολογικαί, φ. 289.

6. «Ἕτερα ἐρωτήματα», ὅ ἐστιν αἰνίγματά τινα, φ. 296β.

7. «Ἑρμηνεία τῶν δύο μεγάλων φωστήρων Βασιλείου τοῦ μεγάλου (καὶ) Γρηγορίου τοῦ Θεολόγου, περὶ τῆς ὁμοουσίου τριάδος, πάνυ ὠφέλιμος.—Βασίλειος εἶπε· τί ἐστιν Θεός; Γρηγόριος εἶπεν· Ἰησοῦς ἐστιν οὐσία νοερὰ» κτλ., φ. 296β—298β.

8. Τυπικόν, ἀποτελοῦν ἴδιον βιβλίον ἐκ τετραδίων ἓξ ἠριθμημένων (φ. 299—334), ὧν ἐλλείπει τὸ τέταρτον· ἔχει δὲ τὸ κείμενον ἐν μιᾷ κατὰ σελίδα στήλῃ γραμμὰς ἀριθμούσῃ 35 (0,155×

0,09). Καὶ ἐν μὲν τῇ ἀρχῇ γέγραπται τὸ «† Ἰησοῦ μου βοήθει μοι διὰ τοῦ σοῦ ἐλέους: † Ἰησοῦ, προηγοῦ τῶν ἐμῶν πονημάτων.—Πίναξ ἄριστος τῆς παρούσης πυκτίδος», εἰς δύο μέρη διῃρημένος.—Φ. 303 «Μάρκου ἁμαρτωλοῦ ἱερομονάχου σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ. Κεφάλαιον α' περὶ τῆς ἰνδίκτου καὶ τοῦ ὁσίου Συμεών, εἰ τύχωσιν ἐν Κυριακῇ. Χρὴ εἰδέναι, ὅτι εἰ τύχει ἡ παροῦσα ἑορτὴ» κτλ. Κεφάλαια ἑκατὸν (φ. 303—330), ὧν ἡ τάξις καὶ ἡ τοῦ λόγου ὕλη διαφέρει πολλαχοῦ τοῦ ἐκτετυπωμένου κειμένου. Ἐν δὲ τῷ κρασπέδῳ τοῦ 330-ου φύλλου γέγραπται τοῦτο· «† Ἰστέον ὅτι τὸ παρὸν κεφάλαιον καὶ τὸ μετ' αὐτὸ ἕτερον οὐκ εἰσὶ τοῦ ἀριθμοῦ τῶν ρ' κεφαλαίων, ὡς ἐν τῷ πίνακι δεδήλωται, ἀλλ' ἰδίως εἰσίν, ἔχοντα σημεῖον τοιόνδε».—Φ. 330^{β} «Νικηφόρου, περὶ τοῦ πῶς δεῖ γίνεσθαι τῇ Παρασκευῇ ἑσπέρας τὴν ὑπὲρ τῶν κεκοιμημένων ἀκολουθίαν». Ἀρχ. «Τῇ Παρασκευῇ ἑσπέρας, μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ, ποιεῖ ὁ ἱερεὺς εὐλογητὸν» κτλ.—Φ. 331^{α} «Νικηφόρου, περὶ τῆς ἀνάψεως τῶν κηρίων τῶν τῆς ἑορτῆς καὶ τῶν καθ' ἡμέραν». Ἀρχ. «Περὶ τοῦ μικροῦ ἑσπερινοῦ· εἰς τὴν ἀγρυπνίαν» κτλ.—Φ. 333 κεφάλαιον ιζ', «περὶ τοῦ πῶς ἀναγνώσονται τὰ εὐαγγέλια καὶ αἱ τούτων ἑρμηνεῖαι ἐν ὅλῳ τῷ ἐνιαυτῷ· ὡσαύτως καὶ περὶ τῶν λοιπῶν τοῦ ὄρθρου ἀναγνώσεων». Ἀρχ. «Χρὴ γινώσκειν πῶς ἀναγινώσκονται» κτλ.—Φ. 333^{α} κεφάλαιον ιη' «περὶ τοῦ πότε χρὴ τὴν τοῦ μεγάλου Βασιλείου λειτουργίαν τελεῖσθαι». Ἀρχ. «Ἰστέον δὲ ὅτι ἐν ταῖς Κυριακαῖς τῆς μεγάλης μ'» κτλ.—Φ. 333^{β} κεφάλαιον ιθ' «περὶ τοῦ πῶς ὀφείλουσιν ἀναγινώσκεσθαι τὰ ἑωθινὰ εὐαγγέλια ἀπὸ τῆς μεγάλης Κυριακῆς ἄχρι καὶ τῆς ἁγίας Πεντηκοστῆς». Ἀρχ. «Δέον ἐστὶ γινώσκειν» κτλ.—Φ. 334^{α} κεφάλαιον κ' «περὶ τοῦ ὅτι δεῖ ψάλλειν καθ' ἑκάστην ἐν τοῖς ἀποδείπνοις παρακλητικὸν κανόνα τῆς Θεοτόκου, καὶ ὅτι μετὰ τὴν τούτων ἀπόλυσιν οὐ χρὴ συντυχίας πρὸς ἀλλήλους ποιεῖσθαι τοὺς μοναχούς, ἀλλ' ἐν τοῖς ἰδίοις ἀπέρχεσθαι κελλίοις». Ἀρχ. «Χρὴ γινώσκειν ὅτι τὰ ἀπόδειπνα» κτλ.—Φ. 334^{α} «περὶ καταστάσεως τῆς τραπέζης». Ἀρχ. «Ἀδελφοὶ καὶ πατέρες, γινώσκετε ὅτι ἀφ' οὗ γίνεται εὐχὴ» κτλ.

307. Τεῦχος ἐκ χάρτου γραφὲν ἔτει 1799-ῳ καὶ συνιστάμενον ἐκ σελίδων 681· ἔστι δὲ μήκους μὲν 0,239, πλάτους δὲ 0,17· πρὸ δὲ τῶν ἠριθμημένων σελίδων ὑπάρχει φύλλα ἕξ, ἐν οἷς περιέχονται ἡ ἐπιγραφὴ τοῦ κώδικος, ὁ πίναξ τῶν ἐν αὐτῷ περιεχομένων καί τις εὐχὴ πρὸς τὸν Θεὸν ἐκ προσώπου τοῦ συγγραφέως, ἢ μᾶλλον εἰπεῖν συλλογέως, Σαμουὴλ ἱερομονάχου (τοῦ Πελοποννησίου), οὗ καὶ αὐτόγραφον ὑπάρχει τὸ τεῦχος· ἐπιγραφὴν δὲ τοῦτο τοιαύτην ἔχει· «Ἡ θεία βίβλος αὕτη, ἥτις καὶ ἐκλογὴ ἐπονομάσθη παρ' ἐμοί, ἐμφέρει πάσας τὰς τοῦ Κυρίου ἐντολὰς καὶ πολλῶν ἁγίων πατέρων βίους νουθεσίας καὶ διηγήσεις, πρὸς ὠφέλειαν τῶν ταύτης πιστῶς ἐντευξομένων καὶ μελέτην ἔμμονον τοῖς ἐνταῦθα νοήμασι ἐπιβαλλόντων· ὅσοι δὲ ταύτην ἐντύχετε τὴν βίβλον, παρακαλῶ ὑμᾶς, πατέρες καὶ ἀδελφοί, μὴ μέμφεσθε κἀμοὶ τῷ ἀβελτέρῳ καὶ κακογράφῳ Σαμουὴλ ἱερομονάχῳ, εἰ τινά(ς) τῶν ἐν ταύτῃ λέξεων ἀπήλλαξα· οὐ γὰρ ὥς τι καινότερον αὐτὸς ἐνδεικνύμενος ἐποίησα τοῦτο, ἀλλ' εἰδὼς ὅτι πολλὰ παρεγράφη παρὰ τῆς ἀμαθείας τῶν κατὰ καιροὺς γραφόντων· ὅσα δὲ ἐδυνήθην ἐπεσκεψάμην, ζῆλον καὶ αὐτὸς ἔχων τοῦ ἁγίου πνεύματος» κτλ. Καὶ ἐν τῇ 681-ῃ σελίδι γράφει πάλιν ὁ αὐτός· «Ὧδε πέρας εἴληφεν ἡ βίβλος αὕτη | ὑπὸ χειρὸς ἐμοῦ Σαμουὴλ ἱερομονάχου, | καὶ οἱ ἀναγινώσκοντες ἔρρωσθε πάντες· | εἰ μὲν δὲ σφαλερὸν εἴρηταί τι ἐν ταύτῃ, | ἕνεκεν τούτου δέομαι σύγγνωτέ μοι· | ἀνθρώπινον καὶ γὰρ πάθος τὸ ἁμαρτάνειν. | Ἐτελειώθη δὲ εἰς τοὺς χιλίους ἑπτακοσίους ἐνενήντα | ἐννέα, ἰαννουαρίου 20». Σημειωτέα· α') Βίος καὶ πολιτεία τοῦ ὁσίου Χριστοδούλου τοῦ θαυματουργοῦ, σ. 22.—β') Βίος τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου, σ. 49.—γ') Βίος τοῦ ἐπὶ τῶν εἰκονομάχων ἀσκήσαντος Ἀντωνίου τοῦ νέου, σ. 61.—δ') Βίος καὶ μετάνοια τῆς μακαρίας Ταϊσίας, σ. 70.—ε') Βίος τοῦ ὁσίου Νήφωνος, σ. 75.—ς') Παροιμίαι τινές, ὧν ἡ ἀρχή· «Οὐχ ὅταν ὀλισθήσωμεν», φ. 225.—ζ') «Διήγησις περὶ τοῦ Ἰούδα, πῶς καὶ ποῦ ἐγεννήθη καὶ τί ἔγινεν καὶ τί τέλος ἔλαβεν», σ. 571.—η') «Διήγησις περὶ τοῦ γεγονότος θαύματος ἐν Αἰγύπτῳ κατὰ τοὺς ͵αυπς' χρόνους

ἀπὸ Χριστοῦ καὶ ἐπέκεινα, τῶν Ἀγαρηνῶν ἐκεῖσε κυριευόντων. ὑπὸ τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας Ἰωακεὶμ τοῦ ἐξ Ἀθηνῶν καὶ Συμεὼν τοῦ τζαγκάρη» κτλ., σ. 657. Ἐξεδόθη τὸ πρῶτον Ἐνετίῃσι 1757.

308. Τεῦχος ἐκ χάρτου, φύλλα συναριθμοῦν 358, μήκους μὲν 0,219, πλάτους δὲ 0,16.

α') Φύλλα πρόσθετα πέντε, περιέχοντα τεμάχη Θεοδοτίωνος, Ὠριγένους, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἡσυχίου, Συμμάχου, Ἀκύλα, Διδύμου, Γρηγορίου Νύσσης, Γρηγορίου Ναζιανζηνοῦ, Ἀστερίου Ἀμασείας, Ἀθανασίου καὶ Εὐσεβίου, περὶ τοῦ ιη' ψαλμοῦ· ἐν δὲ τῷ κρασπέδῳ τῆς πρώτης σελίδος τοῦ τελευταίου φύλλου γέγραπται τοῦτο· «Ἐγράπτ(η) δεκεμβρίω β', ἡμέρα ζ', ͵ζϟς' ἰνδικτιῶνος α'» = 1587. Ὄπισθεν δὲ τοῦ αὐτοῦ φύλλου «Σωφρόνιος πρώην Ἱερουσαλὴμ» πατριάρχης ἔγραψεν, ὅτι «τὸ παρὸν τυπικὸ(ν) ἐπροσήλωσα εἰς τὸν Ἅγιον Κωνσταντῖνον καὶ Ἑλένην», ὅ ἐστιν εἰς τὴν ἐν Ἱεροσολύμοις ὁμώνυμον πατριαρχικὴν ἐκκλησίαν.

β') Φύλλα 346, ἀριθμοῦντα τετράδια μγ'. Καὶ τὸ μὲν πρῶτον φύλλον ἐξ ἀρχῆς ἄγραφον ἀφεθὲν ἐμπεριέλαβε μετέπειτα τροπάριον ἓν εἰς τὸν ἅγιον Νικόλαον ᾀδόμενον, κοντάκιον ἓν περὶ τοῦ ὁσίου Ἀλυπίου καὶ ἕτερον περὶ τοῦ ὁσίου Νίκωνος· ἐν δὲ τῷ δευτέρῳ φύλλῳ κεῖται κόσμημα ταινιοειδὲς καὶ ἡ τοῦ βιβλίου ἐπιγραφή· «Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα· αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Πρὸ τοῦ δῦναι τὸν ἥλιον, ἤγουν περὶ ὥραν δεκάτην τῆς ἡμέρας» κτλ. Σημειώματα τοῦ καλλιγράφου. α') Φύλλ. 36α «Τέ(λος) ἔλαβ(ε) κατὰ μῆναν αὔγουστον κη', ἡμέρα γ'· τοῦ ͵ζοθ' ἔτους (1571), ἰνδικτιῶνος ιδ', ὥρα γ' τῆς ἡμέρας». β') Φύλ. 184β. «Τέλος τοῦ μηνολογίου, ἡμέρα ς', ὥρα ὡσεὶ ς', εἰς τ(ὴν) κ' τοῦ Ἰουνίου μηνὸς τοῦ ͵ζπ' ἔτους (1572), ἰνδικτιῶνος ιε', ἐν τοῖς κελλίοις τοῦ μεγαλομάρτυρος Δημητρίου ἐν Ἱερουσαλὴμ». γ') Φύλλ. 282α

«Γραφὲν διαχειρὸς Ἰωὴλ μοναχοῦ, υἱὸς κατὰ σάρκα Ἀντωνίου, οὗ τὸ ἐπίκλιν Χρυσίνου, τοῦ ἀπὸ Θηβῶν τῆς Ἑπτάπυλος τῆς Βιοτείας, τοῦ ζ^ου^π^ου^ ἔτους, ἰνδικτιῶνος ιε', κατὰ μῆναν ἰούλιον κθ', ἡμέρα γ': — † ἐν κελλίοις τοῦ μεγαλομάρτυρος Δημητρίου ἐν τῇ ἁγία πόλει Ἱερουσαλήμ». δ') Φύλλ. 345^{α} «Ὡδὶ τέλος τοῦ τυπικοῦ: τοῦ ζ^ου^πβ^ου^ ἔτους (1574), ἰνδικτιῶνος β'. † αὐγούστω μηνὶ δ', ἡμέρα δ', ὥρα ς' τῆς ἡμέρας». ε') Φύλλ. 346^{α} «Γραφὲν διὰ χειρὸς Ἰωὴλ (μον)αχ(οῦ), υἱὸς κατὰ σάρκα Ἀντωνίου Χρυσίνου τινός, ἐπὶ κώμης τινὸς λεγομένη Ῥεωπου τῆς πόλεως Θηβοῦ ἐπισκοπὴ τῆς Βιοτείας». — Ἐν δὲ τοῖς κρασπέδοις ὑπάρχουσι προσθῆκαι καὶ παρατηρήσεις· οἷον ἐν τῷ 85-ῳ φύλλῳ· «Σημείωσαι οὖν, ὅτι εὕρομεν ἔν τισι τυπικοῖς τῶν νεωτέρων, ὅτι ἔν τισι τῶν πόλεων ψάλλεται ἡ ἀκολουθία τῆς ἁγίας μάρτυρος Αἰκατερίνης ἐν τῇ κε' τοῦ μηνός, ἐν ᾗ καὶ ἀποδίδοται ἡ ἑορτή. ἐν ἑτέροις δὲ τυπικοῖς παλαιοτέροις εὕρομεν αὐτὴν ἑορτάζεσθαι ἐν τῇ κδ' τοῦ αὐτοῦ μηνός· ἐν δὲ τῇ κε' ψάλλομεν τὴν ἀκολουθίαν τοῦ ἐν ἁγίοις Κλήμεντος πάπα Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας, ἐν ᾗ καὶ ἀποδίδοται ἡ ἑορτὴ τῶν εἰσοδίων. Ἐν τῷ 134-ῳ φύλλῳ· «Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Βλασίου ἐγεννήθη ὁ κτήτωρ τῆς μονῆς ταύτης καὶ ἐτάχθην παρὰ τοῦ πατρός μου τοῦ ἡγουμένου ναποιοῦν κόλυβα τοῦ ἁγίου διὰ τὴν χαράν, καὶ ναδίδουν καὶ εὐλογίαν: ἐστάνασινήστατε [sic] ἡ μονή». Ἐν τῷ 214-ῳ φύλλῳ· «Ἔστιν ἐν τῷ μικρῷ πανηγυρικῷ τῆς καθ' ἡμᾶς τοῦ Δοβροσῶντος μονῆς, τῷ ἀρχομένῳ ἀπὸ τοῦ φευρουαρίου μηνός, λόγος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ἀναγινωσκόμενος ἐν αὐτῇ τῇ δ' τῆς μεσονηστίμου». Σημειωτέον, ὅτι λέγεται καὶ ταῦτα ἐν τῷ κεφαλαίῳ τῷ ἐπιγεγραμμένῳ «περὶ τοῦ πάσῃ σπουδῇ φυλάττειν τὸν προεστῶτα μὴ παροράσθαι τὰ ἐν τῷ τυπικῷ ἅπαντα, καὶ περὶ τοῦ μὴ διατρίβειν τοῦτον ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθέντων αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης» (φ. 273)· «Δεῖ τοίνυν τὸν προεστῶτα πᾶσαν ἐνδείκνυσθαι σπουδήν, ἵνα μή τι τῶν ἐν τῷ παρόντι τυπικῷ μικρὸν ἢ μεῖζον κατά τινα αἰτίαν παροραθῇ, ἀλλὰ φυλάττηται ἡ ἐκκλησιαστικὴ

ἀκολουθία, τάξις τε καὶ κατάστασις ἅπασα ἀπαράθραυστος καὶ ἀμεταποίητος, καθὼς παρὰ τῶν ἁγίων πατέρων τῶν πρὸ ἡμῶν παρεδόθη ἡμῖν καὶ ἐν ταῖς ἁγίαις αὐτῶν μοναῖς τε καὶ λαύραις νενομοθέτηται, ἤγουν Εὐθυμίου τοῦ μεγάλου, Σάβα τοῦ ἡγιασμένου, Θεοδοσίου τοῦ κοινοβιάρχου, Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ, ᾧ δεδούλευκεν ὁ θήρ, Χαρίτωνος τοῦ ὁμολογητοῦ καὶ Κυριακοῦ τοῦ ἀναχωρητοῦ· οἵτινες ἀλληλοπαρόχως ὡσπερεί τινα κλῆρον ταύτην ἀπὸ τῶν πρώτων οἱ μετὰ ταῦτα διαδεξάμενοι, δηλαδὴ ὡς πατέρων υἱοί, ἵνα μήπως τῇ ἀγράφῳ ἐκδόσει καὶ χρονίᾳ παραδρομῇ λήθης βυθοῖς ἐμπεσοῦσα ἀμαυρωθείη, ζήλῳ θείῳ κινηθεὶς ὁ ἐν πατριάρχαις Ἱεροσολύμων Σωφρόνιος ἐγγράφως ταύτην τοῖς μετέπειτα παραδέδωκε· ὡς δὲ λόγος, ὅτι τὴν ἁγίαν λαύραν τοῦ μεγάλου Σάβα οἱ βάρβαροι ἐνεπύρισαν καὶ τὸ πονηθὲν σύγγραμμα τῷ μακαρίτῃ Σωφρονίῳ πυρὸς παρανάλωμα γέγονε, καὶ ὁ τὰ θεῖα σοφὸς Ἰωάννης ὁ πάνυ, ᾧ Δαμασκηνὸς τὸ ἐπώνυμον, ὡς φιλεργὸς μέλισσα τὰς γλυκυτέρας κηρίου καὶ μέλιτος ἱερὰς παραδόσεις συλλεξάμενος ἔκτοτε μέχρι καὶ νῦν ἑκάστῃ γενεᾷ διασῴζονται. Τοίνυν καὶ ἔτι στερεωθῆναι τὴν ἀκολουθίαν ταύτην γλιχόμενοι καὶ ἡμεῖς, εἰς μνήμην τε τῶν ῥημάτων τῶν ἁγίων πατέρων ἡμῶν τῶν ταύτην ἐκδεδωκότων καὶ ἐξιλασμὸν τῶν ἡμετέρων ἁμαρτιῶν ἐγγράφως ταύτην διαλαμβάνομεν, δεδοικότες μήπως ἐκ τοῦ μὴ λεπτολογεῖσθαι τὰ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, καταστάσεώς τε καὶ τάξεως, ἀφανισθείη παραρρυέντα καὶ κατὰ μικρὸν εἰς τὸ μηδὲν καταντήσαντα, ὅπου γε καὶ τὰ ἐγγράφως τυπωθέντα ὁρῶμεν ὁσημέραι κατ' ὀλίγον διαφθειρόμενα καὶ ἀφανιζόμενα καὶ εἰς τὸ μηδὲν καταλήγοντα».—Μετὰ δὲ τὸ κεφάλαιον τοῦτο ὑπάρχει α') προκείμενα, φωταγωγικὰ καὶ τριαδικά, καὶ μετὰ ταῦτα (φ. $282^{β}$-$345^{α}$) «Μάρκου ἱερομονάχου σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ», ὅπερ ἀποτελεῖται διὰ κεφαλαίων 86, τοῦ τελευταίου ἐπιγραφομένου ὧδε· «περὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος, πῶς ψάλλονται οἱ κανόνες αὐτῶν μετὰ τοῦ μηναίου».—Φύλλ. $345^{β}$ «Τροπάριον ψαλλόμενον εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν ἐν τῷ ὄρθρῳ μετὰ τὸν ν', ἀντὶ τοῦ Ταῖς τῶν ἀποστόλων πρεσβείαις».—Ἕτερον

εἰς τὰ φῶτα.—«Ἀκολουθία τῆς ζύμης», ἧς ἡ ἀρχή· «Μετὰ τὴν ἀπόλυσιν τῆς ἐν τῷ νάρθηκι συνήθους λιτῆς ἀρχόμεθα τοῦ ἰδιομέλου» κτλ.

γ') Φύλλα τέσσαρα περιέχοντα τεμάχια ἑρμηνειῶν εἰς τὸν ιη' ψαλμὸν (ὅρα τμῆμα α'), πίνακα κεφαλαίων καὶ σημείωμα περὶ τοῦ κώδικος, οἷον ἐν τοῖς πρώτοις αὐτοῦ φύλλοις ὑπάρχει.

309. Τεῦχος, ὅπερ ἔχει πινακίδας ἐσχηματισμένας ἐκ φύλλων κωδίκων τινῶν ἀπολεσθέντων· καὶ τὴν μὲν ἐμπρόσθιον αὐτοῦ πινακίδα φύλλα συναποτελοῦσιν ὀκτὼ μεμβράνινα βιβλίου τινὸς ἰβηριστὶ γεγραμμένου, τὴν δ' ὀπισθίαν ἄλλα τινὰ φύλλα, μεμβράνινα μὲν δύο συναπεσπασμένα ἐκ λειτουργικοῦ τινὸς εὐαγγελίου τῆς ια' ἑκατονταετηρίδος, χάρτινα δὲ δύο πάλιν ἐξ ὁμιλίας τινὸς ἀπεσπασμένα θεολογικῆς· ἔστι δὲ ταῦτα μέρος βαμβακεροῦ τινος κώδικος τῆς ιγ' ἑκατονταετηρίδος. Καὶ ταῦτα μὲν ἅπαντα συγκεκολλημένα κεῖται· τῶν δὲ πινακίδων αὐτῶν ἔνδον ἥρμοσεν ὁ δέτης ὀκτωκαίδεκα φύλλα μαθηματηρίου τινὸς τῆς ιη' ἑκατ., ἐμπεριέχοντα μύθους τινὰς αἰσωπείους καὶ μέρη τινὰ τῆς χρηστοηθείας Ἀντωνίου τοῦ Βυζαντίου. Ὁ κῶδιξ μὲν οὖν ἐκ περισσοῦ ταῦτα διὰ τοῦ δέτου περιέλαβεν· ἐμπεριέχει δὲ κυρίως τυπικὸν ἀκέφαλον ἐκκλησιαστικόν, ἀποτελούμενον ἐκ φύλλων χάρτου 221, μήκους μὲν 0,22, πλάτους δὲ 0,145· ὅπερ ἐγράφη περὶ τὸ μέσον τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος· ἔστι δὲ τὸ κείμενον αὐτοῦ μονόστηλον, ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ γραμμὰς ἀριθμοῦν τριάκοντα καὶ μίαν (0,161 × 0,10)· ἄρχεται δὲ ἀπὸ τῶν λέξεων τούτων· «— — ἀδελφῶν· ὁ δὲ ἱερεὺς μετὰ τοῦ κανδηλάπτου ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου καὶ ποιήσας μετάνοιαν κατέναντι τῶν ἁγίων θυρῶν, ὡσαύτως καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ μίαν, ἀπερχόμενος ἵσταται ἐν τῷ στασιδίῳ» κτλ. Τμήματα δὲ διακεκριμένα τὸ τυπικὸν ἔχει ταῦτα· α') «Ἡ ἀκολουθία τῆς ἐκκλησιαστικῆς συνάξεως καὶ ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ τοῦ μηνὸς σεπτεβρίου καὶ καταλήγουσα εἰς τὸν αὐτὸν σεπτέβριον», φ. 14. — β') «Περὶ τῶν ἑορτῶν ἐν αἷς ψάλλεται τὸ Θεὸς Κύριος, καὶ περὶ μεγάλων ἑορτῶν καὶ μέσων καὶ μικρῶν».

Ἀρχ. «Εἰδέναι χρή, ὅτι εἰς τρεῖς τάξεις κεῖνται ἐνταῦθα αἱ ἑορταὶ» κτλ., φ. 101β.—γ') «Ἡ ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς» καὶ κατόπιν ἡ τῆς πεντηκοστῆς. Ἀρχ. «Τῇ Κυριακῇ, ἐν ᾗ ἀναγινώσκεται τὸ ἱερὸν εὐαγγέλιον τοῦ τελώνου» κτλ., φ. 103β.—δ') Περὶ τῆς νηστείας τῶν ἁγίων ἀποστόλων, φ. 156.—ε') «Περὶ τοῦ πῶς δεῖ θυμιᾶν», φ. 158.—ς') «Περὶ τοῦ πάσῃ σπουδῇ φυλάσσειν τὸν προεστῶτα καὶ μὴ παρορᾶν τὰ ἐν τῷ τυπικῷ ἅπαντα, καὶ περὶ τοῦ μὴ διατρίβειν αὐτὸν ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθεισῶν αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης». Ἀρχ. «Δεῖ τοίνυν τὸν προεστῶτα πᾶσαν ἐνδείκνυσθαι σπουδὴν» κτλ., φ. 159. — ζ') «Τὰ κατ' ἦχον προκείμενα, ἤτοι τὰ ἄμνημα τῶν ἐν ταῖς λειτουργίαις τῶν Κυριακῶν ἀναγινωσκομένων ἀποστόλων, καὶ τὰ ἀλληλουάρια», φ. 160β.—η') «Τὰ ἐν ὅλῃ τῇ ἑβδομάδι ψαλλόμενα προκείμενα, ἀλληλουάρια καὶ κοινωνικὰ τῶν λειτουργιῶν, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος», φ. 161.—θ') «Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων, ψαλλόμενα τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ καὶ ἐν ταῖς νηστίμοις ἡμέραις τῶν ἄλλων τεσσαρακοστῶν, ἐν αἷς ψάλλεται τὸ ἀλληλούια», φ. 162. — ι') «Ἡ ἀκολουθία τῶν ἰδιομέλων τροπαρίων τῶν ἐν τῇ παραμονῇ τῆς Χριστοῦ γεννήσεως, σὺν ταῖς ὥραις ψαλλομέναις καθ' ἕτερον τύπον». Ἀρχ. «Περὶ τὴν τρίτην ὥραν τῆς ἡμέρας κρούεται τὸ μικρὸν καὶ συναγόμεθα πάντες ἐν τῇ ἐκκλησίᾳ· ἀλλάσσουσι δὲ ὁ ἱερεὺς καὶ ὁ διάκονος τὰς συνήθεις ἑαυτῶν στολὰς» κτλ., φ. 162β.—ια') «Ἡ ἀκολουθία τῶν ἰδιομέλων τροπαρίων τῶν ἐν τῇ παραμονῇ τῶν Φώτων σὺν ταῖς ὥραις ψαλλομένων καθ' ἕτερον τύπον». Ἀρχ. «Ἀρχομένης τῆς τρίτης ὥρας κρούεται τὸ μικρὸν ξύλον» κτλ., φ. 163β.—ιβ') Πίναξ τῶν ἀπορουμένων ἐν τῷ τυπικῷ, προτεταγμένον ἔχων ἐπίγραμμα τοιόνδε· «Τὰ δυσχερῆ πως τῆς τυπικοῦ πυξίδος | πολλοῖς ὁ πολὺς πρὸς διάγνωσιν λύει», φ. 165.—ιγ') «Μάρκῳ ἱερομονάχῳ σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ», διῃρημένον δὲ εἰς κεφάλαια ϟε', φ. 166β.—ιδ') «Εἴδησις πῶς μέλλεις εὑρίσκειν τὸν ἀπόστολον τοῦ δρόμου, τὸ εὐαγγέλιον, τὸν ἦχον, τὸ ἑξα-

ποστειλάριον σὺν τῷ ἑωθινῷ ἰδιομέλῳ καὶ τῷ ἑωθινῷ εὐαγγελίῳ». Ἀρχ. «Δεῖ σε γινώσκειν πρῶτον ἐν ποίῳ μηνὶ τυγχάνει» κτλ., φ. 205β.—ιε΄) «Τροπάρια τῶν ἑορτῶν ψαλλόμενα ἐν τοῖς ὄρθροις μετὰ τὸν πεντηκοστόν, ἀντὶ τοῦ Ταῖς τῶν ἀποστόλων πρεσβείαις». Ἀρχ. «Τὰ σύμπαντα σήμερον χαρᾶς πληροῦται», φ. 206. — ις΄) «Εὐχὴ ἣν εὔχεται ὁ πνευματικὸς πατὴρ ὑπὲρ πνευματικοῦ αὐτοῦ παιδός, ἐξομολογηθέντος αὐτῷ τὰ ἴδια ἁμαρτήματα», φ. 208.—ιζ΄) «Ἡ ἀκολουθία τῆς ἁγίας μεταλήψεως», φ. 209.— ιη΄) Πρόσθετα φύλλα δέκα, περιέχοντα λόγον ἀσκητικὸν ἀκέφαλον (φ. 211—214) καὶ πάλιν ἀτελῆ «τοῦ ἁγίου Μαξίμου λόγον ἀσκητικὸν κατὰ πεῦσιν καὶ ἀπόκρισιν», οὗ ἡ ἀρχή· «Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· παρακαλῶ σε, πάτερ, εἰπεῖν με τίς ὁ σκοπὸς ἦν τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως» κτλ., φ. 214β—221.— Καὶ τοιαῦται μὲν εἰσὶν αἱ διαιρέσεις τοῦ τυπικοῦ τούτου, μὴ διαφέρουσαι πολὺ τοῦ τύποις ἐκδεδομένου· τὸ κείμενον ὅμως αὐτοῦ πάνυ διάφορον ὑπάρχει πολλαχοῦ· διὸ καὶ πολλοῦ λόγου ἄξιός ἐστιν ὁ κῶδιξ οὗτος διά τε τοῦτο καὶ διὰ τὰς ἐν ταῖς ᾤαις ὑπαρχούσας τοῦ καλλιγράφου σημειώσεις, ἀποδεικνυούσας ὅτι πολλὰ τυπικὰ τὸ παλαιὸν ὑπῆρχεν ἐν ταῖς ἐκκλησίαις, μάλιστα δ᾽ ἐν Βυζαντίῳ, οἷον τὸ τῶν πατριαρχῶν Ἰγνατίου καὶ Φωτίου, τὰ τῶν μονῶν Περιβλέπτου, Πέτρας, Εὐεργέτου· μνημονεύεται δὲ καὶ τυπικὸν Ἰσαὰκ καὶ τυπικὰ πάλιν ἱεροσολυμιτικὰ διάφορα. Οἷον· ἐν τῷ 7-ῳ φύλλῳ, «Ἐκ τῶν τοῦ Ἰγνατίου καὶ τῆς Περιβλέπτου. Ψάλλει ὁ αὐτὸς ψάλτης τὸ ἐνορδίνως κάθισμα τῆς ὀκτωήχου καὶ τὸ θεοτοκίον ἐν τῷ ἀναλογίῳ, ἀναγινώσκων καὶ τὴν ἐννάτην· ἀνασυμπληρωθείσης δὲ ταύτης, ποιεῖ μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ τοῖς δυσὶ χοροῖς ἀνὰ μέρος πρὸς μίαν ////ἀλλα. τοίνυν καὶ τὸ κοντάκιον τοῦ ἁγίου ἀφ᾽ ἕκτης, εἴπερ ἔχει ἡ ἡμέρα, ἤγουν ὅταν ἐστὶ "Θεὸς Κύριος"· ὁμοίως καὶ τὸ φωταγωγικόν, ὅτε ὑπάρχει ἀλληλούια. Οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ ια΄ ὥρᾳ· τὸ "Πρωῒ εἰσάκουσον", ποιῶν καὶ ἐν τούτῳ καθ᾽ ἕνα στίχον μετάνοιαν μίαν. Δόξα. Καὶ νῦν. Τὸ θεοτοκίον· Τί σε καλέσωμεν. Εἶθ᾽ οὕτω βάλλει μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ὄπισθεν

τοῖς ἀδελφοῖς ἑτέραν. Ἡμεῖς δὲ μετὰ τὴν συμπλήρωσιν τῶν αἴνων εἰς τὸ "Δόξα ἐν ὑψίστοις Θεῷ" ποιοῦμεν μετανοίας τρεῖς· εἶτα ψάλλομεν τὰ στιχηρὰ τῆς ὀκτωήχου καὶ μετὰ ταῦτα "Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι"· αἱ τρεῖς μετάνοιαι ἐν τῷ τρισαγίῳ· τὸ Κύριε ἐλέησον μ', καὶ ἐπεύχεται ὁ ἱερεὺς λέγων "Ὁ ὢν εὐλογητός, ὁ Θεὸς ἡμῶν"· αἱ μεγάλαι τρεῖς μετάνοιαι καὶ αἱ ιβ' μικραί, τὸ "Δεῦτε προσκυνήσωμεν" τρὶς καὶ μετάνοιαι τρεῖς. Εἶτα ψάλλομεν τὴν πρώτην ὥραν τρίψαλμον· εἰς τὸ Ἀλληλούια μετάνοιαι τρεῖς, εἰς τὸ "Τί σε καλέσωμεν" τρεῖς, "Τὰ διαβήματά μου" χύμα καὶ χωρὶς μετανοιῶν· τὸ τρισάγιον καὶ μετάνοιαι τρεῖς. Μετὰ δὲ τὸ "Πάτερ ἡμῶν" ὁ ἱερεὺς "Ὅτι σοῦ ἐστιν ἡ βασιλεία", τὸ "Κύριε ἐλέησον" μ' καὶ λέγομεν τὴν εὐχὴν "Ὁ ἐν παντὶ καιρῷ". Εἶθ' οὕτως ὁ ἱερεὺς πάλιν "Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς" καὶ ἡμεῖς τὰς μεγάλας τρεῖς μετανοίας, λέγοντες καθ' ἑκάστην τὴν εὐχὴν ταύτην καθ' ἑαυτούς· "Κύριε καὶ δέσποτα τῆς ζωῆς μου"· ὡσαύτως καὶ τὰς ιβ' μικράς, λέγοντες καὶ ἐν ταύταις τὸ "Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ"· εἶτα τὸ τρισάγιον καὶ τρεῖς μετάνοιαι, τὸ "Πάτερ ἡμῶν", τὸ "Κύριε ἐλέησον" ιβ', ἀπόλυσις καὶ ἡ συνήθης λιτή».—Ἐν δὲ τῷ 21-ῳ φύλλῳ, ἔνθα ὁ λόγος περὶ τῆς ιδ' σεπτεμβρίου, σημειοῦται τόδε· «Ἰστέον ὡς ὁ Πετρινὸς ἐν τῇ παννυχίδι ψάλλει τὴν ἀκολουθίαν τοῦ Χρυσοστόμου· ὥστε, ὅταν δόξῃ ψάλλειν τὴν τοιαύτην παννυχίδα εἰς τιμὴν τοῦ ἁγίου κατὰ τὴν ιγ' σεπτεμβρίου μηνὸς ἀντὶ τοῦ μεσονυκτικοῦ, οὐκ ἄπο σκοποῦ γενήσεται ἡ διάκρισις».—Ἐν τῷ 22-ῳ φύλλῳ, ἔνθα λόγος ὑπάρχει περὶ τῆς πέμπτης ὑψώσεως τοῦ σταυροῦ· «Δεῖ γινώσκειν ὅτι τὸ Κύριε ἐλέησον ἐν ταῖς κατὰ πόλιν ἐκκλησίαις καὶ ἐν τοῖς μοναστηρίοις πεντακόσια ψάλλεται, ἐν δὲ τῇ ἁγίᾳ Σοφίᾳ τῇ ἐν Θεσσαλονίκῃ χίλια διακόσια ἑβδομήκοντα ἕν». — Φύλλ. 26β, ἔνθα λόγος ἐστὶ περὶ τῆς κς' ἡμέρας τοῦ σεπτεμβρίου μηνός· «Ἰστέον ὅτι τὰ ψαλλόμενα θεοτοκία πρὸς τὴν τάξιν τῆς ὀκτωήχου εἰσί· δύο γὰρ εἰσὶ τὰ παρ' αὐτοῦ τοῦ Δαμασκηνοῦ ποιηθέντα * καὶ δογματικόν, ἃ καὶ ψάλλονται, δοκεῖ μοι καλόν, τὸ μὲν ἓν ἐν τῷ μικρῷ ἑσπερινῷ, τὸ δὲ

ἕτερον ἐν τῇ λιτῇ· οὐδὲ γὰρ ἐᾶσθαι ταῦτα τῶν ἐνδεχομένων ἐστίν, ἢ ὡς ἐν παραβύστῳ ἐν ἄλλαις ἡμέραις ψάλλεσθαι· πῶς δὲ παρηκολούθησε τὸ τρίτον ἀντὶ τοῦ πρώτου ψάλλεσθαι καὶ ἐν τῷ μεγάλῳ ἑσπερινῷ ὡς πρῶτον ψάλλεσθαι, οὐκ οἶδα· νομίζω δὲ ὅμως, ὅτι διὰ τὸ ὑπεραῖρον ἐν τούτῳ τῶν δογμάτων οὐ συναριθμεῖσθαι τοῖς ἄλλοις θεοτοκίοις ὁ τυπικάρης ἠβουλήθη, ἐπεὶ ὁ Εὐεργετινὸς καὶ ὁ Πετρινὸς ἐν τῷ ἑσπερινῷ ἓν ἐκ τῶν δύο ψάλλουσι, καὶ τοῦτο λέγουσι πρῶτον».

310. Τεῦχος ἐκ χάρτου, γραφὲν ὡς ἔοικε περὶ τὸ τέλος τῆς ιδ' ἑκατονταετηρίδος, ἀποτελούμενον δὲ ἐκ φύλλων 295, μήκους μὲν 0,219, πλάτους δὲ 0,146· ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 26 (0,148×0,08).

1. Πίναξ σεληνοδρομίου, φ. 1.

2. Τυπικὸν ἀκέφαλον τῆς ἐκκλησιαστικῆς ἀκολουθίας (φ. 3-248), ἀρχόμενον ἀπὸ τῶν ἑξῆς λέξεων· «— — τῆς λαμπάδος δηλονότι προπορευομένης αὐτοῦ· ἐξελθὼν δὲ εἰς τὸν νάρθηκα καὶ θυμιάσας κἀνταῦθα τοὺς ἀδελφοὺς κατὰ τάξιν ὑποστρέφει» κτλ.— Φύλλ. 9 «Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων. Στιχολογία τοῦ Ψαλτηρίου. Χρὴ γινώσκειν, ὅτι οὕτως ὀφείλει στιχολογεῖσθαι» κτλ. Τελευταῖον κεφάλαιον· «Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς», τῆς πεντηκοστῆς καὶ τῆς νηστείας τῶν ἁγίων ἀποστόλων, φ. 174 κέ.

3. «Μάρκου ἱερομονάχου σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ», διῃρημένον εἰς κεφάλαια πς', φ. 248-294^{α}.

4. «Τροπάριον ψαλλόμενον εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν, ἐν τῷ ὄρθρῳ, μετὰ τὸν (ν' ψαλμόν, πρὸς τὸ) Ταῖς τῶν ἀποστόλων πρεσβείαις. Τὰ σύμπαντα σήμερον» κτλ., φ. 294^{α}.— Ἕτερον ὅμοιον εἰς τὰ Φῶτα». — «Τὰ ἀναστάσιμα πρὸ τῶν η' ἤχων τῶν ἀποστόλων, ἤτοι τὰ ἀμνήμονα». — «Τὰ ἀλληλουάρια τὰ ἄμνημα τῶν η' ἤχων τοῦ ἀποστόλου». — «Προκείμενα ἀναστάσιμα ἑωθινά, λεγόμενα ἐν τῷ ὄρθρῳ τοῦ εὐαγγελίου τῶν Κυριακῶν», φ. 294^{β}.—«Ἀκολουθία τῆς ὅλης ἑβδομάδος τῶν προ-

κειμένων τοῦ ἀποστόλου, τῶν ἀλληλουαρίων, τῶν εὐαγγελίων, τῶν κοινωνικῶν, τῶν ἐν τῇ θείᾳ λειτουργίᾳ τελουμένων, ὅτε οὐκ ἔστιν ἅγιος». — «Τὰ προκείμενα τῆς ὅλης ἑβδομάδος, ἅπερ λέγονται ἐν τῷ ἑσπερινῷ», φ. 295β.—«Ἕτεροι στίχοι εἰς τὸ Θεὸς Κύριος».—«Ἕτεροι στίχοι εἰς τὸ ἀλληλούια» καὶ τὸ «Ἐπληρώθη ἡ παροῦσα δέλτος ἐν μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος ιγ', ὁμοῦ φίλα τλθ'» [sic].

311. Τυπικὸν ἐκ χάρτου, γραφὲν ἀμφὶ τὴν ιε' ἑκατονταετηρίδα καὶ συνιστάμενον ἐκ 227 φύλλων, μήκους μὲν 0,203, πλάτους δὲ 0,146· ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν 17 ἢ 18 (0,156 × 0,09). Ἐπιγραφή· «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ τυπικοῦ, περιέχον τὴν ἅπασαν ἀκολουθίαν καὶ διάταξιν τῆς ἐκκλησίας, γενομένη(ν) ὑπὸ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ καθηγουμένου τῆς ἐρήμου καὶ ἡγιασμένου. Διάταξις τῆς ἀγρυπνίας. — Μετὰ τὸ δῦναι τὸν ἥλιον μικρὸν ἀπέρχεται εἷς τῶν κανδηλαπτῶν καὶ ποιεῖ μετάνοιαν τῷ καθηγουμένῳ· εἶτα ἀνέρχεται, κρούει τὰς βαρέας ἀργά, ψάλλων ἐν ταυτῷ καὶ τὸν Ἄμωμον καὶ πληρῶν αὐτόν· ὁ δὲ ἕτερος ἅπτει τὰς κανδήλας, καὶ ποιήσας τὸν θυμιατὸν ἐξέρχεται καὶ σημαίνει τὸ σίδηρον· εἶτα τὸ μέγα· καὶ ὑποστρέψας ποιεῖ μετάνοιαν τῷ ἱερεῖ τῷ ὀφείλοντι ποιῆσαι τὴν ἀκολουθίαν· ὁ δὲ ἱερεὺς ἀναστὰς ἀπέρχεται καὶ ποιεῖ μετάνοιαν τῷ καθηγουμένῳ, ἢ εἰς τὸν τόπον αὐτοῦ, μὴ ἐνδημοῦντος· καὶ εὐλογηθεὶς παρ' αὐτοῦ ὑποστρέφει καὶ ποιεῖ μετανοίας τρεῖς ἔμπροσθεν τῶν ἁγίων θυρῶν» κτλ. Ἐν τῷ δευτέρῳ φύλλῳ τὸ κείμενον ἐμπεριέχει καὶ τοῦτο· «Ὁ ἱερεὺς ἐξελθὼν τοῦ θυσιαστηρίου θυμιᾷ ἐν τῷ εὐρίῳ [sic] τοῦ ἁγίου καὶ ἀδελφοθέου Ἰακώβου, ὡσαύτως καὶ ἐν τῷ ναῷ τῆς Ἁγίας Τριάδος, καὶ μετὰ τὸ θυμιάσαι ποιεῖ μετὰ τοῦ κανδηλάπτου μετάνοιαν ἐνώπιον τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς ἀνὰ μίαν» κτλ.— Φύλλ. 9 «Ἡ εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ». — Φύλλ. 10 «Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις μοναστηρίων τοῦ ἁγίου Σάββα».—Φύλλ. 26 «Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ,

ἀρχομένου ἀπὸ μηνὸς σεπτεμβρίου».—Φύλλ. 155 «Ἀκολουθία τῆς ἁγίας μεγάλης καὶ πεφωτισμένης καὶ θεοσδότου τεσσαρακοστῆς».—Φύλλ. 196β «Ἡ ἀκολουθία τῶν ἁγίων παθῶν».

312. Τυπικὸν ἀκέφαλον ἔτει 1201-ῳ γραφὲν καὶ συγκείμενον ἐκ φύλλων 138, ὧν δύο μόνα χάρτινά ἐστι (φ. 82 καὶ 83)· ἔστι δὲ μήκους μὲν 0,226, πλάτους δὲ 0,157· τὸ δὲ κείμενον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἔχει χῶρον ὡς 0,17×0,115, μονόστηλον ὂν καὶ γραμμὰς ἀριθμοῦν 29· τέσσαρα δὲ φύλλα τοῦ κώδικος τούτου, ἅπερ ἦν μετὰ τὸ νῦν 33-ον φύλλον, ἀπέκοψε Πορφύριος ὁ Οὐσπένσκης, ἐγχαράξας ἐν τῷ νῦν 34-ῳ φύλλῳ τὸ γράμμα Ц. ποῦ δὲ ταῦτα κεῖται νῦν, ἀγνοῶ παντάπασιν. Τὸ μὲν οὖν τεῦχος ἄρχεται νῦν ἀπὸ τῶν ἑξῆς λέξεων· «— — πληρουμένου δὲ τοῦ ψαλμοῦ ποιεῖ ὁ διάκονος — —, ὁ δὲ ἱερεὺς τὴν ἐκφώνησιν· εἶτα στιχολογοῦμεν μετὰ ἰδίου μέλους τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸν γ′ ψαλμὸν ὑψοῦμεν πάλιν ὀλίγον, τὸ δὲ β′ καὶ τὸ γ′ ἀντίφωνον εἰς τὸν ἦχον τῆς ἡμέρας» κτλ.—Φύλλ. 4 «Σύνοψις τῶν ἀγρυπνιῶν».— Φύλλ. 4β «Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις μοναστηρίων».—Φύλλ. 12β «Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ σεπτεμβρίου μηνός». — Φύλλ. 84 «Ἡ ἀκολουθία τῆς ἁγίας μεγάλης μ′». — Φύλλ. 93 «Ἡ ἀκολουθία τῆς τριτέκτης». — Φύλλ. 94 «Ἡ ἀκολουθία τῆς θ′ ὥρας». — Φύλλ. 108 «Ἡ ἀκολουθία τοῦ νιπτῆρος». — Φύλλ. 110 «Ἡ ἀκολουθία τῶν ἁγίων παθῶν». — Φύλλ. 115 Ἡ ἀκολουθία τῆς Πεντηκοστῆς, εἶτα ἡ τῶν νηστειῶν.—Φύλλ. 126 «Κονδάκια νεκρώσιμα καὶ οἶκοι, οἵτινες λέγονται ἐπὶ κηδείᾳ ἀδελφοῦ ἢ ἀδελφῆς, ἐν δὲ τῇ ἐκκλησίᾳ κατὰ τὸ Σάββατον τῆς Ἀποκρέω καὶ τὸ Σάββατον τῆς ἁγίας Πεντηκοστῆς. Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ. Οἱ οἶκοι, ὧν ἡ ἀκροστιχὶς αὕτη: Ἀναστασίου τοῦ ταπεινοῦ νοσηέας» [sic: γρ. αἶνος. Pitra, Analecta sacra I, σ. 242-249]. Ἐν δὲ τῇ δευτέρᾳ σελίδι τοῦ 125-ου φύλλου γέγραπται τοῦ βιβλιογράφου ὑπόμνημα, οὗ τὸ πανομοιότυπον ὅρα ὄπισθεν ἐν τῷ φωτοτυπικῷ πίνακι· ἀναγινώσκεται δὲ τοῦτο

ὧδε· «Τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου» βιβλίον, ὅ ἐστι τῆς ὁμωνύμου παρὰ τὸν Ἰορδάνην ἁγίας μονῆς· καὶ μετὰ τρεῖς γραμμάς, αἵτινες ὑποδηλοῦσι τὸ τέλος τοῦ τυπικοῦ, γέγραπται τοῦτο· «Ἐτελειώθ(η) τὸ παρὸν τυπικὸν συναξάριον τῆς | σεβασμίας μονῆς τοῦ ἁγ(ίου) καὶ ἐνδόξου προ|φήτ(ου) προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου | τῆς [ἐν τῷ Ἰορδάνῃ] διακειμένης ἁγίας | μονῆς, διασυνδρομῆς καὶ πολλοῦ πόθ(ου) χειρὶ δὲ τοῦ εὐτελοῦς ἀναγνώστου Θεοδώρ(ου) | τοῦ Μοναστηριώτ(ου), μηνὶ μαΐω κδ', ἰνδικτιῶνος δ' ἔτ(ους) | ,ϛψθ'[-1201]. ὅσοι οὖν φιλόχριστοι καὶ φιλεύσπλαγχνοι | καὶ εἰδότες οἰκτεῖραι ψυχὴν ἐν ἁμαρτίαις | βεβυθισμένην καὶ ἀπολλυμένην, εὔξασθ(ε) | ὑπερεμοῦ τοῦ ἀθλίου ρυσθῆναι τῶν μενου|σῶν με δεινῶν καὶ πικρῶν καὶ αἰωνίων κολάσεων, καὶ μάλλιστα οἱ ἐπιχεῖρας | τοῦτο τὸ τυπικὸν κατέχοντες· πάντας | καὶ πᾶσας διεγείρατε εἰς ἔλεον τῆς ἐμῆς | ταπεινότητος εὐχὴν ἐκ ψυχῆς ποιήσασθ(αι) πρὸς τὸν φιλοικτίρμονα Θεὸν καὶ τὴν ὑ|περάχραντον αὐτοῦ μητέρα, καὶ πρὸς τὸν αὐτοῦ | τίμιον πρόδρομον Ἰωάννην τὸν πρόδραμούντα καὶ | κηρύξαντα τὴν βασιλείαν τῶν οὐ(ρα)νῶν, ὅπως ἐλεηθῶ καν ἐπιτέλει ὁ ἐσκοτισμένος | καὶ κατηχρειωμένος· καὶ ὑμεῖς οἱ διε|γείροντες καὶ οἱ εὐχόμενοι μέγα μισθὸν ἐκ τῆς | φιλαδέλφου καὶ φιλοψύχου γνώμης κερδήσετ(ε) | καὶ παρακαλῶ διὰ τὸν Κ(ύριο)ν μὴ κατοκνίσητε τοῦτο ποιεῖν· ὁ φιλάν(θρωπ)ος Κ(ύριο)ς δώῃ ὑμῖν καὶ ἐμοὶ συγχώρησιν ἁμαρτιῶν καὶ βασιλείας οὐρανῶν κληρονομίαν· ἀμήν». — Ἀπόσπασμα (φ. 64β). «Περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Ἰστέον ὅτι οὐκ ἀπὸ ἰδίου σκοποῦ περὶ τοῦ πῶς δεῖ ψάλλεσθαι τὴν τοιαύτην ἀκολουθίαν ἔν τε ταῖς μ' ἡμέραις καὶ τῆς μεγάλης ἑβδομάδος καὶ τοῦ πάσχα ἡμῖν πεπόνηται· καὶ γὰρ τῷ τύπῳ τῆς Μεγάλης Ἐκκλησίας ἐξακολουθοῦντες καὶ ἀκριβέσι συναξαρίοις ἐντυχόντες τῆς τε ἀοιδίμου μονῆς τῶν Στουδίων, οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν Ἱεροσολύμων, ταῦτα ἐντετάχαμεν. Μηδεὶς οὖν ἐπαπορείτω τῇ ἐναλλαγῇ ἐντυγχάνων τῶν τε στιχηρῶν καὶ τῶν κανόνων καὶ τῶν ἀναγνώ(σεων), ὅπως διώρισται, ἀλλὰ τὴν ἡμέραν σκοπείτω, ὅτε ἡ παραμονὴ τοῦ Εὐαγγελισμοῦ γίνεται, εἶτα αὐτὴν τὴν ἡμέραν τῆς

[illegible]

[illegible] μὴ καταλυθῆναι τοῦτο [illegible] συγγραφὴν [illegible] ἑορτῆς τοῦ Εὐαγγελιστοῦ [illegible] ταῖς [illegible] ἡμέραις καὶ τῆς μεγάλης ἑβδομάδος [illegible] ἡμῶν [illegible] καὶ [illegible] τῷ τόπῳ τῆς Μάρκου [illegible] καὶ [illegible] συνάξεων [illegible] τῶν Σιναϊτῶν, [illegible] δὲ [illegible] καὶ τῶν [illegible] Μηδεὶς οὖν [illegible] στιχηρῶν καὶ τῶν κανόνων καὶ τῶν [illegible] ἀλλὰ τὴν [illegible] τοῦ Εὐαγγελιστοῦ [illegible]

Σελ. 442.
Κῶδ. Σαβαϊτ. 312, ἔτους 1201, φ. 125β.

волено цензурою 15 Января 1892 г. С.П.Б.   Фототипія Н. Индутнаго. Сергіевская ул., № 20.


ἑορτῆς ὁποία ἐστίν, καὶ εὑρήσει ὅτε ἐν νηστείαις τύχοι ἡ παραμονὴ τοῦ Εὐαγγελισμοῦ· διὰ τὸ σεβασμίαν τὴν μ' (εἶναι) ψάλλομεν πρῶτον τὰ στιχηρὰ τῆς ἡμέρας καὶ οἱονεὶ πέρας διδόαμεν τῇ νηστείᾳ· εἶτα τὰ στιχηρὰ τοῦ Εὐαγγελισμοῦ καὶ τὴν τῶν προηγιασμένων λειτουργίαν. Ἐξ ἐκείνου δέ, ἅτε ἀρχὴν τῆς ἑορτῆς λαβούσης, πάντα τὰ τοῦ Εὐαγγελισμοῦ προηγοῦνται. Τοῦ δὲ Σαββάτου τοῦ ἁγίου Λαζάρου καὶ τῆς Κυριακῆς τῶν βαΐων προετάξαμεν τὴν τοῦ Εὐαγγελισμοῦ ἀκολουθίαν ἐν ἅπασι, διὰ τὸ πρὸ τοῦ πάθους τοῦ Χριστοῦ γενέσθαι ταύτας τὰς ἑορτὰς καὶ μὴ διὰ τὸ μὴ εἶναι νηστείαν ἐν αὐταῖς. Πάλιν δὲ ἐν ταῖς τῆς μεγάλης ἑβδομάδος ἡμέραις προεκρίναμεν, εἰ τύχοι ἐν αὐταῖς ἡ παραμονὴ τοῦ Ἐβαγγελισμοῦ [sic], προηγεῖσθαι τῆς ἡμέρας τὰ στιχηρὰ εἰς τὰ λυχνικά, εἶτα τοῦ Ἐβαγγελισμοῦ, διά τε τὴν νηστείαν, ὡς ἤδη φθάσαντες εἴπομεν, καὶ τὸ τῶν ἡμερῶν παράδοξον. Περὶ δὲ τοῦ γενέσθαι τῇ μεγάλῃ Παρασκευῇ προσκομιδήν, εἰ τύχοι ἐν ταύτῃ ὁ Εὐαγγελισμός, κἂν οἱ κανόνες ἄλλως διαγορεύουσιν, ἀλλ' οὖν εὕρομεν ἐν τῷ συναξαρίῳ τῆς Μεγάλης Ἐκκλησίας εἰς τοὺς εὐκτηρίους οἴκους τῆς Θεοτόκου γίνεσθαι προσκομιδὴν καὶ τελείαν λειτουργίαν.—Ἑτέρα ἑρμηνεία περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ· εὑρέθη δὲ ἐν τοῖς κατὰ τὸν Ὄλυμπον τυπικοῖς γινομένη· ἔχει δὲ οὕτως. Εἰ φθάσει γενέσθαι ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου ἢ τῇ μεγάλῃ Πέμπτῃ ἑσπέρας, εἰς τὰ ἅγια πάθη δηλονότι, ἢ τῷ μεγάλῳ Σαββάτῳ ἑσπέρας, ἤγουν ἐπιφωσκούσης τῆς μεγάλης Κυριακῆς, ὅ ἐστι κύριον πάσχα, εἰς μὲν τὸν ἑσπερινὸν ψαλλέσθωσαν ἀμφότεραι αἱ ἑορταί, ὡς εἴρηται· εἰς δὲ τὸν ὄρθρον, ἐπεὶ ἀγρυπνία ἐστί, καταλιπὼν τὴν συνήθη παννυχίδα, ἄρξαι ἀφ' ἑσπέρας τοῦ ἑξαψάλμου καὶ ποίησον ἀκολουθίαν μόνον τοῦ Εὐαγγελισμοῦ πᾶσαν, καὶ στιχολόγησον τὸν πολυέλεον, καθίσματα λέγων καὶ ἀναγνώσματα, τῶν κανόνων τὰ στιχηρὰ καὶ πάντα ὁμοίως μόνου τοῦ Ἐβαγγελισμοῦ· καὶ μετὰ τὴν τελείαν τῆς ἀκολουθίας ἐκπλήρωσιν πρόσθες ἀνάγνωσμα, ὡς σύνηθες, εἰς τὸν πραξαπόστολον· καὶ μετὰ τὸ τέλος τῆς ἀναγνώσεως, κρουομένου τοῦ ξύλου, εἰ μὲν ἔστι Παρασκευή,

ἄρξαι πάλιν ἕτερον ἐξάψαλμον καὶ γενέσθω ἡ ἀκολουθία τῶν ἁγίων παθῶν· εἰ δὲ μεγάλη Κυριακή ἐστι, ποίησον καθὼς ἐν τῷ συναξαρίῳ τῆς μεγάλης Κυριακῆς διείληπται, ἀποτελέσας πᾶσαν τὴν τῆς ἡμέρας αὐτῆς μόνης ἀκολουθίαν, ψάλλων ἄχρι πρωΐας αὐτῆς καὶ μηδὲν μηδόλως τῆς τοῦ Εὐαγγελισμοῦ ἀκολουθίας τῇ τοῦ πάσχα συνεισενέγκῃς, ἢ τῇ ἀκολουθίᾳ τῆς μεγάλης Παρασκευῆς· καὶ γενήσονται αἱ δύο ἀκολουθίαι ἀταράχως καὶ ἀπαραλείπτως, κατὰ τὴν τάξιν αὐτῶν. Ὁμοίως καὶ ἐν τῇ λειτουργίᾳ, εἴ ἐστιν εὐκτήριος (οἶκος) τῆς ὑπεραγίας Θεοτόκου, τελεσθήτω καὶ ἡ προσκομιδὴ καὶ πάλιν ἡ ἀκολουθία τοῦ Ἐβαγγελισμοῦ ἐκεῖ· ἐν δὲ τῷ μέσῳ τελεσθήτω μόνη ἡ ἀκολουθία τῆς μεγάλης Κυριακῆς. Ὁ κρατῶν ἣν θέλεις ἀκολουθίαν ἑλοῦ». Σημειωτέον ἔτι α') ὅτι ὑπάρχει σημείωσις ἀραβικὴ (φ. 95β—96α) τοῦ ιδ' πιθανῶς αἰῶνος, ἐμφαίνουσα τοῦτον τὸν κώδικα δεδωρῆσθαι παρ' ἱερέως Ἰβραὴμ ὄνομα τῷ ναῷ τοῦ προφήτου Ἠλιοῦ, μονῆς ὁμωνύμου παρὰ τὴν Ἱερουσαλήμ· β') ὅτι καὶ σημειώματα δύο ὑπάρχει που ἐν κρασπέδοις, ἅπερ ἀπαραλλάκτως ὧδε παρατίθεμαι. 1) «Τῆς λαύρας τοῦ ἁγίου Σάββα», φ. 7. 2) «† Μνησθητι κε τω δωλο το θῶ Μουσεος το διακωνοσ ενεχηιη το και αδελφω ͵ϛω'» [-1391-1392], φ. 13β.

313. Τεῦχος ἐκ χάρτου, γραφὲν ὡς φαίνεται τῇ ις' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 352, μήκους μὲν 0,218, πλάτους δὲ 0,147· ἔχει δὲ κείμενον ἐν μιᾷ στήλῃ κατὰ σελίδα, γραμμὰς ἀριθμοῦν 26 (0,162×0,09). Καὶ ἔνδον μὲν τῆς πρώτης πινακίδος ὑπάρχει τὸ σημείωμα τοῦτο· «† Νύμφως ἱερομοναχος:—† ετούτο το βειβήλον υπάρχη του παπ(α) κῦρ Νοίμφου του Χηδτι καὶ εσειραδοσταχόθιν δια χειρὸς αιμοὺ Μαξείμου ιεροδιακόνου»· ἐν δὲ τῷ τελευταίῳ φύλλῳ γέγραπται τοῦτο· «† Ετουτῶ τῶ ψάλτήριων οἰνε παπ(α) Νῦμφου ἀπο ἐν Χοίω τοί νοίσω τῶν Λεὐκωββώρον, απο χόρίων τού Καθαράκτοι. Νύμφως ἱερομόναχος». Περιεχόμενα·

1. Ψαλτήριον (φ. 1—139), οὗ προτέτακται προθεωρία τοῦ Χρυσοστόμου, ὑπόθεσις Εὐσεβίου, στίχοι καὶ ἑρμηνεία τις περὶ

τοῦ ψαλτῆρος ὀνόματος· ἕκαστος δὲ τῶν ψαλμῶν ἔχει καὶ συνοπτικὴν αὐτοῦ ἑρμηνείαν ἔμμετρον ἀποτελοῦσαν μὲν ὅλον ἔργον, ἀρχομένην δὲ ὧδε· «Ἄλλοι μὲν ἄλλα τῶν ψαλμῶν ἔχουσι λόγων εἴδη, | ὁ δὲ παρὼν καὶ πρώτιστος εἶδος διττὸν ἐπέχει» κτλ.

2. «Παράκλησις εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλομένη κατὰ τὴν τρίτην τῆς ἑβδομάδος ἡμέραν· τῆς παρακλήσεως ἡ ἀκροστιχὶς ὁ ἀλφάβητος». Ἀρχ. «Ἄνοιξον, δέσποινα ἁγνή, ἡμῶν τὰ θεῖά σου ὦτα», φ. 139β. Τὸ δ' ὄνομα τοῦ ποιητοῦ δηλοῖ μονόγραμμα τοιοῦτον 

3. «Εὐχὴ λεγομένη εἰς τὴν ὑπεραγίαν Θεοτόκον», ἧς ἡ ἀρχή· «Χαῖρε Θεοτόκε, ἀειπάρθενε κόρη, ἡ ἀληθὴς καὶ μόνη» κτλ., φ. 141.

4. «Ἑτέρα τοῦ αὐτοῦ [sic] εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐπὶ πάσῃ ἀθετήσει». Ἀρχ. «Κεχαριτωμένη, εὐλογημένη, ὑπὲρ πᾶσαν τετιμημένη» κτλ., φ. 142.

5. «Στιχηρὰ προσόμοια εἰς τὴν ὑπεραγίαν Θεοτόκον τὴν πάναγνον». Ἀρχ. «Ἄκουσον ἀθλία μου ψυχὴ μικρᾶς συμβουλῆς μου», φ. 143.

6. «Ἕτερα στιχηρὰ εἰς τὸν δεσπότην Χριστὸν καὶ Θεὸν ἡμῶν». Ἀρχ. «Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς θυμηδίας», φ. 143β.

7. «Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενος ἐν τῇ παρακλήσει ἀπὸ τῆς γ' τῆς Διακαινησίμου ἄχρι τῆς τρίτης τῆς πρὸ τῆς Ἀναλήψεως· ἀκροστιχὶς ὁ ἀλφάβητος». Ἦχος α'. Ἀρχ. «Ἀναστάσεως τὴν χάριν ἐχαρίσω ἡμῖν», φ. 144.

8. «Ἕτερα στιχηρὰ εἰς τὸν μέγιστον ἐν ἀθληταῖς καὶ μυροβλύτην Δημήτριον, σ(υν)απτῶς ψαλλόμενα ταύτῃ τῇ παρακλήσει· ὧν ἡ ἀκροστιχίς: Δημητρίῳ». Ἀρχ. «Δημήτριε τῶν ἀθλητῶν», φ. 145β.

9. Ἀκολουθία ψαλλομένη εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου τῇ 25-ῃ μαρτίου, φ. 146. Κανών, οὗ ἡ ἀκροστιχίς· «Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ». φ. 146β.

10. «Εὐχὴ κατανυκτικὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον», ἧς ἡ

ἀρχή· «Παρθένε δέσποινα Θεοτόκε, ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα», φ. 155β.

11. «Αἱ ἀργίαι τοῦ ὅλου ἐνιαυτοῦ», φ. 157β.

12. «Ἀκολουθία τοῦ ἁγιασμοῦ», φ. 158β.

13. «Ἕτερος κανὼν εἰς πάντας τοὺς ἁγίους, περιέχων ὀνομαστὶ τοὺς ἁγίους ὅλου τοῦ χρόνου, φέρων ἀκροστιχίδα· Ἁγίους ὑμνῶ τοῦ πολυκύκλου χρόνου | Μιχαὴλ ταπεινὸς μοναχὸς ἀνάξιος». Ἦχος πλ. δ'. Ἀρχ. «Ἀνευφημῆσαι τῶν ἁγίων Κύριε», φύλ. 165β.

14. «Ἀρχὴ τοῦ μικροῦ ἀποδείπνου», φ. 170β.

15. «Εὐχὴ λεγομένη εἰς τὴν ὑπεραγίαν Θεοτόκον· τοῦ ἁγίου Βασιλείου τοῦ μεγάλου». Ἐν δὲ τῷ κρασπέδῳ· «Παύλου μοναχοῦ μονῆς τῆς Εὐεργέτιδος». Ἀρχ. «Ἄσπιλε ἀμόλυντε ἄφθορε ἄχραντε», φ. 173β.

16. «Τοῦ αὐτοῦ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν»· ἐν δὲ τῷ κρασπέδῳ· «Θεοστηρίκτου». Ἀρχ. «Καὶ δὸς ἡμῖν, δέσποτα, εἰς ὕπνον ἀπιοῦσιν», φ. 174.

17. «Κανὼν εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας Θεοτόκου· ποίημα τοῦ κυροῦ Θεοφάνους εἰς ἦχον δ'», οὗ ἡ ἀρχή· «Ἀδέτω σοι, δέσποινα, κανὼν τὴν λύραν τοῦ πνεύματος», φ. 174β.

18. Τῆς ὀκτωήχου παρακλητικῆς ἀκολουθίαι τινές, φ. 177 κέ.

19. «Ἀκολουθία τῆς ἁγίας μεταλήψεως», ἐμπεριέχουσα εὐχὰς πεντεκαίδεκα (φ. 218-229) Ἰωάννου τοῦ Δαμασκηνοῦ, Βασιλείου τοῦ μεγάλου, Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Συμεῶνος τοῦ Μεταφράστου.

20. «Ἀκολουθία τῆς καθιερώσεως τῶν μελλόντων καθιερῶσθαι θείων ναῶν». Ἀρχ. «Ἀφ' ἑσπέρας ἀπέρχεται ὁ ἀρχιερεὺς ἐν τῷ τόπῳ, ἐν ᾧ κεῖται ὁ μέλλων καθιερωθῆναι ναός· εἷς δὲ τῶν ὑπηρετῶν αὐτοῦ πρῶτον πάντων κατασκευάζει καυτρεῖον τετράγωνον μολύβδινον, ἐν ᾧ βάλλονται μαρτυρικὰ ἅγια λείψανα κομάτια τρία· εἶτα προσφέρεται αὐτῷ ἅγιος δίσκος καὶ ἀστερίσκος καὶ κάλυμμα· τίθεται δὲ μέσον τοῦ ἁγίου δίσκου τὸ καυτρεῖον μετὰ τῶν θείων μαρτυρικῶν λειψάνων, καὶ ἐπάνω αὐτῶν ὁ ἀστε-

ρίσκος καὶ τὸ ἅγιον κάλυμμα, καὶ φέρουσιν τὸν ἅγιον δίσκον καὶ τιθέασιν αὐτὸν εἰς ναὸν ἕτερον καθιερωμένον» κτλ., φ. 230.

21. «Ἀκολουθία ἐπὶ σαλευθείσης τραπέζης», ἧς ἡ ἀρχή· «Ὁπόταν μέλλει ἡ σαλευθεῖσα τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τράπεζα καθιδρυθῆναι, πρὸ τῆς θείας λειτουργίας εὐτρεπίζεται παρὰ τῶν ἐπιτηδείως ἐχόντων πρὸς τοῦτο ἡ κηρομα(στί)χ(η) μετὰ τετριμμένου μαρμάρου ἐν χύτρᾳ καινῇ» κτλ. Πρβλ. Goar Εὐχολόγιον, σ. 490.

22. «Ἀκολουθία τοῦ εὐχελαίου γινομένη ὑπὸ ἑπτὰ ἱερέων». Ἀρχ. «Ποιεῖ εὐλογητόν, τρισάγιον» κτλ., φ. 249β.

23. «Ἀποστολοευαγγέλια εἰς διαφόρους μνήμας ἁγίων καὶ εἰς τὸν σωτῆρα ἡμῶν Χριστόν», φ. 266β.

24. «Εὐχαὶ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Καλλίστου», φ. 271. Goar σ. 648—653.

25. Εὐχαὶ διάφοροι, φ. 275β—279β. α') «Εὐχὴ ἐπὶ θεμέλιον οἰκοδομῆς», β') ἐπὶ οἰκοδομῆς οἴκου, γ') εἰς πλοῖον, δ') εἰς εὐλογίαν οἴκου, ε') ἐπὶ ἀνομβρίας, ϛ') ἐπὶ τῶν μαγαρισάντων καὶ ἐπιστραφέντων, ζ') ἐπὶ κολλύβων ἁγίων, η') εἰς κάμινον ἀσβέστου, θ') εἰς ἅλωνα, ι') ἐπὶ τρύγης κοινῆς, ια') εἰς εὐλογίαν οἴνου, ιβ') «εἰς τὸν ἅγιον ἄγγελον τὸν ὑπὸ Θεοῦ ταχθέντα σκέπειν καὶ διαφυλάττειν ἡμᾶς, ιγ') ἐπὶ λύσεως ἀφορισμοῦ τρεῖς εὐχαί.

26. «Κανὼν εἰς ψυχορραγοῦντας· ποίημα κυροῦ Ἀνδρέου Κρήτης», εἰς ἦχον πλάγιον β'. Ἀρχ. «Δεῦτε συνάχθητε πάντες οἱ εὐσεβῶς ἐν τῷ βίῳ ζήσαντες», φ. 280. — «Εὐχὴ εἰς ψυχὴν κρινομένην», φ. 281β.

27. «Ὁ ἁγιασμὸς τῶν Φώτων», φ. 290.

28. «Τροπάρια ψαλλόμενα τῇ Κυριακῇ πρωὶ μετὰ τὸν Ἄμωμον». Ἀρχ. «Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη», φ. 306β.

29. «Ἀρχὴ τοῦ ὄρθρου», φ. 307.

30. «Ἀρχὴ τοῦ τυπικοῦ. — Ὅτε δὲ οὐ τελοῦμεν ἐννάτην» κτλ., φ. 325.

31. «Ἀρχὴ τῶν ἀποδείπνων», φ. 330.

32. «Εὐχαὶ τοῦ λυχνικοῦ», φ. 342.

33. «Εὐχὴ τῆς κεφαλοκλισίας», φ. 342β.

34. «Εὐχαὶ τοῦ ὄρθρου», φ. 343.

35. «Ἀρχὴ τοῦ μηνολογίου σὺν Θεῷ»· τροπάρια καὶ κοντάκια, φ. 345β.

36. «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον», εἰς ἦχον πλάγιον β'. Ἀρχ. «Πῶς προσέλθω σοι ἁγνή», φ. 347.

37. «Ἕτερος κανὼν εἰς τὸν τίμιον Πρόδρομον, οὗ ἡ ἀκροστιχίς· Ὠδὴν πλέκω σοι εὐκτικὴν» κτλ., φ. 349β.

314. Ψαλτήριον ἐκ χάρτου, γραφὲν τῇ ις' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 301, μήκους μὲν 0,216, πλάτους δὲ 0,16· ἔχει δὲ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον καὶ ἐκ γραμμῶν 16 (0,13 × 0,09)· ἔχει δὲ καὶ ἐπιγραφὰς ἐρυθρὰς καὶ γράμματα κεφαλαιώδη πάλιν ἀρκτικὰ μεγάλα καὶ πεποικιλμένα, χρώματος ὡσαύτως ἐρυθροῦ.

315. Ψαλτήριον ἐκ χάρτου στιλπνοῦ, συνιστάμενον ἐκ φύλλων 218, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν ἑκκαίδεκα (0,213 × 0,155 = 0,36 × 0,09)· ἔχει δὲ καὶ τοῦτο γράμματα κεφαλαιώδη πεποικιλμένα, τὰς ἀρχὰς ἐπικοσμοῦντα τῶν ψαλμῶν, καὶ πάλιν ἐπιγραφὰς ἐρυθράς· μετὰ δὲ τὸν ἔσχατον ψαλμὸν (φ. 197β) ὑπάρχουσι τοῦ καλλιγράφου σημειώσεις· οἷον «͵ζρκβ', ͵αχιδ' (1614). Θεοῦ τὸ δῶρον, Ἱερεμίου θύτου πόνος». Εἶτα «τὸ παρὸν Ψαλτήριον ὑπάρχει τῆς λαύρας τοῦ ἁγίου Σάββα» κτλ. Ἐν δὲ τῷ τελευταίῳ φύλλῳ κεῖται τὸ «Ὅπως ὀφείλει στιχολογεῖσθαι τὸ Ψαλτήριον ἐν ὅλῳ τῷ ἐνιαυτῷ»· καὶ μετὰ τοῦτο σιμειώματα δύο· «Θεοῦ τὸ δῶρον, Ἱερεμίου θύτη πόνος».—«† Τὸ παρὸν Ψαλτήριον ὑπάρχει ἐμοῦ Ἰωάσαφ μοναχοῦ· ὅπερ ἐχάρισέ μοι ὁ γέροντάς μου κῦρ Ἱερεμίας ἱερομόναχος· ὅστις δὲ ἄνευ θελήματός μου λήψεται αὐτό, ἐχέτω τὰς ἀρὰς τῶν ἁγίων πατέρων.—͵αχιζ' (1617) ἰανουαρίῳ ιη' ἐκοιμήθη ὁ παπᾶ κῦρ Ἱερεμίας».


316. Ψαλτήριον ἐκ φύλλων χάρτου 206 (0,209 × 0,15 = 0,149 × 0,87), ἔχον ἐν τῷ 200-ῳ φύλλῳ σημείωμα τοῦ καλλιγράφου τοιοῦτον· «Τέλος τῆς βιβλου τῶν ψαλμῶν.—† Ἐγράφη

	Τιμή. Ρ.	Κ.
30-ον τεῦχος. Περιγραφὴ τοῦ τουρκικοῦ κράτους μεταξὺ τῶν ἐτῶν 1670 καὶ 1686, ἐκδιδ. ὑπὸ Π. Α. Σύρκου	3	—
31-ον » Φωτίου Κωνσταντινουπόλεως τὸ περὶ τοῦ τάφου τοῦ Κυρίου ὑπομνημάτιον (867-878) καὶ ἄλλα τινὰ πονημάτια τοῦ αὐτοῦ ἑλληνιστὶ καὶ ἀρμενιστὶ ἐκδιδόμενα ὑπὸ Α. Παπαδοπούλου-Κεραμέως καὶ μετὰ ῥωσσικῶν μεταφράσεων Δεστούνη καὶ Μάρου	5	—
32-ον » Παύλου τοῦ Ἑλλαδικοῦ καὶ Κυρίλλου Σκυθοπολίτου, συγγραφέων τῆς ς' ἑκατ., βίοι τοῦ ὁσίου Θεογνίου ἐπισκόπου Βητυλίου, ἐκδιδ. μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσιστὶ ὑπὸ Γ. Σ. Δεστούνη	1	—
33-ον » Βίος καὶ περιήγησις εἰς Ἱερουσαλὴμ καὶ Αἴγυπτον τοῦ ἐκ Καζανίου Βασιλείου Ἰακ. Γαγάρου (1634-1637) μετὰ ἐπιστολῆς περὶ αὐτοῦ τοῦ Ἀλεξανδρείας πατριάρχου Γερασίμου. Ἐκδιδ. Σ. Ο. Δόλγοβ	2	—
34-ον » Μαρτύριον τῶν ἁγίων 60 νέων μαρτύρων, ἐκδιδόμενον μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσιστὶ ὑπὸ Γ. Δεστούνη	—	50
35-ον » Παϊσίου Ἁγιαποστολίτου ἱστορία τοῦ ὄρους Σινᾶ καὶ τῶν περιχώρων αὐτοῦ (1577-1592), ἐκδ. μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσιστὶ ὑπὸ Γ. Δεστούνη	3	50
36-ον » Ἔφρασις ὁδοιπορίας τοῦ πατρὸς Ἰγνατίου κατὰ τὴν Βασιλεύουσαν τὸν Ἄθωνα τὴν Ἁγίαν Γῆν καὶ τὴν Αἴγυπτον (1766-1776), ἐκδιδ. ὑπὸ Β. Ν Χιτροβοῦ	—	50
Λογοδοσίαι τοῦ ὀρθοδόξου Παλαιστινοῦ συλλόγου:		
1882—1883	1	50
1883—1884 ἐξηντλήθη	1	10
1884—1885	1	—
1885—1886 μετὰ τοπογραφικοῦ χάρτου τῆς Ἱερουσαλὴμ	4	—
1886—1887	1	50
1887—1888	1	70
1888—1890	5	—
Ἀνακοινώσεις τοῦ αὐτοκρατορικοῦ Παλαιστινοῦ συλλόγου:		
1-ος τόμος, φεβρουάριος 1886 μέχρι δεκεμβρίου 1887	3	50
2-ος » σεπτέμβριος 1890 » φεβρουαρίου 1891	5	50
Παράρτημα τούτου	1	—
3-ος » ἔτος 1892	5	50
Παράρτημα τούτου	—	50
4-ος » ἔτους 1893	6	—
Βίος καὶ ὁδοιπορικὸν Δανιὴλ ἡγουμένου Ῥώσσου, μετὰ 12 σχεδίων καὶ 5 χαρτῶν. 1106-1107 ἔτος. Ἄδετον 8 ῥούβλια. Δεδεμένον	10	—
Περιηγήσεις Βασιλείου Γρηγορίου τοῦ Βάρσκη. 4 τόμοι μετὰ 145 εἰκόνων καὶ σχεδίων. Ἄδετοι 25 ῥούβλια. Δεδεμένοι	33	—
Ἱεροσολυμιτικὴ Βιβλιοθήκη ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Τόμος 1-ος καὶ 2-ος μετὰ 29 φωτοτυπιῶν	30	—
Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Τόμ. I καὶ II	20	—
Παλαιστίνη καὶ Σινά:		
1-ον τεῦχος. Βιβλιογραφικὸς κατάλογος τῶν ῥωσσιστὶ ἐκδεδομένων βιβλίων περί τε τῶν Ἁγίων Τόπων καὶ τῆς Ἀνατολῆς ὑπὸ Β. Ν. Χιτροβοῦ	1	—
2-ον » Περιγραφὴ ἀρχαίων καὶ μεσαιωνικῶν νομισμάτων, δωρηθέντων εἰς τὸν ὀρθόδοξον Παλαιστινὸν Σύλλογον, ὑπὸ Ι. Β. Πομιάλοβσκη	—	65
Πατερικὸν Παλαιστίνης. 1-ον τεῦχος βίος τοῦ ὁσίου Σάβα τοῦ ἡγιασμένου μετὰ εἰκόνων	—	40
2-ον » βίος τοῦ ἁγίου Εὐθυμίου τοῦ μεγάλου	—	20
3-ον » βίος τοῦ ὁσίου Ἰωάννου τοῦ ἡσυχαστοῦ	—	10
4-ον » βίος τοῦ ὁσίου Ἱλαρίωνος τοῦ μεγάλου	—	15
Ὁ ναὸς τῆς Ἀναστάσεως τοῦ Χριστοῦ. 12 πίνακες	3	—
Ἡ Βηθλεὲμ καὶ τὰ πέριξ αὐτῆς. 12 πίνακες	3	—

Διὰ τὰ μέλη τοῦ Συλλόγου γίνεται ἔκπτωσις 20%, διὰ τοὺς βιβλιοπώλας 30% καὶ διὰ τὰς φιλολογικὰς ἑταιρίας καὶ τὰ ἐκπαιδευτικὰ καθιδρύματα καὶ τὰς δημοσίας βιβλιοθήκας 50%.

Ἡ ἀποθήκη τῶν ἐκδόσεων κεῖται ἐν τῷ Γραφείῳ τοῦ Συλλόγου, εἰς Πετρούπολιν, κατὰ τὴν προκυμαίαν Μόϊκας, παρὰ τὴν Κυανῆν Γέφυραν, Ἀριθ. 91, καταχίας ἀριθ. 16.

Αἱ πωλήσεις τῶν ἐκδόσεων τῆς Ἑταιρίας ἐκτὸς τῆς Ῥωσσίας γίνονται διὰ τοῦ ἐν Λειψίᾳ βιβλιοπώλου αὐτῆς Otto Harrassowitch. Allemagne Leipzig, Querstrasse 14.


Бл҃гвитъ тѧ̀ Гдь
ѿ Сїѡ́на, и҆ оу҆зриши
бл҃га́ѧ Ї҆ерл҇има

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ



ἐκδοθεῖσα μὲν ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

συνταχθεῖσα δὲ ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

ΤΟΜΟΣ Β'

II

II, 2

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

1894

ΕΚΔΟΣΕΙΣ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ.

			Τιμή.	
Ὀρθόδοξος Παλαιστινὴ Συναγωγή:			Ρ.	Κ.
1-ον	τεῦχος.	Ἡ ὀρθοδοξία ἐν τῇ ἁγίᾳ Γῇ ὑπὸ Β. Ν. Χιτροβοῦ	2	—
2-ον	»	Ὁδοιπορικὸν Βορδιγάλλων ἔτει 333, ῥωσσιστὶ μεταφρασθὲν καὶ σχολιασθὲν ὑπὸ Β. Ν. Χιτροβοῦ	1	—
3-ον	»	Βίος καὶ ὁδοιπορικὸν τοῦ Ῥώσσου ἡγουμένου Δανιὴλ (1106-1107), ἐκδ. ὑπὸ Μ. Α. Βενοβιτίνοβ. Μέρος I.	2	50
4-ον	»	Ὁδοιπορία εἰς Σινᾶ ἔτει 1881 ὑπὸ Α. Β. Ἐλισσαίεβ	2	—
5-ον	»	Περίοδος τοῦ ἁγίου Σάβα ἀρχιεπισκόπου Σερβίας (1225-1237), ἐκδιδ. ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου	1	—
6-ον	»	Περιήγησις τοῦ ἐμπόρου Βασιλείου (1465-1466) ἐκδοθεῖσα ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου	—	30
	»	Ἀνασκαφαὶ ἐν τῷ ῥωσσικῷ χώρῳ τῷ παρὰ τὸν ναὸν τῆς Ἀναστάσεως ἐν Ἱεροσολύμοις (1883) μετὰ εἰκόνων χαρτῶν καὶ δύο παραρτημάτων, ὑπὸ Ἀντωνίνου ἀρχιμανδρίτου	6	50
8-ον	»	Διήγησις Δανιὴλ μητροπολίτου Ἐφέσου καὶ περίοδος τῶν Ἁγίων Τόπων, ἐκδ. ὑπὸ Γαβριὴλ Σ. Δεστούνη	1	60
9-ον	»	Βίος καὶ ὁδοιπορικὸν τοῦ ἡγουμένου Δανιήλ. Μέρος II μετ' εἰκόνων καὶ σχεδίων. Ἐξηντλήθη	5	50
10-ον	»	Παλαιὰ Γεωργιανὰ μνημεῖα ἐν Παλαιστίνῃ καὶ Σινᾷ, μετὰ πινάκων καὶ εἰκόνων ὑπὸ Α. Τζαγαρέλη	4	50
11-ον	»	Διήγησις Ἐπιφανίου περὶ τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐν αὐτῇ τόπων: σύγγραμμα ἑλληνικὸν τῆς θ' ἑκατ. ἐκδοθέν, ῥωσσιστὶ μεταφρασθὲν καὶ διερμηνευθὲν ὑπὸ Βασιλείου Βασίλιεβσκη	6	50
12-ον	»	Περιήγησις Ἰγνατίου τοῦ ἐκ Σμόλνης (1389-1405), ἐκδ. ὑπὸ Σ. Β. Ἀρσένιεβ	1	—
13-ον	»	Τὸ ἐν Ἱερουσαλὴμ Ἱερὸν τῆς Παλαιᾶς Διαθήκης μετὰ εἰκόνων καὶ πινάκων ὑπὸ Α. Α. Ὀλεσνίτζκη	16	—
14-ον	»	Σερβικὴ περιγραφὴ τῶν Ἁγίων Τόπων περὶ τὸ μέσον τῆς ιζ' ἑκατ., ἐκδ. ὑπὸ Α. Β. Στογιάνοβιτζ	—	50
15-ον	»	Διήγησις Ἐπιφανίου μοναχοῦ περὶ τῆς πρὸς Ἱεροσόλυμα ὁδοιπορίας αὐτοῦ (1415-1417), ἐκδ. ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου	—	25
16-ον	»	Τρεῖς συμβολαὶ εἰς τὰς περὶ Παλαιστίνης ῥωσσικὰς γνώσεις, ἐκδ. ὑπὸ Λεωνίδου ἀρχιμανδρίτου	1	—
17-ον	»	Νικολάου ἐπισκόπου Μεθώνης καὶ Θεοδώρου τοῦ Προδρόμου, συγγραφέως τῆς ιβ' ἑκατ., βίοι Μελετίου τοῦ νέου ἐκδιδ. τὸ πρῶτον ὑπὸ Βασιλείου Βασίλιεβσκη μετὰ προλόγου καὶ ῥωσσικῆς μεταφράσεως	4	—
18-ον	»	Ὁδοιπορικὸν τοῦ ἐμπόρου Βασιλείου Παζνιακόβου (1558-1561), ἐκδ. Χρ. Λόπαρεβ	2	—
19-ον	»	Οἱ Ἀνσάριοι ὑπὸ Κ. Δ. Πέτκοβιτζ	—	75
20-ον	»	**Peregrinatio ad Loca Sancta saeculi IV exeuntis edita rossice versa, notis illustrata ab Joh. Pomialowsky**	5	—
21-ον	»	Προσκυνητάριον Ἀρσενίου Σουχάνοβ (1649-1653) μετὰ εἰκόνων καὶ σχεδιογραφιῶν, ἐκδ. ὑπὸ Μ. Ἰβανόβσκη	6	50
22-ον	»	Ἐκδρομαὶ κατὰ τὴν Παλαιστίνην μετὰ τῶν μαθητῶν τοῦ ἐν Ναζαρὲτ οἰκοτροφείου τῶν ἀρρένων, ὑπὸ Α. Ι. Γιακούποβιτζ	2	—
23-ον	»	Ἰωάννου τοῦ Φωκᾶ ἔκφρασις ἐν συνόψει τῶν ἀπ' Ἀντιοχείας μέχρις Ἱεροσολύμων κάστρων καὶ χωρῶν Συρίας Φοινίκης καὶ τῶν κατὰ Παλαιστίνην ἁγίων τόπων. Σύγγραμμα ἑλληνικὸν τῆς ιβ' ἑκατ. ἐκδοθὲν καὶ ῥωσσιστὶ μεταφρασθὲν ὑπὸ Ἰωάννου Τρόϊτσκι	1	25
24-ον	»	Περιήγησις Ζωσιμᾶ μοναχοῦ (1419-1422) ἐκδ. ὑπὸ Χρ. Μ. Λόπαρεβ	1	25
25-ον	»	Οἱ ἐν Παλαιστίνῃ ἑλώδεις πυρετοὶ ὑπὸ Δ. Θ. Ῥεσσετίλλου	3	—
26-ον	»	Ἀνωνύμου περιγραφὴ τῶν Ἁγίων Τόπων περὶ τὰ τέλη τῆς ιδ' ἑκατ., ἐκδιδομένη νῦν τὸ πρῶτον μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσικὴ μετάφρασις ὑπὸ Γ. Σ. Δεστούνη	—	75
27-ον	»	Περιήγησις Τρύφωνος Καραβέϊνικοβ (1593-1596), ἐκδ. ὑπὸ Χρ. Μ. Λόπαρεβ.	3	—
28-ον	»	**Theodosius. De situ Terrae Sanctae liber saeculo VI ineunde conscriptus. Recensionem J. Gildemeisteri repetivit, versionem rossicam notasque adiecit J. Pomialowsky**	2	—
29-ον	»	Ἔκφρασις διὰ στίχων πρωτονοταρίου τῆς Ἐφέσου, τοῦ Περδίκου, περὶ τῶν ἐν Ἱεροσολύμοις Κυριακῶν θαυμάτων καὶ θεαμάτων. Ποιημάτιον τῆς ιδ' ἑκατ., ἐκδ. μετὰ προλόγου ὑπὸ Α. Παπαδοπούλου Κεραμέως. Ῥωσσιστὶ ὑπὸ Γ. Σ. Δεστούνη	—	75

ἐπὶ ἔτους» [sic]· καὶ μετὰ τοῦτο μονοκονδυλίαν, ἐν ᾗ διαβλέπω τὸ ὄνομα «Νεώφυτος»· μετὰ δὲ ταύτην ἀναγινώσκεται σημείωμα νεώτατον· «Τὸ παρὸν τὸ ἀφιέρωσα εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα τοῦ ἡγιασμένου. Θεοφάνης ἐλάχιστος τῶν ἱερομονάχων». Κατόπιν ὑπάρχουσιν ὕμνοι τριαδικοὶ κατ' ἦχον μετὰ τῶν φωταγωγικῶν καὶ τροπάριά τινα νεκρώσιμα, λεγόμενα Παρασκευῇ ἑσπέρας (φ. 201—206), καὶ πάλιν τὸ «Ἐγράφ(η) ἐπὶ ἔτους ͵ζσιβ'» (1703—1704)· πρὸ δὲ τούτου γέγραπται μονοκονδυλία δυσανάγνωστος ἴσως. Ὑπάρχει δὲ αὐτόθι καὶ σημείωμα τοιοῦτον· «Τὸ παρὸν εἶναι τοῦ Θεοφάνους Ἁγιοταφίτου ἐκ πατρίδος Ῥόδου, ἀλλ' ὅμως εἶναι καὶ τοῦ Ἁγίου Τάφου, ὅταν τὸ ἀφήσω».

317. Ψαλτήριον μετὰ τῶν ἀκολουθιῶν ἑσπερινοῦ τε καὶ ὄρθρου, γραφὲν ὡς ἔοικε περὶ τὴν πεντεκαιδεκάτην ἑκατονταετηρίδα· συνίσταται δ' ἐκ φύλλων χάρτου 150, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 23 (0,205×0,145=0,155×0,09).

318. Ψαλτήριον ἐκ φύλλων χάρτου 115, περιέχον ἐν τῇ ἀρχῇ στίχους εἰς τὸν Δαυὶδ λα', ἀποτελοῦντας ποιημάτια δ', ὧν τὸ πρῶτον ἄρχεται ὧδε· «Ἄκουε Δαυὶδ τοῦ παρ' ἡμῖν Ὀρφέως» κτλ. Ἐν δὲ τῷ τελευταίῳ φύλλῳ ὑπάρχουσι «στιχηρὰ αὐτόμελα συνοπτικὰ κατ' ἦχον»· ὑπάρχουσι δὲ καὶ σημειώσεις τοῦ καλλιγράφου δύο ἐν τῷ 113-ῳ φύλλῳ· α') «† Ἐγράφη ἐν τῇ ἁγία καὶ περιβοήτω βασιλεικῇ ἁγία λαύρα τοῦ οσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, τοῦ ἐν τῇ ἐρήμω, εἰς κελλίον πλησίον τοῦ αγίου Γεωργίου, διάχειρὸς χαμοῦ Μελετίου θύτου καὶ Σαββαΐτου ὁ ἐκ Χίου τε τῆς νήσου· ἔτος τὸ ἀπὸ Ἀδὰμ ͵ζρλδ'» (1627—1628).—β') «† Ἀφιερῶθη ἡ παροῦσα βίβλος τοῦ μακαρίου Δαυὶδ εἰς τὴν ἁγίαν λαύραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, τοῦ ἐν τῇ ἐρήμῳ τῆς Παλαιστίνης, διὰ ὑπηρεσίαν τοῦ θείου ἐκεῖ ναοῦ καὶ τῶν ἁγίων ἱερομονάχων καὶ ἀδελφῶν, εἰς μνημόσυνον τῆς ταλαιπώρου μου ψυχῆς κτλ. ὁμοίως καὶ εἰς τοὺς Ἀρχαγγέλους ἐν τῇ αγια πόλει Ἱερουσαλήμ. Μελέτιος ἱερομόναχος ἐκ Χίου, Σαββαΐτης». Εἶτα· «͵αψ' (1700) εὐγάλθη ἐξ αὐτῆς», ὅ ἐστιν ἐδανείσθη που

τὸ βιβλίον. Σημειωτέον ἔτι, ὅτι τὸ ψαλτήριον ἐκόσμησεν ὁ Μελέτιος μεγάλοις γράμμασιν ἀρχτικοῖς καί τισιν εἰκόσιν ἀπεικαζούσαις ἐνίας ὑποθέσεις ᾠδῶν τε καὶ ψαλμῶν· ἔστι δὲ τὰ ῥηθέντα γράμματα κεφαλαιώδη μέν, πεποιημένα δὲ πτηνῶν ἀνθρώπων καὶ ζῴων εἰκόσιν.

319. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1477-ῳ καὶ συνιστάμενον ἐκ φύλλων ἠριθμημένων υμζ' (447)· ἡ ἀρίθμησις ὅμως ἐστὶν ἐσφαλμένη· φύλλον γὰρ ἓν ἀναρίθμητον ἀπέμεινε (τὸ μετὰ τὸ 68-ον φύλλον)· καὶ πάλιν ὁ ἀριθμὸς ρλα' δὶς ὑπάρχει· ἀπὸ δὲ τοῦ ρνθ' φύλλου μετεπήδησεν ὁ καλλιγράφος εἰς ἀριθμὸν σ'· ἀλλὰ καὶ ἀπὸ τοῦ ἀριθμοῦ υζ' μετεπήδησεν εἰς τὸν υια'· ὥστε τὰ φύλλα πάντα τοῦ κώδικός ἐστι 404. Ἔστι δὲ τὸ τεῦχος μήκους μὲν 0,18, πλάτους δὲ 0,15. Περιεχόμενα·

1. Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλίαι τριάκοντα περὶ τῆς Μωσαϊκῆς Γενέσεως, ὧν τὸ τέλος ἔχει τὸ σημείωμα τοῦτο· «† Τῶ ἔχοντι καὶ γράψαντι, Χριστέ μου, σῶσον. Ἐτελειώθ(η) τὸ παρὸν βιβλίον εξαήμερος διαχειρὸς εμοῦ αμαρτωλοῦ Γερασίμου ἱερομονάχου τάχα καὶ π(νευματ)ικοῦ. ἔτος ,ςϠπε' ἰνδικτιῶνος ι', ☉ κύκλος ιγ', ☾ κύκλος ιβ' θεμέλια ιε': ἐν μηνὶ απριλ(ίω) ι'· ημέρα ε' τῆς λαμπρᾶς ♃ ζ'.·. δόξα σοι ὁ Θ(εὸ)ς ἡμῶν δόξα σοι:—καὶ αναγινόσκοντες ευχεσθαί μοι διατὸν Κ(ύριο)ν .·. καὶ πολλάκις ανεσφαλα ας ἔχο συγνόμην καὶ συγχώρησιν».

2. Σωφρονίου Ἱεροσολύμων, βίος τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας. Ἀρχ. «Μυστήριον βασιλέως», φ. υια'. [Ἐν τῷ κρασπέδῳ τοῦ υλβ' φύλλου κεῖται σημείωμα τοῦ ιζ' αἰῶνος· «Ἐγῶ Ἰωακεὶμ ἁμαρτωλὸς ὑπάρχ(ει) τὸ παρὸν ἀναγνωστικόν»].

3. Ἀνδρέου Κρήτης ἀρχιεπισκόπου, «ἐγκώμιον εἰς τὴν παγκόσμιον ὕψωσιν τοῦ σταυροῦ». Ἀρχ. «Σταυροῦ πανήγυριν», φ. υλγ'.

320. Τεῦχος ἐκ χάρτου (0,22 × 0,16), σελίδας ἔχον ἠριθμημένας 286· περιέχει δὲ λόγους ἐκκλησιαστικοὺς ἀδήλου συγγραφέως, ὧν ὁ πρῶτος ἄρχεται ὧδε· «Καθὼς ἕνας ἄριστος καὶ ἔμπειρος ἰατρὸς» κτλ. Ἐγράφη δὲ τὸ τεῦχος περὶ τὸ τέλος τῆς ιζ' ἑκατ.

321. Καλλινίκου πατριάρχου Κωνσταντινουπόλεως «ἑρμηνεία πῶς χρεωστεῖ ὁ ἱερεὺς καὶ ὁ διάκονος νὰ ὑπηρετῶσιν εἰς τὴν ἁγίαν ἐκκλησίαν» καὶ «διδασκαλία περὶ ἐξομολογήσεως κατ' ἐρωταπόκρισιν». Βιβλιάριον ἐξ 81 φύλλων γραφὲν περὶ τὸ τέλος τῆς ιη' ἑκατ. καὶ μήκους μὲν ὑπάρχον 0,226, πλάτους δὲ 0,165.

322. Τόμος δεύτερος τῶν συγγραμμάτων Ἀθανασίου τοῦ μεγάλου (ἀριθ. 273), ἔχων εἰς τὸ τέλος αὐτοῦ τὸ σημείωμα τοῦτο· «Εἴληφε τέλος ἡ παροῦσα βίβλος τοῦ Βου τόμου τοῦ ἁγίου καὶ μεγάλου Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας ἐπὶ ἔτους ͵αψγ' (1703) διὰ χειρὸς κἀμοῦ Κυρίλλου ἱερομονάχου τοῦ Ἁγίου Τάφου, διὰ πόνου πολλοῦ καὶ δαπάνης· καὶ οἱ ἀναγινώσκοντες εἴ τι σφαλερὸν εὕρητε ἐπιδιορθώσαντες σύγγνωταί(-έ) μοι· ἀνθρώπινον γὰρ πάθος τὸ ἁμαρτάνειν. Ἐγράφη δὲ ἔνδον τοῦ πατριαρχείου τοῦ Ἁγίου Κωνσταντίνου, μαρτίῳ ιη'.—Τοῦ α' καὶ β' τόμου εἰσὶ ἅπαντα τὰ εὑρισκόμενα τοῦ ἁγίου καὶ μεγάλου Ἀθανασίου· τὸ πρωτότυπον εἶχε πάμπολλα λατίνα καὶ δὲν ἠξεύρω ἐὰν ἦτον παράνω». Ἔχει δὲ ὁ τόμος οὗτος 248 φύλλα.

323. Τεῦχος ἀκέφαλον ἐκ χάρτου, γραφὲν τῇ ιζ' ἑκατ. καὶ συνιστάμενον ἐξ 86 φύλλων, μήκους μὲν 0,219, πλάτους δὲ 0,159.

1. «Ἕτερος κανὼν εἰς τοὺς ἁγίους Ἀσωμάτους· ἦχος δ'». Ἀρχ. «Ἀμέσως τὰ Χερουβὶμ μετέχοντα», φ. 3. — «Στιχηρὰ ἦχος δ'», ὧν ἡ ἀρχή· «Πρῶτοι κατοπτεύετε τῆς τριάδος», φ. 6β.

2. «Ἕτερος κανὼν εἰς τοὺς τιμίους Ἀσωμάτους· ἦχος πλάγιος α'». Ἀρχ. «Πρώτη καὶ πρεσβυτάτη ἀμέσως», φ. 7β. — «Στιχηρὰ ἦχος πλάγιος α'», ὧν ἡ ἀρχή· «Τάξεις τὰς οὐρανίους σαφῶς», φ. 11.

3. «Ἕτερος κανὼν εἰς τοὺς ἁγίους Ἀσωμάτους· ἦχος πλάγιος β'». Ἀρχ. «Ἀναλλοιώτῳ ἱδρύσει», φ. 12.—Στιχηρὰ τοῦ αὐτοῦ ἤχου, ὧν ἡ ἀρχή· «Θεὸς ὁ παντέλειος», φ. 15.

4. Ἕτερος κανὼν εἰς τοὺς αὐτοὺς καὶ στιχηρά τινα κατ' ἦχον βαρύν. Ἀρχ. «Πνεύματα τοὺς ἀγγέλους», φ. 16.

5. Ἰωσὴφ τοῦ ὑμνῳδοῦ κανὼν εἰς τοὺς τιμίους Ἀσωμάτους, οὗ ἡ ἀρχή· «Θρόνῳ τῷ θείῳ παρεστῶτες», φ. 20. Ἦχος πλ. δ'.

6. «Μην(ὶ) σεπτευρίῳ ς′ θαῦμα τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐν ταῖς Χώναις». Λόγος ἐγκωμιαστικὸς ἀνώνυμος, οὗ ἡ ἀρχή· «Καὶ τὸ περὶ τῶν ἄλλων ἁγίων», φ. 26. Fabric. X, σ. 199.

7. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος, οὗ ἡ ἀρχή· «Πολλὴν ὁρῶ τὴν σπουδήν», φ. 39.

8. Φύλλα 25 γεγραμμένα τῇ ις′ ἑκατ. «διὰ συνδρομῆς σπουδῆς τε καὶ πολλοῦ πόθου Ναθαναὴλ ἁμαρτωλοῦ». «Μιχαὴλ μοναχοῦ ἐγκώμιον εἰς τοὺς ταξιάρχας τῶν ἀγγέλων Μιχαὴλ τε καὶ Γαβριὴλ», οὗ ἡ ἀρχή· «Τὸ στόμα (μου) ἤνοιξα καὶ εἵλκυσα», φ. 62. Fabrici X, σ. 199.

324. Τεῦχος ἐκ χάρτου, συνιστάμενον ἐκ φύλλων 141, μήκους μὲν 0,218, πλάτους δὲ 0,158. Γράφιμον Ἰωήλ.

1. Ἀκέφαλος ἀκολουθία ψαλλομένη τῇ 5-ῃ τοῦ μηνὸς ἰανουαρίου· ἄρχεται δὲ ἀπὸ τῶν λέξεων τούτων· «ὅθεν καὶ συνάναρχος τῷ πατρὶ πεφανέρωσαι· πνεῦμα δὲ τὸ ἅγιον ἐπὶ σὲ κατήρχετο» κτλ., φ. 1.

2. «Ἀρχὴ τῆς ἀκολουθίας τῶν ὡρῶν τῶν ἁγίων Θεοφανείων». Ἀρχ. «Δεῖ γινώσκειν ὅτι ἐὰν τύχῃ ἐν Σαββάτῳ ἢ ἐν Κυριακῇ», φ. 10β. Ἐν τῷ κρασπέδῳ τοῦ φ. 18β· «τοῦ ‚ζπα ἔτους ἰνδ. α′ αὔγουστος ια′» [1573]. Καὶ ἐν φύλλῳ 35β· «τοῦ ‚ζπα ἔτους ἰνδ. α′, κατὰ μῆναν αὔγουστον ιη′, ἡμέρα γ′ ἔγραφα ὧδε».

3. Ἀκολουθία τῶν ἁγίων Θεοφανείων, ἧς ἡ ἀρχή· «Μηνὶ τῷ αὐτῷ ς′ τὰ ἅγια Θεοφάνεια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἑσπέρας εἰς τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους η′. Στιχηρὰ ἰδιόμελα· ἦχος β′. Ἰωάννου μοναχοῦ. Τὸν φωτισμὸν ἡμῶν» κτλ., φ. 45β. Ἐν τῷ κρασπέδῳ τοῦ φ. 46β «εἰς τ(ὴν) κα′ τοῦ αὐγούστου ἔγραφα ἐνθάδε τοῦ ‚ζπα′ ἰνδ. α′» — «Ἀπὸ τοῦ νομίμου τοῦ ἁγίου Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας κανὼν ζ′· προσφώνησις τῶν ἁγίων Θεοφανείων ἐπιστάντων ἐν Κυριακῇ», φ. 66.—«Ἐκ τῶν ἐρωτήσεων τινῶν ἱερέων πρὸς Τιμόθεον ἀρχιεπίσκοπον Ἀλεξανδρείας· ἐρώτησις εἰς τὴν αὐτὴν ἑορτήν», φ. 66β. — «Ἀπόκρισις Τιμοθέου», φ. 67. — «Τοῦ ἱερομονάχου Νείλου περὶ τῆς παραμονῆς τῶν Φώτων, εἰ τύχῃ ἐν Σαββάτῳ ἢ

ἐν Κυριακῇ, ἐρωτηθεὶς παρά τινων ἱερέων»· τρία τεμάχη, φ. 67.— «Τοῦ μακαριωτάτου μητροπολίτου κυροῦ Μάρκου Ἐφέσου περὶ τῆς ἑορτῆς τῶν Φώτων, ἤτοι τῶν δώδεκα ἡμερῶν», φ. 68.— «Ἐκ τῶν ἀποκρίσεων Ἰωάννου ἐπισκόπου Κίτρους πρὸς τὸν ἱερώτατον ἐπίσκοπον Δυρραχίου τὸν Καββάσιλαν», φ. 68β.—Στιχηρὰ Κοσμᾶ μοναχοῦ, Ἰωάννου μοναχοῦ, Ἀνατολίου καὶ Θεοφάνους εἰς τὰ Φῶτα, φ. 68β.—«Μεγαλυνάρια ψαλλόμενα εἰς τὰ ἅγια Θεοφάνεια», φ. 74β. Αὐτόθι· «ἐν μηνὶ σεπτ. ι', ἡμέρα ε', ὥρα ὡσεὶ ϛ'· ἀρχὴ τοῦ ,ζπβ' ἰνδ. β' ἕως ἄρτι ἔγραφα ὧδε» [1573].— «Στιχηρὰ ἰδιόμελα· ἦχος α'· Γερμανοῦ πατριάρχου». Ἀρχ. «Φῶς ἐκ φωτὸς ἔλαμψε τῷ κόσμῳ», φ. 76β.—Δύο δοξαστικὰ Ἀνατολίου, φ. 77.—Ἀκολουθία τῆς ἁγίας συνάξεως Ἰωάννου τοῦ Προδρόμου, φ. 79. Ἐν τῷ φ. 89β· «† Ἐτελειώθη ἡ παροῦσα ἀκολουθία τῶν Φώτων σὺν τοῦ Προδρόμου κατὰ μῆναν σεπτέβριον ιζ', ἡμέρα ε' τοῦ ,ζπβ' ἔτους ἰνδ. β'».

4. Ἀκολουθία τοῦ ἁγίου Γεωργίου τοῦ Χοζεβίτου, τῆς ὁσίας Δόμνης καὶ τοῦ ὁμολογητοῦ Αἰμιλιανοῦ, φ. 90.

5. Δύο τετράδια (φ. 105-120) γραφέντα διὰ τῆς χειρὸς Ἰωὴλ καὶ περιέχοντα κατὰ σελίδα τρεῖς στήλας κειμένου, ὅ ἐστι τὴν ἀκολουθίαν καὶ τὰ τυπικὰ τῆς 9 μαρτίου, τῶν ἐν Σεβαστείᾳ 40 μαρτύρων· ἐν δὲ τῷ τέλει γέγραπται τοῦτο· «† Ἐτελειώθη τῶν μ' μαρτύρων ἡ ἀκολουθία τῇ ε' τῆς μεσονηστίμου, μαρτίου κθ' τοῦ ,ζογ' ἔτους ἰνδ. η', ὥρα θ' τῆς ἡμέρας» [1565].

6. Φύλλα 121-141 δι' ἄλλης χειρός. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, ἐξήγησις εἰς "Τὴν τιμιωτέραν" πρὸς τὸν ἀπὸ τῆς Ὁδηγητρίας ἱερομόναχον καὶ ἐκκλησιάρχην κύριον Νεόφυτον». Ἀρχ. «Οὔτε σὲ τοῦ θάρρους ἐπαινεῖν ἔχω» κτλ. Ἐκδ. Κυρίλλου Ἀθανασιάδου σ. 130-148.

325. Τεῦχος ἐκ χάρτου, γραφὲν ὑπὸ δύο βιβλιογράφων τῇ ιε' ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐξ 139 φύλλων (0,215 × 0,162 = 0,13 × 0,085).

1. «Ἀκολουθία τῶν ἁγίων Θεοφανείων», ἧς ἡ ἀρχή· «Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα πάντες ἐν τῷ λουτῆρι», φ. 4.

2. «Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ψαλλομένη ὑπὸ ἑπτὰ ἱερέων». Ἀρχ. «Συναχθέντων ἐν τῇ ἐκκλησίᾳ ἢ ἐν οἴκῳ, εὐλογοῦντος τοῦ πρώτου τῶν ἱερέων ἀρχόμεθα» κτλ., φ. 26. Goar, Εὐχολόγιον σ. 332.

3. «Τάξις γινομένη εἰς τὸ φορέσαι τινὰ ῥάσον μόνον καὶ καμηλαύχιον». Ἀρχ. «Μετὰ τὴν ἀπόλυσιν τῶν ὡρῶν εἰσφέρουσιν τὸν μελλοκουρίτην καὶ ἱστῶσιν αὐτὸν μέσον τοῦ ναοῦ», φ. 79β. Goar σ. 379.

4. «Τάξις καὶ ἀκολουθία μικροῦ σχήματος, ἤτοι τοῦ μανδύου». Ἀρχ. «Ἀφ' ἑσπέρας εἰσφέρουσι τὰ ἱμάτια», φ. 83. Goar σ. 388.

5. «Τάξις τοῦ θείου καὶ ἀγγελικοῦ μεγάλου σχήματος». Ἀρχ. «Ἀφ' ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια τοῦ μέλλοντος» κτλ., φ. 103-142. Goar σ. 403.

Σημειωτέον ἔτι, ὅτι τὰ τρία πρῶτα φύλλα τοῦ κώδικος καὶ πέντε πάλιν ἕτερα, μετὰ τὸ 142-ον φύλλον ὑπάρχοντα, λείψανον ἀποτελεῖ χαρτίνου τινὸς ἄλλου κώδικος τῆς αὐτῆς ἐποχῆς, ἐν οἷς ὑπάρχουσι γεγραμμένοι στίχοι πολλοὶ τῶν Ἡσιόδου ἔργων καὶ ἡμερῶν (στίχ. 327-499 καὶ 704-788 ἐκδ. Sittl)· τούτου δὲ τοῦ λειψάνου μέμνηται Sittl (Ἡσιόδου τὰ ἅπαντα, Ἀθήνησιν 1889, σ. 388). Ἐν στίχῳ 354 γέγραπται: καὶ δῶμεν — — καὶ μὴ δόμενος ὅς κεν μὴ δῶ. — Στίχ. 471 σπέρμα κὰκ κρύπτων (Sittl σ. 509).—492 μήθ' ἔαρ—495 μέγαν οἶκον ὀφέλει—497 πιέζοις—499 θυμὸν—758 (προὐτέθη τοῦ στίχου 737)—740 κακότητι χεῖρας (Sittl σ. 524)—744 κρατῆρος—750 μὴ δέ ποτ' ἀκινήτοισι.

326. Τεῦχος ἐκ χάρτου τῆς ιε' ἑκατ., συνιστάμενον ἐκ φύλλων 280, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν ὀκτωκαίδεκα· πολλὰ δὲ τῶν φύλλων ἐλλείποντα παλαιόθεν ἀνεπλήρωσεν Ἰωαννίκιος ἔτει 1791-ῳ. Ἐπιγραφή· «Κανόνες ἱκετήριοι εἰς τὴν ὑπεραγίαν δέσποινα(ν) ἡμῶν Θεοτόκον, ψαλλόμενοι κατ' ἦχον καθ' ἑκάστην ἑσπέραν εἰς τὰ ἀπόδειπνα· ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ». Ἀρχ. «Τῷ Σαββάτῳ ἑσπέρας ᾠδὴ α'· ἦχος α': Σοῦ ἡ τροπαιοῦχος δεξιά:—Πάντων καὶ ἀγγέλων καὶ βροτῶν» κτλ.

327. Λειτουργικὸν ἐν διστήλῳ γεγραμμένον ἑλληνιστί τε καὶ ἀραβιστί, περιέχον δὲ πρῶτον μὲν εὐαγγελίων ἀναγνώσματα, εἶτα δὲ τὰς τρεῖς ἱερὰς λειτουργίας, Ἰωάννου τοῦ Χρυσοστόμου Βασιλείου τοῦ μεγάλου καὶ τὴν τῶν προηγιασμένων. Τεῦχος ἐκ χάρτου, φύλλα συναριθμοῦν 129, μήκους μὲν 0,216, πλάτους δὲ 0,154· καὶ ἐν μὲν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου γέγραπται τοῦτο· «† Τοῦ αγίου καὶ ζωόδώχου Τάφου: εἶναι ὑ παροῦσα θεία καὶ ἱερὰ λειτουργία: — ,αω χω μω» [1640]· ἐν δὲ τῷ ἐσχάτῳ φύλλῳ γράμμασι μὲν ἐρυθροῖς ἔγραψεν ὁ καλλιγράφος ὧδε· «† Τέλος τῷ Θεῷ δόξα. Μὴν ἰούλιος ιγ′ ἡμέρα δ′ ὥρα ϛ′. ,ζρλγ′ [1625] ἔσωθεν εἰς τὸ καὶ λίον (= κελλίον) τοῦ μεγαλου Γεωργίου εἰς τὴν μρόπωλὴν τοῦ Βερουτοίου σάτε πατρούνι»· μέλασι δὲ γράμμασιν ὁ πατριάρχης Ἱεροσολύμων Θεοφάνης ἔγραψεν, ὅτι «ἡ παροῦσα θεία λειτουργία ἀφιερώθη εἰς τὸν Ἅγιον Κωνσταντῖνον καὶ Ἑλένην, εἰς τὸ πατριαρχεῖον τῶν Ἱεροσολύμων».

328. Ὁμιλίαι κατ' ἐκλογὴν ἐκ τῶν Ἰωάννου τοῦ Χρυσοστόμου, μέρος ἀποτελοῦσαι τεύχους ἐφθαρμένου· αἵτινες ἄρχονται νῦν ἀπὸ τοῦ 255-ου φύλλου· διήκει δὲ ἡ τῶν λοιπῶν φύλλων ἀρίθμησις ἄχρις ἀριθμοῦ 569-ου· κατὰ δέ τινα σημείωσιν (φ. 566α) ἐγράφη τὸ τεῦχος ἐν τῷ Ἁγίῳ Τάφῳ διὰ χειρὸς Μακαρίου ἱερομονάχου τοῦ Κρητός (12 νοεμβρίου 1655), προσθέντος ἐν αὐτῷ καὶ τροπάρια τινὰ διὰ τοὺς ἁγίους Ἰωάσαφ καὶ Ἀβενήρ (φ. 566β—568α).

329. Τεῦχος ἐκ χάρτου τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, ἐκ φύλλων 397, ὧν ἕκαστον ἔχει μονόστηλον κατὰ σελίδα κείμενον, ἀριθμοῦν 16 γραμμάς (0,212 × 0,149 = 0,145 × 0,09). Παραφράσεις: 1) «Λόγος εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ πῶς εὗρεν αὐτὸν ἡ μακαρία Ἑλένη ἡ βασίλισσα». Ἀρχ. «Μετὰ τριακοσίους χρόνους τοῦ πάθους», φ. α′.—2) Βίος καὶ πολιτεία Φιλαρέτου τοῦ ἐλεήμονος. Ἀρχ. «Βίον ἀρεστὸν τοῦ Θεοῦ καὶ ζωήν», φ. ιϛ′.—3) Λόγος εἰς τὴν ἀνακομιδὴν τῆς δεξιᾶς χειρὸς Ἰωάννου τοῦ Προδρόμου. Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἡμῖν», φ. να′. — 4) Βίος Ἰωάννου τοῦ Καλυβίτου, οὗ ἡ ἀρχή·

«Βίου καλοῦ καὶ ἀμολύντου», φ. ξγ'. — 5) Βίος καὶ πολιτεία Ξενοφῶντος τοῦ συγκλητικοῦ. Ἀρχ. «Διηγήσατό τις ἅγιος γέροντας μέγας», φ. πγ'. — 6) Βίος καὶ πολιτεία Μαρίας τῆς μετονομασθείσης Μαρῖνος. Ἀρχ. «Εἰς τὸν καιρὸν ἐκεῖνον ἦτόν τις ἄνθρωπος», φ. ρη'.—7) «Λόγος κατ' ἐπιτομὴν διαλαμβάνων περὶ τῆς πρώτης καὶ δευτέρας καὶ περὶ τῆς τρίτης εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου». Ἀρχ. «Πάλιν εἰς ἡμᾶς ἀδελφοί», φ. ριζ'.—8) Βίος Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Ἀρχ. «Ἐν ταῖς ἡμέραις τῆς βασιλείας», φ. ρλγ'.—9) Μακαρίου τοῦ Αἰγυπτίου «διήγησις ὠφέλιμος περὶ μνημοσύνων καὶ περὶ ἄλλων ὠφελίμων». Ἀρχ. «Πορευόμενος ποτέ τις», φ. ρν'. — 10) «Λόγος ἁπλὸς καὶ ὠφέλιμος κατὰ πολλὰ περὶ τοῦ ἀπέχεσθαι τοῦ ἔργου τῆς ἁγίας Κυριακῆς καὶ τῶν μεγάλων ἁγίων ἑορτῶν, καὶ ὅτι οἱ ἐργαζόμενοι ἐν τῇ ἁγίᾳ Κυριακῇ διπλὴν ὑποστήσονται τὴν ζημίαν, καὶ κατὰ μεθυόντων καὶ χορευόντων». Ἀρχ. «Πᾶσαν νύκτα καὶ καθ' ἑκάστην ἡμέραν», φ. ρξγ'. — 11) «Περὶ τοῦ πότε καὶ διὰ ποίαν αἰτίαν ἔκοψαν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ τὴν χεῖρα, καὶ πῶς ἡ ὑπεραγία Θεοτόκος πάλιν τὴν ἐκόλλησεν εἰς τὸν τόπον αὐτῆς». Ἀρχ. «Ὁπόταν ἦτον βασιλεὺς», φ. ροδ'. — 12) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ τῆς καταβάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἀδελφοί, ἀνάγκη εἶναι σήμερον», φ. ρπη'. — 13) «Λόγοι ὠφέλιμοι εἰς πάντα εὐσεβῆ χριστιανόν, ἁπλοῖ καὶ διδακτικοί, ἐπονομαζόμενοι δεκάλογος, καὶ πρέπει πάντα χριστιανὸν νὰ τοὺς ἀναγνώσῃ καθ' ἑκάστην ἡμέραν· ἔχει δὲ ταῦτα· πίναξ». Ἀρχ. «Δέκα παραγγελίαις εἶναι», φ. ρϟε'. — 14) Τεμάχη Πατερικοῦ, φ. σκγ'.—15) «Περὶ τοῦ σφάζοντος τὸ παιδίον αὐτοῦ διὰ τὸν φίλον», φ. σλα'.—16) «Περὶ τοῦ εὑρόντος τὸν λίθον διὰ τῆς ἐλεημοσύνης», φ. σλς'.—17) «Ἕτερον παρόμοιον ὅπως γέγονε χριστιανὸς ὁ ἀνὴρ γυναικός τινος», φ. σλη'. — 18) «Διήγησις ὠφέλιμος ἐκ τῆς βίβλου τῆς καλουμένης Μέλισσας, φρικτὴ καὶ παράδοξος, περὶ ἀναξίων ἱερέων», φ. σμα'. — 19) «Ἑτέρα διήγησις ὠφέλιμος εἰς τὴν αὐτὴν ὑπόθεσιν», φ. σνδ'.—20) Μαρτύριον τῶν ἁγίων Εὐστρατίου Αὐξεντίου Εὐγενίου Μαρδαρίου καὶ

Σελ. 457.

Κώδ. Σαβαϊτικός 332, έτους 1427, φ. 212β-213α.

Дозволено цензурою 15 Января 1892 г. С. П. Б. фототипія Н. Индутнаго. Сергіевская ул., №20.

Ὀρέστου. ... ἐξηγεῖται τοὺς ... φ. ...
21) Μαρτύριον ... Παντελεήμονος, οὗ ἡ ἀρχή· «...
ταί καὶ αἱ ... τῆς ἐκκλησίας μας», φ. τιγ'.—22) ...
τοῦ ἀδελφοῦ ἐν ... αἱ πίθηκες». ...
φὰς ἐν Θηβαΐδι ... 23) «Π...
παντος γενέσθαι ... , φ. τιτ ...
ρέτων γυναικῶν». ... 25) «Π...
... εἰς ... διὰ
φ. τιγ'.

330. Βασιλ... ἐξηγ...
... ἐπιστολάριον ... 2...
ρων ἀγράφων, ἀποσχ... γραμμένη ...
δος· τῇ δὲ 20-ῃ Ἰουνίου ... 2-ου ἔτους ...
Γρηγόριος ἱερεύς.

331. Τεῦχος ... ἐκ... συνιστάμενον ἐκ φύλ-
λων 425, ὧν τὸ κείμενον ... μονόστηλον ἐπὶ ...
μὲν 0,212, πλάτους δὲ ... ἐς τοῦ ...
ρυπογραφημένον καὶ δύο ... Σῦρ...
κεῖται τοῦτο· «Π...ξεις καὶ ... ἁγίων ...
ραίων ἀποστόλων ... καὶ ... ἐν Ῥώμῃ ...
θησαν ἐπὶ Νέρωνος ... ἐγένετο ...
... τὸν ἅγιον Παῦλον ... εἰ,
τὸ γενέσιον τῆς ὑπεραγίας ...
τῶν δώδεκα φυλῶν κτλ.

332. Τεῦχος ἐκ χάρτου γρ...
δ' ἐκ φύλλων 235, ὧν τὸ κε...
στηλον καὶ ἐκ γραμμῶν 22. ...
τεσκευάσθη σπουδῇ τε | καὶ ἀνα...
ρωτ(άτ)ου μ(ητ)ροπολίτου καὶ καθηγου...
τῶν Ὀδηγῶν. | ἐτελειώθη δὲ ... τοῦ ...
ἰνδικτιῶνος ιε'». (Ὅρα τὸν ...

1. Βασιλείου Καισαρείας ... ἑξαήμερον (φ.
150), ὧν ἡ πρώτη ... δόξων τῷ

Ὀρέστου. Ἀρχ. «Ὅταν διηγεῖται τινὰς ἀδελφοί», φ. σξδ'. — 21) Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος, οὗ ἡ ἀρχή· «Αἱ ἑορταὶ καὶ αἱ πανηγύρεις τῆς ἐκκλησίας μας», φ. τλγ'.—22) «Περὶ τοῦ ἀδελφοῦ ἐν ᾧ ἐφάνησαν οἱ πίθηκες». Ἀρχ. «Ἦν τις ἀδελφὸς ἐν Θηβαΐδι», φ. τπ'. — 23) «Περὶ τοῦ μοναχοῦ τοῦ αἰτήσαντος γενέσθαι ὡς τὸν Ἰσαάκ», φ. τπς'.—24) «Περὶ τῶν δύο ἐναρέτων γυναικῶν», φ. τϟα'. — 25) «Περὶ τῆς Μαρίας τῆς καταποντισθείσης εἰς τὸ πέλαγος διὰ τὴν παρανομίαν αὐτῆς», φ. τϟγ.'

330. Βασιλείου Καισαρείας ἑξαήμερον καὶ Θεοφίλου Κορυδαλλέως ἐπιστολάριον. Τεῦχος ἐκ 289 φύλλων καὶ πολλῶν ἑτέρων ἀγράφων, ἀποσχηματισθὲν ἀρχομένης τῆς ιη' ἑκατονταετηρίδος· τῇ δὲ 20-ῇ ἰουνίου τοῦ 1752-ου ἔτους εἶχεν αὐτὸ κτῆμα Γρηγόριος ἱερεύς.

331. Τεῦχος ἐκ χάρτου τῆς ιη' ἑκατ., συνιστάμενον ἐκ φύλλων 425, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον· ἔστι δὲ μήκους μὲν 0,212, πλάτους δὲ 0,155. Λόγοι τινὲς τοῦ Χρυσοστόμου παραπεφρασμένοι, καὶ δύο πάλιν Ἐφραὶμ τοῦ Σύρου· ἐν δὲ τῇ ἀρχῇ κεῖται τοῦτο· «Πράξεις καὶ τελείωσις τῶν ἁγίων καὶ πρωτοκορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου καὶ πῶς ἐν Ῥώμῃ ἐτελειώθησαν ἐπὶ Νέρωνος τοῦ βασιλέως». Ἀρχ. «Ἐγένετο μετὰ τὸ ἐξελθεῖν τὸν ἅγιον Παῦλον» κτλ.—Φύλλ. 129 «Ἱστορία Ἰακώβου εἰς τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν» κτλ.

332. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1427-ῳ· συνίσταται δ' ἐκ φύλλων 235, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 22. Ἐν φ. 212$^{\beta}$ «† Ἥδε ἡ βίβλος κατεσκευάσθη, σπουδῇ τε | καὶ ἀναλώμασι, Καλλίστου τοῦ πανιε | ρωτ(ά)τ(ου) μροπολίτου καὶ καθηγουμένου | τῆς σεβασμίας μονῆς τῶν Ὁδηγῶν. | ἐτελειώθη δέ, μηνὶ ἰουνίῳ τοῦ ,ςου | ϡου λε' ἔτους, ἰνδικτιῶνος ιε'» (Ὅρα τὸν ἀπέναντι φωτοτυπικὸν πίνακα).

1. Βασιλείου Καισαρείας ὁμιλίαι θ' εἰς τὴν ἑξαήμερον (φ. 1-150), ὧν ἡ πρώτη κολοβή· ἄρχεται γὰρ αὕτη τῶν λέξεων τού-

των· «ταῦτα δέ ἐστιν ἀρχὴ καὶ μέσα καὶ τελευτή». Migne τ. 29, σ. 160.

2. Τοῦ αὐτοῦ περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς λόγος, οὗ ἡ ἀρχή· «Παλαιοῦ χρέους ἔκτισιν ἀποπληρώσων ἥκω», φ. 151 (Migne τ. 30, σ. 9 κέ). Ἔχει δ' ἐν ταῖς ᾤαις ὁ λόγος οὗτος πολλὰ σχόλια, ὧν τινα Γρηγορίου τοῦ Νύσσης ἐστίν.

3. Τοῦ αὐτοῦ περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως λόγος, οὗ ἡ ἀρχή· «Ὁ μὲν σοφὸς Σολομὼν» κτλ. φ. 117. Ἐλλείπει τὸ τέλος. Migne τ. 30, σ. 37.

4. Τοῦ αὐτοῦ «εἰς τὰ κατὰ τὸν Κάιν ἑπτὰ ἐκδικούμενα». Ἀρχ. «Καὶ ἄλλως ἡδέως ὁρῶν τοὺς ἀγαθοὺς παῖδας», φ. 181. Migne τ. 32, σ. 953.

5. Τοῦ αὐτοῦ «πρὸς τοὺς ἐπισκόπους τῆς Δύσεως» ἐπιστολή, ἧς ἡ ἀρχή· «Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός», φ. 191. Migne τ. 32, σ. 904.

6. Τοῦ αὐτοῦ «περὶ παρθενίας ἐκ μέρους καὶ περὶ ἀσκήσεως». Ἀρχ. «Ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ ἐγένετο», φ. 196β.

7. Τοῦ αὐτοῦ «πρὸς Σιμπλικίαν συγκλητικήν, κατὰ εὐνούχων δούλων αὐτῆς». Ἀρχ. «Ἀβουλήτως οἱ ἄνθρωποι», φ. 206. Migne τ. 32, σ. 529.

8. «Ἰουλιανοῦ τοῦ παραβάτου ἐπιστολὴ πρὸς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν τὸν μέγαν Βασίλειον». Ἀρχ. «Τὸ ἔμφυτόν μοι ἐκ παιδός», φ. 207. Migne 32, σ. 341. Ἐκδ. Hertlein II, σ. 596.

9. Βασιλείου «ἐπιστολὴ πρὸς Ἰουλιανὸν τὸν παραβάτην», ἧς ἡ ἀρχή· «Ἀνέγνως οὐκ ἔγνως», φ. 208β.

10. (Τοῦ αὐτοῦ λόγος) εἰς τὸ «Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ζ'». Ἀρχ. «Σοφίαν μὲν λέγει τὸν ἐνυπόστατον τοῦ Θεοῦ μονογενῆ Λόγον», φ. 210β.

11. «Περὶ τῆς τοῦ Ναοῦ οἰκοδομῆς». Ἀρχ. «Ἐγένετο μετὰ τὸ ἀποθανεῖν Δαβὶδ τὸν μέγαν βασιλέα», φ. 213. Ἀντεγράφη.

12. «Θαῦμα τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου, συντεθὲν ὡς ἐν συνόψει». Ἀρχ. «Ἐπὶ τῆς βασιλείας τοῦ θειοτάτου», φ. 230 κέ. Ἐγένετο δὲ τὸ θαῦμα (ἔτει 1426-ῳ) ἐν

Κ/πόλει, ἐν τῇ μονῇ Θεοτόκου τῆς Ὁδηγητρίας. Τὸ κείμενον τοῦτο ποιεῖται μνείαν καὶ τόπου λεγομένου τότε «Τὰ ἁγιάσματα· ἐν ᾧ τόπῳ ὑπῆρχε ποτὲ ναὸς τῆς ἁγίας Ἀναστασίας· νῦν δέ ἐστι παντελῶς ἀφανής». Ἀντεγράφη.

333. Τεῦχος ἐκ χάρτου, συνιστάμενον ἐκ φύλλων 166· ὅπερ ἐγράφη τῇ ιδ' ἑκατονταετηρίδι· ἔστι δὲ μήκους μὲν 0,23, πλάτους δὲ 0,15. Ἐν δὲ τῷ κρασπέδῳ τοῦ 151-ου φύλλου κεῖται σημείωμα τοῦ ις' πιθανῶς αἰῶνος, ἐξ οὗ μανθάνομεν ὅτι τὸ τεῦχος ἦν διοικητοῦ τινος καὶ ὑπομνηματογράφου τῆς μητροπόλεως Μυτιλήνης.

1. Συναξαριστὴς ἐπίτομος ἀκέφαλος (φ. 1-151), ἐμπεριέχων τὸ πρῶτον ἑξάμηνον· ἄρχεται δὲ τῶν λέξεων τούτων (ιζ' σεπτ)· «εἶδον οἱ φύλακες, ἐξέστησαν, καὶ δραμόντες ἀπήγγειλαν τῷ Σιμπλικίῳ» κτλ.

2. Γρηγορίου τοῦ Θεολόγου, λόγος «εἰς τοὺς ἁγίους ἑπτὰ παῖδας τοὺς Μακκαβαίους». Ἀρχ. «Τί δαὶ οἱ Μακκαβαῖοι», φ. 151^{β}.

3. «Τοῦ αὐτοῦ εἰς Γρηγόριον τὸν ἀδελφὸν Βασιλείου, ἐπιστάντα μετὰ τὴν χειροτονίαν». Ἀρχ. «Φίλου πιστοῦ», φ. 162^{β}. Ἐλλείπει τὸ τέλος.

334. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, φύλλα συναριθμοῦν 126· ὧν τὸ κείμενον κατὰ σελίδα πᾶσαν ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν 31 ($0{,}227 \times 0{,}17 = 0{,}185 \times 0{,}12$).—«Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης, πρὸς τὴν ἁγίαν πόλιν μετενεχθεῖσα διὰ Ἰωάννου μοναχοῦ, ἀνδρὸς τιμίου καὶ ἐναρέτου, μονῆς τοῦ ἁγίου Σάβα· ἐν ᾗ ὁ βίος Βαρλαὰμ καὶ Ἰωάσαφ τῶν ἀοιδίμων καὶ μακαρίων πατέρων». Ἀρχ. «Ὅσοι πνεύματι Θεοῦ ἄγονται» κτλ.—Φ. 126^{β} «† Τοῦ ,ςω^{ου}μδ^{ου} ἔτους ἤδη κατ(—)νοντος [1336] ἐγράφη τὸ παρὸν βιβλίον.—† Σὺ βίβλε μακάριζε τὸν γράψαντά σε, | πλὴν οὐ δι' αὐτῆς, οὐδὲ γὰρ σθένος ἔχεις: | ἀλλὰ δι' ἀνδρῶν εὐμαθῶν φιλεμπόνων, | τῶν ἰδίαις σε κατεχόντων παλάμαις:— | † Ἐτελειώθη δὲ διὰ χειρὸς ἐμοῦ ἁμαρτωλοῦ Ἰω(άννου) τοῦ ἐπιλεγομένου Χούμνου, τοῦ ἀπὸ τὴν Κωνσταντινούπολιν» [Ὅρα K. Krumbacher, Gesch. der by-

zantinischen Litteratur, σ. 201]. Σημειώματα τοῦ ιδ' αἰῶνος· «† Τοῦτον το βιβλειον ενε του ανοθε χυροῦ Γλειμ(πίδου)».— «Ὠνησάμην τὸ παρὸν βιβλίον ὃ χαλεῖται Βαρλαὰμ ἀπὸ τὸν Ἰωάννην τὸν ἀπὸ τὴν Κωνσταντινούπολιν. † Λυμπίδιος τοῦ πρωτοπαπᾶ».— «Ὠνησάμην τὸ παρὸν βιβλίον, ὃ χαλεῖται Βαρλαὰμ απὸ τον ἱερο(μόν)αχ(ον) Νΐλον, εἰς τὴν ἐγχρονίαν τοῦ Χριστοῦ υδ'» [1404].

335. Τεῦχος ἐκ χάρτου, φύλλα περιέχον ἐξ ἀρχῆς ἠριθμημένα 353· τούτων δὲ τὰ τρία προτελευταῖα παρέλαβε Πορφύριος ὁ Οὐσπένσκης (ἀριθ. 410. Отчетъ Императорской Пубд. Бибд. за 1883 г., σ. 146). Κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 20 (0,22×0,155=0,152×0,095).—Φύλλ. 1α «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου». Ἀρχ. «Ἐφραὶμ ὁ θαυμάσιος ἔφυ μὲν ἐκ τῆς Σύρων γῆς» κτλ.—Φύλλ. 11α «Ἀρχὴ τοῦ πρώτου βιβλίου τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραίμ. Ἐπιστολὴ πρὸς Ἰωάννην μονάζοντα περὶ ὑπομονῆς καὶ τοῦ μὴ ἀπατᾶσθαι τοῖς λογισμοῖς προφάσει δικαιωμάτων». Ἀρχ. «Πολλὰ παραινέσαντες» κτλ.—φ. 353α «† Χειρὶ γραφῆσα Μαξίμου τάχα καὶ ἱερομονάχου, | ἀναξίου τε καὶ ἐλαχίστου πάντων: | ὅτ' ἂν ἐν ταύτῃ παρακαλῶ ὦ φίλοι | ἐντυγχάνεται μέμνησθέ μου τοῦ τάλα, | ἵνα τὴν λύσιν ἁμαρτιῶν κομίσω: | καὶ εὕρω χάριν ἐνώπιον Κυρίου † ἐν τῇ ἡ|μέρα τῇ φοβερᾷ ἐκείνῃ † | Θεῷ τῷ δόξα ἀμὴν εἰς τοὺς αἰῶνας· ἐτελει|ώθη τὸν ἀπρίλλιον μῆνα:—Δόξα τῷ Θεῷ πάντων ἕνεκα ἀμήν:—ἔτους ,ζρδ'» [1596].

336. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1586-ῳ διὰ χειρὸς Σουλιμὰν υἱοῦ Ἀττάλα τοῦ διδασκάλου, υἱοῦ Σουλιμάν, υἱοῦ Νασράλλα-ἰλ-Χούρη. Τὸ σημείωμα τοῦ καλλιγράφου τούτου γέγραπται δι' ἀραβικῶν στοιχείων (φ. 270)· λέγει δ' ἐν αὐτῷ Σουλιμὰν ὅτι τὸ βιβλίον ἐτελείωσεν ἡμέρᾳ Σαββάτῳ, τῇ 14 ἰανουαρίου, ἔτους 7094-ου. Φύλλα 275, κείμενον ἔχοντα κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 24 (0,216×0,155=0,156×0,86).

1. Θεοδώρου τοῦ Στουδίτου «κατηχήσεις παραινετικαί», ὧν ἡ πρώτη περὶ τοῦ «ὅτι χρὴ διαλύειν ὅλον τὸν βίον ἡμῶν ἐναγωνίως». Φ. 202β «τέλος τῶν μικρῶν κατηχήσεων».

2. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου κατηχήσεις διδασκαλικαὶ ἐν μνήμαις ἁγίων καὶ δεσποτικαῖς ἑορταῖς καὶ καιρῶν ἐναλλαγαῖς, ἀρχόμεναι ἀπὸ μηνὸς μαΐου κγ', μνήμης τοῦ ἁγιωτάτου Μιχαὴλ μητροπολίτου Συνάδων», φ. 203.

3. Βασιλείου Καισαρείας «κεφαλαιωδῶς τῶν κατὰ πλάτος αὐτοῦ ὅρων σύνταξις μερική, ἀπὸ τῶν ἀσκητικῶν αὐτοῦ δηλονότι λόγων ὁ πρόλογος», οὗ ἡ ἀρχή· «Ὁ ἀσκητικὸς βίος ἕνα σκοπὸν ἔχει» κτλ., φ. 251β.

4. «Τοῦ αὐτοῦ λόγος παραινετικὸς πρὸς μονάζοντα», οὗ ἡ ἀρχή· «Ἀκρασίαν βρωμάτων περικόπτει νηστεία», φ. 267.

4. «Τοῦ Κλίμακος ἐκ τοῦ περὶ διακρίσεως λόγου ἀνθολογία μερική», ἧς ἡ ἀρχή· «Διάκρισίς ἐστιν ἐν τοῖς μὲν εἰσαγωγικοῖς» κτλ., φ. 269β.

337. Γρηγορίου τοῦ Θεολόγου, λόγοι ιϛ', ὧν ὁ πρῶτος ἐλέχθη «εἰς τὸ πάσχα καὶ εἰς τὴν βραδυτῆτα». Φύλλα χάρτου 278, μήκους μὲν 0,218, πλάτους δὲ 0,155· κείμενον κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 23, ὧν ὁ χῶρός ἐστιν ὡς 0,14 × 0,095. Δύο φύλλα τοῦ κώδικος τούτου, ἅπερ ἦν ἐξ ἀρχῆς μετὰ τὸ νῦν 3-ον φύλλον, ἀπέκοψε Πορφύριος ὁ Οὐσπένσκης (ἀριθ. 412. Отчетъ Импер. Публич. Библ. за 1883 г., с. 147). — Φ. 278β «† Κυρίλλου τλήμονος καὶ ἀμαθοὺς γραφέως. | ἔξυσα δὲ τὴν παροῦσαν γὰρ βίβλον· εὔχεσθαι | ὦ μέροποι, τὴν ταπεινήν μου ἦτορ· ὅσοι ἀνα|γνώσηται, ἐντὸς γὰρ δὲ τῆς βίβλου· καὶ | ἐν σφαλμάτοις τύχωσιν, ὀρθώσατε ἐν | τάχει· ὅτι ἀμαθής εἰμι, τοῦ ξύει(ν) καὶ | τοῦ λέγειν· εὔσπλαγνε μακρόθυμε | ἐλέησόν με· | ἔτους γὰρ δὲ τρέχοντος ‚ζλα^ω^.·. | σεπτεβρίω, ἰν(δικτιῶν)ος ια' | ἡμέρα Παρασκευῇ. | Ἐν Βερνικώβῃ, πλησίον πόλεως | Ναυπάκτου» (1522).

338. Τεῦχος τῆς ιϛ' ἑκατ., συνιστάμενον ἐκ φύλλων χάρτου 339, μήκους μὲν 0,215, πλάτους δὲ 0,15. Τρεῖς γραφικοὶ χαρακτῆρες (φ. γ'-σμζ', σν'-σϡ' καὶ τιϛ'-τλθ', σϡα'-τιε'). Πανηγυρικὸν ἐμπεριέχον τὰ κείμενα ταῦτα· 1) Ὑπόμνημα περὶ τῶν ἐν καμίνῳ τριῶν παίδων Ἀνανίου Ἀζαρίου καὶ Μισαὴλ καὶ περὶ Δανιὴλ τοῦ προφήτου. Ἀρχ. «Ἄρτι Ναβουχοδονόσορ ὁ βασι-

λεύς», φ. γ'. — 2) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸ μὴ πλησιάζειν θεάτροις», οὗ ἡ ἀρχή· «Πολλοὺς οἶμαι τῶν πρώην», φ. λ'.—3) Τοῦ αὐτοῦ «λόγος εἰς τὸν μακάριον Φιλογόνιον», οὗ ἡ ἀρχή· «Ἐγὼ μὲν καὶ σήμερον», φ. νζ'.—4) Ἀνδρέου Κρήτης ἐγκώμιον εἰς τὸ γενέσιον τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν», φ. οε' — 5) Τοῦ αὐτοῦ λόγος εἰς τὴν γενέθλιον ἡμέραν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἄλλοι μὲν ἄλλας ἑορτῶν», φ. πδ'. — 6) «Ἱστορία Ἰακώβου εἰς τὸ γενέσιον τῆς Πα(να)γίας». Ἀρχ. «Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν», φ. ϟη'.—7) Ἀνδρέου Κρήτης λόγος εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ. Ἀρχ. «Σταυροῦ πανήγυριν ἄγομεν», φ. ρια'. — 8) Τοῦ αὐτοῦ λόγος εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ, οὗ ἡ ἀρχή· «Κινήσωμεν ἀγαπητοὶ σήμερον», φ. ρκ'.—9) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος ἐγκωμιαστικὸς εἰς τὸν σταυρὸν καὶ εἰς τοὺς ἁγίους ἀποστόλους». Ἀρχ. «Τί εἴπω ἢ τί λαλήσω», φ. ρκϛ'.—10) «Παντολέοντος πρεσβυτέρου μονῆς τῶν Βυζαντίων εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Πάλιν ὑψοῦται σταυρός», φ. ρλγ'.—11) Ταρασίου Κωνσταντινουπόλεως λόγος εἰς τὰ εἰσόδια τῆς Θεοτόκου. Ἀρχ. «Φαιδρὰ καὶ πανέορτος», φ. ρλζ'. — 12) Γερμανοῦ Κωνσταντινουπόλεως λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου. Ἀρχ. «Ἄλλο Χριστοῦ τοῦτο μυστήριον», φ. ρνγ'. — 13) Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου. Ἀρχ. «Μὴ ἀγνοεῖτε τὸ πνεῦμα», φ. ρξζ'.—14) Ἰωάννου Κωνσταντινουπόλεως λόγος εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ. Ἀρχ. «Ἐπέστη σήμερον ἡ πάντων χαρά», φ. ρογ'.—15) Ἰωάννου Κωνσταντινουπόλεως λόγος ἕτερος εἰς τὸν Εὐαγγελισμόν, οὗ ἡ ἀρχή· «Τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη», φ. ρπη'.—16) Ἕτερος τοῦ αὐτοῦ, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια», φ. ρϟϛ'. — 17) Ἕτερος τοῦ αὐτοῦ πανηγυρικός, οὗ ἡ ἀρχή· «Ἀγαπητοί, βασιλικῶν μυστηρίων», φ. σα'.—18) «Λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς θεοπρεποῦς γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς

συνέδραμε τελευτῆς· προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος χριστιανοῖς τεθησαύρισται». Ἀρχ. «Ἐχρῆν ἀληθῶς τὴν παρθένον», φ. σῃ'. Μετὰ δὲ τὸ τέλος τοῦ λόγου τούτου γέγραπται τὸ ὑπόμνημα τόδε (φ. σμζ')· «† Ἐγῶ παπᾶ κῦρ Ἰωάννης Καρπαθιώτης ἔγραψα τὰ ἄνωθεν γεγραμμένα, καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαί μοι διὰ τὸν Κύριον διὰ τῶν πο(λ)λῶν μου σφαλμάτων· καὶ ἀφιερώθην εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα». — 19) Βασιλείου Καισαρείας λόγος εἰς τὴν Χριστοῦ γέννησιν, φ. σν'. — 20) Τοῦ αὐτοῦ λόγος εἰς τὸ ἅγιον βάπτισμα, φ. σξζ'.—21) Τοῦ αὐτοῦ λόγος περὶ τῆς ἁγίας τριάδος, οὗ ἡ ἀρχή· «Ὁ βαπτιζόμενος εἰς τριάδα», φ. σπε'.—22) «Ἰωάννου μοναχοῦ Ἱεροσολύμων ἐπιστολὴ πρὸς Κωνσταντῖνον τὸν κατὰ συγχώρησιν Θεοῦ βασιλεύσαντα, περὶ τῶν ἁγίων εἰκόνων». Ἀρχ. «Πιστεύω εἰς ἕνα Θεόν», φ. σϟα' — 23) Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὰ ἅγια Θεοφάνεια, οὗ ἡ ἀρχή· «Ἡ πηγὴ τῶν εὐαγγελικῶν», φ. τις'.—24) Τοῦ αὐτοῦ λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, φ. τκβ'—25) Ἐφραὶμ τοῦ Σύρου λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, φ. τκθ'.

339. Ἀνθολόγιον ἀκολουθιῶν ἐκ τῶν μηναίων δεκεμβρίου καὶ ἰανουαρίου (φ. 4-304) καὶ «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ἐρωτημάτων τοῦ κῦρ Μανουὴλ Μοσχοπούλου» (φ. 305-307 καὶ 1-3). Τεῦχος ἐκ χάρτου τῆς ιε' ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων 307, μήκους 0,216, πλάτους 0,155.

340. Θηκαρᾶς ἀκέφαλος καὶ ἀτελής, ἀριθμῶν ἤδη φύλλα 244· ἐγράφη δὲ τῇ ιδ' ἑκατονταετηρίδι (0,223 × 0,152 = 0,16 × 0,105). Ἀρχ. « — — ποστραφῇ τούτοις καὶ ἑτέροις λόγοις αὐτὸν καταθέλξας καὶ φυλάξαι τοῦτον ὑποσχεθεὶς» κτλ. Ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου· «† Νικάνδρου μοναχοῦ ὑπάρχει ἡ βίβλος αὕτη τοῦ Θυκαρᾶ».

341. Θηκαρᾶς ἐκ χάρτου, γραφεὶς περὶ τὴν ἀρχὴν τῆς ιζ' ἑκατ. καὶ συνιστάμενος ἐκ φύλλων 245, μήκους 0,215, πλάτους 0,158. Ἐν τοῖς κρασπέδοις τοῦ 1-ου φύλλου δύο σημειώματα· «Καὶ τόδε τοῦ Δαμασκηνοῦ μετὰ καὶ τῶν ἄλλων». —

λεύς», φ. γ'. — 2) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸ μὴ πλησιάζειν θεάτροις», οὗ ἡ ἀρχή· «Πολλοὺς οἶμαι τῶν πρώην», φ. λ'.—3) Τοῦ αὐτοῦ «λόγος εἰς τὸν μακάριον Φιλογόνιον», οὗ ἡ ἀρχή· «Ἐγὼ μὲν καὶ σήμερον», φ. νζ'.—4) Ἀνδρέου Κρήτης ἐγκώμιον εἰς τὸ γενέσιον τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν», φ. οε' — 5) Τοῦ αὐτοῦ λόγος εἰς τὴν γενέθλιον ἡμέραν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἄλλοι μὲν ἄλλας ἑορτῶν», φ. πδ'. — 6) «Ἱστορία Ἰακώβου εἰς τὸ γενέσιον τῆς Πα(να)γίας». Ἀρχ. «Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν», φ. ϟη'.—7) Ἀνδρέου Κρήτης λόγος εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ. Ἀρχ. «Σταυροῦ πανήγυριν ἄγομεν», φ. ρια'. — 8) Τοῦ αὐτοῦ λόγος εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ, οὗ ἡ ἀρχή· «Κινήσωμεν ἀγαπητοὶ σήμερον», φ. ρκ'.—9) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος ἐγκωμιαστικὸς εἰς τὸν σταυρὸν καὶ εἰς τοὺς ἁγίους ἀποστόλους». Ἀρχ. «Τί εἴπω ἢ τί λαλήσω», φ. ρκς'.—10) «Παντολέοντος πρεσβυτέρου μονῆς τῶν Βυζαντίων εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Πάλιν ὑψοῦται σταυρός», φ. ρλγ'.—11) Ταρασίου Κωνσταντινουπόλεως λόγος εἰς τὰ εἰσόδια τῆς Θεοτόκου. Ἀρχ. «Φαιδρὰ καὶ πανέορτος», φ. ρλζ'. — 12) Γερμανοῦ Κωνσταντινουπόλεως λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου. Ἀρχ. «Ἄλλο Χριστοῦ τοῦτο μυστήριον», φ. ρνγ'. — 13) Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου. Ἀρχ. «Μὴ ἀγνοεῖτε τὸ πνεῦμα», φ. ρξζ'.—14) Ἰωάννου Κωνσταντινουπόλεως λόγος εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ. Ἀρχ. «Ἐπέστη σήμερον ἡ πάντων χαρά», φ. ρογ'.—15) Ἰωάννου Κωνσταντινουπόλεως λόγος ἕτερος εἰς τὸν Εὐαγγελισμόν, οὗ ἡ ἀρχή· «Τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη», φ. ρπη'.—16) Ἕτερος τοῦ αὐτοῦ, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια», φ. ρϟς'. — 17) Ἕτερος τοῦ αὐτοῦ πανηγυρικός, οὗ ἡ ἀρχή· «Ἀγαπητοί, βασιλικῶν μυστηρίων», φ. σα'.—18) «Λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς θεοπρεποῦς γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς

συνέδραμε τελευτῆς· προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος χριστιανοῖς τεθησαύρισται». Ἀρχ. «Ἐχρῆν ἀληθῶς τὴν παρθένον», φ. ση'. Μετὰ δὲ τὸ τέλος τοῦ λόγου τούτου γέγραπται τὸ ὑπόμνημα τόδε (φ. σμζ')· «† Ἐγῶ παπᾶ κῦρ Ἰωάννης Καρπαθιώτης ἔγραψα τὰ ἄνωθεν γεγραμμένα, καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαί μοι διὰ τὸν Κύριον διὰ τῶν πο(λ)λῶν μου σφαλμάτων· καὶ ἀφιερώθην εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα». — 19) Βασιλείου Καισαρείας λόγος εἰς τὴν Χριστοῦ γέννησιν, φ. σν'. — 20) Τοῦ αὐτοῦ λόγος εἰς τὸ ἅγιον βάπτισμα, φ. σξζ'.—21) Τοῦ αὐτοῦ λόγος περὶ τῆς ἁγίας τριάδος, οὗ ἡ ἀρχή· «Ὁ βαπτιζόμενος εἰς τριάδα», φ. σπε'.—22) «Ἰωάννου μοναχοῦ Ἱεροσολύμων ἐπιστολὴ πρὸς Κωνσταντῖνον τὸν κατὰ συγχώρησιν Θεοῦ βασιλεύσαντα, περὶ τῶν ἁγίων εἰκόνων». Ἀρχ. «Πιστεύω εἰς ἕνα Θεόν», φ. σϞα' — 23) Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὰ ἅγια Θεοφάνεια, οὗ ἡ ἀρχή· «Ἡ πηγὴ τῶν εὐαγγελικῶν», φ. τις'.—24) Τοῦ αὐτοῦ λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, φ. τκβ'—25) Ἐφραὶμ τοῦ Σύρου λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου, φ. τκθ'.

339. Ἀνθολόγιον ἀκολουθιῶν ἐκ τῶν μηναίων δεκεμβρίου καὶ ἰανουαρίου (φ. 4-304) καὶ «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ἐρωτημάτων τοῦ κῦρ Μανουὴλ Μοσχοπούλου» (φ. 305-307 καὶ 1-3). Τεῦχος ἐκ χάρτου τῆς ιε' ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων 307, μήκους 0,216, πλάτους 0,155.

340. Θηκαρᾶς ἀκέφαλος καὶ ἀτελής, ἀριθμῶν ἤδη φύλλα 244· ἐγράφη δὲ τῇ ιδ' ἑκατονταετηρίδι (0,223 × 0,152 = 0,16 × 0,105). Ἀρχ. « — — ποστραφῇ τούτοις καὶ ἑτέροις λόγοις αὐτὸν καταθέλξας καὶ φυλάξαι τοῦτον ὑποσχεθεὶς» κτλ. Ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου· «† Νικάνδρου μοναχοῦ ὑπάρχει ἡ βίβλος αὕτη τοῦ Θυκαρᾶ».

341. Θηκαρᾶς ἐκ χάρτου, γραφεὶς περὶ τὴν ἀρχὴν τῆς ιζ' ἑκατ. καὶ συνιστάμενος ἐκ φύλλων 245, μήκους 0,215, πλάτους 0,158. Ἐν τοῖς κρασπέδοις τοῦ 1-ου φύλλου δύο σημειώματα· «Καὶ τόδε τοῦ Δαμασκηνοῦ μετὰ καὶ τῶν ἄλλων». —

«† Δαμασκηνοῦ, ἱερομονάχου· καὶ ὁ παρὸν Θηκαρᾶς καὶ εἴ τις τὸν ἀποξενώσει ἀπὸ τὴν θείαν ταύτην λαύραν τοῦ ἁγίου Σάβα κτλ. ͵αχλε'» = 1635. — Φ. 1 «Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ μεσονυκτικόν· λέγεται δὲ εἰς τὴν ἀρχὴν μετὰ τὸ εἰπεῖν τὸ τρισάγιον· ἐκ τῶν δογματικῶν τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ». — Φ. 202^β «Διήγησις Θεοδούλου μοναχοῦ· ἀρχὴ περὶ τῶν θείων ὕμνων, ὅπως τὸ κατ' ἀρχὰς παρὰ τοῦ Θηκαρᾶ συνετάχθησαν». — Φ. 242 «Κατήχησις περὶ τῆς ἀσκητικῆς ἀκολουθίας».

342. Θηκαρᾶς ἐκ χάρτου, γραφεὶς ὑπερμεσοῦντος τοῦ ις' αἰῶνος καὶ συνιστάμενος ἐκ φύλλων 265, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 19 (0,22 × 0,16 = 0,153 × 0,108)· ἦν δ' ἐξ ἀρχῆς ἀπόκτημα τῆς μονῆς Ἀρχαγγέλου τῆς ἐν Ἱερουσαλὴμ καὶ εἶτα τῆς λαύρας τοῦ ὁσίου Σάβα (φ. 5^α καὶ 265^α). — Φ. 1^α «Μητροφάνους ὕμνοι πρὸς τὸ θεῖον ἐρωτικοί». — Φ. 1^β «Ἑρμηνεία πῶς δεῖ καὶ ὅθεν δεῖ μεταγράφειν τοὺς ὕμνους καὶ ὅτι οὐ δεῖ ἀφιέναι τι ἀπὸ τῆς ὅλης ἀκολουθίας ταύτης, καὶ πότε δεῖ λέγειν τὴν ἀσκητικὴν τῆς ἡμέρας ἀκολουθίαν, καὶ πῶς δεῖ λέγειν τοὺς ὕμνους· ἔστι δὲ αὕτη ἡ ἑρμηνεία ὡς πίναξ τοῦ παρόντος βιβλίου». — Φ. 229 «Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων, πῶς θεόθεν δεδώρηνται καὶ ὅτι χρὴ τοὺς αἱρουμένους λέγειν αὐτοὺς τηρεῖν ἑαυτοὺς ἀπὸ τῶν παθῶν· εἶτα καὶ μαρτυρίαι ἀπὸ τῶν ἁγίων διδασκάλων καὶ περὶ τῆς πρὸς Θεὸν αἰνέσεως καὶ περὶ τῆς πρὸς αὐτῶν εὐχαριστίας καὶ περὶ ἀρετῆς καὶ κακίας». Ἀρχ. «Ὅσοι ποθοῦσι λέγειν τοὺς παρόντας ὕμνους» κτλ.

343. Θηκαρᾶς ἐνεπίτομος ἐκ φύλλων χάρτου 98, γραφεὶς τῇ ιζ' ἑκατ. Ἔστι δὲ μήκους 0,223, πλάτους 0,145. Γραμμαὶ κατὰ σελίδα πεντεκαίδεκα (0,143 × 0,09). Ἐπιγραφή· «Εὐχαὶ Θηκαρᾶ μοναχοῦ καὶ τοῦ Ἐφραίμ».

344. Θεοτοκάριον ἐκ χάρτου, γραφὲν τῇ ιη' ἑκατ. καὶ σελίδας ἀριθμοῦν 303· ἔστι δὲ μήκους μὲν 0,22, πλάτους δὲ 0,178. Ἔνδον τῆς πρώτης πινακίδος· «ΙΩΝΑΣ ΜΟΝΑΧΟΣ ΤΣΕΣΜΕ-

ΛΗΣ 1810». Ἐν ἀρχῇ τῆς βίβλου φύλλα πρόσθετα ὀκτὼ καὶ δεκα, ἐν οἷς ὑπάρχουσι, πλὴν ἄλλων τινῶν, καὶ στίχοι πρὸς τὴν Θεοτόκον καὶ εὐχαὶ καὶ τεμάχη Γεροντικοῦ καὶ «Διάλογος, ἐν ᾧ εἰσάγεται ὁ ἁμαρτωλὸς τῇ Θεοτόκῳ διαλεγόμενος», καὶ ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ· μετὰ δὲ ταῦτα ὑπάρχει τὸ κύριον βιβλίον, ἔχον ἐν μὲν τῇ ἀρχῇ κόσμημα χρυσοῦν καὶ ποικιλόχρουν, ἐν αὐτῷ δὲ τῷ σώματι κοσμήματα ταινιοειδῆ καί τινα κεφαλαιώδη γράμματα περιπεποικιλμένα.—Σελ. 1 «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς κοινῆς παρακλήσεως». — Σελ. 237 «Ἐγκώμιον εἰς τὸ εὐλογημένον ὄρος τὸ Σίναιον, συντεθὲν παρὰ τοῦ σοφωτάτου μητροπολίτου πρώην Καστορίας κῦρ Γερασίμου τοῦ Κρητός». Ἀρχ. «Ἀνάμεσα εἰς τὰ ἀναρίθμητα χρέη» κτλ. [Περιγραφὴ ἱερὰ τοῦ ὄρους Σινᾶ. Ἐν Βενετίᾳ 1817, σ. 97]. — Σελ. 275 «Οἶκοι εἰς τὴν ὑπερευλογημένην παρθένον καὶ Θεοτόκον, ποιηθέντες καὶ ἀφιερωθέντες παρὰ τοῦ σοφωτάτου μητροπολίτου πρώην Καστορίας κῦρ Γερασίμου τοῦ Κρητὸς τῇ ὑπερφήμῳ καὶ βασιλικῇ μονῇ τοῦ ἁγιωτάτου μοναστηρίου ὄρους τοῦ θεοβαδίστου Σινᾶ». Ἀρχ. «Ἄχραντε μητροπάρθενε» κτλ.—Σελ. 289 «Μεγαλυνάρια ψαλλόμενα εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου, παρ' Ἀντωνίῳ τῷ Πινέλλῳ τυπωθέντα δαπάνῃ καὶ σπουδῇ εὐλαβείας τοῦ κυρίου Ἐμμανουήλου Τζὰν Φορνάρου» [Ἀντίγραφον ἐντύπου βιβλιαρίου].—Σελ. 303 «1720 μηνὶ αὐγούστου 9 ἐκοιμήθη ἐν εἰρήνῃ ὁ μακαρίτης Ἀθανάσιος ἀρχιεπίσκοπος Σινᾶ» κτλ.

345. Θεοτοκάριον ἐκ χάρτου, γραφὲν ἔτει 1550-ῳ καὶ συνιστάμενον ἐκ φύλλων 243, μήκους 0,215, πλάτους 0,158.—Φύλλ. 1 «Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα Ἰωσὴφ μοναχοῦ τοῦ Σαββαΐτου· ἦχος δ'». Ἀρχ. «Ἀνοίξω τὸ στόμα μου παρθενομῆτορ πανάμωμε».—Φύλλ. 5-237 «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ κανόνες ἐγκωμιαστικοὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ, ἔχον ἀκροστιχίδα ἀπὸ τοῦ πρώτου κανόνος ἄχρι τοῦ δευτέρου ἤχου "Ἰωάννης", ἤγουν ἀπὸ τῆς πρώτης ᾠδῆς ἕως τῆς ὀγδόης· τῆς δὲ ἐννάτης "Θῆτα", ὡς εἶναι τὴν ἔννοιαν ταύτην: Ἄδει τὸν ὕμνον Ἰωάννης τῇ Θεοτόκῳ. Ἀπὸ δὲ τοῦ δευτέ-

ρου κανόνος, ἤγουν ἀπὸ τῇ(ς) Κυριακῇ(ς) ἑσπέρας δευτέρου ἤχου, ἕως τοῦ πλαγίου δ' ἡ ἀκροστιχὶς τῆς ὀγδόης καὶ ἐνάτης ᾠδῆς "Ἰωάννης" γέγραπται, τὸ δὲ τελευταῖον στοιχεῖον "Θῆτα", ὡς εἶναι τὴν ἔννοιαν τοιαύτην: Ἄδει τὸν ὕμνον Ἰωάννης τῇ Θεοτόκῳ». Φύλλ. 236β «† Ἐγράφη ἐπὶ ἔτους ,ζωνθω, ἰνδικτιῶνος θ', μηνὶ ὀκτοβρίῳ ιζ'.·. † οἱ ἀναγινώσκοντες εὔχεσθαι ὑπὲρ τοῦ γράψαντος ὅπως εὕρω ἄνεσιν ἐν ἡμέρα κρίσεως:—† Τὸ παρὸν θεοτοκάριον ἐγράφη διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ τάχα καὶ ἱερομονάχου Γρηγορίου, ἐν τῇ ἁγία λαῦρα τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου, καὶ ἀφιερώθη εἰς τὴν ἁγίαν μονὴν τοῦ ἀρχιστρατίγου μου Μιχαὴλ εἰς τὴν Ἱερουσαλήμ· καὶ εἴ τις βουληθῇ ὑστερῆσαι αὐτῶ, νὰ ἔχει ἀντίδικον τὸν μέγαν ἀρχιστράτιγον Μιχαὴλ καὶ τὴν σφοδρὰν ἀγανάκτησιν αὐτοῦ». — Φύλλ. 237β «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενος εἰς τὰ ἀπόδειπνα τοῦ Σαββάτου ἑσπέρας καὶ εἰς ὅλον τὸν ἐνιαυτόν· λέγεται δὲ κανὼν τῶν ἁγίων πατέρων». Ἀρχ. «Χαῖρε τῶν πατέρων τὸ εὔφημον κράτος» κτλ.— Φύλλ. 241β «Στιχηρὰ προσόμοια· ἦχος πλάγιος β'». Ἀρχ. «Οἱ ἀπεγνωσμένοι τῇ ἁμαρτίᾳ» κτλ.

346. Ψαλτήριον ἐκ χάρτου τῆς ις' ἑκατ., συνιστάμενον ἐξ 154 φύλλων, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 21 (0,208×0,152=0,14×0,082). Ἐν φ. 2α εἰκὼν τοῦ ἀρχιστρατήγου Μιχαήλ, προστεθεῖσα τῇ ιζ' ἑκατ. Τῆς αὐτῆς ἐποχῆς σημειώματα δύο· α') φ. 154β «† Μέμνησο ὦ θεῖε ἱεροδιάκων κῦρ Ἰωάννη τῷ τῆς φιλοπτωχίας τ' οὔνομα Εὐτόκιος καὶ γενεαλογίας Ποτρούμιος καὶ τεχθηκὸς Πάτμιος». β') φ. 3β «† Μνήσθητι Κύριε. † Σωφρόνιος πριαρχης Ἰ(ερουσα)λήμ. † πρωσιλομενο ης των ἄγιον Κωνσταντίνω καὶ Ἑλένην».

347. Ἁγιασματάριον τῆς ις' ἑκατ. ἐκ φύλλων 208, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 12 (0,223×9,147= 0,14 × 0,083)· τὰ δὲ πρῶτα ὀκτὼ καὶ τὰ τελευταῖα ἰσάριθμα φύλλα μεταγενέστερά ἐστι. Σημειωτέα: 1) «Ἀκολουθία τῶν ἐκκλησιαστικῶν διατάξεων τῆς θείας καὶ ἱερᾶς λει-

τουργίας», ἧς ἡ ἀρχή· «Μετὰ τὴν πρώτην αἴτησιν λέγει ὁ πρῶτος χορὸς ἀντίφωνον» κτλ., φ. 1-8 καὶ 200-208. Ἐγράφη ἔτει 1621-ῳ.—2) Ἀκολουθία τοῦ ἁγιασμοῦ ἀκέφαλος, φ. 9.—3) Εὐχαὶ διάφοροι, ἀκολουθία τοῦ βαπτίσματος, τοῦ στεφανώματος, τῆς γονυκλισίας κτλ.

348. Ἀνθολόγιον τῶν μηναίων ὅλου τοῦ ἐνιαυτοῦ, γραφὲν τῇ ις' ἑκατ. Φύλλα χάρτου 366, μήκους 0,218, πλάτους 0,158. Ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου· «Τὸ παρὸν ἑορτολόγιον ὑπάρχει Γρηγορίου ἐκ νύσου Ῥόδου ἀπὸ χωρίον Σκλιπίου».

349. Ἀνθολόγιον τῶν μηναίων, γραφὲν τῇ ις' ἑκατ. καὶ ἀρχόμενον ἀπὸ τῆς ἀκολουθίας τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ τοῦ μάρτυρος Εὐδοξίου. Φύλλα χάρτου 317.

350. Εὐχολόγιον ἐκ φύλλων χάρτου 275, γραφὲν ἔτει 1623-ῳ. Μήκους 0,214, πλάτους 0,15. Φύλλ. 93β «† Ἀπὸ Χριστοῦ ἔτους· ͵α. χ. κ. γ. ἐν μηνὴ σεπτεμβρίου· κβα: ἔγινεν καὶ ἐτελειώθη τὸ παρὸν εἰς καλειγραφεῖαν παρά τινος μοναχοῦ Παϊσίου ὀνόματι· με τῇ συνδρομὴ καὶ ἀνάγκασιν τοῦ πανοσιωτάτου πατρὸς ἁγίου Πνευματικοῦ παπὰ κὺρ Δαμασκηνοῦ εἰς τὴν μονὴν καὶ λαύραν τοῦ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου· καὶ οἱ ἀναγινώσκωντες εὔχεσθαι ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον, ὅπως ἔλεος γενήσεται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἀμήν». Περιεχόμενα· 1) Ἀκολουθία τῆς ἀκαθίστου, φ. 1. — 2) «Εὐχὴ ἐπὶ αἰσχρῶν λογισμῶν», φ. 25. — 3) Εὐχὴ πρὸς τὸν Ἰησοῦν Χριστόν, φ. 26.—4) Εὐχὴ εἰς τὴν Θεοτόκον, φ. 27.—5) «Εὐχὴ ἑτέρα εἰς τὴν ὑπεραγίαν Θεοτόκον διὰ στίχου». Ἀρχ. «Παντάνασσα πανύμνητε, παρθενομῆτορ κόρη», φ. 30.—6) Εὐχαὶ τοῦ ὄρθρου, φ. 31β.—7) «Εὐχὴ τῆς κεφαλοκλισίας», φ. 42. — 8) «Εὐχὴ ἐξομολογητικὴ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν», φ. 42β. — 9) «Εὐχὴ εἰς ἐξομολόγησιν· τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ», φ. 47. — 10) Εὐχαὶ τρεῖς εἰς τὸν Ἰησοῦν Χριστόν, φ. 50β κἑ. — 11) «Εὐχὴ εἰς τὸ ἅγιον πνεῦμα· Μάρκου μοναχοῦ», φ. 56. — 12) «Εὐχὴ ὅταν μέλλεις ὑπνῶσαι», φ. 57β. — 13) «Εὐχὴ εἰς

τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, λεγομένη εἰς ἀκηδίαν». Ἀρχ. «Ὦ θεῖε σταυρέ, ξύλον μακαριώτατον», φ. 58β.—14) Ἓξ εὐχαὶ πρὸς τὴν Θεοτόκον, φ. 59 κέ.—15) «Εὐχὴ εἰς τὸν ἅγιον ἄγγελον τὸν φύλακα τῆς ψυχῆς», φ. 80.—16) «Εὐχὴ ἑτέρα εἰς τὸν αὐτόν», φ. 81.—17) «Εὐχὴ καὶ πένθος τῇ Δευτέρᾳ ἑσπέρας», φ. 82. — 18) «Ἀκολουθία τῆς ἁγίας μεταλήψεως», φ. 96. — 19) «Μηνολόγιον σὺν Θεῷ ἁγίῳ τοῦ ὅλου ἐνιαυτοῦ, ἔχον ἀπολυτίκια καὶ κοντάκια», φ. 129. — 20) «Ἀρχὴ τῶν θεοτοκίων ψαλλόμενα ἐν ὅλῳ τῷ ἐνιαυτῷ, ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ ἐν τῷ τέλει τοῦ ὄρθου», φ. 255β. — 21) «Ἀρχὴ τῶν ἀναστασίμων ἐξαποστειλαρίων καὶ τῶν ἑωθινῶν ἰδιομέλων», φ. 264β.

351. Τεῦχος ἐκ φύλλων χάρτου 222, γραφὲν ἔτει 1618-ῳ ἢ 1619-ῳ. Κείμενον κατὰ σελίδα μονόστηλον, ἐκ γραμμῶν 19 (0,212 × 0,155 = 0,15 × 0,085). Ἐν τῷ 222-ῳ φύλλῳ· «Τέλος μὲν ἔσχε ἡ γραφὴ τῆς πυκτήδος: ἀρχὴ δέ σοι γένοιτο τοῦ θείου πόθου: εἰ γὰρ διέλθοις ἐμπόνως τὸ πυκτίον: τοὺς μαρτυρικοὺς ἐννοουμένη πόνους: και τῶν ὁσίων τὸν πανόλβιον, ζήλω πτερωθῆς καὶ Θεῷ προσεγγίσεις· ὅς καὶ καλῶς σκέποι σε γυναικῶν κλέος. Ἐγράπτι ὑπὸ χειρὸς καθηγουμένου Κλήμεντος ἱερομονάχου, καὶ ἡ ἀναγινόσκοντες εὔχεσθε ὑπὲρ ἡμῶν. ͵ζρκζ'».

1. Κυριακοδρόμιον ἀνώνυμον. Ἀρχ. «Κυριακῇ τοῦ Θωμᾶ. Ἐπὶ τῇ λαμπροφόρῳ Κυριακῇ καὶ σεβασμίᾳ καὶ ἁγίᾳ ἡμέρᾳ τῆς ἀναστάσεως» κτλ., φ. 1-176.

2. «Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ, συγγραφεὶς παρὰ Ἰωάννου πατριάρχου Ἱεροσολύμων τοῦ Μερκουροπούλου». Ἀρχ. «Τοῖς τετηρηκόσι τὸ κατ' εἰκόνα», φ. 177 κέ.

352. Πρῶτον μέρος τοῦ 350-οῦ κώδικος, ἐμπεριέχον ὁμιλίας περὶ τῶν Κυριακῶν τῶν μέχρι τῆς ἁγίας ἀναστάσεως τοῦ Χριστοῦ. Ἀρχ. «Ματθαίου Κυριακῇ ἐννάτῃ. Καὶ οἱ τοὺς ἑαυτῶν φίλους σωματικῶς διατρέφειν βουλόμενοι» κτλ. Περιλαμβάνει δὲ τὸ τεῦχος φύλλα 316, ὧν τὸ ἔσχατον ἔχει τὸ σημείωμα τοῦτο· «Ἐνπτάκις ἑκατοστὸ εἰκοστὸ ἔκτω (-1617) ἐγράπτη τὸ παρὸν ἐξηγητὸν εὐαγγέλιον ἐν τη μονῇ τῇ λαύρα τοῦ ἁγίου Σάββα καὶ

ετελιωθ(η) ἐν μηνῆ σεπτευρίω ιζ' παρὰ τοῦ ἐν μοναχοῖς Κλήμεντος ἱερομονάχου» κτλ.

353. Κυριακοδρόμιον ἀπὸ τῆς ἐννάτης Κυριακῆς τοῦ Ματθαίου, συνιστάμενον ἐκ φύλλων 284, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 20 (0,205 × 0,142 = 0,145 × 0,085)· ἐγράφη δὲ τῇ ις' ἑκατ. Ἀρχ. «Καὶ οἱ τοὺς ἑαυτῶν φίλους σωματικῶς διατρέφειν βουλόμενοι» κτλ.

354. Κυριακοδρόμιον ἀτελὲς καὶ ἀκέφαλον Μαξίμου τοῦ Πελοποννησίου· τὸ νῦν πρῶτον φύλλον τοῦ κώδικος ἑνδέκατον ἀριθμὸν φέρει, τὸ δ' ἔσχατον 310-ον. Ἐγράφη τῇ ιζ' ἑκατ. καὶ κατὰ σελίδα γραμμὰς 21 ἀριθμεῖ (0,22 × 0,155 = 0,153 × 0,10).

355. Τεῦχος ἐκ φύλλων χάρτου 252, μήκους 0,21, πλάτους 0,148. Ἐπιγραφή· «Ὁμιλίαι ἐν πάσαις ταῖς Κυριακαῖς δι' ὅλου τοῦ ἐνιαυτοῦ, σὺν ἄλλοις τισὶ συγγράμμασι Θεοδωρίτου καί τινων ἄλλων συγγραφέων». — Φ. 2^{β} «† Τὸ παρὸν βιβλίον ἐγράφη διαχειρὸς κἀμοῦ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Παχωμίου τοῦ Πελωπονυσιώτου εἰς τὴν σεβασμίαν μονὴν τῆς Θεοτόκου τῶν Γυρίων, καὶ οἱ ἀναγινώσκοντες αὐτὸ εὔχεσθε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· ‚αχμς' μαρτίου κε'» (1641).

356. Εὐαγγέλιον λειτουργικὸν τῆς ιγ' ἑκατ., ἀποτελούμενον ἐκ φύλλων μεμβρανίνων 124 καὶ δύο χαρτίνων (φ. 125 καὶ 126)· πρότερον εἶχε φύλλα δύο περιπλέον, ἅπερ ἦν μετὰ τὸ 58-ον φύλλον· ταῦτα δὲ περιελάμβανεν ἀναγνώσματα τοῦ κατὰ Μᾶρκον εὐαγγελίου, καὶ νῦν εὕρηται μεταξὺ τῶν ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη παραχωρηθέντων τῇ Πετρουπόλεως αὐτοκρατορικῇ βιβλιοθήκῃ τευχῶν. Τὸ κείμενον ὑπάρχει κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν 27 ἢ 28 (0,222 × 0,178 = 0,17 × 0,14). Ἐν τῇ ἀρχῇ κόσμημα τετράγωνον. Ἔνδον τῶν πινακίδων φύλλα δύο κεκολλημένα μεμβρανίνου τινὸς κώδικος τῆς ἐνάτης ἑκατονταετηρίδος, ἐν οἷς ὑπάρχει λείψανον ὁμιλίας εἰς τὰ Θεοφάνεια. Τεμάχιον αὐτοῦ· «ὄνομα θώμεθα τῇ ἑορτῇ ἡμῶν Θεοφάνια· ἑορτάσωμεν τὰ σωτήρια τοῦ κόσμου, τὴν γενέθλιον ταύτην ἡμέραν. Σήμερον ἐλύθη ἡ καταδίκη τοῦ Ἀδάμ· οὐκέτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἀλλὰ

τῷ οὐρανίῳ συναφθεὶς πρὸς οὐρανὸν ἀνελήφθης· οὐκέτι ἐν λύπαις τέξῃ τέκνα· μακαρία γὰρ ἡ ὠδίνασα τὸν Ἐμμανουὴλ» κτλ.

357. Τετραευαγγέλιον σφόδρα βεβλαμμένον ὑπὸ περιηγητοῦ τινος· μετὰ γὰρ τὸ 4-ον φύλλον ἀπέκοψεν οὗτος φύλλα δύο· καὶ πάλιν τέσσαρα μετὰ τὸ 66-ον· καὶ πάλιν δύο μετὰ τὸ 95-ον· καὶ πάλιν δύο μετὰ τὸ 173-ον φύλλον· ἅπαντα δὲ τὰ λείποντα νῦν φύλλα περιεῖχεν εἰκόνας κοσμήματα καὶ κείμενον οὐκ ὀλίγον: ἀπέκοψε δὲ καὶ τὸ ἥμισυ τοῦ τελευταίου φύλλου, ἐν ᾧ ὑπῆρχε, φαίνεται, τοῦ καλλιγράφου σημείωμα. Ὡς μὲν οὖν ἔχει νῦν ὁ κῶδιξ, ἀριθμεῖ τὸ βιβλίον φύλλα μόνα 219, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον· ἐγράφη δὲ τῇ ιβ′ ἑκατ. Ἐν δὲ τῷ 172-ῳ φύλλῳ σημείωμα τῆς ις′ ἑκατ., ἔχον ὧδε· «† Αὕτη ἡ βίβλος ὑπάρχει τῆς θείας καὶ ἱερᾶς βασιλικῆς λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα».—α′) Πίνακες μετὰ στηλῶν ἐρυθρῶν ἐμπεριέχοντες τὸ κανόνιον, φ. 1-4.—β′) Τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἀκέφαλον, οὗ τὴν ἀρχὴν ἀνεπλήρωσεν Ἰωαννίκιος ὁ Σαβαΐτης, φ. 5 κέ. — γ′) Τὸ κατὰ Μᾶρκον εὐαγγέλιον ἀκέφαλον καὶ χωρὶς τοῦ τέλους αὐτοῦ, φ. 65 κέ.—δ′) Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ἀκέφαλον, φ. 96 κέ. — ε′) Τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἀκέφαλον, φ. 173 κέ. Ὑπάρχει δὲ μετὰ τοῦτο καὶ φύλλον ἓν καὶ ἥμισυ, ὅπερ ἐστὶ μέρος εὐαγγελίου τινὸς λειτουργικοῦ τῆς ιγ′ ἑκατονταετηρίδος

358. Τετραευαγγέλιον τῆς ιγ′ ἑκατ., ἐκ φύλλων 331, ὧν τὰ μὲν πρῶτα τρία χάρτινα, τὰ δὲ λοιπὰ μεμβράνινα· ἔστι δὲ τὸ κείμενον αὐτῶν κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 20 ($0{,}202 \times 0{,}15 = 0{,}025 \times 0{,}09$), ὅπερ ἐμπεριέχει καὶ κοσμήματά τινα χρώματος ἐρυθροῦ. Μετὰ δὲ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ὑπάρχουσι τὰ κείμενα ταῦτα· α′) «Αἱ ἑβδομάδες τοῦ ὅλου χρόνου. Δήλωσις τῶν καθ' ἑκάστην ἡμέραν ὀφειλόντων λέγεσθαι εὐαγγελίων». β′) «Συναξάρια σὺν Θεῷ τῶν ιβ′ μηνῶν, δηλοῦντα τὰ κεφάλαια τῶν καθ' ἑκάστην εὐαγγελίων».—γ′) «Εὐαγγέλια εἰς διαφόρους μνήμας ἁγίων.—δ′) «Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν καὶ τὴν τῶν εὐαγγελιστῶν διαδοχήν, πόθεν τε ἄρχονται καὶ ποῦ καταλήγουσιν».

359. Τετραευαγγέλιον τῆς ι' ἢ ια' ἑκατ. σφόδρα βεβλαμμένον, ἀριθμοῦν φύλλα 195, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 24. Τὰ πρῶτα πέντε φύλλα πίνακας ἐμπεριέχει κεχρωματισμένους, ἐν οἷς ὑπάρχει διὰ γραμμάτων πορφυρῶν τὸ κανόνιον τῶν εὐαγγελικῶν ἀναγνωσμάτων· ἐν δὲ τῷ 6-ῳ φύλλῳ διὰ γραμμάτων πορφυρῶν ὡσαύτως ὑπάρχει «ὑπόθεσις κανόνων τῆς τῶν εὐαγγελιστῶν συμφωνίας», ὅ ἐστιν ἡ πρὸς Καρπιανὸν ἐπιστολὴ Εὐσεβίου· μετὰ δὲ ταύτην (φ. 7α) κόσμημα χρυσοῦν καὶ κεχρωματισμένον σχήματος παραλληλογράμμου τετραγώνου, περιέχον ἐν τῷ μέσῳ χρυσοῖς γράμμασι τὸ «Εὐαγγέλιον κατὰ Ματθαῖον»· καὶ πάλιν ἄλλο κόσμημα ταινιοειδὲς (φ. 57α) διακρίνει τὸ κατὰ Μᾶρκον εὐαγγέλιον· ἕτερον δὲ προσόμοιον τῷ Π στοιχείῳ (φ. 91) χωρίζει τὸ κατὰ Λουκᾶν εὐαγγέλιον· καὶ πάλιν τὸ κατὰ Ἰωάννην ἄλλο κόσμημα ταινιοειδές (φ. 149).

360. Λειτουργικὸν ἐκ μεμβράνης εὐαγγέλιον τῆς ἐνάτης ἑκατονταετηρίδος, οὗ τὰ πρῶτα τέσσαρα φύλλα μεταγενέστερα πάνυ, προστεθέντα τῇ ιδ' ἑκατ. δι' ἀναπλήρωσιν ἐκπεσόντος κειμένου· τούτων δὲ τὸ πρώτιστον, εἰ καὶ ἄγραφον ἀφέθη, περιέλαβε τότε τὸ σημείωμα τόδε· «Βιβλίον τῆς μονῆς τοῦ Προδρόμου», τῆς παρὰ τὸν Ἰορδάνην ποταμόν· τὸ δὲ μετὰ τοῦτο περιέχει σημείωμα δι' ἰβηρικῶν, εἴτουν γεωργιανῶν, στοιχείων γεγραμμένον· τὰ δὲ μετὰ ταῦτα δύο φύλλα τὴν ἀρχὴν περιέχει τοῦ εὐαγγελίου. Τὸ κύριον ὅμως τεῦχος ἄρχεται τῶν λέξεων τούτων (φ. 5)· «—μολόγησεν καὶ οὐκ ἠρνήσατο καὶ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός· καὶ ἠρώτησαν αὐτόν· τί οὖν; Ἠλίας εἶ σύ» κτλ. Ἔστι δὲ τὸ κείμενον αὐτοῦ κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 21 ($0{,}19 \times 0{,}155 = 0{,}14 \times 0{,}098$). Ἐν τῷ 99-ῳ φύλλῳ γέγραπται διὰ τῆς χειρὸς τοῦ καλλιγράφου σημείωμα, οὗ ἡ ἀρχή· «Εὐαγγέλιον τῆς α' ἑβδομάδος τῶν νηστειῶν: ἑσπέρας ἀπὸ τὸ ἐπιλύχνην ψάλλεται τὸ ἑξάψαλμον» κτλ. Μετὰ τὸ 149-ον φύλλον ὑπάρχει χάσμα δύο φύλλων, ἅπερ ἔκοψε Πορφύριος ὁ Οὐσπένσκης· ταῦτα δὲ νῦν ἐν Πετρουπόλει κεῖται (ἀριθ. 284). Ὑπάρχει δ' ἐν τῷ κώδικι καὶ μηνολόγιον ἀξιόλογον (φ. 166β—

218α), ἐξ οὗ βεβαιούμεθά πως, ὅτι τὸ εὐαγγέλιον τοῦτο συνετάχθη κατὰ τὴν ἐν Κ/πόλει συνήθειαν. Μηνὶ σεπτ. κα' μνήμη σημειοῦται «τῆς παναγίας Θεοτόκου ἐν τῇ Πέτρᾳ»· τῇ κε' «εἰς τὴν μνήμην τοῦ Κάμπου καὶ τῶν ἁγίων μαρτύρων Ῥωμανοῦ καὶ Παφνουτίου». —Τῇ δ' νοεμβρίου μνήμη «τῆς ἁγίας Θεοδώρας καὶ τῆς παναγίας Θεοτόκου ἐν τοῖς Κύρου»· τῇ ε' τοῦ αὐτοῦ μηνὸς «Τὰ ἐγκαίνια τοῦ ναοῦ Θεοδώρου ἐν τοῖς Παρακίου» [sic]· τῇ ιε' μνήμη τοῦ ἁγίου πατριάρχου Θωμᾶ Κ/πόλεως· τῇ κ' «τῶν ἁγίων πατριαρχῶν Κ/πόλεως Μαξίμου Πρόκλου Ἀνατολίου καὶ Γενναδίου»· τῇ κγ' μνήμη τοῦ ἱερομάρτυρος Πέτρου «Καπετουλίνης».— Τῇ ιη' δεκεμβρίου μνήμη τῶν ἁγίων γ' παίδων «καὶ τὰ ἐγκαίνια τῆς παναγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατ(ε)ίοις»· τῇ κη' τοῦ αὐτοῦ μνήμη Θεοδώρου Κ/πόλεως ἀρχιεπισκόπου. — Τῇ κβ' φεβρουαρίου μνήμη Θωμᾶ πατριάρχου. — Τῇ ς' μαρτίου «τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Στεφάνου τοῦ συστησαμένου τὸ γηροκομεῖον ἐν τῷ Ἀρματιῶνι καὶ τῆς ἁγίας μάρτυρος Θέκλης"· τῇ ιγ' τοῦ αὐτοῦ μνήμη τῶν ἐν τῷ Πετρίῳ» μαρτύρων Σαβίνου Ποπλίου Ἀφρικάνου καὶ Τερεντίου· τῇ κβ' μνήμη Θωμᾶ Κ/πόλεως ἀρχιεπισκόπου· τῇ κθ' μνήμη Ἰωάννου πατριάρχου Ἱεροσολύμων. — Τῇ ς' ἀπριλίου καὶ μνήμη τῶν ἐν Περσίδι ρκ' μαρτύρων καὶ Εὐτυχίου πατριάρχου Κ/πόλεως· τῇ ιβ' τῶν ἐν τῷ Πετρίῳ μαρτύρων Τερεντίου Ἀφρικανοῦ Μαξίμου Προυτίου καὶ Πονπίου. — Τῇ δ' μαΐου καὶ μνήμη τῶν «πλησίον τῆς Πηγῆς» μαρτύρων, Πρόβου Ταράχου Ἀνδρονίκου· καὶ μνήμη Γερμανοῦ Κ/πόλεως τοῦ ὁμολογητοῦ· τῇ ιε' μνήμη Ἀλεξάνδρου ἀρχιεπισκόπου Ἱεροσολύμων. — Τῇ β' ἰουνίου μνήμη Νικηφόρου Κ/πόλεως· τῇ ιδ' Μεθοδίου Κ/πόλεως τοῦ ὁμολογητοῦ. — Τῇ κς' ἰουλίου μνήμη Συμεὼν τοῦ Στυλίτου καὶ Θεοδώρου μητροπολίτου Τραπεζοῦντος· τῇ λα' τοῦ μάρτυρος Γελασίου καὶ «τὰ ἐγκαίνια τῆς ἁγίας σοροῦ ἐν Βλαχέρναις».—Τῇ κζ' αὐγούστου μνήμη τῶν ἀποστόλων Πέτρου καὶ Παύλου καὶ «τῶν ἁγίων μ' τῶν ἐν τῷ παλατίῳ»· τῇ λα' καὶ μνήμη «τῶν ἐν ἁγίοις πατριαρχῶν Ἀλεξάνδρου Ἰωάννου καὶ Παύλου τοῦ νέου».—Καὶ ταῦτα μὲν ἐσημειώθη κατ' ἐκλογήν· ἐν δὲ

τοῖς κρασπέδοις χεῖρες τῆς δεκάτης ἑκατ. ἔγραψαν διὰ μικρῶν κεφαλαιωδῶν γραμμάτων τὰ σημειώματα ταῦτα· α') «Μη(νὶ) τῷ αὐτ(ῷ) [=νοεμβρίῳ] ια' ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ μοναχὸς Ἀνδ(ρέας) τοῦ Χάλδ(ου)», φ. 182^α.—β') «Μηνὶ τῷ αὐτῷ ιθ' ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Ἰγνάτιος μοναχὸς καὶ πρεσβύτερος ὁ Δανιβρίτ(ης)», φ. 182^β.—γ') «Μηνὶ νοεμβρίῳ κς' ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Θεοδόσιος μοναχός, ἀδελφὸς τοῦ Κελλίου».—δ') «Μηνὶ ἀπριλίῳ δ' ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Νικηφόρος μοναχὸς Γηροκομήτης. Μηνὶ ἀπριλίῳ ε' ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ, ὁ μοναχὸς Θωμᾶς ἀδελφὸς τοῦ Κελλίου. Μηνὶ ἀπριλίῳ η' ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ, ὁ μοναχὸς καὶ πρεσβύτερος Νικόλαος ὁ Δανιβρίτ(ης)», φ. 204^β. — Καὶ ἐν φ. 225^β ὑπάρχει σημείωμα δι' ἀραβικῶν γραμμάτων. Σημειωτέον ἔτι, ὅτι τὰ ἀναγνώσματα τῶν εὐαγγελίων ἐστὶ τετονισμένα διὰ σημείων ἐρυθρῶν, ἔχοντα γράμματά που κεφαλαιώδη καὶ περικεκοσμημένα καί τινα ταινιοειδῆ κοσμήματα πρασίνου χρώματος.

361. «Στιχεράριον τοῦ ὅλου χρόνου» μεμβράνινον, ἐκ φύλλων 161, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον καὶ τετονισμένον διὰ μουσικῶν σημείων ἀξίων ἰδίας μελέτης· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος. Μήκους 0,206, πλάτους 0,155.

362. Κῶδιξ λειτουργικὸς τῆς ἐν Φωκίδι μονῆς τοῦ ὁσίου Λουκᾶ τοῦ Στειριώτου, γραφεὶς μὲν περὶ τὴν ἀρχὴν τῆς ιγ' ἑκατονταετηρίδος ἐν αὐτῇ τῇ μονῇ παρὰ Ξενοφῶντος Πεντόζα, ἔτει δὲ 1269-ῳ συμπληρωθεὶς διά τινων κειμένων, ἃ κατέλαβε τὰ ἐξ ἀρχῆς ἄγραφα τοῦ κώδικος φύλλα (φ. 1—18, 200—208) καὶ τρεῖς αὐτοῦ σελίδας (φ. 111^α, 126^α, 199^α). Σύγκειται τοίνυν ὁ κῶδιξ ἐκ φύλλων 208, σχήματος ὀγδόου, καὶ διὰ τὸ εἶναι τὴν γραφὴν λεπτὴν πάνυ, τῶν σελίδων ἔνιαι μὲν ἀριθμοῦσι γραμμὰς 28, ἕτεραι δὲ 46· ἄλλαι δὲ πάλιν σελίδες ἀριθμοῦσι γραμμὰς 30 ἢ 35· πᾶσα δ' ὅμως σελὶς ὑπάρχει κεκοσμημένη πλαισίῳ τινὶ κοκκίνῳ, κατὰ τὸ δεῖγμα τὸ φωτοτυπικὸν ὅπερ ὀπίσω κεῖται· τοῦτο δὲ τὸ δεῖγμα περιέχει δύο σελίδας τοῦ κώδικος (126^β

καὶ 127α), καὶ ἡ μὲν ἐξ ἀριστερῶν ἀπεικάζει τὰς τελευταίας πέντε ᾠδὰς ᾀσματικοῦ τινος κανόνος τοῦ πατριάρχου Φωτίου, ὃν ἐξετύπωσα πέρυσιν [1], ἡ δ' ἑτέρα τὴν ἀρχὴν ἄλλου τινὸς ἀνεκδότου κανόνος Εὐθυμίου τοῦ μελῳδοῦ, τοῦ καὶ Στειριώτου πιθανῶς. Καὶ ταῦτα μὲν οὕτως· τὸ δὲ ὑπόμνημα τοῦ βιβλιογράφου Ξενοφῶντος (φ. 199β), ὅπερ ἀπαράλλακτον ἐνταῦθα παρατίθεμαι, ἀνέγνων ἐγὼ ὧδε· «Εἴληφε τέρμα τῷ παρόντ(ι) βιβλ(ίῳ): | ἐκ ποθήσεως, Ἰωσὴφ ναζιραίου: | θύτου καὶ λάτρ(ου) τῆς ἁγίας τριάδος: | τηρῶν δὲ λίαν τὰς ἐντολὰς Κυρίου | θανάτ(ου) μνήμη πρὸ τῶν ὠπῶν: οὐ πόρρω | ἀλλ' ἀεὶ δέρκων, καὶ ἐν ἐκπλήξει μένων· | ὢ θείας ὁράσεως βαβαὶ τῆς μνήμης: — — — | μονῆς αἰσίας, εἴχεται τοῦ Στειρίου: | τοῦ ἐν ὁσίοις Λουκᾶ περιβοήτου· | ξυσθεὶς Πεντόζα ἀζύγ(ῳ) Ξενοφώντ(ι): | οἰκτροῦ καὶ ξένου, καὶ λίαν ἀτασθάλου· | θιάσσω μένων, τῆς μονῆς τῆς ῥηθείσης | εὐχαῖς ποιεῖτε, οἱ ὄπτοντες τῆι δέλτ(ῳ)· | ὁ χεὶρ κατέχων ἄζυξ, ἀντέφη οὕτως (in marg. Ἰωσήφ) | λιγαίνω ἄζυξ λιτάζω τῷ χω̄ | ἐνθ' ἰζάνοις βέλτιστε ἡμεῖς ἄμφω σταθμῶμεν | Ἰωσὴφ τε τ' οὔνομα σὺν Ξενοφῶντι. | ναὶ λιγαίνω, νῦν καὶ εἰς τοὺς αἰῶνας».

Περιεχόμενον.

1. Παρακλητικοὶ κανόνες ὀκτὼ εἰς τὴν Θεοτόκον (φ. 1—8), ὧν ὁ ἕβδομος ἀκροστιχίδα φέρει τήνδε· «Τὴν ἑβδόμην δέησιν ἁγνὴ νῦν δέχου»· ἦχος βαρύς.

2. «Εὐαγγέλια ἑωθινὰ τὰ ἕνδεκα μετὰ τῶν στιχηρῶν», φ. 9.

3. «Ἀποστολοευαγγέλια τῆς ὅλης ἑβδομάδος», φ. 12.

4. «Εὐαγγέλιον τῆς ὑπεραγίας Θεοτόκου», φ. 15α.

5. Ἀναγνώσματα τῆς παλαιᾶς διαθήκης, φ. 15β.

6. Κόσμημα ταινιοειδές, οὗπερ ἄνωθεν ὑπάρχει τὸ «Βίβλος τὸ θαῦμα συλλογῆς τῶν ᾀσμάτων»· ὑπὸ δὲ τὸ κόσμημα γέγραπται τοῦτο· « ✝ Σὺν Θεῷ ὀκτώηχος ἐν (γρ. σὺν) τῷ θεοτοχαρίῳ, ἔχοντα τὴν ἅπασαν ἀκολουθίαν αὐτῶν καὶ ἕτερα διάφορα». Ἀρχ. «Τῷ Σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα εἰς τὸ Κύριε ἐκέ-

[1] Православный Палестинскій Сборникъ, τεῦχος 31-ον, σελ. 9—14.

[illegible]

[illegible] παρακλησ[illegible]
[illegible] ἀρχὴν [illegible]
[illegible] γραφῶν [illegible] καὶ Στεφάνου [illegible]
[illegible] δὲ ὑπόμνημα τοῦ βιβλίου [illegible]
[illegible] ἀνεμβλήματον ἐντελὲς παρα[illegible]
[illegible] τοῦ [illegible] [illegible]
[illegible] καὶ [illegible] τῆς [illegible]
[illegible] Κυρίου [illegible]
[illegible] Βήρκων, καὶ ἐν [illegible]
[illegible] τῆς μνήμης — — — [illegible]
[illegible] τοῦ ἐν ὁσίοις [illegible] παρα[illegible]
[illegible] Ξενοφόντης | [illegible] καὶ ξένον [illegible]
[illegible] μέσον τῆς μονῆς τῆς [illegible] | [illegible]
[illegible] τὴν δέησιν | ὁ γὰρ [illegible]
[illegible] Ἰωσ[illegible] [illegible] τοῦ [illegible]
[illegible] ἱερεὺς [illegible] | Ἰωσὴφ [illegible]
[illegible] ἱερατικῶν, νῦν καὶ εἰς τοὺς [illegible]

[illegible] ὀκτὼ εἰς τὴν Θεοτόκον (φ. 1—[illegible]
[illegible] τήνδε «Τὴν ὑψηλοτέραν [illegible]
[illegible]
[illegible] τὰ ἕνδεκα μετὰ τῶν στιχηρῶν, φ. [illegible]
[illegible] τῆς ὅλης ἑβδομάδος, φ. 12.
4. [illegible] τῆς [illegible] Θεοτόκου, φ. 17
5. [illegible] τῆς [illegible] ὀκτήχου, φ. 1[illegible]
6. [illegible] ὥσπερ ἄνωθεν [illegible]
[illegible] συλλογῆς τῶν [illegible] ὑπὸ δὲ τὸ [illegible]
[illegible] « ✝ Σὺν Θεῷ ἁγίῳ [illegible]
[illegible] ἅπασαν ἀκολουθίαν αὐτῶν καὶ [illegible]
[illegible] ἑσπέρας στιχηρὰ [illegible]



Σελ. 474.

Κῶδιξ Σαβαϊτ. **362,** τῆς ιγ′ ἑκατ., **φ. 126β-127α.**

Дозволено цензурою 15 Января 1892 г. Фототипія Н Кидутнаго. Сергіевская ул., №20


UNIV.
OF
MICH.

χραξα· ἦχος α'. Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς» κτλ., φ. 19—110.

7. Σημείωμα τυπικόν, οὗ ἡ ἀρχή· «Δέον γινώσκειν ὅπως ὀφείλωσιν ἀναγινώσκεσθαι τὰ εὐαγγέλια» κτλ., φ. 110β. — Πασχάλιον τῶν ἐτῶν ,ςψοζ—,ςωε' (1269—1397), φ. 111α.

8. «Κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον ἀπόστολον Πέτρον καὶ Παῦλον, φέρων ἀκροστιχίδα τήνδε: Λιταῖς Πέτρου με καὶ Παύλου σῶτερ σκέπε». Ἦχος α'. Ἀρχ. «Λάμποντες ὡς δύο φωταυγεῖς», φ. 111β.

9. «Ἕτερος κανὼν ἱκετήριος ὁμοῦ καὶ κατανυκτικὸς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τοὺς ἁγίους ἀρχαγγέλους καὶ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον καὶ εἰς τοὺς ἁγίους ἀποστόλους καὶ προφήτας», εἰς ἦχον β'. Ἀρχ. «Ἁμαρτωλοί, δράμωμεν πρὸς τὸν καλοῦντα ἡμᾶς», φ. 112β.

10. «Κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Νικόλαον, φέρων ἀκροστιχίδα τήνδε: Δέησιν οἰκτρὰν Νικόλαε προσδέχου». Ἦχος β'. Ἀρχ. «Διηνεκῶς τῷ θείῳ θρόνῳ τῆς χάριτος», φ. 114.

11. «Κανὼν παρακλητικὸς εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ θαυματουργὸν Λουκᾶν, φέρων ἀκροστιχίδα τήνδε: Ὕμνος πέφυκεν εὐκτικός μοι τῷ τάλα· ἐν δὲ τοῖς θεοτοκίοις, Εὐθυμίου». Ἦχος β'. Ἀρχ. «Ὑπὲρ ἡμῶν καθικετεύοντα», φ. 115. Πρβ. Γεωργίου Κρέμου, Φωκικά· προσκυνητάριον τῆς ἐν τῇ Φωκίδι μονῆς τοῦ ὁσίου Λουκᾶ τουπίκλην Στειριώτου. Ἐν Ἀθήναις, 1874, σ. 73 κέ.

12. «Κανὼν παρακλητικὸς εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας, φέρων ἀκροστιχίδα τήνδε: Δεκάς με σῷζε τετράριθμον μαρτύρων». Ἦχος β'. Ἀρχ. «Δέξαι Χριστὲ τὴν ἐκ χειλέων μου δέησιν», φ. 116.

13. «Ὁ κανὼν εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον». Ἦχος β'. Ἀρχ. «Γρηγορῶν ἐνθέοις ἀρεταῖς», φ. 116β.

14. «Κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον, φέρων ἀκροστιχίδα τήνδε: Θυρεὸς πέφυκας, μάρτυς, ὄντως προστάτης». Ἦχος β'. Ἀρχ. «Θερμοτάτῃ πίστει καὶ στοργῇ», φ. 117β.

15. «Ἕτερος κανὼν ἱκετήριος εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὴν πανάχραντον αὐτοῦ μητέρα καὶ εἰς τοὺς θείους ἀρχαγγέλους καὶ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον καὶ εἰς λοιποὺς πάντας ἁγίους προπάτορας προφήτας ἀποστόλους μάρτυρας καὶ ὁσίους, ψαλλόμενος ἐν συμφοραῖς καὶ θλίψεσι». Ἦχος δ'. Ἀρχ. «Θαλάσσης τῆς νοητῆς τὰ κύματα» κτλ., φ. 118β.

16. «Κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον». Ἦχος δ'. Ἀρχ. «Ὡς λύχνον τοῦ νοητοῦ σε Πρόδρομε», φ. 119β.

17. «Κανὼν παρακλητικὸς εἰς τὸν ἀρχιστράτηγον Γαβριὴλ καὶ εἰς Ἰωάννην τὸν Πρόδρομον καὶ Δανιὴλ τὸν προφήτην, Κοσμᾶν καὶ Δαμιανὸν τοὺς ἀναργύρους καὶ εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον». Ἦχος δ'. Ἀρχ. «Γαβριὴλ ἀρχάγγελε, λαὸν διέσωσας δουλείας», φ. 120β.

18. Ἰωσὴφ τοῦ μελῳδοῦ «κανὼν παρακλητικὸς εἰς τὸν ὅσιον πατέρα ἡμῶν τὸν μέγαν Βασίλειον, φέρων ἀκροστιχίδα τήνδε: Σοὶ Βασίλειε τήνδε τὴν ᾠδὴν πλέκω». Ἦχος δ'. Ἀρχ. «Σταγόνα μοι προσευχαῖς σου», φ. 122.

19. «Κανὼν ἱκετευτικὸς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς πάντας τοὺς ἁγίους». Ἦχος πλ. α'. Ἀρχ. «Δέησιν ἐκ χειλέων», φ. 122β.

20. «Ἕτερος κανὼν εἰς δέησιν πρὸς τὸν Θεόν, ἐν ᾧ δ' ἄν τις θέλῃ πράγματι αἰτήσασθαι». Ἦχος α'. Ὠδὴ α' καὶ β' μόνον. Ἀρχ. «Δέησίν σοι προσάγω ὁ σὸς ἱκέτης», φ. 123β.

21. «Κανὼν σταυρώσιμος φέρων ἀκροστιχίδα τήνδε: Παθῶν με σῷζε τῷ πάθει σου, Χριστέ μου, τὸν Ἰωσήφ». Ἦχος πλ. α'. Ἀρχ. «Παθοκτόνον Χριστέ, ἐθελουσίως αὐτὸς» κτλ., φ. 123β.

22. «Ἕτερος κανὼν ἐξαγορευτικὸς ὁμοῦ καὶ παρακλητικὸς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, φέρων ἀκροστιχίδα τήνδε: Ἀεὶ στενάζων δακρύω καθημέραν Μιχαήλ». Ἦχος πλ. β'. Ἀρχ. «Ἀδεῶς σωτήρ μου ἐκ βρέφους ὁ τάλας», φ. 124β.

23. Φωτίου πατριάρχου «ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον».

Ἦχος πλ. β'. Ἀρχ. «Πάτερ παντοκράτορ», φ. 125β. Ἐξεδόθη τύποις ἐντεῦθεν, ὡς εἴρηται.—Φ. 126α πίναξ σεληνοδρομίου.

24. Εὐθυμίου τοῦ μελῳδοῦ «ἕτερος κανὼν παρακλητικὸς εἰς τὸν ἀρχιστράτηγον Μιχαήλ, φέρων ἀκροστιχίδα τήνδε: Ἄκος νέμοις μοι τῶν παθῶν τε καὶ νόσων. Ἐν δὲ τοῖς θεοτοκίοις: Εὐθυμίου». Ἦχος πλ. β'. Ἀρχ. «Ἄνωθεν ὡς ἔχων πολλὴν παρρησίαν, φ. 127.

25. «Ἕτερος κανὼν παρακλητικὸς εἰς τὸν ἀρχιστράτηγον Γαβριὴλ καὶ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον καὶ εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα καὶ εἰς τὸν ἅγιον Γεώργιον καὶ εἰς τὸν ἅγιον Προκόπιον καὶ εἰς τὸν ἅγιον Θεόδωρον». Ἦχος πλ. β'. Ἀρχ. «Γαβριὴλ τῶν ἄνω δυνάμεων ἄρχων», φ. 128.

26. Ἰωσὴφ τοῦ μελῳδοῦ «ἕτερος κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον, φέρων ἀκροστιχίδα: Πλήρωσον ἡμῶν τὰς παρακλήσεις μάκαρ». Ἦχος πλ. β'. Ἀρχ. «Πεποικιλμένος τῇ δόξῃ τῇ θεϊκῇ», φ. 129β.

27. «Ἕτερος κανὼν παρακλητικὸς εἰς τοὺς ἁγίους μεγαλομάρτυρας Γεώργιον καὶ Θεόδωρον». Ἦχος πλ. β'. Ἀρχ. «Τὴν δυάδα τὴν σεπτήν», φ. 130β.

28. Ἰωσὴφ «ἕτερος κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Δημήτριον, φέρων ἀκροστιχίδα: Ἕκτην δέχοιο τήνδε τὴν ᾠδὴν μάκαρ». Ἦχος πλ. β'. Ἀρχ. «Ἐν εὐφροσύνῃ παμμάκαρ», φ. 131.

29. Ἰωσὴφ «κανὼν παρακλητικὸς εἰς τὸν ὅσιον πατέρα ἡμῶν Ἰωάννην τὸν Χρυσόστομον, φέρων ἀκροστιχίδα τήνδε: Ἕκτη δέησις τῷ Χρυσοστόμῳ πρέπει». Ἦχος πλ. β'. Ἀρχ. «Ἐκ τῶν ἀναγκῶν μου τοῦ βίου», φ. 132.

30. Νικολάου (πατριάρχου) «ἕτερος κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Νικόλαον. Ἐν τοῖς θεοτοκίοις: Νικολάου». Ἦχος πλ. β'. Ἀρχ. «Πάτερ θεοφόρε, πατέρων ἀκρότης», φ. 133.

31. Εὐθυμίου «κανὼν παρακλητικὸς εἰς τὸν ὅσιον καὶ θαυματουργὸν Λουκᾶν». Ἦχος πλ. β'. Ἀρχ. «Ἐν κατανύξει καρδίας», φ. 134.

32. «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἦχος πλ. β'. Ἀρχ. «Χαῖρε τῶν πατέρων τὸ εὔφημον κράτος», φ. 135.

33. «Ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, φέρων ἀκροστιχίδα τὸν ἀλφάβητον, ἐν δὲ τοῖς θεοτοκίοις: ἀντίληψις». Ἦχος πλ. δ'. Ἀρχ. «Ἁγίων ἁγία μήτηρ», φ. 135β.

33. Ἰωσὴφ «κανὼν παρακλητικὸς τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου, φέρων ἀκροστιχίδα τήνδε: Δέχου δέησιν ὀγδόην, Θεοῦ φίλε, τοῦ Ἰωσήφ». Ἦχος πλ. δ'. Ἀρχ. «Δεσμεῖν τε καὶ λύειν ἐπὶ τῆς γῆς», φ. 136β. Ὅρα τὸ ἑξῆς βιβλίον: Κανόνες ὀκτώηχοι εἰς τὸν Θεολόγον Ἰωάννην· ποίημα Ἰωσὴφ τοῦ Ὑμνογράφου. Ἐν Λειψίᾳ 1799, σ. 57-64.

35. «Κανὼν παρακλητικὸς εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ καὶ εἰς τοὺς ἁγίους τε μ' μάρτυρας καὶ εἰς τὸν ἅγιον Εἰρήναρχον καὶ εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον, ἐν κινδύνοις καὶ θλίψεσιν». Ἦχος πλ. δ'. Ἀρχ. «Ἁγίων ἀγγέλων ὡς ἀρχηγός», φ. 137.

36. Ἰωσὴφ τοῦ μελῳδοῦ «κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, εἰς τοὺς ἁγίους ἀποστόλους, εἰς προφήτας μάρτυρας ἱεράρχας καὶ ὁσίους, φέρων ἀκροστιχίδα τήνδε: Δέησιν οἰκτρὰν τοῖς Θεοῦ δούλοις φέρω». Ἦχος πλ. δ'. Ἀρχ. «Δῆμος σεπτῶν ἐκδυσωπῶ σου Κύριε», φ. 138.

37. «Κανὼν ψαλλόμενος τῇ ε' τῆς ε' ἑβδομάδος τῶν νηστειῶν. Ποίημα Ἀνδρέου Κρήτης» εἰς ἦχον πλ. β'. Ἀρχ. «Πόθεν ἄρξομαι θρηνεῖν τὰς τοῦ ἀθλίου μου βίου πράξεις», φ. 139β.

38. «Στιχηρὰ εἰς τοὺς αἴνους, φέροντα ἀκροστιχίδα κατὰ στοιχεῖον». Ἦχος δ'. Ἀρχ. «Ἅπας ὁ βίος μου μετὰ πορνῶν», φ. 144 κἑ.

39. «Ἐκλογάδιον σὺν Θεῷ ἐνεπίτομον τοῦ ὅλου χρόνου, ἔχοντα [sic] δὲ καὶ τὰ Μυτιληναϊκά», φ. 145 κἑ. Μηναῖα ἐνεπίτομα, περιέχοντα κανόνας ἑορτῶν τινων, ἀπολυτίκια στιχηρά, στίχους κτλ., λόγου τινὸς ἄξια διὰ τοὺς περὶ τὴν ἐκκλησιαστικὴν ὑμνολογίαν ἀσχολουμένους.

40. «Τυπικὸν ἐνεπίτομον, ἀρχόμενον ἀπὸ τοῦ Τελώνου καὶ

τοῦ Φαρισαίου ἄχρι τῶν ἁγίων πάντων», φ. 194β.—Προσθῆκαι καὶ σημειώματα τοῦ καλλιγράφου, φ. 199.

41. Προσθῆκαι μεταγενέστεραι. α') «Ἀπολυτίκιον τοῦ ἁγίου Λουκᾶ τοῦ Γουρνικίτου· ἦχος γ', πρὸς τὸ Θείας πίστεως». Ἀρχ. «Μέγας γέγονας», φ. 199β. — β') Ἀποστολοευαγγέλιον εἰς μάρτυρας, φ. 200.—γ') «Τυπικὸν μοναχοῦ τινος πρός τινα τῶν παίδων αὐτοῦ». Ἀρχ. «Πολλάκις μὲ ἠξίωσας», φ. 201. Ἔμμετρον.— δ') «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀββᾶ Ἡσαΐου, ἐντολαὶ τοῖς ἀδελφοῖς τοῖς μετὰ ταῦτα». Ἀρχ. «Θέλοντες μεῖναι», φ. 203. — ε') Στιχηρὰ διὰ τὸν Εὐαγγελισμόν, τὸν ἅγιον Στέφανον, τὴν Μεταμόρφωσιν, τὴν κοίμησιν τῆς Θεοτόκου κτλ., φ. 204 κέ. — ς') Ἀναγνώσματα προφητειῶν, φ. 207.—ζ') «Προκείμενα ἄμνημα, ψαλλόμενα ἐν ταῖς λειτουργίαις τῶν Κυριακῶν ἡμερῶν», φ. 208β. Καὶ τέσσαρα φύλλα βαμβακεροῦ χάρτου, περιέχοντα τὰ ἐξαποστειλάρια καὶ τὰ ἑωθινὰ εὐαγγέλια. Κατὰ δέ τινα σημείωσιν ἀραβικὴν (φ. 208β) τὸ βιβλίον ὑπῆρχε τινὸς Ἰωσὴφ υἱοῦ Ἰακώβου τοῦ Μιχαήλ.

363. Τεῦχος ἐκ μεμβράνης ἀκέφαλον, ἀριθμοῦν ἤδη φύλλα 167, ὅπερ ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ἐνδεκάτης ἑκατονταετηρίδος· ἔχει δὲ κατὰ σελίδα πᾶσαν κείμενον ἐκ μιᾶς στήλης, γραμμὰς 24 ἀριθμούσης ($0{,}215 \times 0{,}165 = 0{,}15 \times 0{,}11$), ὅ ἐστι τοὺς λόγους Ἰωάννου τοῦ Σχολαστικοῦ, τοῦ τῆς Κλίμακος, ἀρχὴν ποιουμένου τοῦ κώδικος ἀπὸ τοῦ τρίτου λόγου, τοῦ περὶ ξενητείας· ἐν δὲ τῇ προσθίῳ σελίδι τοῦ 156-ου φύλλου προσετέθη ἔτει 1256-ῳ κόσμημα ποικιλόχρουν, σχήματος παραλληλογράμμου τετραγώνου, ὅπερ ἀπεικάζει δάπεδον ἐκ μουσείου συντεθειμένον· ὑπὸ δὲ τὸ κόσμημα προσέγραψεν ὁ τεχνίτης αὐτοῦ τὸ «Μηνὶ μαΐω κε', ἰνδικτιῶνος ιδ' ἔτους ͵ςψξδ'». Καὶ ἐν τῇ δευτέρᾳ σελίδι τοῦ αὐτοῦ φύλλου γέγραπται παρὰ τοῦ καλλιγράφου σχῆμα κλίμακος ἐρυθρᾶς, ἧς ἑκάστη βαθμὶς ἐνέχει τὸ ὄνομα μιᾶς τῶν ὑπὸ τοῦ πατρὸς Ἰωάννου περιγραφεισῶν ἀρετῶν· ἑτέρα δὲ κλίμαξ ἐσχεδιάσθη ἐν τῷ 157-ῳ φύλλῳ, ἔχουσα παρὰ τὴν βασιν αὐτῆς ἐπίγραμμα τρίστιχον· «Πίστις τὰ χρηστὰ τῶν

καλῶν πάντων φέρει, | ἐλπὶς δὲ ποιεῖ καρτερεῖν ἐν τοῖς πόνοις, | ἡ δ' αὖ τελειοῖ προσφυῶς ἡ ἀγάπη». Μετὰ δὲ τοῦτο γέγραπται λόγος ὁ «πρὸς τὸν ποιμένα». Ἔνδον δὲ τῆς δευτέρας πινακίδος ὁ δέτης ἔθετο φύλλα δύο μεμβράνινα, μέρος ὄντα κώδικος ἑτέρου τῆς ιγ' ἑκατ., ἐν οἷς ἀναγινώσκεται τεμάχιον Βασιλείου τοῦ μεγάλου περὶ κοινοβίων, καὶ ἕτερον αὖ τῶν ἀποστολικῶν διαταγῶν.

364. Τεῦχος τῆς ἑνδεκάτης ἑκατ. ἀριθμοῦν φύλλα 205, ὧν τὸ κείμενον ὑπάρχει κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον καὶ ἐκ γραμμῶν 26 ($0,205 \times 0,168 = 0,146 \times 0,11$)· καὶ ἔνδον μὲν τῆς πρώτης πινακίδος ὑπάρχει φύλλον ἓν κεκολλημένον ἄλλου τινὸς κώδικος, ἐν ᾧ γέγραπται ἡ τῆς θείας Κλίμακος ὑπόθεσις· μετὰ δὲ τοῦτο τὸ καθ' αὑτὸ βιβλίον, τοὺς λόγους ἅπαντας ἔχον Ἰωάννου τοῦ Σχολαστικοῦ καὶ πρὸ τούτων ἐνεπίτομον αὐτοῦ βίον, ἐπίγραμμα Δανιὴλ μοναχοῦ, τῶν λόγων ὑπόθεσιν καὶ δύο ἀμοιβαῖα γράμματα Ἰωάννου τοῦ Ῥαϊθηνοῦ καὶ Ἰωάννου τοῦ Σχολαστικοῦ· μεθ' ἃ φαίνεται φύλλων ἑπτὰ παλαιὸν ἔλλειμμα. Εἰσὶ δὲ καὶ ἐν τούτῳ τῷ τεύχει, καθάπερ ἐν τοῖς λοιποῖς ὁμοίοις, σχήματα δύο κλιμάκων μετὰ τῶν εἰθισμένων ἐπιγραφῶν (155^α καὶ 156^α)· ἕπεται δ' αὐταῖς ὁ πρὸς τὸν ποιμένα λόγος· μεθ' ὃν ὁ καλλιγράφος προσέθετο 278 «Σχόλια τῆς θείας καὶ ἱερᾶς Κλίμακος τῶν ἀπορρήτων» (φ. 169—205), ὧν ἡ ἀρχή· «Νοεραὶ νεάνιδες αἱ ψυχικαὶ καταστάσεις εἰσίν». Ἐν δὲ τῇ τελευταίᾳ σελίδι κεῖται «Δόγμα περὶ τριάδος» ἐν πίνακι γεγραμμένον καὶ σημείωμα τῆς ιγ' ἑκατ., ἔχον ὧδε· «†Ἐδόθη ταῦτη ἡ βίβλος παρὰ τοῦ ἡ — —.χοροῦ — — — πρὸς τὸν ταπεινὸν — — — — — αὐτὸς δὲ ἐγὼ ἔθηκα αὐτὸ εἰς τὴν ἁγίαν μονὴν τοῦ Στύλου εἰς μνημόσυνόν μου, καὶ εὔχεσθε καμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ οἱ ἀναγινώσκοντες ταῦτην τὴν βίβλον». Καὶ πάλιν ἄλλο σημείωμα τῆς ις' ἑκατ. «Τοῦ ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν Ἱεροσολύμοις ὑπάρχ(ε)ι αὗτι ἡ βίβλος».

365. Τεῦχος ἐκ φύλλων χάρτου βαμβακεροῦ 287, γραφὲν τῇ τρίτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι, μήκους μὲν 0,256, πλάτους δὲ 0,175· ἔχει δὲ κείμενον ἐν μιᾷ κατὰ σελίδα στήλῃ γραμμὰς ἀριθμούσῃ 41 ($0,19 \times 0,12$). Ἔνδον δὲ τῆς πρώτης πινα-

κίδος ὑπάρχει φύλλον ἐξ ἀρχῆς ἄγραφον, ὅπερ τῇ ιζ' ἑκατ. περιέλαβε τὰ δύο ταῦτα σημειώματα· α') διὰ μονοκονδυλίας· «✝ Ὁ ταπεινὸς μητροπολίτης τῆς ἁγίας πόλεως Βηθλεὲμ Σπυρίδων (?). β') «1649 ✝ Τὸ παρὸν βιβλίον εἶναι τοῦ Ἁγίου Τάφου μέσα, τῆς μεγάλης ἐκκλησίας». Μετὰ δὲ ταῦτα πίναξ ὑπάρχει τῶν ἐμπεριεχομένων τῇ βίβλῳ, φύλλα πέντε καταλαμβάνων, ὧν τὸ πρῶτον ἀνεπληρώθη τῇ ις' ἑκατ. — (Τοῦ ὁσίου Νίκωνος παγκόσμιον) ἡ «Βίβλος τῶν ἑρμηνειῶν τῶν θείων ἐντολῶν τοῦ Κυρίου», διῃρημένη, κατὰ τὸν πρόλογον, εἰς λόγους ξη'· τὸ ἡμέτερον ὅμως ἀπόγραφον ἔχει μόνον τοὺς πρώτους λη' λόγους, ὧν ἕκαστος ὑπάρχει συντεθειμένος ἐκ τεμαχίων διαφόρων συγγραφέων, ἐκ ῥητῶν τῆς Γραφῆς, ἐκ τεμαχίων βίων τινῶν ὁσίων ἀνδρῶν καὶ ἐκ νόμων συνοδικῶν καὶ πολιτικῶν. Συγγραφεῖς. α') Χρυσοστόμου τεμάχη πολυάριθμα, β') τεμάχη Θεοδωρίτου, γ') Μαξίμου τοῦ ὁμολογητοῦ, δ') Βασιλείου τοῦ μεγάλου, ε') Ἰωάννου τοῦ Δαμασκηνοῦ, ε') Ἰσιδώρου τοῦ Πηλουσιώτου, ς') Νείλου τοῦ ἀσκητου, ζ') Βαρσανουφίου, η') Ἀμμωνίου πρεσβυτέρου, θ') Ἐφραὶμ τοῦ Σύρου, ι') Θεοδώρου τοῦ Στουδίτου, ια') Ἐπιφανίου Κύπρου, ιβ') Ἰγνατίου τοῦ θεοφόρου, ιγ') Δωροθέου, ιδ') Ἀθανασίου Ἀλεξανδρείας, ιε') Συμεὼν τοῦ Θαυμαστοορείτου, ις') Ἀναστασίου τοῦ Σιναΐτου, ιζ') Γρηγορίου τοῦ Διαλόγου, ιη') Ὀρσισίου, ιθ') Ἰωάννου Σχολαστικοῦ, κ') Ποιμένος τοῦ ἀσκητοῦ, κα') Διαδόχου, κβ') Κασσιανοῦ, κγ') Μαρκιανοῦ Βηθλεεμίτου δίς, κδ') Γρηγορίου τοῦ Θαυματουργοῦ, κε') Τιμοθέου Ἀλεξανδρείας, κς') Ἰωάννου τοῦ Νηστευτοῦ, κζ') Μάρκου τοῦ ἐρημίτου, κη') Φίλωνος τοῦ Ἑβραίου ἅπαξ, κθ') Κλήμεντος Ῥώμης, λ') Γρηγορίου Νύσσης, λα') Ἰσαὰκ τοῦ Σύρου, λβ') Πέτρου Ἀλεξανδρείας, λγ') Ἀλεξάνδρου [ἐκ τῶν ἐρωτήσεων αὐτοῦ πρὸς τὸν μέγαν Εὐσέβιον Ἀλεξανδρείας], λδ') Διονυσίου Ἀρεοπαγίτου, λε') Μακαρίου τοῦ Αἰγυπτίου, λξ') Ἡσαΐου τοῦ ὁσίου, λζ') Ταρασίου Κωνσταντινουπόλεως ἅπαξ, λη') Γενναδίου Κωνσταντινουπόλεως ἅπαξ, λθ') Ἰωάννου Καρπαθίου ἅπαξ, μ') Διδύμου, μα') Μεθοδίου Κωνσταντινουπόλεως.—Τεμάχη βίων ἐνίων ὁσίων ἀνδρῶν, οἷον Παχωμίου,

Σάβα, Ἰωάννου τοῦ Ἐλεήμονος, Ἐπιφανίου Κύπρου, Ἰωάννου τοῦ Χρυσοστόμου, Διονυσίου τοῦ Ἀρεοπαγίτου, Φιλήμονος, Χαρίτωνος, Δανιὴλ τοῦ Στυλίτου, Ἰωάννου ἡσυχαστοῦ τοῦ Ἁγιοσαβίτου, Παϊσίου, Εὐγενίου μάρτυρος, Θεοδώρου Ἐδεσσηνοῦ καὶ Εὐθυμίου τοῦ μεγάλου. Λεπτομερεστέραν ἀναγραφὴν ὅρα ἐν τῇ Bibliotheca Coisliniana, σ. 197 - 198, ἐν τῷ Catal. cod. MSS. bibl. Bavaricae, τ. IV, σ. 386 - 389, καὶ παρὰ τῷ Bandini, Cat. bibl. Medic. Laurent. τ. I, σ. 93-99.

366. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, ἀποτελούμενον ἐκ φύλλων 254, ὧν ἓξ μόνα μεταγενέστερα πάνυ τυγχάνει (φ. 3—8), προστεθέντα δι' ἀναπλήρωσιν ἀκεφάλου κειμένου τῇ ις' ἑκατονταετηρίδι· τούτων ὅμως ἐστὶν ἄγραφα δύο, τοῦ προσθέντος αὐτὰ ποιησαμένου τῆς ἀναπληρώσεως ἀρχὴν ἀπὸ τοῦ νῦν πέμπτου φύλλου τοῦ κώδικος. Ἔστι δὲ τὸ σχῆμα τοῦ βιβλίου παρόμοιον τῷ καλουμένῳ μεγάλῳ νῦν ὀγδόῳ· ἀπὸ δὲ τῆς ὀπισθίου σελίδος τοῦ 22-ου μέχρι τοῦ 245-ου φύλλου διακρίνεται παλαιὰ τῶν σελίδων ἀρίθμησις (1-477)· διαφέρει δὲ πολλαχοῦ καὶ ἡ γραφὴ τῶν ἐμπεριεχομένων, ἅπερ ἐστὶ μονόστηλα, γραμμὰς ἀριθμοῦντα 31 ἄχρι 37· διὸ καὶ φαίνεται τὸ τεῦχος εἶναι τριῶν ἢ δύο βιβλιογράφων ἔργον.

1. «Βίος καὶ πολιτεία τῶν ἁγίων ἐνδόξων καὶ φιλευσεβῶν μεγάλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης, καὶ φανέρωσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου», φ. 5 — 8. Συμπλήρωσις ἀκεφάλου βίου (φ. 9 — 22), σχέσιν πρὸς τὸ συμπλήρωμα κατὰ σύνταξιν οὐκ ἔχοντος· ὃν ἐγὼ προσεκτικῶς ἀντέγραψα καὶ δῶρον ἔδωκα τῷ φιλολόγῳ Jernsted, ἀσχολουμένῳ περὶ τὴν ἔκδοσιν αὐτοῦ τε καὶ ἄλλου τινὸς ἀπογράφου.

2. «Ἐκ τοῦ ἱστορικοῦ Νικηφόρου πατριάρχου, πῶς τρίτον προσκυνεῖται τὰ τίμια ξύλα»· ἐν δὲ τῷ κρασπέδῳ· «Ὅτι ἡ ἐν τῇ πρώτῃ τοῦ αὐγούστου μηνὸς τυπωθεῖσα προσκύνησις τῶν τιμίων ξύλων ἐπὶ Ἡρακλείου γέγονε τοῦ βασιλέως». Ἀρχ. «Ἡράκλειος λαβὼν ἐκ Περσίδος τὰ ζωοποιὰ ξύλα», φ. $22^{β}$ (Nicephori

opuscula ed. G. de Boor, σ. 22, 15—16). Μετὰ τὴν λέξιν «ἀνύψωσε» προστίθησιν ὁ κῶδιξ· «καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν περιέρχονται τὴν πόλιν μηνὶ αὐγούστῳ, ἅμα καὶ διὰ τὴν ἀναχώρησιν τῶν Βαρβάρων, φυλαχθείσης τῆς πόλεως τῇ δυνάμει τοῦ ἐν αὐτῷ προσηλωθέντος». Διάφοροι γραφαί: ἐλήφθησαν ὑπὸ Σαρβάρου || 6 τῷ αὐτῷ κλήρῳ || 7 σώαν ἐπιγινώσκουσι || 10 παρ' αὐτοῖς ἤγαγε καὶ ἀνοιγνύντος || 12 ἐκεῖσε, εἰς τὸ Βυζάντιον || 14 Βλαχερνῶν λιτανεύων ὑπεδέχετο || —Μετὰ δὲ τὸ «προσηλωθέντος» ὑπάρχει τόδε· «'Αλέξανδρος δὲ ὁ μοναχὸς ἱστορεῖ τὴν ὕψωσιν εἶναι διὰ τὸ ἀποσταλῆναι τὰ τίμια ξύλα ὑπὸ τῆς μακαρίας 'Ελένης, ὡς ἀνυψούμενα φανερὰ γένοιντο. 'Αλλὰ πρώτη μὲν αὕτη αἰτία τῆς ὑψώσεως, ἥτις τελεῖται κατὰ τὴν τεσσαρεσκαιδεκάτην σεπτεμβρίου μηνός· δευτέρα δὲ ἐκείνη· τρίτη δὲ ἐκφάνησις τῶν τιμίων ξύλων ἐστίν, ἡνίκα ἀπὸ 'Απαμείας μετεκομίσθησαν ἐπὶ 'Ιουστίνου, καὶ προσκυνοῦνται τῇ μεσονηστίμῳ· ἔστι δὲ τὸ ὑποπόδιον τοῦ Χριστοῦ· 'Αλφειὸς γὰρ ἐπίσκοπος 'Απαμείας ἀπεκόμισεν αὐτὰ εἰς 'Απάμειαν ἐξ 'Ιεροσολύμων, εἰληφὼς αὐτὰ ἐκ τοῦ ἰδίου ἀδελφοῦ, ἀρχιεπισκόπου 'Ιεροσολύμων. Ἄλλοι δὲ φασὶ σὺν τῇ μακαρίᾳ 'Ελένῃ συχνοὺς ἀπελθεῖν ἀρχιερεῖς, σὺν αὐτοῖς δὲ καὶ ὁ τῆς 'Απαμείας ἐπίσκοπος· ὃς αἰτεῖ μέρος τοῦ τιμίου ξύλου παρὰ τῆς βασιλίσσης εἰς ἀνοικοδομὴν ἐκκλησίας, καὶ εἰληφὼς ἤγαγεν εἰς 'Απάμειαν· φωραθέντων δὲ ἐπὶ 'Ιουστίνου, τὰ μὲν κρατηθῆναι ἐκεῖσε, τὰ δὲ ἀποκομισθῆναι τῷ βασιλεῖ».

3. «Κανόνες περὶ γάμων καὶ πολυγάμων συνοδικῶς ἐκδοθέντες ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπὶ τῆς βασιλείας Κωνσταντίνου, τοῦ πρώτου κληθέντος Πορφυρογεννήτου, καὶ τοῦ ἁγιωτάτου πατριάρχου Νικολάου καὶ μητροπολιτῶν καὶ ἐπισκόπων πολλῶν». 'Αρχ. «'Η δὲ αἰτία τῶν κανόνων, ὅτι Λέων ὁ σοφὸς ἐπεὶ παρὰ τῶν προλαβουσῶν» κτλ., φ. 22β.

4. «Συνοδικαὶ λύσεις καὶ προτροπαὶ περὶ μεγαλοσχήμων τοῦ λειτουργεῖν». 'Αρχ. «'Ο ἁγιώτατατος οἰκουμενικὸς» κτλ., φ. 23. 'Ιεροσολ. Βιβλιοθ. I, σ. 270-271.

5. (Γερμανοῦ ἐξήγησις τῆς θείας λειτουργίας) ἀκέφαλος, ἀρ-

χομένη τῶν λέξεων τούτων· «τὸ δὲ ἐν τῇ λόγχῃ ἀποκαθαίρεσθαι σημαίνει τὸ ὡς ἐπὶ σφαγὴν ἤχθη» κτλ., φ. 24-25 (Н. Красносельцева, Свѣдѣнія о нѣкоторыхъ литургическихъ рукописяхъ ватиканской библіотеки. Καζὰν 1885, σ. 339 κέ). Τέλος· «Κοινωνία κέκληται ἡ τῶν θείων μυστηρίων μετάληψις, διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνωσιν καὶ κοινωνοὺς ἡμᾶς ποιεῖν τῆς αὐτοῦ βασιλείας». — Ὅτι τὸ ἑλληνικὸν κείμενον τῆς εἰρημένης ἐξηγήσεως ἀτελὲς ἐν τοῖς χειρογράφοις ὑπάρχει, καταφανὲς ἐγένετο διὰ τῆς ἐσχάτης ἐκδόσεως τοῦ σοφοῦ Κρασνοσέλτζεβ· καὶ τὸ ἱεροσολυμιτικὸν ἀπόγραφον ἀτελὲς ὡσαύτως ὑπάρχει καὶ πάνυ συντετμημένον· περιέχει μέντοι διαφερούσας τινὰς ἀναγνώσεις ἀξίας λόγου καί τινα πάλιν ἄγνωστα κεφάλαια, ὧν ἐγὼ δύο μόνα παρατίθεμαι νῦν ὧδε. (Ἐκδ. Κρασν. σ. 346). «Τὸ ἐκφωνεῖν ἕνα τῶν ψαλτῶν ἐκ τοῦ ἄμβωνος, προσέχοντα τῷ θυσιαστηρίῳ, "Εὐλογήσατε κῦρι τὸ δόξα", σημαίνει τὴν τρισυπόστατον μίαν θεότητα δέεσθαι ὡς ἐκ πάσης τῆς ἐκκλησίας εὐλογηθῆναί παρ' αὐτῆς, ὡς καταξίαν, καθόσον ἐφικτὸν αὐτῇ ἀνθρώποις οὖσι καταξιωθῆναι σὺν ταῖς ἀσωμάτοις θείαις δυνάμεσι τὸν χερουβικὸν καὶ τρισάγιον ὕμνον αὐτῇ τῇ ἁγίᾳ τριάδι ἀναμέλπειν· καὶ γὰρ διὰ τοῦ εἰπεῖν αὐτὸν "εὐλογήσατε", τὰς τρεῖς ὑποστάσεις ἐδήλωσε· διὰ δὲ τοῦ προσθεῖναι τὸ "κῦρι", τὴν μίαν φύσιν ἐτράνωσε τῆς θεότητος». — — «Τὸ δὲ "καὶ τῷ πνεύματί σου" παρὰ τοῦ λαοῦ ἀποκρινόμενον, τοῦτο δηλοῖ· ὅτι εἰρήνην μὲν παρέσχες, Κύριε, τὴν ἐν ἀλλήλοις ὁμόνοιαν· εἰρήνην δὲ δὸς ἡμῖν τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν, ἵνα καὶ τῷ πνεύματί σου εἰρηνεύοντες ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν».

6. «Μερικὴ λύσις καὶ ἑρμηνεία τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος». Ἀρχ. «Τὸ μοναχικὸν σχῆμά ἐστι κατὰ μίμησιν» κτλ., φ. 25. Ἀντεγράφη.

7. «Ὁ λόγος οὗτος καὶ λίαν ὠφέλιμος καὶ πάσης σοφίας μεστός.—Περὶ ἀρετῶν καὶ παθῶν ψυχικῶν καὶ σωματικῶν». Ἀρχ. «Ἰστέον ὅτι διπλοῦς ὢν ὁ ἄνθρωπος, ἤγουν ἐκ ψυχῆς συνεστηκὼς καὶ σώματος», φ. 25β.

8. «Ἐκ τῆς ἑξαημέρου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καππαδοκίας» ἀποσπάσματα, φ. $30^{β}$.

9. «Σχόλαια εἰς διάφορα κεφάλαια τῆς Κλίμακος», φ. 59.

10. «Ἰωάννου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων, λόγος περὶ ἀζύμων», οὗ ἡ ἀρχή· «Ἔδει μὲν ἀνῃρημένου καθόλου τοῦ γράμματος», φ. 68.—Λόγος δεύτερος, οὗ ἡ ἀρχή· «Πάλαι γάρ τινες γιγαντιαῖοι», φ. $75^{β}$.—Λόγος τρίτος «ὃν συνεγράψατο ἐν Ἱεροσολύμοις κατὰ τὴν διάλεξιν, ἣν πρός τινα λατῖνον φιλόσοφον ἐποιήσατο». Ἀρχ. «Τὸν πολύπουν φασὶ τὸ παράπαν», φ. $82^{β}$. Καὶ οἱ τρεῖς λόγοι τύποις ἐξεδόθησαν ὑπὸ Δοσιθέου πατριάρχου Ἱεροσολύμων (Τόμος Ἀγάπης, ἐν Ἰασίῳ 1698)· Ἀνδρόνικος ὅμως ὁ Δημητρακόπουλος ἐθέλει τὸν τρίτον λόγον ἔργον εἶναι τοῦ μητροπολίτου Νικαίας Εὐστρατίου. Ἐκκλησ. Βιβλιοθ. τ. I, σ. ιθ'-κ'.

11. «Σύγγραμμα γενόμενον παρὰ Νείλου μοναχοῦ τοῦ Δοξαπατρῆ, κατὰ κέλευσιν τοῦ εὐγενεστάτου ῥηγὸς Σικελίας Ῥογερίου, περὶ τῶν πέντε πατριαρχικῶν θρόνων καὶ τῶν ὑπ' αὐτοὺς (cod. αὐτὰς) ἀρχιεπισκοπῶν καὶ μητροπόλεων καὶ τῶν ὑπὸ τὰς μητροπόλεις ἐπισκοπῶν καὶ τῶν ἐνοριῶν ἑκάστου πατριαρχικοῦ θρόνου καὶ πῶς καὶ πότε συνέστη ἕκαστος, καὶ περὶ τῆς τάξεως αὐτῶν καὶ τῶν ἰδικῶν ἑκάστου ὀνομάτων, καὶ τίνα λόγον ἐπέχουσι· συνεγράφη δὲ ἔτους ͵ςχνα' ἰνδ. ς'». Ἀρχ. «Πανευγενέστατε αὐθέντα μου», φ. $90^{β}$. Τοῦτο δὲ τὸ κείμενόν ἐστι πάνυ διάφορον τοῦ τύποις ἐκδεδομένου. G. Parthey, Hieroclis Synecdemus, σ. 265 κἑ.

12. «Τοῦ τρισμακαριωτάτου Λιβερίου πάπα Ῥώμης ἐπιστολὴ πρὸς τὸν θεοφιλέστατον Ἀθανάσιον, ἀρχιεπίσκοπον Ἀλεξανδρείας· ὅτι τέλειον ἄνθρωπον ἀνέλαβεν ὁ Θεὸς Λόγος». Ἀρχ. «Ἔστιν οὖν ἡμῖν ἡ ὁμολογία», φ. 100. Migne τ. 28, σ. 1441.

13. Ἀθανασίου Ἀλεξανδρείας «ἀντίγραφον, ὃ ἔγραψε Λιβερίῳ πάπᾳ Ῥώμης, ὅτι τέλειον ἄνθρωπον ἀνέλαβεν ὁ Θεὸς Λόγος ὑπὲρ τῆς ἡμετέρας σωτηρίας». Ἀρχ. «Εἷς Θεὸς ἀθάνατος», φ. $100^{β}$. Migne τ. 28, σ. 1444.

14. Κεφάλαιά τινα τοῦ περὶ κατασκευῆς ἀνθρώπου συγγράμματος ἀρχιεπισκόπου Γρηγορίου Νύσσης, ἀρχόμενα τοῦ νῦν ἐν

τοῖς ἐντύποις ὀγδόου κεφαλαίου, οὗ ἡ ἀρχή· «Ὄρθιον δὲ τοῦ ἀνθρώπου τὸ σχῆμα», φ. 101-114. Migne τ. 44, σ. 144 κἑ.

15. (Ἀπολλοδώρου βιβλιοθήκης ἀποσπάσματα). «Γένεσις τῆς Ἑλένης ἐν ἐπιτομῇ καὶ ἁρπαγὴ καὶ ἅλωσις τῆς Τροίας». Ἀρχ. «Λέγεται ὡς τὴν Ἑλένην οὖσαν τοῦ Διὸς θυγατέρα», φ. 114β.— «Ἱστορία περὶ τοῦ Μινωταύρου». Ἀρχ. «Μίνως ὁ Διὸς υἱὸς» κτλ., φ. 122α. — «Περὶ τῆς διαβολῆς Φαίδρας εἰς Ἱππόλυτον». Ἀρχ. «Θησεὺς παραλαβὼν τὴν Ἀθηναίων δυναστείαν», φ. 123α.— «Κτήτορες τοῦ Ἰλίου τε καὶ Τροίας καὶ τῶν ἐποίκων αὐτῶν». Ἀρχ. «Δάρδανος ὁ ἐκ τῆς Ἠλέκτρας», φ. 124α. — «Περὶ τοῦ διιπετοῦς παλλαδίου ὁποῖον τὸ εἶδος καὶ τῆς περὶ αὐτοῦ τοῦ Ἴλου τιμῆς καὶ ἔτι τῆς αὐτοῦ γενεᾶς, τοῦ διιπετοῦς δηλονότι». Ἀρχ. «Ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου», φ. 124α.—«Περὶ Ἀσκληπιοῦ» καὶ ἐν τῷ κρασπέδῳ «Περὶ Ἀσκληπιοῦ, ὡς ὁ Ἀπόλλων Ἀρσινόῃ μιγεὶς τοῦτον γεννᾷ, καὶ περὶ τροφῆς καὶ παιδείας αὐτοῦ». Ἀρχ. «Ἀσκληπιὸς ὁ Ἀφαρέως υἱὸς» κτλ., φ. 124β.— «Περὶ Κάδμου». Ἀρχ. «Κάδμος μετὰ τὸ θάψαι» κτλ., φ. 125α.— «Περὶ γάμου Κάδμου καὶ Ἁρμονίας καὶ τῶν παίδων αὐτῶν καὶ ἔτι τοῦ Διὸς πρὸς Σεμέλην ἔρωτος καὶ τῆς ἐξ αὐτῆς Διονύσου γενέσεως». Ἀρχ. «Κάδμον δὲ Ἀθηνᾶ αὐτῷ ἔδωκε» κτλ., φ. 125α. — «Περὶ Ἀκταίωνος καὶ ὡς ὑπὸ τῶν ἑαυτοῦ διεσπάσθη κυνῶν». Ἀρχ. «Αὐτονόης δὲ Ἀρισταίου», φ. 125β.—«Περὶ Ζήθου καὶ Ἀμφίονος». Ἀρχ. «Ἀντιόπη θυγάτηρ ἦν Νυκτέως», φ. 125β. Πάντα δὲ τὰ τεμάχη ταῦτα συνεξέδωκα τύποις διὰ τοῦ Βονναίου περιοδικοῦ συγγράμματος Rheinisches Museum (τ. 46, σ. 161-192. Apollodori bibliothecae fragmenta Sabbaitica. Bonnae 1891), ἐν ᾧ καὶ τοῦ σοφωτάτου Bücheler ὑπεσημειώθησαν ἐπιστασίαι χρησιμώτατοι καί τινες εὐτυχέστατοι διορθώσεις εἰκαστικαί, ὧν ἐνίας ἐδικαίωσεν ὕστερον ἀπόγραφον ἑτέρων ἀποσπασμάτων ἐν Οὐατικανῷ φυλαττόμενον· ἄλλας δέ τινας ἀναγνώσεις, ὧν οὐκ ἐμνήσθην ἐν τῇ πρώτῃ μου τυπώσει, καταλεπτῶς ἀνεγραψάμην ἀμέσως ἐν ᾧ τύποις ἐξέδιδον ἐνταῦθα πρώτῳ τόμῳ τῶν Ἀναλέκτων Ἱεροσολυμιτικῆς Σταχυολογίας (1891, σ. ε')·

ὡμίλησε δὲ περὶ τῆς ἀξίας τῶν ὑπ' ἐμοῦ συνεκδοθέντων ἀποσπασμάτων εἰδικὸς ἐπιστήμων, ὁ Rich. Wagner (Epitoma Vaticana ex Apollodori bibliotheca. Lipsiae 1891, σ. xiv-xv. Die Sabbaitischen Apollodorfragmente ἐν τῷ Rhein. Mus. 1891, σ. 378-419).

16. «Ἀντίγραφον πίστεως ὑπαγορευθείσης παρὰ τοῦ ἁγιωτάτου Βασιλείου, ᾗ ὑπέγραψεν Εὐστάθιος ὁ Σεβαστείας ἐπίσκοπος». Ἀρχ. «Τοὺς ἢ προληφθέντας ἑτέρᾳ πίστεως ὁμολογίᾳ», φ. 126. Migne τ. 32, σ. 545.

17. «Ἐπιστολὴ τοῦ μεγάλου Βασιλείου πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν». Ἀρχ. «Τὸ τοῦ πράγματος ἄτοπον», φ. 127β. Migne 32, σ. 396.

18. Βαρσανουφίου πρὸς ἐρωτήσεις ἀποκρίσεις, φ. 129.

19. «Τοῦ ἁγίου Ἰσιδώρου πρὸς διάκονόν τινα». Ἀρχ. «Οἱ μὲν πταίοντες καὶ τοῖς ἱεροῖς μυστηρίοις» κτλ. φ. 131.

20. «Ἰωάννου μοναχοῦ περὶ προγνώσεως καὶ προορισμοῦ». Ἀρχ. «Χρὴ γινώσκειν ὡς πάντα μὲν προγινώσκει», φ. 132β.

21. Ἀναστασίου Σιναΐτου ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Πρὸς ταῦτα ἡμεῖς ἐροῦμεν, ὅτι ὅρος ἐστὶ παντὸς ἀνθρώπου», φ. 133.— «Τοῦ αὐτοῦ ζήτησις πολυζήτητος, εἰ ἡμέρα προτερεύει τῆς νυκτός, ἢ ἔμπαλιν ἡ νὺξ τῆς ἡμέρας». Ἀρχ. «Κατὰ μὲν τὴν μωσαϊκὴν τοῦ νόμου κοσμοποιίαν», φ. 133β.

22. «Τοῦ ἁγίου Νείλου περὶ δειλίας». Ἀρχ. «Ἐν ταῖς ὀψιναῖς οὖν ἐξιόντες», φ. 133β. — «Περὶ καταστάσεως προσευχῆς» καὶ «περὶ τῶν γενικῶν ἀρετῶν».

23. «Περὶ τῶν τρόπων τῆς τοῦ Θεοῦ προνοίας· τοῦ ἁγίου Μαξίμου». Ἀρχ. «Πάντα ἐκ Θεοῦ καὶ τὰ ἀγαθά», φ. 134. — Τοῦ αὐτοῦ «περὶ παραχρήσεως».

24. «Ἐκ τῶν τοῦ Εὐαγρίου». Ἀρχ. «Ὅταν ἐν ταῖς καθ' ὕπνον φαντασίαις», φ. 134β.

25. «Τοῦ ἁγίου Ἐφραὶμ» ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Τὴν σὴν διαστροφὴν μὴ ἐπίγραφε», φ. 135.

27. «Ἀποφθέγματα ὀνησιφόρα πατέρων ἁγίων, πῶς δεῖ καὶ ὡς χρὴ προσεύχεσθαι καὶ τί ἐστι προσευχή». Ἀρχ. «Εἶπε γέ-

47. Τοῦ αὐτοῦ λόγος ἕτερος, οὗ ἡ ἀρχή· «Χαῖρε τὴν ἀρετὴν ἡνίκα πράττεις», φ. 218.

48. «Τοῦ αὐτοῦ περὶ ἀρετῶν καὶ κακιῶν κεφάλαια ι'». Ἀρχ. «Ὁ φόβος τοῦ Θεοῦ», φ. 219.

49. Τοῦ αὐτοῦ λόγος παραινετικὸς πρὸς μονάζοντας». Ἀρχ. «Ἀκρασίαν βρωμάτων περικόπτει», φ. 219β. Migne σ. 1236.

50. «Τοῦ ἁγίου Ἐφραὶμ» τεμάχιον, οὗ ἡ ἀρχή· «Ἡσυχίαν μεταδιώξωμεν», φ. 220β.

51. «Γρηγορίου τοῦ Διαλόγου, ἀπόδειξις ποῦ αἱ τῶν τελευτώντων ψυχαὶ ἀπέρχονται καὶ πῶς εἰσι μετὰ τὴν διάζευξιν». Ἀρχ. «Ἐρώτησις Πέτρου· γνῶναι θέλω τιμιώτατε», φ. 220β.

52. «Διάλεξις ἁγίων γερόντων πρὸς ἀλλήλους περὶ λογισμῶν». Ἀρχ. «Ἐρώτησις· πῶς δεῖ εἶναι τὸν μοναχὸν ἐν τῷ κελλίῳ», φ. 221β.

53. «Τοῦ μακαρίου Μαξίμου περὶ τῶν δύο φύσεων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κεφάλαια δέκα». Ἀρχ. «Ὁ Ἄρειος τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖ», φ. 227β.

54. «Τοῦ αὐτοῦ ἕτερα κεφάλαια θεολογικὰ ιε'». Ἀρχ. «Ἕν ἐστι τὸ ὑπεράναρχον», φ. 228.

55. «Ὅροι σύντομοι ἁγίων πατέρων, περὶ οὐσίας καὶ φύσεως ὑποστάσεώς τε καὶ προσώπου. Τοῦ ὁσίου Μαξίμου μοναχοῦ καὶ ὁμολογητοῦ πρὸς Κοσμᾶν Ἀλεξανδρείας περὶ κοινοῦ καὶ ἰδίου, ἤγουν οὐσίας καὶ ὑποστάσεως, φύσεώς τε καὶ προσώπου». Ἀρχ. «Ἐπειδὴ περ πολὺς ἡμῖν κεκίνηται λόγος», φ. 229β (Migne τ. 91, σ. 544). Εἶτα τεμάχη περὶ τῆς αὐτῆς ὑποθέσεως.—«Τοῦ ὁσίου Μαξίμου ὅροι σαφηνίζοντες τί οὐσία καὶ φύσις πρόσωπόν τε καὶ ὑπόστασις, ὡσαύτως τί ἐνούσιον καὶ ὁμοούσιον ἐνυπόστατόν τε καὶ ὁμοϋπόστατον καὶ τὰ ἰδίως τούτοις θεωρούμενα». Ἀρχ. «Οὐσία καὶ φύσις ταὐτόν ἐστι», φ. 231.—«Τοῦ αὐτοῦ τί ἴδιον ὑποστάσεως καὶ ἐνυποστάτου οὐσίας καὶ ἐνουσίου». Ἀρχ. «Ὑποστάσεως ἴδιόν ἐστι», φ. 231β. — «Τοῦ αὐτοῦ περὶ τῶν δύο θελημάτων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν». Ἀρχ. «Τὸ Χριστὸς ὄνομα», φ. 232.

56. «Τοῦ ἁγίου Βαρσανουφίου». Ἀρχ. «Ἀδελφὸς ἠρώτησε

τὸν μέγαν Βαρσανούφιον, τί ἐστι πάτερ τὸ κόψαι ἐν πᾶσι τὸ θέλημα», φ. 232.

57. «Τοῦ μακαριωτάτου Θεοφυλάκτου ἀρχιεπισκόπου Βουλγαρίας ἑρμηνεία τοῦ Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς». Ἀρχ. «Εὐχὴ ἄλλο καὶ προσευχὴ ἄλλο», φ. 234. — «Τοῦ αὐτοῦ τί ἑρμηνεύεται εὐαγγέλιον». Ἀρχ. «Εὐαγγέλιον λέγεται, διότι ἀγγέλλει ἡμῖν» κτλ., φ. 234β. Λείπει τὸ τέλος.

58. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου κεφάλαια ἠθικὰ ἑκατὸν τεσσαράκοντα, ἡ λεγομένη Μέλισσα». Ἀρχ. «Οἱ ἄνθρωποι λογικοὶ καταχρηστικῶς λέγονται», φ. 235.

59. «Διδασκαλία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Εὐθυμίου πρὸς τοὺς ἑαυτοῦ μαθητάς». Ἀρχ. «Παρῄνει πατρικῶς πολλάκις καὶ κοινῇ πρὸς αὐτοὺς διελέγετο», φ. 245β. Τεμάχιον ἐκ τῆς ἀρχῆς, τῆς συνεχείας αὐτῆς ἐκπεσούσης.

60. Ἀκέφαλος διάλογος, οὗ αἱ πρῶται λέξεις· «ἑτέρου δὲ υἱοῦ κτιστοῦ καὶ πνεύματος πεποιημένου»· μετὰ δὲ τὸ τέλος· «Ἐπληρώθη σὺν Θεῷ ἡ τοῦ ἁγίου Ἀθανασίου κατὰ Ἀρείου ἀριστεία», φ. 246. Πρόσθες τὸ 1-ον καὶ τὸ 2-ον φύλλον τοῦ αὐτοῦ κώδικος, ἐν οἷς ὑπάρχει μέγα μέρος τοῦ αὐτοῦ διαλόγου· τὸ δὲ ὅλον ἀνάγνωθι παρὰ τῷ Migne τ. 28, σ. 440 κέ.

61. «Λόγος τοῦ μεγάλου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐκδοθεὶς παρ' αὐτοῦ πρὸς Ἀρμενίους, δοξάζοντας κακῶς μίαν φύσιν ἐπὶ Χριστοῦ». Ἀρχ. «Μάτην ὦ Ἀρμένιε ἀναγκάζεις», φ. 246-249α. Ἀ. Π. Κεραμέως, Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας I, σ. 116.

62. Τεμάχη τρία Βασιλείου Καισαρείας ἐκ τοῦ κατὰ Εὐνομίου γ' λόγου καὶ ἐκ τῆς εἰς Ἠσαΐαν ἑρμηνείας, φ. 249α.

63. «Τοῦ ἁγίου Κυρίλλου κεφάλαια δώδεκα κατὰ Νεστορίου περὶ ὀρθοδοξίας». Ἀρχ. «Εἴ τις οὐχ ὁμολογεῖ», φ. 249α.

64. Ἰωάννου τοῦ Χρυσοστόμου τεμάχιον «ἐκ τοῦ εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου» λόγου. Ἀρχ. «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ», φ. 251.

65. Κυρίλλου Ἀλεξανδρείας «ἐκ τοῦ πρὸς Ἀλεξανδρεῖς προσ-

φωνητικοῦ». Ἀρχ. «Ἐγὼ τὸ συγκεχραμμένον οὐ καταδέχομαι», φ. 251β.—«Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου». Ἀρχ. «Λύεται μὲν ὁ ναός» κτλ., φ. 251β.

66. Ἀθανασίου Ἀλεξανδρείας τεμάχη δύο· καὶ πάλιν «τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς», φ. 252α.

67. Βασιλείου Καισαρείας «ἐκ τῆς πρὸς Ἀέτιον τὸν Ἀρειανὸν διαλέξεως». Ἀρχ. «Οὐκ ἂν δυνήσῃ ποτὲ σὺ» κτλ., φ. 252α.

68. Κυρίλλου Ἀλεξανδρείας «ἐκ τῆς πρὸς Σούκενσον ἐπίσκοπον Διοκαισαρείας τῆς Ἰσαυρίων ἐπιστολῆς». Ἀρχ. «Μετὰ δέ γε τὴν ἀνάστασιν», φ. 252α.

69. Ἰωάννου Χρυσοστόμου «ἐκ τῆς πρὸς Καισάριον μονάζοντα ἐπιστολῆς». Ἀρχ. «Ποῖος ᾅδης ἠρεύξατο», φ. 252β.

70. «Λόγοι δογματικοὶ διαφόρων πατέρων ἁγίων, περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου». Ἀρχ. «Εἰ τὸ πῦρ μένον κατὰ χώραν ἑνοῦται τῷ σιδήρῳ», φ. 252β. Τέλος (φ. 254β)· «καὶ τριὰς ἔμεινεν ἡ τριὰς καὶ μετὰ τὴν τοῦ Λόγου σάρκωσιν».

367. Εὐχολόγιον τῆς ιϛ′ ἑκατ., ἐκ φύλλων χάρτου 164, ὧν τὸ κείμενόν ἐστι μονόστηλον καὶ ἐκ γραμμῶν 16 κατὰ σελίδα (0,22 × 0,105 = 0,127 × 0,072)· ἔχει δὲ τοῦτο καὶ κοσμήματα ταινιοειδῆ καὶ μεγάλα τινὰ κεφαλαιώδη καὶ πολυχρώματα στοιχεῖα. Περιεχόμενον·

1. «Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ», ἧς ἡ ἀρχή· «Ὁ ἱερεὺς ποιεῖ εὐλογητὸν καὶ λέγομεν τὸ τρισάγιον», φ. 2.

2. «Ἀκολουθία τῶν ἁγίων Θεοφανείων». Ἀρχ. «Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα πάντες ἐν τῷ λουτῆρι», φ. 9.

3. «Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ψαλλομένη ὑπὸ ἑπτὰ ἱερέων συναχθέντων ἐν τῇ ἐκκλησίᾳ ἢ ἐν οἴκῳ». Ἀρχ. «Εὐλογοῦντος τοῦ α′ ἱερέως», φ. 33β.

4. «Τάξις γινομένη εἰς τὸ φορέσαι τινὰ ῥάσον μόνον καὶ καμιλαύχιον». Ἀρχ. «Μετὰ τὴν ἀπόλυσιν τῶν ὡρῶν εἰσφέρουσιν τὸν μελλοκουρίτην», φ. 93.

5. «Τάξις καὶ ἀκολουθία τοῦ μικροῦ σχήματος, ἤτοι τοῦ μανδίου». Ἀρχ. «Ἀφ' ἑσπέρας εἰσφέρουσι τὰ ἱμάτια αὐτοῦ», φ. 97.

6. «Τάξις τοῦ θείου καὶ ἀγγελικοῦ μεγάλου σχήματος». Ἀρχ. «Ἀφ' ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια τοῦ μέλλοντος λαβεῖν τὸ ἅγιον σχῆμα», φ. 117ᵝ.

7. «Τάξις γινομένη εἰ συμβῇ τι μιαρὸν οἷον δήποτε ἐμπεσεῖν εἰς φρέαρ ὕδατος». Ἀρχ. «Χρὴ πρῶτον ἐξαντλῆσαι ἐκ τοῦ φρέατος κάδδους μ'», φ. 160ᵝ.

8. «Τάξις γινομένη εἰ συμβῇ τι μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου ἢ μέλιτος ἢ ἄλλου τινός». Ἀρχ. «Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα αἴρεσθαι», φ. 162ᵝ.

9. Προσθήκη δύο φύλλων ἄλλου τινὸς κώδικος, ἐν οἷς ὑπάρχει μέρος ἐμμέτρου προσευχῆς εἰς τὴν Θεοτόκον, φ. 165 καὶ 166.

368. Τεῦχος ἐκ χάρτου, συνιστάμενον ἐκ φύλλων 235, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον. Μήκους 0,212, πλάτους 0,105· ἐγράφη δὲ ἔτει 1687-ῳ. Ὅρα τὸ τελευταῖον φύλλον, ἔνθα γέγραπται τὸ σημείωμα τοῦτο· «Τέλος καὶ τοῦ παρόντος Λαυσαϊκοῦ κατὰ τὸ σωτήριον ἔτος ͵αχπζ' ... Ἐγράφη δὲ διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Λαυρεντίου ἱερομονάχου τάχα καὶ προτοσυγγέλου τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου· ὄντος μου γὰρ ἐν Τρίκη τῆς Θετταλίας, τρίτον ταξίδειον τοῦ ἐλθόντος μοι παρὰ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ· καὶ διὰ τὸ εἶναι πάντας τοὺς χριστιανοὺς ἐν πολλοῖς κινδύνοις καὶ ἀμετρίτοις φόβοις, κἀγὼ μὴ ἔχων ὁ τάλας τί ποιῆσαι, κληθέντος μου [=κλεισθέντος] ἔνδον τῆς κέλλης καὶ θρυνόντας τὰς πολλάς μου καὶ ἀναριθμίτους μοι ἁμαρτίας ἔγραψα ταύτην διὰ πόθου καὶ εὐλαβείας πολλῆς, ἀρχιερατεύοντος τοῦ πανιεροτάτου μρο(πολί)του Μακαρίου Λαρίσσης καὶ ἐπιτροπεύοντος Κωνσταντίνου ἱερέως τοῦ προτοπαπᾶ, τρίτον ἔτος ὧν τῆς Μαύρας καὶ Πρέβεζας ἀρθίσης παρὰ τῶν Βενετίκων».

1. (Παλλαδίου Ἑλενουπόλεως) ἱστορία Λαυσαϊκή, ἧς ἡ ἀρχή· «Ἐν ταύτῃ τῇ βίβλῳ ἀναγέγραπται ἐνάρετος ἄσκησις» κτλ., φ. 1—153. Μετ' αὐτὴν ἕτερα κείμενα, ἐξ ὧν κατ' ἐκλογὴν ἀναγράφω ταῦτα:

2. «Λόγοι ὠφέλιμοι καὶ διδακτικοὶ εἰς πᾶσαν χριστιανὸν εὐσεβῆ

καὶ ὀρθόδοξον, ἤγουν ἡ δεκάλογος ἣν ἔδωκεν ὁ Θεὸς τῷ θεράποντι αὐτοῦ». Ἀρχ. «Δέκα παραγγελίαις μεγάλαις», φ. 153.

3. «Διήγησις ἑτέρα γενομένη ἐν Κ/πόλει ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου βασιλέως Μαυρικίου περὶ Ἑβραίου τινὸς ἀρχιμάγου». Ἀρχ. «Ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου», φ. 167β.

4. Βασιλείου Καισαρείας «λόγος περὶ τοῦ ἀρνησαμένου τὸν Χριστὸν ἐγγράφως». Ἀρχ. «Ἑλλάδιος δὲ ὁ ἐν ὁσίᾳ τῇ μνήμῃ αὐτόπτης» κτλ., φ. 171.

5. «Περὶ τῆς ἀνοίξεως τῆς ἐκκλησίας τῆς ἐν Νικαίᾳ». Ἀρχ. «Μετὰ τῆς πρὸς ἡμᾶς ἀφίξεως Οὐάλεντος», φ. 180β.

6. «Περὶ τοῦ γενομένου θαύματος ὑπὸ τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου εἰς Πέτρον τὸν αὐτοῦ ἀδελφὸν καὶ τὴν ἰδίαν αὐτοῦ νύμφην». Ἀρχ. «Οὗτος ὁ Πέτρος», φ. 183.

7. «Περὶ τῶν διδομένων λειτουργιῶν τῶν ἱερέων διὰ σσαραντάρια, διὰ ζῶντας καὶ τεθνεῶτας τῶν ζώντων». Ἀρχ. «Ἕνας ἄρχων εἰς τὴν Νικομήδειαν εὑρίσκετον ἀσθενής», φ. 195β.

369. (Παλλαδίου Ἑλενουπόλεως ἡ πρὸς Λαῦσον ἱστορία), ἧς ἡ ἀρχή· «Προοίμιον τοῦ βίου τῶν ἁγίων πατέρων, τοῦ λεγομένου Λαυσαϊκοῦ. Ἐν ταύτῃ τῇ βίβλῳ ἀναγέγραπται» κτλ. Τεῦχος ἐκ χάρτου, περιέχον ἠριθμημένα φύλλα τλς΄, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν εἴκοσι ($0{,}22 \times 0{,}16 = 0{,}143 \times 0{,}098$)· ἐγράφη δὲ ἔτει 1566-ῳ, καθάπερ ὁμολογεῖ τὸ σημείωμα τοῦτο (φ. τιδ΄)· «Ἐτελειώθ(η) τὸ παρὸν βϊβλίον διὰ χειρὸς ἐμοῦ Λεοντίου ἀναγνώστ(ου) ἐκ τῆς περιωνύμου νήσσου Κύπρου ἐκ τοῦ προαστείου τῆς Ἁγίας Ἐγκλείστρας ἐπὶ ἔτους ͵ζοε΄ ἰνδ. ι΄ δεκεμβρίου ιβ΄: συνδρομῆς δὲ τοῦ ὁσιοτ(άτου) πατρὸς κυροῦ Ναθαναὴλ μοναχοῦ καὶ προσμοναρίου ἁγίας μονῆς τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου τῆς λεγομένης μεγάλης λαύρας, ἐν τοῖς μέρεσι τῶν Ἱεροσολύμων, ἵνα τελῇ εἰς τὴν ἄνωθεν μονὴν ἁγίαν λαύραν· καὶ ὅστις βουληθῇ ἆραι ἀπὸ τὴν ἄνωθεν μονὴν νὰ εἶναι ξένος τοῦ χοροῦ τῶν ὀρθοδόξων καὶ σύγκληρος Ἰούδα τοῦ Ἰσκαριώτου καὶ νάχῃ τὸν ἅγιον Σάβαν ἔνδικον ἐν τῇ ἡμέρα τῆς κρίσεως· ἔτους

δὲ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ͵αω φω ξω ϛ'». Παρ' ἄλλης δὲ χειρὸς ἐγράφη κατόπι α') λόγος ἀσκητικός, οὗ ἡ ἀρχή· «Εὑρισκόμενος ποτὲ εἰς τὴν ἔρημον τῆς ἱερᾶς Θηβαΐδος», φ. τιη'.—β') Βίος τοῦ ὁσίου Μακαρίου τοῦ Ῥωμαίου, οὗ ἡ ἀρχή· «Παρακαλοῦμεν ὑμᾶς ἀδελφοί» κτλ., φ. τκβ'.

370. Τεῦχος ἐκ φύλλων χάρτου 310, γραφὲν τῇ ιζ' ἑκατονταετηρίδι· Ἐπιγραφή· «Ἀρχόμεθα γράψαι ἐκ τῶν ἐκλεκτῶν καὶ ἐναρέτων βίων τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, ἐκ τοῦ παρόντος πατερικοῦ τοῦ εὑρισκομένου ἐν τῇ μονῇ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, κάτω ἐν τῇ ἐρήμῳ· οὗ ἡ ἀρχὴ ἐκ τῶν μιλιαρισίων». Ἀρχ. «Ἐν Σάμῳ τῇ νήσῳ διηγήσατό μοι θεοφιλὴς καὶ φιλόπτωχός τις γυνὴ Μαρία, ἡ μήτηρ τοῦ κυροῦ Παύλου κανδιδάτου» κτλ.

371. Ἰωάννου Σχολαστικοῦ τοῦ τῆς Κλίμακος ἅπαντα τὰ ἔργα καὶ βίος αὐτοῦ καὶ ἐπιγράμματα. Ἐπιγραφὴ ἐν τῷ 16-ῳ φύλλῳ· «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἡγουμένου τῶν ἐν τῷ Σινᾷ ὄρει μοναχῶν, λόγοι ἀσκητικοὶ περὶ ἀρετῆς καὶ κακίας ἀποσταλέντες πρὸς τὸν ἀββᾶν Ἰωάννην, ἡγούμενον τοῦ ὄρους τῆς Ῥαΐθου· εἰσὶ δὲ οἱ λόγοι ἐν κεφαλαίοις τριάκοντα· ὅθεν καὶ κλίμαξ ἡ βίβλος ὠνόμασται».—Φύλλ. 437β «Ἑρμηνεία τοῦ τριμεροῦς τῆς ψυχῆς». Ἀρχ. «Τριμερὴς τοίνυν οὖσα» κτλ. — Φύλλ. 438β. «† Σωθῇ ὁ γράψας ἐλεηθῇ ὁ ἔχων:— | † Μιχαὴλ ὁ Κουβιστιάνος γράψας αὐτόν». Τεῦχος ἐκ χάρτου τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, ἔχον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον κείμενον ἐξ 22 γραμμῶν (0,22 × 0,15 = 0,148 × 0,08).

372. Τεῦχος ἐκ χάρτου διμερές, γραφὲν ἀμφὶ τὸ τέλος τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος· ἀριθμεῖ δὲ φύλλα 281 (μήκους 0,217, πλάτους 0,105), ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 24 (0,155 × 0,85). Ἔνδον τῆς πρώτης πινακίδος ὁ δέτης ἔθετο φύλλα πέντε καὶ ἐν αὐτοῖς ἐσημειοῦντο κατὰ καιροὺς (1507-1516, 1575-1580) ὀνόματα μοναχῶν (ἐκ Κρήτης?) ἀποθνησκόντων· νῦν ὅμως ἐσώθη τρία μόνα

φύλλα, τῶν ἐπιλοίπων ἀποσχισθέντων, ὡς αἱ μείνασαι τούτων ἄκραι δεικνύασι. Περιεχόμενον·

1. «Διήγησις ἐκ τῶν ἑρμηνειῶν Ἰωάννου τοῦ τῆς Κλίμακος». Ἀρχ. «Στέφανός τις οἰκῶν ἐν τῇ ἐρήμῳ», φ. 1.

2. «Βίβλος Βαρλαὰμ σὺν λαμπρῷ Ἰωάσαφ.—Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης, ἀπελθόντων τιμίων ἀνδρῶν πρὸς τὴν ἁγίαν πόλιν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα καὶ ἀπαγγειλάντων, συγγραφεῖσα παρὰ Ἰωάννου τοῦ Δαμασκηνοῦ». Ἀρχ. «Ὅσοι πνεύματι Θεοῦ ἄγονται», φ. 3 μέχρι τοῦ 248-ου φύλλου, ἔνθα γέγραπται μετρικὸν ἐπίγραμμα τοῦ καλλιγράφου, ἔχον ὧδε· «Γραφεὺς πενιχρός, μόλις ἦλθεν εἰς τέλος· | ὅσοι τοῦτο φέροντες ἐν χερσὶν τὸ βιβλίον | μέμνηστε κἀμοῦ τοῦ ταπεινοῦ καὶ θύτου | μοναχοῦ τε Ἰωσὴφ τοῦ Συμινάκη | καὶ μὴ μέμφεσθε αὐτῷ ἐκ τῶν σφαλμάτων, | ὅτι οὐδαμῶς ἔτυχον προσῳδείας· | τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις» (Σημείωσαι δὲ ὅτι ἐν τῷ πρώτῳ προσθέτῳ φύλλῳ τοῦ κώδικός ἐστι σημείωμα τοιόνδε· «† ,αφη' (1508) μηνὶ φευρ. ι' ἐκοιμήθ(η) ὁ δοῦλ(ος) τοῦ Θεοῦ Ἰωσὴφ ἱερομόναχος Συμινάκ(ης), ἡμέρα Σαββάτω»). Μεθ' ἓν ἄγραφον φύλλον ὑπάρχει τεῦχος ἕτερον ἐκ λβ' φύλλων ἠριθμημένων, ὅπερ ἐμπεριέχει πέντε λόγους Ἰωάννου τοῦ Χρυσοστόμου· α') «Λόγος εἰς τὸ σωτήριον πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν». Ἀρχ. «Δεῦρο καὶ σήμερον ὦ μακάριε», φ. 250.— β') «Λόγος εἰς τὸν Φαρισαῖον καὶ εἰς τὴν πόρνην καὶ εἰς τὴν προδοσίαν καὶ εἰς τὴν ἄρνησιν τοῦ Πέτρου καὶ εἰς τὸν προφήτην Δαβίδ». Ἀρχ. «Δαψιλῶς ὄντως ἐδεξιώσατο», φ. 260β.—γ') «Λόγος εἰς τὸ ἅγιον πάσχα τῇ νέᾳ Κυριακῇ». Ἀρχ. «Νικᾷ καὶ μόνη ἡ ὄψις τῆς ἑορτῆς», φ. 270. — δ') «Λόγος ἕτερος εἰς τὸ ἅγιον πάσχα». Ἀρχ. «Σφόδρα μοι καὶ νῦν», φ. 274. Migne τ. 62, σ. 753.—ε') Ὁμιλία εἰς τὴν εὐαγγελικὴν περικοπὴν τὴν λέγουσαν "γάμος ἐγένετο ἐν Κανᾷ" κτλ. Ἀρχ. «Οἱ νεοττοὶ τῶν χελιδόνων», φ. 277 (Migne τ. 48, σ. 1075). Λείπει τὸ τέλος.—Καὶ πάλιν φύλλα δέκα τῆς ιη' ἑκατ., περιέχοντα λόγον ἐν παραφράσει.

373. Τεῦχος ἐκ χάρτου τῆς ις' ἑκατ. (0,212×0,16=0,144×0,08), ἐμπεριέχον ἠριθμημένα φύλλα υε'· τούτων ὅμως ἡ ἀρίθμησίς ἐστιν ἐσφαλμένη. Ἔνδον τῆς πρώτης πινακίδος· «† Τὸ παρὸν βιβλίον ὑπάρχει χαμοῦ Γερμανοὺ ἱερομονάχου καὶ ἐπίρα το ἄποτον Νικάνορα διά διο φλουρία». Ἐν ἀγράφῳ τινὶ φύλλῳ περὶ τὸ τέλος τοῦ κώδικος· «εἶναι τοῦ διδασκάλου χατζῆ Κονσταντίνου». Ἐν φ. ϟβ' «† τὸ παρὸν βιβλίον ἀφιερώθη εἰς τὸ μοναστήριον τοῦ ἁγίου Σάβα» κτλ. Περιεχόμενον. 1) «Λεοντίου πρεσβυτέρου Κωνσταντινουπόλεως λόγος εἰς τὰ βάϊα καὶ εἰς τὸν Λάζαρον». Ἀρχ. «Τοὺς τῆς εὐσεβείας καθηγητὰς» κτλ., φ. α'.— 2) «Τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ λόγος εἰς τὸν πάγκαλον Ἰωσήφ· τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου». Ἀρχ. «Ὁ Θεὸς τοῦ Ἀβραάμ», φ. ιγ'.—3) Ἰωάννου Χρυσοστόμου «λόγος εἰς τὰς δέκα παρθένους». Ἀρχ. «Ὅταν τὸ εὐδαπάνητον τῆς ζωῆς», φ. ν'.—4) Λόγος ἀνεπίγραφος, οὗ ἡ ἀρχή· «Ἐπαινετὸς μὲν ἔστιν καὶ οὕτως τῆς ἐκκλησίας ὁ νόμος», φ. νη'.—5) Βίος τοῦ ὁσίου Ξενοφῶντος. Ἀρχ. «Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν», φ. οδ'.—6) Βίος τοῦ ὁσίου Ἀλεξίου. Ἀρχ. «Ἐγένετο ἐν τῇ Ῥώμῃ ἀνήρ τις», φ. ϟβ'.—7) «Πράξεις καὶ πολιτεία τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τῇ Ἰνδίᾳ, ὅτε τὸ ἐν οὐρανοῖς παλάτιον ᾠκοδόμησεν τῷ βασιλεῖ τῶν εἰδώλων». Ἀρχ. «Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν πάντες οἱ ἀπόστολοι», φ. ρδ'. — 8) «Διήγησις περὶ τοῦ ἁγίου Χριστομαίου ὁποῦ ἐσυνώδευσεν τοῖς ἁγίοις ἀποστόλοις εἰς τὴν πόλιν τῶν Πάρθων». Ἀρχ. «Καθημένων τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Ἀνδρέου μετὰ τῶν δύο μαθητῶν αὐτῶν Ῥούφου καὶ Ἀλεξάνδρου ὑπό τινα σκιὰν τοῦ ὄρους» κτλ., φ. ριζ'. — 9) «Διήγησις περὶ τῆς αἰχμαλωσίας Ἱερουσαλὴμ εἰς τὰ παραλειπόμενα τοῦ ἁγίου Ἱερεμίου τοῦ προφήτου». Ἀρχ. «Ἐγένετο ὅτε αἰχμαλωτίσθησαν», φ. ρχθ-ρμβ'. Τὸ τέλος ἐλλείπει διὰ τὴν ἀποκοπὴν ἑνὸς φύλλου. — 10) «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰακώβου Ἱεροσολύμων λόγος εἰς τὴν γέννησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἀρχ. «Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν», φ. ρμδ'. — 11) Γερμανοῦ Κωνσταντινουπόλεως

ἐγκώμιον εἰς τὰ εἰσόδια τῆς Θεοτόκου. Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἑτέρα πανήγυρις», φ. ρνε'. — 12) Ἀμφιλοχίου Ἰκονίου «ἐγκώμιον εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ εἰς τὴν Ἄνναν καὶ εἰς τὸν Συμεὼν καὶ εἰς τὴν ὑπαπαντὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Πολλοὶ τῶν μεγάλων ἀνθρώπων», φ. ρξδ'. — 13) Ἰωάννου Θεσσαλονίκης ἐπισκόπου λόγος εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. Ἀρχ. «Αὕτη ἡ βίβλος τῆς ἀναπαύσεως Μαρίας καὶ ἅπερ αὕτη ἀπεκαλύφθη», φ. ρπγ'.—14) Εὐσεβίου Νικομηδείας «λόγος κατηχητικὸς περὶ τῆς ἁγίας καὶ θεοτιμήτου Κυριακῆς». Ἀρχ. «Μετὰ τὴν ἀπόλυσιν τῆς ἐκκλησίας», φ. σι'. — 15) Ἀθανασίου Ἀλεξανδρείας διήγησις περὶ τῆς ἐν Βηρυτῷ εἰκόνος τοῦ Χριστοῦ. Ἀρχ. «Ἄρατε τοὺς ὀφθαλμοὺς ὑμῶν», φ. σιθ'.—16) «Διήγησις περὶ τοῦ θαύματος τοῦ εἰς τὸν παῖδα γενομένου παρὰ τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος πάπα Ῥώμης». Ἀρχ. «Θαυμαστὸς ὁ Θεός», φ. σκς'.—17) Μαρτύριον τοῦ ἁγίου Χριστοφόρου. Ἀρχ. «Ἔτους τετάρτου τῆς βασιλείας Δεκίου ἦν πολλὴ μανία», φ. σλη'. — 18) Βίος τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου. Ἀρχ. «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Σεραπίων», φ. σοθ'.—19) Μαρτύριον τῶν ἐν Σεβαστείᾳ μ' μαρτύρων. Ἀρχ. «Κατὰ τοὺς καιροὺς Λικινίου τοῦ βασιλέως», φ. σπε'.—20) Διήγησις περὶ τῆς εὑρέσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ». Ἀρχ. «Τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν», φ. σης'. — 21) «Διήγησις περὶ τοῦ γεγονότος θαύματος παρὰ τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐν ταῖς Χώναις». Ἀρχ. «Ἀρχὴ τῶν ἰαμάτων τῶν δοθέντων», φ. τιε'.—22) «Περὶ τῶν δύο ἀδελφῶν τῶν ἐν ἔχθρᾳ ὄντων». Ἀρχ. «Δύο ἀδελφοὶ ὁμοπάτριοι ὁμομήτριοι», φ. τλς' — 23) Ἰωάννου Χρυσοστόμου λόγος περὶ προσευχῆς καὶ ἐλεημοσύνης. Ἀρχ. «Δεῦτε πάντες ἀδελφοὶ γνωρίσωμεν», φ. τμγ'. — 24) «Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαρίνου μοναχοῦ». Ἀρχ. «Γέγονέν τις ἐν Βηθανίᾳ ὀνόματι Εὐγένιος», φ. τνα'. Κείμενον ἀτελές. — 25) Βίος τοῦ ὁσίου Ἀλεξίου, φ. τνς'. — 26) «Λόγος περὶ τῆς ἁγίας εἰκόνος τοῦ δεσπότου Χριστοῦ». Ἀρχ. «Ἄρατε τοὺς ὀφθαλμούς», φ. τξβ'. — 27) «Ἐκλογὴ θείων καὶ ἁγίων πατέρων·

λόγος περὶ τῆς τῶν ὀρθοδόξων χριστιανῶν πίστεως». Ἀρχ. «Πρῶτον μὲν χρὴ πιστεύειν», φ. τξς′. — 28) Τὰ κατὰ τὸν Αὔγαρον, φ. τπβ′.—29) «Ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ἣν ἀπεκαλύφθην ἐν τῇ νήσῳ Πάτμῳ». Ἀρχ. «Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς δεῖξαι τοῖς δούλοις αὐτοῦ» κτλ., φ. τπς′. Λείπει τὸ τέλος.—30) «Ἀποκάλυψις τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Ἔθος εἶχεν ἡ ὑπεραγία Θεοτόκος μετὰ τὴν ἀνάληψιν» κτλ., φ. τϟδ′.—31) «Διαθήκη τοῦ ἁγίου καὶ δικαίου Ἀβραάμ». Ἀρχ. «Ἔζησε δὲ Ἀβραὰμ τὸ μέτρος τῆς ζωῆς αὐτοῦ» κτλ., φ. τϟθ′. Τέλος· «ἠγέρθη πάλι(ν) ὁ μόσχος καὶ ἐθήλαζέν την».

374. Ὡρολογίου τοῦ Θηκαρᾶ μέρος ἐκ φύλλων χάρτου 112, γραφὲν τῇ ις′ ἑκατ. καὶ κείμενον ἔχον ἐκ γραμμῶν ὀκτωκαίδεκα κατὰ σελίδα (0,213 × 0,156 = 0,15 × 0,092).

375. «Εὐχολόγιον σὺν Θεῷ», γραφὲν τῇ ιε′ ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων χάρτου 212, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον (0.212 × 0,142 = 0,137 × 0,085).—α′) «Εὐχὴ εἰς γυναῖκα λεχώ», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ χοὸς πλάσας ἄνθρωπον», φ. 1.—β′) «Εὐχὴ εἰς τὰς παρατυχούσας γυναῖκας». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, παρακαλοῦμέν σε καὶ δεόμεθα, ἵνα ταύτην τὴν διασωθεῖσαν δούλην σου», φ. 2.—γ′) «Εὐχὴ εἰς τὸ κατασφραγῖσαι παιδίον, λαμβάνον ὄνομα τῇ η′ ἡμέρᾳ». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν· σημειωθήτω τὸ φῶς» κτλ., φ. 2β. — δ′) «Εὐχὴ ἑτέρα εἰς τὸ σαραντίσαι», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα ἡμέραις βρέφος τῷ νομικῷ ναῷ», φ. 3β.—ε′) «Εὐχαὶ εἰς τὸ ποιῆσαι κατηχούμενον». Ἀρχ. «Ἀποδύει αὐτὸν καὶ ἀπολύει καὶ ἵστησι κατὰ ἀνατολάς» κτλ., φ. 5.—ς′) «Εὐχαὶ τῶν ἁγίων βαπτισμάτων, ἃς ποιεῖ ὁ ἱερεύς». Ἀρχ. «Μετὰ τὸν εὐλογητόν», φ. 15β.—ζ′) «Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον», φ. 25β.—η′) Εὐχαὶ εἰς τὸ ἀπολοῦσαι τὸν φωτισθέντα τῇ η′ ἡμέρᾳ. Ἀρχ. «Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου βαπτίσματος»,

φ. 27β.—θ') «Εὐχὴ εἰς τὸ κατασφραγῖσαι παιδίον λαμβάνον ὄνομα τῇ η' ἡμέρᾳ», φ. 29β.—ι') «Ἀκολουθία τοῦ ἁγίου ἐλαίου ἁγιαζομένου ὑπὸ ζ' ἱερέων». Ἀρχ. «Μετὰ τὸν εὐλογητὸν τὸ Κύριε εἰσάκουσον», φ. 30β.—ια') «Εὐχὴ ἐπὶ θεμελίῳ ἐκκλησίας». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλόμενος θεμέλιον», φ. 68β. — ιβ') «Εὐχὴ εἰς ψυχορραγοῦντα», ἧς ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ», φ. 69β. — ιγ') «Εὐχή, ἣν ὀφείλει λέγειν πατὴρ πνευματικὸς ἐπάνω τῆς κεφαλῆς τοῦ ἐξομολογουμένου». Ἀρχ. «Ὁ προαιώνιος Θεός, ἡ τοῦ ἐλέους πηγή», φ. 70.—ιδ') «Εὐχὴ ἐπὶ τῶν ὅρκῳ ἀφορισμῷ ἢ ἀναθέματι ἑαυτοὺς δεσμούντων». Ἀρχ. «Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατός», φ. 72β.—ιε') «Εὐχὴ ἐπὶ μετανοούντων», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν» κτλ., φ. 74β. — ις') «Εὐχὴ εἰς πᾶν εἶδος μιανθέν». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος», φ. 75β. — ιζ') «Εὐχὴ εἰς βάπτισμα σύντομον, εἰς νήπιον κατεπειγόμενον ὑπὸ θανάτου». Ἀρχ. «Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάσης κτίσεως δημιουργός», φ. 77.—ιη') «Ἀρχὴ τοῦ σχηματολογίου· εἰς ἀρχάριον μοναχόν». φ. 78β. — ιθ') «Ἀκολουθία εἰς κουρὰν μανδιώτ(ου)». Ἀρχ. «Ὁ μέλλων κουρευθῆναι ἀδελφὸς εἰσέρχεται καὶ ἵσταται εἰς τὸν νάρθηκα», φ. 80β.—κ') «Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος». Ἀρχ. «Ἀφ' ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια καὶ τὰ λοιπὰ τοῦ μέλλοντος κουρευθῆναι», φ. 92.—κα') «Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας ν'». Ἀρχ. «Μετὰ τὴν εἴσοδον καὶ τὸ προκείμενον λέγει ὁ διάκονος», φ. 126.—κβ') «Ἀκολουθία τῶν ἁγίων Θεοφανείων». Ἀρχ. «Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα πάντες ἐν τῷ λουτῆρι», φ. 144. — κγ') «Ἀκολουθία τοῦ ἁγιασμοῦ τοῦ κατὰ μῆναν γινομένου», φ. 154.—κδ') «Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ». Ἀρχ. «Ἐπειδὰν τις τῶν μοναχῶν πρὸς Κύριον ἐκδημήσῃ, οὐ δεῖ λούεσθαι αὐτοῦ τὸ σῶμα, ἀλλ' οὐδὲ ὁρᾶσθαι γυμνὸν» κτλ., φ 160. — κε') «Ἕτερα στιχηρὰ ψαλλόμενα εἰς κοσμικοὺς κοιμηθέντας». Ἀρχ. «Ποία τοῦ βίου τρυφὴ διαμένει», φ. 195β.—κς') «Κανὼν εἰς κοιμηθέντας, οὗ ἡ ἀκροστιχὶς αὕτη:

Ἕκτον προσαυδῶ ἀπελθοῦσιν μέλος», φ. $200^{β}$. — κζ') «Ἕτερος κανὼν εἰς κοιμηθέντας μοναχούς, οὗ ἡ ἀκροστιχὶς αὕτη: Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος», φ. 206. Μετὰ δὲ τὸ τέλος αὐτοῦ γέγραπται τοῦτο· «† Τὸ παρὸν εὐχολόγιον ὁ Κωνσταντῖνος ὁ ἔγγονος τοῦ ἐν μακαρία τῇ λήξει γενομένου ἀοιδήμου Ἀμφιλοχίου μητροπολίτου Ἰκονίου ἔθηκεν θῦμα εἰς τὸ μοναστήριον τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἐν Ἱεροσολύμοις. Οἱ γοῦν ἀναγινώσκοντες εὐχέσθωσαν καὶ μνημονεβέσθωσαν αὐτὸν τὸν κυρὸν Κωνσταντῖνον ζῶντα καὶ τὸν πάπον αὐτοῦ, τὸν προειρημένον μακάριον μητροπολίτην Ἀμφιλόχιον, καὶ τὸν πατέρα του τὸν μακαρίτην Ἀειβαλοῦ ἐν νεκροῖς, καὶ ὁ Θεὸς συγχωρήσει καὶ ἐλεήσει αὐτόν: — † Καὶ παρέδωκεν ἡμῖν, ἵνα φέρωμεν εἰς τὸ εἰρημένον ἅγιον μοναστήριον, ἐν ἔτη ,ζμδ' μηνὶ ἰουλίῳ ι'» [1536].

408. Τεῦχος μεμβράνινον ἐκ φύλλων 182, γραφὲν πιθανῶς περὶ τὸ τέλος τῆς ἐνάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δεκάτης ἑκατονταετηρίδος· ἔστι δε μήκους 0,18, πλάτους 0,135. Διὰ δὲ τὸ εἶναι τὴν γραφὴν αὐτοῦ μελέτης ἀξίαν, ἅτε δὴ σπανίαν οὖσαν ἐν τοῖς ὑπάρχουσι χειρογράφοις, ἐθέμην ἐνταῦθα διὰ φωτοτυπίας ἰσότυπα τεσσάρων σελίδων, αἵτινες ἀπεικάζουσι κείμενον ἐν τοῖς Ἀναλέκτοις ἀποτετυπωμένον (Ι, σ. 396,18 — 397,15. 403,19 — 404. Κώδ. φ. 38β—39α. 70β—71α).

1. Ἰωάννου Καρπαθίου κείμενον ἀκέφαλον, ἀρχόμενον ἀπὸ

τῶν λέξεων τούτων· «εἰ καὶ ἀτονήσαντες ἀπόμειναν εἰς τὸν χείμαρρον Βοσὸρ» κτλ. φ. 1 (Φιλοκαλία τῶν ἱερῶν νηπτικῶν. Ἐνετίῃσιν 1782, σ. 253). Μετὰ τὸ τέλος ἐπιγραφή· «Τοῦ μακαριωτάτου Ἰωάννου ἐπισκόπου τοῦ Καρπαθίου, πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας μοναχοὺς παρακλητικὰ κεφάλαια ρ'». Ἐν τοῖς κρασπέδοις ὑπάρχουσι κριτικαὶ διορθώσεις, σχόλιά τινα καὶ παραβολὴ τοῦ κειμένου πρὸς ἕτερον «ἀντίγραφον». Ταῦτα δὲ πάντα διὰ τῆς χειρὸς ἐγράφη αὐτοῦ τοῦ καλλιγράφου.

2. «Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς κεφάλαια περὶ ἀγενήτου καὶ γενητῶν καὶ ἀγαθοῦ καὶ καλῶν φυσιολογία, ἀσκητικὰ ἑκατὸν δεκαέξ». Ἀρχ. «Καλὰ ἐξ ἀγαθοῦ τὰ πάντα γεγόνασι», φ. 12.

3. «Ἐπιστολὴ Φίλωνος πρὸς Εὐκάρπιον». Ἀρχ. «Σωτηριώδους πράγματος», φ. 34. Ἀνάλεκτα Ἱεροσ. Σταχ. Ι, σ. 393.

4. Θαλασσίου τοῦ Λίβυος περὶ ἀγάπης καὶ ἐγκρατείας καὶ τῆς κατὰ νοῦν πολιτείας ἑκατοντάδες δ'. Ἀρχ. «Πόθος πρὸς Θεὸν ὁλικῶς», φ. 41. Φιλοκαλία, σ. 457. Migne τ. 91, σ. 1428.

5. «Τοῦ πανοσιωτάτου καὶ μακαριωτάτου Μαξίμου τοῦ ὁμολογητοῦ τῆς ἀληθείας καὶ εὐσεβείας, διαίρεσις τῶν τριῶν ψυχικῶν δυνάμεων πρὸς τὰς τέσσαρας γενικωτάτας ἀρετάς, πῶς ἐν ταῖς τρισίν εἰσιν αἱ δ'». Ἀρχ. «Φασί τινες, τί δήποτε τριῶν δυνάμεων οὐσῶν» κτλ., φ. 65β.

6. «Ἀναστασίου μοναχοῦ τοῦ ἁγίου ὄρους Σινᾶ κεφάλαια διάφορα καὶ πάνυ ὠφέλιμα καὶ περὶ βλασφημίας». Ἀρχ. «Πόθεν ἡ ψυχὴ τοῦ ἀνθρώπου πολλάκις» κτλ., φ. 66. Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας Ι, σ. 400.

7. Μαξίμου τοῦ ὁμολογητοῦ πρὸς Ἐλπίδιον περὶ ἀγάπης ἑκατοντάδες δ', ὧν ἡ ἀρχή· «Ἰδοὺ πρὸς τῷ περὶ ἀσκητικοῦ βίου λόγῳ» κτλ., φ. 71β-130. Τεμάχιον δὲ μεμβράνης, ὅπερ ἐκολλήθη μετὰ τοῦ 81-ου φύλλου, ἔχει τὸ σημείωμα τοῦτο· «† Κε βδείθη τὸν δοῦλόν σου Ἀθανάσιον Θεοῦ ἐλεοῦ ἐπισκῶπος Καρά. ὠσύ ἀνάγινοσκαῖτε αυτα, εἴπετε ὁ θσ συγχωρησι τὸν ἀμὴν ἀμὴν † εγραφι ε ͵ςχλη ινδ. η. λ. ιουλίου» [1130]. Φιλοκαλία, σ. 291 κἑ. Migne τ. 90, σ. 960). Ἐν τῷ κρασπέδῳ τοῦ 123-ου φύλλου

«γνῶμαι τοῦ Χρυσοστόμου», ὧν ἡ ἀρχή· «Οἶδα πολλοὺς ἰλιγγιάσαντας» κτλ.

8. «Τοῦ ἁγίου Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας κεφάλαια», ὧν ἡ ἀρχή· «Ἡμᾶς δὲ τοὺς μονάσαντας», φ. 131.

9. «Ὡς δὲ φασί τινες Ἀναστασίου Θεουπόλεως. † Ἐρώτησις· ἐάν τις ὁρίσῃ τι ἀγαθὸν μεθ' ὅρκου ποιῆσαι, οἷον ἐπί τινα χρόνον οἴνου μὴ γεύσασθαι ἢ νηστεῦσαι, ἢ τῆς ἰδίας συγκοίτου ἀποσχέσθαι, εἶτα ἐκ ῥαθυμίας μὴ ἰσχύσῃ πληρῶσαι ὃ ἐπεχείρησε, τί ὀφείλει ποιῆσαι»; Ἀρχ. «Οἱ μακάριοι πατέρες», φ. 133.

10. «Τοῦ ἀββᾶ Ἡσαΐου κεφάλαια διάφορα», ὧν ἡ ἀρχή· «Εἰ ἀπετάξω τῷ κόσμῳ καὶ δέδωκας σεαυτὸν» κτλ., φ. 142.

11. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου ἀποφθέγματα», ὧν ἡ ἀρχή· «Ὁ ἀγαπῶν δόξαν ἀνθρώπων», φ. 148.

12. Ἀνωνύμου· «πῶς λέγει ἀπόστολος: ἐὰν ἔχω πᾶσαν τὴν γνῶσιν καὶ πᾶσαν προφητείαν ἐν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχων οὐδὲν ὠφελοῦμαι»; Ἀρχ. «Οὐχ οὕτως ὀφείλομεν νοεῖν», φ. 149β.

13. «Διδασκαλία γέροντος περὶ πράξεων». Ἀρχ. «Ὁ πραγματευόμενος ὅταν κερδήσῃ χαίρῃ», φ. 151.

14. Νείλου περὶ προσευχῆς κεφάλαια ρνγ', ὧν ἡ ἀρχή· «Πυρέττοντα με τῷ φλογμῷ», φ. 158β. Φιλοκαλία, σ. 153. Migne τ. 79, σ. 1165.

15. «Τοῦ μακαριωτάτου Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων, γνῶμαι πνευματικαί, ἀπάγουσαι τῶν φθαρτῶν καὶ προσκολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον». Ἀρχ. «Φόβον ἔχε Θεοῦ», φ. 172β. Τύποις ἐξεδόθησαν ἐπ' ὀνόματι Νείλου.

409. Τεῦχος μεμβράνινον ἐκ 349 φύλλων, μήκους 0,175, πλάτους 0,128· ἐγράφη δὲ περὶ τὴν ἀρχὴν τῆς ιγ' ἑκατ. Σημείωσις τοῦ ιζ' αἰῶνος (φ. 349β)· «† Τὸ παρὸν βιβλίον ὑπάρχει τοῦ παπᾶ κῦρ Σιλβέστρου καὶ τὸ ἄφισε ἀμανάτη διὰ ἕνα βιβλίον ἰδικόν μου, καὶ ὅταν δώσει τὸ βιβλίον ἄς τὸ πάρει καὶ στέκεται εἰς τὸν κῦρ διάκον τὸν Δωρόθεον».

1. Κόκκινοι πίνακες σεληνοδρομίου, φ. 1β.

2. «Εὐχὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου». Ἀρχ. «Κύριε ὁ Θεός μου, ὁ μέγας καὶ φοβερὸς» κτλ., φ. 3.

3. «Εὐχὴ ἑτέρα Ἰωάννου Δαμασκηνοῦ». Ἀρχ. «Κύριε ὁ Θεὸς ὁ ἐν ἐλέει πλούσιος», φ. 6β.—«Εὐχὴ ἑτέρα», ἧς ἡ ἀρχή· «Πάλιν ὑπεσχελίσθην ὁ τάλας τὸν νοῦν», φ. 8β.—«Εὐχὴ ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον». Ἀρχ. «Παρθένε δέσποινα Θεοτόκε ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα», φ. 10.

4. «Κύκλος τῆς σελήνης καὶ τὸ νομικὸν φάσκα μετὰ τῶν θεμελίων αὐτῶν», φ. 13. Τὸ ἑπόμενον φύλλον ἄγραφον.

5. Ψαλτήριον εἰς καθίσματα διῃρημένον, ὧν ἕκαστον ἔχει καὶ τροπάρια καὶ εὐχὰς ἀνωνύμους, φ. 15-298.

6. Εὐχαὶ διάφοροι, οἷον μετὰ τὴν ἔγερσιν, εἰς τὸν ὄρθρον κτλ., φ. 299 κέ.

7. «Συμεῶνος μητροπολίτου Εὐχαΐτων ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον· αὕτη δὲ ἁρμόζει καὶ παντὶ κελλιώτῃ». Ἀρχ. «Ἐδεξάμην σου, πάτερ πνευματικέ, τὴν θεοφιλῆ ταύτην γραφὴν» κτλ., φ. 307.

8. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου ἀρχιεπισκόπου Ἐδέσσης, λόγος περὶ πίστεως καὶ διακρίσεως αἱρετικῶν». Ἀρχ. «Πιστεύομεν τοίνυν εἰς πατέρα», φ. 318. Βασιλείου Ἐμέσης, βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου κτλ., ἐκδ. Ἰωάννου Πομιαλόβσκη, σ. 42 [γρ. 18]—52.

9. «Ἀκολουθία τῆς ἀκαθίστου: ὁ κανών, οὗ ἡ ἀκροστιχίς: Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ». Ποίημα Ἰωσήφ, φ. 332.

10. «Στιχηρὰ προσόμοια τοῦ εὐαγγελίου· ἦχος πλ. β'», φ. 348β.

410. Τετραευαγγέλιον τῆς ιγ' ἑκατ. ἐκ φύλλων μεμβρανίνων 189 μικροῦ σχήματος, ἑκάστης αὐτῶν σελίδος ἀριθμούσης 28 γραμμάς. Τὴν ἀρχὴν τῶν εὐαγγελίων ἐπικοσμεῖ κόσμημα κόκκινον, ὅμοιον τῷ Π στοιχείῳ· κόκκιναι δ' ὡσαύτως εἰσὶν αἱ ἐπιγραφαὶ καὶ πᾶσαι αἱ περὶ τῶν ἀναγνωστέων περικοπῶν ὁδηγίαι· τὰ δὲ τρία τελευταῖα φύλλα περιέχει τεμάχη τῶν ἐπιστολῶν Παύλου·

411. Τετραευαγγέλιον τῆς ιγ' ἑκατ. ἀριθμοῦν φύλλα μεμβράνινα 258, μήκους 0,166, πλάτους 0,125· πᾶσα δὲ σελὶς ἀριθ-

μεῖ γραμμὰς 19 ἢ 21 (0,105×0,072). Τὴν ἀρχὴν τοῦ κατὰ Ματθαῖον εὐαγγελίου κοσμεῖ κόσμημα κόκκινον, οὗ τὸ σχῆμα τετράγωνον, ἔχον ἐν τῷ μέσῳ σταυρόν, ἐν δὲ τούτῳ τὴν ἐπιγραφήν· τῶν δ' ἑτέρων εὐαγγελίων τὰς ἀρχὰς διαχωρίζει κόσμημα ταινιοειδές, ὡσαύτως κόκκινον. Ἐν τῷ κρασπέδῳ τοῦ δευτέρου φύλλου σημείωμα τοῦ ιδ' πιθανῶς αἰῶνος· «Τουτον - - βι(β)λιον Ιω(άννου) του καθολικου τις Παμθου», ὅ ἐστι Πάφου πόλεως ἐν Κύπρῳ.

412. Τετραευαγγέλιον τῆς ἑνδεκάτης ἑκατ. ἀριθμοῦν λεπτὰ μεμβράνινα φύλλα 384, μήκους 0,167, πλάτους 0,138· ἑκάστη δὲ σελὶς ἔχει γραμμὰς 18 (0,10×0,08). Τῶν κεφαλαίων οἱ πίνακες καὶ τῶν εὐαγγελίων αὐτῶν αἱ ἐπιγραφαὶ χρυσᾶ τὰ γράμματα ἔχουσιν. Ἔχει δὲ τὸ τεῦχος καὶ τρία κοσμήματα ποικιλόχροα, θεωρίας ἄξια (φ. 99α, 171α, 293α), τὰς ἀρχὰς ἐπικοσμοῦντα τριῶν εὐαγγελίων· ἔχει δὲ καὶ ἐν τοῖς κρασπέδοις ἐπιγραφὰς ἐρυθρὰς ἐγγραφείσας ὑπὸ χειρὸς τῆς ιγ' ἑκατ. Λείπει μέντοι τοῦ κατὰ Ματθαῖον εὐαγγελίου μέρος ἐκ τῆς ἀρχῆς οὐκ ὀλίγον· ἄρχεται γὰρ αὐτοῦ τὸ κείμενον ἤδη τῶν λέξεων τούτων· «τῆς βασιλείας τῶν οὐρανῶν· λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη» κτλ. Λείπει δὲ καὶ φύλλον ἕν, ὃ τὸ τέλος εἶχε τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. Τὸ δὲ τελευταῖον ἔχει τὸ τεῦχος καὶ σημείωμα τῆς ις' ἑκατοντ. (φ. 171β-172α), ὃ λέγει ταῦτα·

«† Ἐπροσηλόθη τὸ παρὸν δυάγγελον [=τετραβάγγελον] εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα τοῦ ἐν Ἱεροσολύμοις ὑπὸ Ἰωάννου Περβανᾶ ἐκ Κωνσταντινουπόλεως καὶ υπεῖρχον οἱ γονεῖς αὐτοῦ Μωραῖται ἀπὸ χωρίον Μικρὰν Ἀναστάσοβαν - - - διὰ συνδρομῆς δὲ σπουδῆς Ναθαναήλ».

413. Τετραευαγγέλιον τῆς ιβ' ἑκατ., οὗ τὰ τέσσαρα πρῶτα τετράδια λείπει τανῦν· λείπει δὲ καὶ τὸ τέλος τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, λήγοντος ἁπλῶς ὧδε· «ἐπερώτησον τοὺς ἀκηκοῶτας τί ἐλάλησα αὐτοῖς»· τὴν δὲ ἀρχὴν τοῦ βιβλίου δεικνύασιν ἤδη φύλλα χάρτινα δύο καὶ δέκα· μεμβράνινα δὲ φύλλα συναριθμεῖ τὸ τεῦχος 207, ὧν μία ἑκάστη τῶν σελίδων ἔχει γραμμὰς 21 ἄχρι 35 (0,152×0,116=0,102×0,062). Ἔχει δὲ καὶ τοῦτο τρία πολύχρωμα κοσμήματα (φ. 67β, 120β, 173β).

414. Τεῦχος μεμβράνινον τῆς ιβ' ἑκατ. γραφέν, ὡς φαίνεται, παρὰ δύο βιβλιογράφων καὶ φύλλα περιλαμβάνον 73, ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ γραμμὰς ἀριθμεῖ 24 μέχρις 26. Ἔστι δὲ μήκους 0,172, πλάτους 0,132. Τὸν ἐν τῇ ἀρχῇ πίνακα τῶν περιεχομένων ἔγραψεν Ἰωαννίκιος ἔτει 1784.

1. Ἐφραὶμ τοῦ Σύρου «πρὸς ἀνυποτάκτους καὶ περὶ καταστάσεως φόβου Θεοῦ καὶ τοῦ μέλλοντος κρίματος». Ἀρχ. «Ἀγαπητέ, ἐὰν ἐλθὼν ἀδελφὸς παρακαλέσῃ», φ. 1.

2. «Τοῦ αὐτοῦ παραίνεσις ιζ'», ἧς ἡ ἀρχή· «Ἀδελφέ, ὅταν κρούσῃ σοι ἀδελφὸς νυκτός», φ. 11β.

3. «Περὶ τῆς παναγίας μεταλήψεως καὶ τίνος χάριν μεταληπτέον αὐτήν». Ἀρχ. «Ὁ ὑψούμενος παρ' ἡμῶν ἄρτος», φ. 13.— «Περὶ τῶν προσκομιζομένων μερίδων ἐκ διαφόρων τινῶν προσφορῶν εἰς ἀνάμνησιν τινῶν ἁγίων». Ἀρχ. «Καὶ αἱ μερίδες αἱ εἰσερχόμεναι τῷ τιμίῳ ποτηρίῳ», φ. 14.

4. Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ ἀγάπης καὶ ἐλεημοσύνης καὶ εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἀγαπητοί, μηδὲν προτιμησώμεθα» κτλ., φ. 15.

5. «Ἐρώτησις ἤγουν παράκλησις φιλοχρίστων ἀκροατῶν πρὸς τὸν ἅγιον Ἐφραίμ. Παρακαλοῦμεν διδάσκαλε μαθεῖν» κτλ., φ. 23β.— Καὶ πάλιν ἐρωταποκρίσεις.

6. Ἐφραὶμ τοῦ Σύρου βίος τοῦ ὁσίου Ἀνδρονίκου καὶ τῆς ὁσίας Ἀθανασίας. Ἀρχ. «Ἀκούσατε οἱ πλούσιοι», φ. 38.

7. «Διήγησις ψυχωφελὴς περὶ τοῦ ἁγίου Κωνσταντίνου», ἧς ἡ ἀρχή· «Εἶπέν τις τῶν ἐν τῇ Σκήτῃ», φ. 55.

8. «Ἱστορία τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας, συγγραφεῖσα παρὰ τοῦ ἁγίου Βασιλείου καὶ ἑτέρων ἁγίων πατέρων». Ἀρχ. «Ἐκκλησία ἐστὶ ναὸς Θεοῦ, οἶκος προσευχῆς καὶ ἄθροισμα λαοῦ», φ. 57.

9. Προσθῆκαι τῆς ιδ' ἑκατ.—α') «Κανὼν κατανυκτικὸς ψαλλόμενος κατὰ Κυριακὴν εἰς τὸ μεσονυκτικόν· ἦχος πλάγιος β'». Ἀρχ. «Ἀκατάληπτε Θεέ», φ. 67β.—β') Διήγησις περὶ τοῦ ἀββᾶ Παμβῶ, φ. 70β.—γ') Ῥήσεις ἐκ τῶν εὐαγγελίων, φ. 72.

415. Τεῦχος ἀκέφαλον τῆς ιδ' ἑκατ. ἀριθμοῦν ἤδη φύλλα βαμβακεροῦ χάρτου 273, μήκους 0,175, πλ. 0,125. Κατὰ σελίδα γραμμαὶ 16 ἢ 17. Ἡ πρώτη τοῦ πρώτου φύλλου σελὶς ὑπάρχει κεκολλημένη· διὸ καὶ τὴν ἀρχὴν αὐτοῦ νῦν ἀγνοῶ· ἐν τῷ δευτέρῳ μέντοι φύλλῳ κεφάλαιόν ἐστι περὶ τοῦ τί διαφέρει πέμψεως ἡ ἐκπόρευσις, οὗ ἡ ἀρχή· «Ὅτι δὲ ἄλλο ἐστὶν πέμψις καὶ ἄλλο ἐκπόρευσις πανταχοῦ δῆλον» κτλ.

2. «Τοῦ αὐτοῦ περὶ ἀζύμων· λύσις ἀναγκαία καὶ διάφορος κατὰ τῶν ἀζύμων καὶ ἀναλαμβανόντων. Σωφρονίου μοναχοῦ». Ἀρχ. «Περὶ ἀζύμων. Τὸ ἄζυμον τῆς παλαιᾶς θυσίας ἐστίν», φ. 17. Οὐδὲν οἶδα περὶ τούτου τοῦ Σωφρονίου.

3. «Κωνσταντίνου διακόνου πρὸς τὸν καταφλυαρήσαντα τοῦ Χρυσοστόμου, ὅτι ἀτέχνως γράφει καὶ οὐ ῥητορικῶς». Ἀρχ. «Ὦ τυφλὲ πρὸς φῶς, κωφὲ καὶ πρὸς τὴν λύραν | καὶ πρὸς χρυσοῦ τὸ ῥοῖζον» κτλ., φ. 41. Οὐδὲ περὶ τούτου τοῦ Κωνσταντίνου γινώσκω τι βέβαιον· ὅρα μέντοι Manuelis Philae carmina ἐκδ. E. Miller II, σ. 5, ἐν ὑποσημειώσει τρίτῃ.

4. «Τοῦ Καλλικλέο(υ)ς εἰς τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον» ἴαμβοι, ὧν ἡ ἀρχή· «Παῖς Ἀβραὰμ ὁ μάρτυς οὗτος ἐκ λίθων», φ. 42. Φέρεται δὲ τοῦτο ἐν τοῖς ποιήμασι Μανουὴλ τοῦ Φιλῆ, ἐκδ. E. Miller τ. I, σ. 210. Περὶ δὲ τοῦ Καλλικλέους ὅρα σ. 286 τῆς αὐτῆς ἐκδόσεως.

5. «Δόγμα τῆς ὀρθοδόξου τῶν χριστιανῶν πίστεως, γραφὲν μὲν παρὰ τοῦ σοφωτάτου καὶ πανυπερτίμου Ψελλοῦ, τοῦ μαΐστορος τῶν ῥητόρων, αἰτηθεὶς παρὰ τοῦ ὀρθοδοξοτάτου βασιλέως κυροῦ Μανουήλ» [sic]. Ἀρχ. «Δέχου καὶ τὸν θεμέλιον τῶν καθ' ἡμᾶς δογμάτων», φ. 43β. Στίχοι πολιτικοί.

6. «Ἴσον λιβέλλου, ἤτοι ὁμολογία, γραφὲν μὲν παρὰ Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου Δαμασκηνοῦ, ἐπιδοθεὶς [sic] δὲ παρὰ Ἠλία ὁσιωτάτου ἐπισκόπου Ἀβροὺδ Πέτρῳ μητροπολίτῃ Δαμασκοῦ». Ἀρχ. «Οὐ μικρὸς ἀμφοτέρωθεν φόβος καὶ ἀπορία συνέχει με», φ. 49β.

7. «Ὁμολογία τοῦ οἰκουμενικοῦ πατριάρχου Κ/πόλεως Γρη-

γορίου τοῦ Κυπρίου». Ἀρχ. «Δύο τούτων, ἅγιε δέσποτα, τῆς ἐμῆς πίστεως ἕνεκεν ἔκθεσιν τοῦ φρονήματος τράνωσον» κτλ., φ. 61.

8. «Λίβελλος τῆς ὀρθοδόξου τῶν χριστιανῶν πίστεως· ἔκθεσις τοῦ θαυμασίου Μιχαὴλ ἱερομονάχου». Ἀρχ. «Πιστεύω εἰς πατέρα» κτλ., φ. $67^{β}$.

9. Ἀδήλου «πρὸς τοὺς λέγοντας ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· κατ' Ἰταλῶν». Ἀρχ. «Τίς ἂν ὅλως ἀνάσχοιτο», φ. $72^{β}$.

10. «Ἰωάννου Δαμασκηνοῦ περὶ τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Δεῖ δὲ τὸν Λόγον καὶ πνεῦμα ἔχειν», φ. 75.—Τοῦ αὐτοῦ κεφάλαια περὶ τῆς ἁγίας τριάδος, περὶ θείας γνώσεως καὶ διαγνώσεως καὶ ἀπάντησις πρὸς τὸ οὐκ ἔστιν ἀνυπόστατος ὁ Θεός, φ. $78^{β}$-$97^{α}$. Κατόπιν ἀνεπίγραφον περὶ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων, φ. $97^{β}$-103.

11. Ἀδήλου μαθηματικῆς γεωγραφίας κεφάλαια (φ. 104-123), οἷον «περὶ τοῦ πῶς ἵσταται ἡ γῆ μὴ κρατουμένη παρά τινος», περὶ τῶν ιβ' ζῳδίων, περὶ σπιθαμῶν ὀργυιῶν δακτύλων καὶ σταδίων, περὶ τῶν δώδεκα μεγάλων ὀρέων τῆς γῆς, περὶ τῶν ἑπτὰ κλιμάτων τῆς γῆς, περὶ τῶν τεσσάρων θαλασσῶν, περὶ τοῦ ὠκεανοῦ, περὶ τοῦ παραδείσου, περὶ νεφῶν χιόνος κτλ. Ἀρχ. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, περὶ ἧς καὶ ἡ ποίησις λέγει: στιγμὴ κεντρώδης τὸν εἴσω λάχοιτο χῶρον, ἤγουν στιγμὴ κεντροειδὴς τὸν μεσαῖον ἔλαχε τόπον» κτλ.

12. Ἐφραὶμ τοῦ Σύρου λόγος «εἰς τὴν παρουσίαν τοῦ Κυρίου περὶ τοῦ Ἀντιχρίστου καὶ περὶ τῆς συντελείας». Ἀρχ. «Πῶς ἐγὼ ὁ ἐλάχιστος», φ. 124.

13. «Λόγος τοῦ μακαριωτάτου Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ καὶ ἐρωταποκρίσεις Ἐπιφανίου Κύπρου πρὸς αὐτόν». Ἀρχ. «Ἀνδρέας· ἱερεὺς γὰρ πόρνος καὶ διάκονος μοιχὸς» κτλ., φ. 149.

14. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀνδρέου τοῦ σαλοῦ. Ἀρχ. «Βίον ἐνάρετον καὶ πολιτείαν ἄμεμπτον», φ. 189.

15. «Στίχοι τοῦ γραμματικοῦ κυροῦ Θεοδώρου τοῦ Πτωχοπροδρόμου». Ἀρχ. «Μόλις τὰς χεῖρας δέσποτα φυγὼν τῶν πο-

λεμίων, | ὡς πρὸς τὴν σκέπην ἦλθον γὰρ τῆς σῆς σκηπτοκρατείας· | καὶ γὰρ ἡ σάλπιγξ ἡ λαμπρὰ τῶν σῶν κατορθωμάτων | οὐκ [sic] ἡσυχάζειν ἔπεισε λοιπὸν ἐγκωμιάζειν» κτλ., φ. 242. Πρβλ. E. Legrand, Bibliothèque grecque vulgaire I, σ. 77.— «Τοῦ αὐτοῦ ὅμοιοι», ὧν ἡ ἀρχή· «Αὐθέντα μου πανσέβαστε, δόξα τιμὴ καὶ καύχημά μου, | ὁ πένης ὁ παντάπορος» κτλ. φ. 267β.

416. Τεῦχος ἀκέφαλον ἐκ χάρτου, συναποτελοῦν ἠριθμημένα τετράδια κς', ὧν ἐλλείπει τὸ πρῶτον. Φύλλα 200 μετὰ κειμένου κατὰ σελίδα μονοστήλου ἐξ 26 γραμμῶν (0,208 × 145 = 0,136 × 0,085)· ἐγράφη δὲ περὶ τὴν ἀρχὴν τῆς ις' ἑκατ.

1. Ἀριστοτέλους προβλήματα, φ. 1-178. Ἀρχ. «- - - καὶ χαλεῖται τροφή, τὸ δὲ μὴ πεφυκὸς κρατεῖσθαι, εἰσιόν τε δὲ εἰς τὰς φλέβας» κτλ. Sectio I, 42. Τέλος· «τὴν δὲ σάρκα μελαίνει, ὅτι κάει· τὸ γὰρ γεῶδες καιόμενον ἅπαν γίνεται μέλαν. Τέλος τῶν τοῦ Ἀριστοτέλους προβλημάτων».

2. «Ἀλεξάνδρου Ἀφροδισιέως προβλήματα», φ. 178β-187. Ἀρχ. «α'. Διατί τοὺς ἀνθρώπους Ὅμηρος πολυκροτάφους ὡς ἐπιτοπλεῖστον» κτλ. Τέλος· «σφόδρα πῦρ γίνεται· ὁμοίως δὲ καὶ ἐπὶ νεφελῶν. Τέλος τῶν τοῦ Ἀλεξάνδρου τοῦ Ἀφροδισιέως προβλημάτων».

3. «Θεοφυλάκτου ἀπὸ τῶν ἐπάρχων τοῦ Σιμοκράτους» [sic], φ. 188-200. Ἀρχ. «Προοίμιον. Οὐδὲν ἀρετῆς δυνατώτερον» κτλ. Φ. 200, τέλος «Εἴληφεν ἡ βίβλος αὕτη διὰ χειρὸς ἐμοῦ Γεωργίου τοῦ Γρηγοροπούλου» [1]. Παρέπεται φύλλον πρόσθετον, ἐν ᾧ περιέχεται σημείωμα τῆς ιζ' ἑκατ. «† Ἐτούτῶ τὸ βυβλίον ἔναι τῆς θείας καὶ ἱερᾶς λαῦρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ὑγιασμένου τῆς Ἱ(ερουσα)λήμ. Ἀρσενίος μονάχος».

417. Τεῦχος ἐκ χάρτου συνιστάμενον ἐκ φύλλων 177, μήκους 0,202, πλάτους 0,148· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς ιδ' ἑκατ. Ἐν τῇ ἀρχῇ φύλλα πρόσθετα δύο τῆς αὐτῆς ἐποχῆς, ἐνέ-

[1] Πανομοιότυπον τῆς γραφῆς αὐτοῦ ὅρα παρὰ τῷ Omont, Fac-similés de manuscrits grecs des XV et XVI siècles, nº 33.

χοντα «κυροῦ Μανουὴλ τοῦ Μουσχοπούλου» γραφὴν ἀνεπίγραφον περὶ μέλλοντος βίου, ἧς ἡ ἀρχή· «Πανηγύρει ὡς ἀληθῶς ἔοικεν ὁ παρὼν βίος» κτλ. Κατόπιν ἕτερα φύλλα πρόσθετα ἕξ, ὧν τὰ τρία πρῶτα ἔγραψεν Ἰωαννίκιος ὁ Σαβαΐτης, προσθεὶς ἐν αὐτοῖς (6 φαβρ. 1780) πίνακα τῶν ἐν τῷ κώδικι περιεχομένων· τὸ δὲ τελευταῖον αὐτοῦ φύλλον, ὅπερ ἐξ ἀρχῆς ἄγραφον ἀφέθη, περιέχει σημείωμα Σωφρονίου πατριάρχου τῶν Ἱεροσολύμων, οὗ ἡ ἀρχή· «† Αὕτη ἡ βίβλος ὑπάρχει τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου» κτλ.

1. «Ἀλεξίου πόνημα Μακρεμβολίτου». — «Ἀπόδειξις ἐναργής, ὅτι οὐκ εἰς νόμον ἡ ἀπόταξις κεῖται, ἀλλ' εἰς προαίρεσιν· καὶ ὅτι εἰσὶ καὶ ἄλλοι τρόποι καθάρσεων καὶ ἀναλογοῦσαι τούτοις μοναί, καὶ ὡς οὐ μόνον τοῖς ἀζύγοις τὸ σῴζεσθαι, ἀλλὰ καὶ τοῖς ὑπὸ ζυγόν· εἶναι γὰρ τὴν κακίαν οὐ τῆς ὕλης τοῦ κόσμου, ἀλλὰ τῆς ἡμετέρας γνώμης καὶ προαιρέσεως. Πρὸς τὸν ἐξισωτὴν Πατρικιώτην. Λόγος α'», οὗ ἡ ἀρχή· «Εἰ ἐν μέσῳ τοῦ κόσμου», φ. 1.

2. «Τοῦ αὐτοῦ λόγος β'. Ἀπόδειξις ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν εἰς προνομὴν καὶ αἰχμαλωσίαν τοῖς ἔθνεσιν ἐξεδόθημεν, καὶ ὅτι ἀδύνατον ἀπὸ πίστεως μόνης σωθῆναι τινά, ὥσπερ καὶ ζῆσαι χωρὶς πνεύματος· πίστις γὰρ χωρὶς ἔργων νεκρά, ὡς καὶ ἔργα χωρὶς πίστεως. Πρός τινα ἀ - - - ἀντιρρητι - - τὸν τὰς ἁ[γίας εἰ]κόνας αἰχμαλώτους ἰδόντα καὶ ὑπὸ τοῦ λογισμοῦ ἐνοχληθῆναι ὡς ἔλεγεν ὀρθὸν εἶναι τὸ δόγμα, δ οἱ τῆς Ἄγαρ πιστεύουσιν». Ἀρχ. «Ὁ τὰς ἀλλεπαλλήλους θαυμάζων ἐπιδρομὰς τῶν ἐθνῶν», φ. 14β.

3. «Τοῦ αὐτοῦ λόγος τρίτος, ὅτι τὸ τῆς οἰκονομίας μυστήριον προωρισμένον ἀνέκαθεν ἦν, καὶ ὅτι καὶ τοῖς πάλαι δικαίοις καὶ προφήταις τοῦτο ὁ Θεὸς διά τινων συμβόλων ὑπέδειξε τῶν ἐπὶ τροχάδην ῥηθησομένων, ἀρξαμένου τοῦ λόγου ἀπὸ τῆς τοῦ κόσμου ἀρχῆς καὶ λήξαντος κατὰ σύνοψιν, ἔνθα ἡ τούτου αὖθις ἀνακεφαλαίωσις». Ἀρχ. «Μετὰ πάντων ὧν ἡ τοῦ Θεοῦ ἀγαθότης», φ. 44.

4. «Τοῦ αὐτοῦ λόγος δ'. Διάλογος πίστεως καὶ ἀπιστίας».' Ἀρχ. «Πίστις. Τί γελᾷς; Ἀπιστία· μή τι τῶν ἐμῶν κατέγνωκας», φ. 59β

5. «Λόγος ε'. Τοῦ αὐτοῦ διάλογος πλουσίων καὶ πενήτων Τίνας ἂν εἶπον λόγους πένητες πρὸς πλουσίους καὶ τίνας αὖ πρὸς τοὺς πένητας οὗτοι. Ἐγράφη, ὅτε συνεχεῖς σεισμοὶ καθημέραν ἐγένοντο καὶ τῆς θαλάσσης πολλαχοῦ ἐκβρασμοί». Ἀρχ. «Μέχρι τίνος ἀνεξόμεθα τῆς πλεονεξίας», φ. 73.

6. «Λόγος ς' τοῦ αὐτοῦ, περὶ τοῦ τί ἐστιν Ἅδης». Ἀρχ. «Μετὰ τὸ κηρύξαι Χριστὸς τοῖς ζῶσι τὸ εὐαγγέλιον», φ. 86β.

7. «Λόγος ζ' τοῦ αὐτοῦ, ὅθεν ὑγεία καὶ νόσος». Ἀρχ. «Εὐσεβεστέρῳ λόγῳ καὶ ὑγεία καὶ νόσος» κτλ., φ. 97β.

8. «Τοῦ αὐτοῦ ἀπόδειξις ὅτι πασῶν ἡ ἀγάπη τῶν ἀρετῶν ὑπέρκειται, καὶ ὅτι πάντων κρατεῖ ὡς Θεὸς ὁρατῶν τε καὶ ἀοράτων καὶ μόνη τῷ παντὶ αἰῶνι συμπαρατείνεται· τὰ δὲ κεφάλαια καθ' εἱρμὸν συνετέθη ἐν τύπῳ κανόνος, ἐν ἤχῳ τετάρτῳ. Ὠδὴ α', ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον». Ἀρχ. «Εἰρήνην τὴν ἀσφαλῆ καὶ θεοπάροχον», φ. 98β. Ἐν τῷ κρασπέδῳ· «Ταῦτα ἐγράφη εἰς τὴν ἀκμὴν τῆς ἐμφυλίου μάχης, κατὰ συμβουλὴν καὶ προαίρεσιν».

9. «Λόγος η' τοῦ αὐτοῦ εἰς τὴν Ἁγίαν Σοφίαν πεσοῦσαν ὑπὸ πολλῶν κατὰ συνέχειαν γενομένων σεισμῶν». Ἀρχ. «Πικρὸς ἄρα καὶ πονηρὸς ὁ τῆς ζωῆς ἡμῶν χρόνος», φ. 102.

10. «Λόγος θ' τοῦ αὐτοῦ, ὅτι ὁ τὰς τοῦ Θεοῦ ἐνεργείας μὴ πιστεύων ὡς δεῖ, οὐδὲ τοῦτον ὁμολογεῖ, καὶ ὅτι κἂν τοῖς αὐτοῦ ποιήμασιν ὁ Θεὸς καθορᾶται τοῖς νοῦν ἔχουσιν· ὅθεν οὐδ' ἡ τούτων κατάληψις εὔληπτος· καὶ ὅτι οὐδὲν τῶν ὄντων τὴν αὐτοῦ διαδιδράσκει κυβέρνησιν». Ἀρχ. «Ὀφείλομεν οἱ Θεὸν ἔχειν ὁμολογοῦντες», φ. 105β.

11. «Τοῦ αὐτοῦ λόγος ι'. + Ἀνοίκειά μοι πάντα, ὦ Ἑρμοῦ τοῦ λογίου σύντροφοι, τὰ ἐν προσευχαῖς εἰρημένα λογίζομαι καὶ κατ' ἐμαυτοῦ ταῦτα μᾶλλον ἢ ὑπὲρ ἐμοῦ λεγόμενα· εἰ δὲ καὶ οἱ τοῦ ἀμώμου στίχοι ἐπ' ἐμοὶ κειμένῳ ῥηθήσονται, ἅπαν οἶμαι τὸ δαιμόνιον φῦλον τῆς ἐμῆς ἀθλιότητος τότε καταγελάσεται· οἷος ὢν τῇ ἀληθείᾳ, οἷα καταψευδόμενος φθέγξομαι». Ἀρχ. «Εἰ ἐκ τῶν λόγων αὐτοῦ δεδικαίωται πᾶς τις», φ. 117β.

12. «Λόγος ια'· τοῦ αὐτοῦ Ἀλεξίου Μακρεμβολίτου ἀλληγο-

ρία εἰς τὸν Λούκιον ἢ ὄνον». Ἀρχ. «Εἰ καὶ ἐν πᾶσι σχεδὸν τοῖς αὐτοῦ λόγοις Λουκιανὸς καταψεύδεται», φ. 128.

13. «Λόγος ιβ'· τοῦ αὐτοῦ λόγος ἱστορικὸς περιέχων τὴν τῶν Γεννουΐτῶν [ἀσ]θένειαν, ὅτε [εἰς] τὴν τῶν Ῥωμαίων ἀφίκοντο, καὶ τὰς εἰς αὐτοὺς τῶν κρατούντων εὐεργεσίας καὶ τὴν ἐντεῦθεν τούτων εὐδαιμονίαν καὶ τὸν πλατυσμὸν καὶ τὴν ὕστερον αὐτῶν περὶ τοὺς εὐ εργέτας κακοτροπίαν καὶ ἐπιβουλήν». Ἀρχ. «Τοῦ πρώτου Παλαιολόγου», φ. 131β. Ἀνάλ. Ἱεροσολυμιτικῆς Σταχυολογίας Ι, σ. 144-159.

14. «Τοῦ αὐτοῦ Ἀλεξίου τοῦ Μακρεμβολίτου στίχοι δεικνύοντες τὴν πᾶσαν κτίσιν θνήσκουσαν ἀεὶ προδήλως καὶ αὖθις ἀναγεννᾶσθαι· ἐν οἷς καὶ ἐγκώμιον εἰς τὸν μονήρη βίον καὶ εἰς τὸν μάταιον προσφυῆς κωμῳδία». Ἀρχ. «Τὰ ὑπὲρ τὴν αἴσθησιν καὶ ζῇ καὶ μένει», φ. 145β. Στίχοι 204, ἔχοντες ἐν τέλει τὸ «Οὗτοι οἱ στίχοι εἰσὶ θαυμαστοὶ καὶ ὁ ποιήσας θαυμαστός» [1]. Παρέπονται τοῦ αὐτοῦ ἓξ ἐπιγράμματα καὶ φύλλα τινὰ πρόσθετα (151-176), γεγραμμένα περὶ τὸ τέλος τῆς ιδ' ἑκατ., ἐν οἷς ἀναγινώσκομεν α') ἀνώνυμον πραγματείαν κατὰ Λατίνων, ἐνέχουσαν ἅμα τεμάχιον συνοδικοῦ γράμματος ἀμοιβαίου Μιχαὴλ τοῦ ἐξ Ἀγχιάλου κατὰ τοῦ παπικοῦ πρωτείου πρὸς τὸν αὐτοκράτορα Μανουὴλ τὸν πορφυρογέννητον (φ. 152β)· παρέπονται δὲ τῇ πραγματείᾳ ταύτῃ μαρτυρίαι περὶ τῆς αὐτῆς ὑποθέσεως. — β') Ἰωάννου η' πάπα Ῥώμης ἐπιστολὴ πρὸς Φώτιον πατριάρχην, ἧς ἡ ἀρχή· «Οὐκ ἀγνοεῖν συμβαίνειν ἡμᾶς». — γ') «Πῶς ἐγένετο τὸ σχίσμα τῆς ἐκκλησίας τῆς Γραικικῆς ἀπὸ τῆς Λατίνων» καὶ ἀπαρίθμησις τῶν καινοτομιῶν αὐτῶν. Ἀρχ. «Μετὰ τὴν παρέλευσιν τῆς ζ' συνόδου, ὀγδόου χρηματίσαντος προέδρου» κτλ.

418. Τεῦχος ἐκ φύλλων χάρτου βαμβακεροῦ 228, ἔχον ἔτι φύλλα 28 ἑτέρου τινὸς κώδικος, ἅπερ ἐστὶ σφόδρα βεβλαμμένα· ἐγράφη δὲ περὶ τὴν ἀρχὴν τῆς ιδ' ἑκατ. καὶ μήκους μὲν ἔστι

[1] Ἐπιγράμματά τινα Ἀλεξίου τοῦ Μακρεμβολίτου συνεξέδοτο τύποις Ἐμμανουὴλ Miller: Manuelis Philae carmina I, σ. 215, 370, 449, 455, 457. Πρβλ. Fabricii-Harles, Bibl. Graeca XI, σ. 558.

0,20, πλάτους δὲ 0,135. Περιεχόμενον αὐτοῦ. 1) «Ἀρχὴ σὺν Θεῷ τῆς ἐρωταποκρίσεως καὶ ἀναγνώσματα καὶ ἑτέρων διδασκαλικῶν λογίων καὶ ὠφελίμων ἀνθολογιῶν καὶ (ἰ)αμβικῶν κανόνων» συλλογὴ μεθ' ἑρμηνεύσεως, φ. 1 κέ.—2) «Ἐρωταποκρίσεις διάφορε(ς) τῶν ἁγίων εἰς διδασκαλίαν καὶ ὠφέλειαν ψυχῆς». Ἀρχ. «Ἐρώτησις· τί ἡ γῆ βαρύτερον βαστάζει; Ἀπόκρισις· τὸν ἄνθρωπον τὸν ἀπαίδευτον» κτλ., φ. 31β.—3) «Ἐρωταποκρίσεις· αἱ παρεμβολαὶ [sic] τοῦ εὐαγγελίου», φ. 45.—4) «Ἔκθεσις τοῦ ἁγίου Βασιλείου καὶ τοῦ ἁγίου Γρηγορίου, ἑρμηνεύουσα τὰς παραβολὰς τῶν ἁγίων εὐαγγελίων», φ. 46.—5) Ἀναστασίου Σιναΐτου «ἐρωταποκρίσεις πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων ὀρθοδόξων περὶ διαφόρων κεφαλαίων», φ. 48.—6) «Γυτία τῆς δυσουρίας». Ἀρχ. «Ἐπῆρα ἐξιστραπτὴν στράτ(αν) καὶ ἐπῆγα καὶ ηὗρα ἐξιστραπτὸν ἐξίστρατον» κτλ., φ. 76β.—7) «Βιβλίον Σειράχ· πρόλογος φρονήσεως». Ἀρχ. «Πολλῶν καὶ μεγάλων ἡμῖν», φ. 76β.—8) «Σοφία υἱοῦ Σειράχ», φ. 77β.—9) «Περὶ ἐλεημοσύνης καὶ πῶς χρὴ τὰς διαδόσεις ποιεῖν»· μαρτυρίαι Χρυσοστόμου, Βαρσανουφίου καὶ λοιπῶν, φ. 102β.—10) «Ὅτι κρεῖσσόν ἐστιν εἰς τοὺς πένητας διανέμειν τὰ χρήματα»· μαρτυρίαι Ἀναστασίου τοῦ Σιναΐτου, φ. 109. Εἶτα περὶ τῶν ἐλεημόνων μαρτυρίαι Χρυσοστόμου Βασιλείου Ἐφραὶμ Γρηγορίου Διαλόγου κτλ., φ. 110β.—12) Βασιλείου Καισαρείας «περὶ τῶν αἰώνων». Ἀρχ. «Ἀπὸ Ἀδὰμ τοῦ πρωτοπλάστου», φ. 129β. — 13) «Ἑρμηνεία τῶν ἁγίων εὐαγγελίων». Ἀρχ. «Ἐρώτησις· τίς ὁ πάνδοξος; Ἀπόκρισις· ὁ ἅγιος Παῦλος. Ἐρώτησις· τί τὰ δύο δηνάρια» κτλ., φ. 130.—14) «Διάλεξις τοῦ ἁγίου Βασιλείου καὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου», φ. 132. — 15) Ἰωάννου Χρυσοστόμου «λόγος εἰς τὸν περιπεσόντα λησταῖς καὶ τετραυματισμένον ἐν τῇ ὁδῷ», φ. 135β.—16) «Βίος καὶ πολιτεία καὶ διαθήκη Ἀδὰμ καὶ Εὔας τῶν πρωτοπλάστων, ἀποκαλυφθεῖσα ἐκ προστάξεως Θεοῦ διὰ τοῦ ἀρχαγγέλου Μιχαὴλ <καὶ> Μωυσῇ τῷ θεράποντι αὐτοῦ, ὅτε καὶ τὰς πλάκας τῆς διαθήκης ἐδέξατο». Ἀρχ. «Αὕτη ἡ διήγησις Ἀδὰμ καὶ Εὔας τῶν πρωτοπλάστων», φ. 137β. C. Tischendorf,

Apocalypses apocryphae σ. 1.—17) Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὸν σταυρὸν καὶ εἰς τοὺς δύο λῃστάς, οὗ ἡ ἀρχή· «Εἴ τις τῶν εὖ φρονούντων», φ. 144β.—18) «Βίος καὶ πολιτεία καὶ γενεαλογία τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ μνήστορος Ἰωσὴφ καὶ Ἰωακεὶμ καὶ Ἄννης τῶν γεννητόρων τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Περὶ τῆς κυρίως καὶ ἀληθῶς», φ. 149.—19) Ἀνδρέου Κρήτης λόγος σχεδιασθεὶς εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ, φ. 160. — 20) Ἰωάννου Χρυσοστόμου «λόγος εἰς τὸ ἅγιον πάσχα μετὰ τὸν ἀσπασμόν», φ. 167.—21) «Ὀπτασία τοῦ ἁγίου καὶ ἐνδόξου μεγάλου βασιλέως Κωνσταντίνου καὶ Ἑλένης τῆς εὐσεβεστάτης μητρὸς αὐτοῦ, τῆς ἁγίας». Ἀρχ. «Ἐν ἔτει ἑβδόμῳ τῆς βασιλείας», φ. 168.—22) «Ἡ εὕρεσις τῶν τιμίων ἥλων». Ἀρχ. «Πάλιν οὖν ἡ μακαρία Ἑλένη πλήρης ὑπάρχουσα τῆς πρὸς Θεὸν πίστεως», φ. 174.—23) «Περὶ τῆς ὀπτασίας τοῦ καλουμένου ὅρους εἰς (ὃ) εἶδεν ὁ ἅγιος Γεώργιος». Ἀρχ. «Ὁρῶμεν τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν», φ. 175β.—24) «Θαῦμα τοῦ ἁγίου Γεωργίου περὶ τοῦ δαίμονος». Ἀρχ. «Καὶ πάλιν ἑτέρου θαύματος ἐξήγησιν μέλλω ποιήσασθαι», φ. 177β.—25) «Τοῦ ἁγίου καὶ ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου περὶ τῆς ἐλεύσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πῶς μέλλει κατέρχεσθαι ἐπὶ τῆς γῆς». Ἀρχ. «Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν», φ. 178β. Apocal. apocryphae σ. 70.—26) «Ἀποκάλυψις τοῦ ὁσίου καὶ θεοφόρου καὶ μακαρίου πατρὸς ἡμῶν Νήφωνος». Ἀρχ. «Ἀκούσατε ὦ ἀδελφοὶ φρικτὸν διήγημα», φ. 185β.—27) Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ ψυχῆς ῥᾳθυμούσης καὶ περὶ τῶν ἀκολάστως τρυφᾶν [sic] καὶ περὶ τῶν τοκιζόντων τοὺς ἑαυτῶν θησαυροὺς καὶ περὶ τῆς κρίσεως». Ἀρχ. «Ψυχὴ μὴ κατάπιπτε», φ. 205.—28) Βίος Ἰωάννου τοῦ ἐν τῷ λάκκῳ, φ. 214β.—29) Ἰωάννου Χρυσοστόμου «λόγος εἰς τὸν τῆς χήρας υἱόν», φ. 222.—30) Πιλάτου «ἐπιστολὴ ἐκπεμφθεῖσα πρὸς καίσαρα Αὔγουστον», ἧς ἐλλείπει τὸ τέλος, φ. 226β.—31) Πρόσθετα φύλλα 28, περιέχοντα τὸ ἐν τῷ Τριῳδίῳ συνοδικόν, ἀκέ-

φαλον ὅμως, καὶ στιχηρά τινα τροπάρια ψαλλόμενα τῇ Κυριακῇ τῆς ὀρθοδοξίας.

419. Τεῦχος ἐκ φύλλων χάρτου βαμβακεροῦ 300, γραφὲν περὶ τὸ τέλος τῆς ιδ' ἑκατ. καὶ μήκους μὲν ὂν 0,19, πλάτους δὲ 0,13. Ἐν τῇ ἀρχῇ πρόσθετος πίναξ τῶν ἐμπεριεχομένων, γραφεὶς τῇ 25-ῃ ὀκτωβρίου, ἔτους 1783-ου.

1. Γρηγορίου τοῦ Θεολόγου ποιήματα σὺν ἑρμηνείᾳ ψυχαγωγικῇ, φ. 1 κέ.

2. «Ἀποφθέγματα τῶν φιλοσόφων» κατ' ἀλφάβητον, ὧν τὴν ἀρχὴν ἔχει Διογένους ἀπόφθεγμα: «Ἀρετῆς καὶ φιλοσοφίας ὅρος τὸ μετὰ συνθέσεως ἄπλαστον», φ. 199β—201. Τέλος· «Ὁ αὐτὸς (Διογένης) συναντήσας παιδαρίῳ μετὰ λύχνου ἅπτοντος ἔφη· τοῦτο τὸ πῦρ πόθεν ἦλθεν; ὁ δὲ σβέσας ἔφη· σύ μοι εἰπὲ ποῦ ἀπῆλθε, κἀγώ σοι ἐρῶ πόθεν ἦλθεν».

3. Γρηγορίου τοῦ Θεολόγου «ἐπίγραμμα εἰς τὸν τάφον τοῦ μεγάλου Βασιλείου, ἑρμηνείαν ἔχον τὰ παρὰ Νικήτα Παφλαγόνος», φ. 202.

4. Γρηγορίου τοῦ Θεολόγου τετράστιχα σὺν ἀκεφάλῳ Νικήτα Παφλαγόνος ἑρμηνείᾳ, ἧς αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· «πρός τε τὴν τῆς ἀρετῆς πρᾶξιν καὶ πρὸς τὴν τῆς θεωρίας ἀνάβασιν», φ. 206.

5. Γρηγορίου τοῦ Θεολόγου «ἡ ἀκροστιχὶς τῶν πάντων στίχων, ἑκάστου ἰάμβου τελείαν παραίνεσιν ἔχοντος». Ἀρχ. «Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ Θεόν», φ. 261.—Τοῦ αὐτοῦ «ἕτερος ἀλφάβητος», οὗ ἡ ἀρχή· «Ἀρχὴν νόμιζε τῶν ὅλων εἶναι Θεόν», φ. 262.

6. «Τὰ τῶν ἔξω σοφῶν ἀποφθέγματα». Ἀρχ. «Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ», φ. 262β.

7. «Φωκυλίδου ποίησις ὠφέλιμος», ἧς ἡ ἀρχή· «Ταῦτα δίκης ὁσίοις», φ. 263. Τέλος· «τοῖα βιεῦτες ζευὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος ὁδοῦ. Τέλος τοῦ Φωκυλίδου», φ. 268β.

8. «Ἐκ τῶν πονικῶν ἤτοι προφητικῶν Σιβύλλης σὺν θεῷ λόγος θ'». Ἀρχ. «Ἀθανάτου μέγαν υἱὸν ἀοίδιμον ἐκ φρενὸς αὐδῶ», φ. 269. Τέλος· «καὶ πνεύματος οἱ κακὰ πήματα τεύξει». Rzach, Oracula Sibyllina (Vindob. 1891), σ. 130-132.—Χρη-

σμὸς «περὶ τοῦ σταυροῦ» στίχους ἀριθμῶν ἐννέα. Ἀρχ. «Ὦ ξύλον, ὢ μακαριστὸν ἐφ' οὗ θεὸς ἐξετανύσθη», φ. 269β.—«Ἡ ἀκροστιχίς», ἧς ἡ ἀρχή· «Χέρσος ὅταν τότε κόσμος ὅλος» κτλ., φ. 269β. Τέλος· «εἰς δ' αἰῶνας τὸ φῶς πεποθημένον ἔσται», φ. 273β. Εἶτα φύλλα δύο παντάπασιν ἄγραφα.—«Σιβύλλης λόγος ι'» Ἀρχ. «Κλύτε λεὼς βασιλείης μεγαλαυχέος Εὐρώπης», φ. 278. Τέλος· «ὢ μακαριστὸς ἐκεῖνος ἐπὶ χθονὸς ἔσσεται ἀνήρ». Sibyllina σ. 92-103.—«Σιβύλλης λόγος ια'». Ἀρχ. «Κόσμε πολυσπερέων ἀνδρῶν», φ. 283. Τέλος· «δὸς δ' ἱμερόεσσαν αὐδήν». Sibyllina σ. 174-90.—«Σιβύλλης λόγος ιβ'». Ἀρχ. «Ἀλλά [sic] γε μοι στενόεντα χρόνον», φ. 292β. Τέλος· «ἑκατοντάδες εἰσὶ τεθειμέναι». Sibyllina σ. 191.

420. Τεῦχος ἀκέφαλον ἐκ χάρτου τῆς ιδ' ἑκατ., ὅπερ ἐξ ἀρχῆς ἠρίθμει φύλλα 204, μήκους 0,15, πλάτους 0,11· νῦν δ' ἔχει 200 μόνα, διὰ τὴν ἀπώλειαν τῶν τεσσάρων πρώτων φύλλων. Ἐν τῇ ἀρχῇ πρόσθετον ὑπάρχει φύλλον, ἐνέχον τὸ σημείωμα τοῦτο· «Τὸ παρὸν βιβλίον λεγομένει Μέλισα εἶναι πάνυ ψυχοφελεῖ. Ἡ ἀρχὴ καὶ τὸ τέλος λείπει· καθῶς τοηὗρα τὸ ἐστάχωσα καὶ ἂς ἔχω συγγνῶμην ἀδελφοί, καὶ εὔχεσθαι ὑπερέμοῦ τοῦ ἁμαρτωλοῦ: 1789 ὀκτωμβρίου: 17. Ἰωαννίκιος ἐλάχιστος».

1. Μελίσσης Ἀντωνίου μοναχοῦ κεφάλαια κατ' ἐκλογήν (φ. 5-56), ὧν τὸ τέλος ἔχει τοῦτο· «Ὧδε τέλος εἴληφεν ἔρανος λόγων | ἀποφθεγμάτων παντοίων διδασκάλων, | θείων τέ φημι καὶ μὴ τοιούτων ἄλλων· | ὕμνον δὲ τῷ δοτῆρι καὶ δόξαν νέμω | Χριστῷ βασιλεῖ τῷ χορηγῷ τοῦ τέλους».

2. Συλλογὴ ῥήσεων ἐκ τῶν βιογραφικῶν ὑπομνημάτων Συμεῶνος τοῦ Μεταφράστου, ἧς ἡ ἐπιγραφὴ δυσανάγνωστος, φ. 57-93.

3. Πατέρων ἀποσπάσματα, οἷον Ἰωάννου τοῦ Χρυσοστόμου, Μαξίμου, Μακαρίου τοῦ Αἰγυπτίου, Βασιλείου Καισαρείας, Γρηγορίου τοῦ Θεολόγου, Θεοδωρίτου, Μάρκου τοῦ ἐρημίτου, Διαδόχου, Ἐφραίμ, Ἰωάννου Σχολαστικοῦ, Νείλου, Πέτρου Δαμασκηνοῦ, Ἰσαὰκ τοῦ Σύρου, Εὐαγρίου, Ἰσιδώρου Πηλουσιώτου, Ἰωάννου Καρπαθίου, ἀββᾶ Ἡσαΐου, Θεογνώστου ἱερομονάχου, Φιλοθέου ἡγουμένου (φ. 94-203). Ἐν φ. 101β «λόγος ὠφέλιμος τοῦ νέου

θεολόγου [Συμεὼν] πρὸς ἀρχαρίους μοναχούς». Φύλ. 115β «Ἡσυχίου πρεσβυτέρου πρὸς Θεόδουλον, πόσοι τρόποι νήψεως». Φύλ. 135 Νείλου ἐπιστολαί τινες. Φύλλ. 155β «ἀπὸ τοῦ βίου τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ περὶ θεωρίας» ἀπόσπασμα. Φύλ. 199 Ἰωάννου Δαμασκηνοῦ «λόγος ψυχωφελὴς καὶ θαυμάσιος», οὗ ἡ ἀρχή· «Ἰστέον ὅτι διπλοῦς ὢν ὁ ἄνθρωπος» κτλ.

421. Ἔντυπον Ψαλτήριον (ἐκδ. Ν. Σάρου, Ἐνετίῃσιν 1733), ἔχον ἑκκαίδεκα φύλλα χειρόγραφα, λείψανον ὑπάρχοντα λειτουργικοῦ τινος ἀκεφάλου διακονικοῦ· τούτου δὲ τὸ τέλος ἔχει τὸ σημείωμα τοῦτο· «✝ Θεοῦ τὸ δῶρον καὶ ἀνδρὸς ἁμαρτωλοῦ πόνος: — Ἐν τῷ ἑπτακισχισχιλιοστῷ ἐνενικοστῷ α'. ͵ζϞα'» [1582 - 1583].

422. Τεῦχος ἐκ φύλλων χάρτου 155 (μήκ. 0,15 πλ. 0,11), λίαν ἀνορθόγραφον, ἀκέφαλον δὲ καὶ ἀτελές· ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ις' ἑκατ. καὶ περιέχει α') Νικοδήμου εὐαγγέλιον ἀπόκρυφον καὶ τὰ πραχθέντα ἐπὶ Πιλάτου. Ἡ ἀρχὴ λείπει (φ. 1-38)— β') «Ἀρχὴ σὺν Θεῷ βασιλογράφιν ἑρμηνεμένον, μυθικὸν περιβόλαιον. Λέοντος τοῦ σοφοῦ βασιλέως σὺν Θεῷ μυθικὸν περιβόλαιον ἔκ τινος μοναχοῦ Λεοντίου· ἐκ τῶν συμβολικῶν ἀνδριάντων τῆς Κωνσταντινουπόλεως, ὧν τὸ κράτος πρὸς ἡμᾶς ἀνταλλαξάμενος τὴν χάριν. ταύτην» κτλ.

423. Δύο τεύχη συνδεδεμένα τῆς ις' ἑκατ., μήκους 0,15, πλάτους 0,112.—α') «Περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου». Ἀρχ. «Ἰστέον ὅτι πάντα τὰ μέρη τοῦ λόγου» κτλ., φ. 1-62. Τέλος· «Θεοῦ τὸ δῶρον καὶ Δανιὴλ πόνος:—✝ Ἡ τοιαύτη γραμματικὴ πύλη ἐστὶ τοῖς ἀμαθέσιν· | ὃς γὰρ θέλει τέλειος εἶναι, ταύτην οὖν μετιέτω». Φ. 62β χρησμὸς Λέοντος.—β') Ἀνεπίγραφα σχόλια εἰς τὴν Ἰλιάδα, ἀπὸ τῆς Α μέχρι τῆς Κ ῥαψῳδίας, φ. 88-187. Ἀρχ. «Ἄνδρα νῦν τὸν φύσει· οὐ γὰρ εὑρίσκεται δύο ἐπίθετα ἄνευ κυρίου ἢ προσηγορικοῦ· δηλοῖ δὲ καὶ τὸν ἀνδρεῖον, ὡς ὅτ' ἀνδρὸς ἀκοντίσαντος, καὶ τὸν ἀνδρὸς ἡλικίαν ἔχοντα» κτλ.

424. Τεῦχος ἐκ φύλλων χάρτου 178, γραφὲν τῇ ιζ' ἑκατονταετηρίδι.—α') Ἀριστοφάνους Νεφέλαι, φ. 1-43.—Τέλος· «θέ-

μις ἐστὶ φύσιν περὶ παντὸς ὁμοίων». — β') Εὐριπίδου Ἑκάβη, φ. 44. — γ') Εὐριπίδου Ὀρέστης, φ. 83. Τέλος· «ταῦτα δικαιοσύνης μυστήρια». — δ') Ἡσιόδου ἔργα καὶ ἡμέραι, φ. 138. Τέλος· «λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων». — ε') Κάτωνος γνῶμαι παραινετικαὶ δίστιχοι, κατὰ μετάφρασιν Μαξίμου τοῦ Πλανούδη, φ. 170-178. Ἐν τέλει τοῦ κώδικος· «β κ ϑ ℞ λ χ ω ϑ ϛ ε ο ψ λ ω β κ ϑ ℞ υ ε ι ε ξ λ χ ε χ ζ ε ν ι ε ℞ λ ς ι ϑ π λ ν λ χ» [=Ἡ παροῦσα δέλτος ηπάρχει ἐμοῦ Εὐγενί(ου) ἱεροδιακόνου].

25. Τεῦχος ἐκ φύλλων χάρτου 208, μήκους 0,224, πλάτους 0,153. Ἐγράφη περὶ τὸ τέλος τῆς ιδ' ἑκατ. Φύλλα παντάπασιν ἄγραφα: $60^{β}$-$61^{α}$, $139^{β}$, 191-194.

1. Λεξικὸν ἀκέφαλον ἀπὸ τοῦ ε ψιλοῦ μέχρι τοῦ ω μέγα, φ. 1-53. Ἀρχ. «- - ἡ πρόθεσις καταφρόνησιν δηλοῖ καὶ τῶν ἐπάνω τῶν ὅρκων γίνεσθαι· ἀπὸ τούτου ὁ ἐπίβουλος· ἐπήβολος δὲ ὁ ἐπιτυχής· καὶ ἔστιν ἡ λέξις ἐν χρήσει καὶ τοῖς ποιηταῖς καὶ τοῖς ἀττικοῖς» κτλ. Τέλος· «ὄφειλε δὲ ἐπίρρημα, ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ καὶ συντάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου. Λέγεται τοῦτο ἐνίοτε καὶ μετὰ τοῦ ὡς, οἷον· ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον».

2. Ἀδήλου «περὶ ὀνομάτων». Ἀρχ. «Τῶν ὀνομάτων τινὰ μὲν δηλοῦσι πάθος, τινὰ δὲ ἐνέργειαν, οἷον ποιητὴς καὶ ποιητός· τῶν δὲ δηλούντων πάθος τὰ μὲν ἔχουσι τὸ πάθος ἐνεργείᾳ, τὰ δὲ δυνάμει» κτλ., φ. $53^{β}$-$60^{α}$.

3. Ποιημάτιον, οὗ ἀρχή· «Θρήνει με, κέλλα, σχοῦσα νωθρὸν ἐργάτην», φ. $61^{β}$.

4. «Τοῦ Μαγίστρου», φ. 62-$139^{α}$. Ἀρχ. «Αἰχμάλωτον ποιῶ καὶ αἰχμάλωτος γίνομαι ἀττικοὶ λέγουσιν» κτλ. Τέλος· «μηδεμίαν τοῦ ἂν δύναμιν ἔχοντος».

5. (Ἁρποκρατίωνος λεξικόν), οὗ ἡ ἐπιγραφή· «Γραμματικὴ καταστοιχίον τοῦ Φρενίχου [sic], φ. 140-190. Ἀρχ. «Ἀρχὴ τοῦ ἄλφα. Ἄβαρις ὄνομα· λοιμοῦ δέ φασιν κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότος» κτλ. Τέλος· «Ψιθυριστὴς Ἑρμῆς· ἥν τις

Ἀθήνησιν Ἑρμῆς οὕτω καλούμενος· ἐτιμᾶτο δὲ Ἀθήνησιν καὶ Ψίθυρος Ἀφροδίτη καὶ Ἐρ - - - Ψίθυρος».

5. (Προσθῆκαι τῆς ιε' ἑκατ., φ. 195-207). «Βοήθει Χριστὲ τὸν Ἀθανάσιόν μου.—Κάτων Ῥωμαῖος μετενεχθεὶς εἰς ἑλληνικὴν φωνὴν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου Μαξίμου τοῦ Πλανούδη». Κείμενον καὶ σχόλια κόκκινα. — Ἐπιστολαὶ τρεῖς Μανουὴλ τῷ μεγάλῳ λογοθέτῃ, τῷ θείῳ καὶ τῷ λογοθέτῃ τῶν γενικῶν, φ. 201-207. Ἀρχαὶ τῶν ἐπιστολῶν· «Πολλὰ κατ' ἐμαυτόν», «Οὐκ ἄρα λήξειν ἔμελλον», «Οἶμαι μηδεμίαν ὑπερβολὴν» κτλ.—Μῆνες τῶν Ἀθηναίων, φ. 201^{α}.

7. (Προσθῆκαι τῆς ις' ἑκατ., φ. 206^{β}-202). «Τῷ εὐγενεστάτῳ ἐν ἄρχουσι κυρῷ Ἀντωνίῳ τῷ Κανταχουζηνῷ Θεοφάνης μοναχὸς ὁ μέγας ῥήτωρ χαίρειν». Ἐπιστολὴ Θεοφάνους Ἐλεαβούλκου, ἧς ἡ ἀρχή· «Ὡς ἄγαμαι τοὺς φεύγοντας».—«Τοῦ αὐτοῦ Γεωργίῳ καὶ Μανουὴλ τοῖς ψυχῇ καὶ σώματι εὐγενέσι Κανταχουζηνοῖς χαίρειν». Ἀρχ. «Ἀρετῆς ἄρα καὶ τῶν ἀρετῇ προκειμένων» κτλ. Μετὰ δὲ τὸ γράμμα σημείωμα· «1586 ἰουνίου 12 ἐν τῶ Γαλατᾶ ἔξω εἰς τὰ περιβόλαια ἔδωκε τὸ κοινὸν χρέος ὁ πικραμένος μου ἀδελφὸς Μανουὴλ ὁ Κανταχουζηνὸς υἱὸς κυροῦ Ἀντωνίου Κανταχουζηνοῦ, ἀπὸ τὴν πανοῦκλα διὰ ἡμέρας τρεῖς ἡμέρα Κυριακῇ, εὑρισκόμενος χρόνων» [sic]. Εἶτα τύπος μικρᾶς σφραγῖδος, ἐν ᾧ παρίσταται λέων ὀρθούμενος καὶ κρατῶν διὰ τῶν προσθίων αὐτοῦ ποδῶν σῆμα τοιοῦτον: $ Περὶ δὲ τὸν λέοντα γράμματα τρία Α Κ Α.

426. Φύλλα χάρτου 274, μήκους 0,145, πλάτους 0,108. Λουκιανοῦ πονημάτια διάφορα. Ἡ ἀρχὴ λείπει. Φ. 59 «Ἐντεῦθεν ἄρχεται ἡ ἐξήγησις τοῦ Λουκιανοῦ παρὰ τοῦ ἐν διδασκάλοις ἡμῶν κυρίου Χρήστου Δημητρίου 1697 νοεμβρίου 23». Λουκιανοῦ ἐνύπνιον. «Τέλος τῆς ἐξηγήσεως τοῦ ἐνυπνίου. Πόνος Ἀθανασίου τοῦ ἱεροδιακόνου τοῦ ἐκ Βυθηκουκίου: 1697 ἰαννουαρίου 6». Μετὰ τὸ περὶ φιλοσόφου ἤθους «1698 ἰαννουαρίῳ 25 ἐτελειώθη». Μετὰ τὸν διάλογον Διογένους καὶ Ἀλεξάνδρου· «Τέλος εἴληφε ἐπὶ ἔτους 1698, μαρτίῳ 22. Πόνος Ἀθανασίου».

427. Τεῦχος ἐκ φύλλων χάρτου 108, μήκους 0,153, πλάτους 0,108.—α') «Βιβλίον πολλὰ χρειαζόμενον διὰ νὰ ἐπιστρέφῃ ὁ ἄνθρωπος εἰς τὸν Θεὸν λογιάζοντας τὰ δύο μάλιστα ὑστερινά, τουτέστι τὴν βασιλείαν τῶν οὐρανῶν καὶ τὴν παντοτινὴν καὶ τρομερὰν ἐκείνην κόλασιν τοῦ Ἅδου». Ἀρχ. «Καλὰ λέγει ὁ σοφώτατος Σειράχ», φ. 1 κέ. Φ. 32β «,αχξδ' [1664], μαΐω ιδ'. Ἔρρωσθε οἱ ἀναγινώσκοντες. † Ἐγράφη παραχειρὸς Ἀγγελάκη τοῦ φιλομαθοῦς καὶ Πετράκη καὶ ἐλαχίστου ἐν διδασκάλοις, ἐν ταῖς Θήβαις τῆς Βοιωτίας».—β') Διάλεξις χριστιανοῦ πρὸς Ἰουδαῖον, φ. 34. — γ') «Εὐχαὶ καὶ κανόνες τοῦ ἁγίου ἀγγέλου τοῦ φύλακος τῆς ζωῆς τοῦ ἀνθρώπου, τοῦ Μιχαὴλ καὶ τοῦ Γαβριὴλ καὶ τῶν λοιπῶν ἀσωμάτων ἐπουρανίων δυνάμεων. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ κανὼν εἰς τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς ἄγγελον. Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Μαυρόποδος, φέρον ἀκροστιχίδα τήνδε· Τὸν ἄγγελον μέλπω σὲ τὸν φύλακά μου. Ὠδὴ μοναχοῦ Ἰωάννου. Ἦχος πλάγιος δ': — Τὸν ἄγρυπνον φύλακα τῆς ἐμῆς» κτλ., φ. 50.—δ') Ἰσαὰκ τοῦ Σύρου «λόγος πρὸς ἀρχαρίους μοναχούς, μεταφρασθεὶς πεζῇ φράσει παρὰ Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου εἰς ὠφέλειαν τῶν εὑρισκομένων».—ε') «Παραίνεσις πρὸς τοὺς θέλοντας σωθῆναι μοναχοὺς ὡς ἐν συνόπτῳ, τοῦ ἐν ἐπισκόποις λογιωτάτου κυροῦ Δαμασκηνοῦ Λιτῆς καὶ Ρενδίνης καὶ προέδρου Πολιανῆς», φ. 68. — ς') «Ἱστορία Διονυσίου ἱερομονάχου καὶ ῥήτορος, τοῦ πνευματικοῦ τοῦ ἀσκήσαντος εἰς τὴν Ἁγίαν Ἄνναν, εἰς τὰ ὄρη τῆς ἱερᾶς Λαύρας», φ. 76.—ζ') Κεφάλαια τινὰ τοῦ βίου Νήφωνος τοῦ ὁσίου, φ. 79β. — η') Βίος τῆς ὁσίας Μαρίνης, φ. 99.—θ') Τεμάχιον ἐκ τοῦ πατερικοῦ Γρηγορίου τοῦ Διαλόγου, φ. 106β.

428. Φύλλα χάρτου 104, μήκους 0,15, πλάτους 0,102. «Νομοκάνων πάνυ πλουσιώτατος». Κεφάλαια πς'+λε'. Φ. 104α «Ἐγράφη τὸ παρὸν βιβλίον διὰ χειρὸς χαμοῦ Λαυρεντίου ἱερομονάχου τοῦ ἐκ Παραμυθίας κατὰ ,αχξε' [1665], ἐν μηνὶ ἰουνίῳ εἰς 25, εἰς πόλιν Καφάν· ὑπάρχει δὲ τοῦ ἐν ιερωμονάχοις Ἱλαρίων τῷ ἐξ Ἰωαννίνων τοῦ Συναΐτου».

429. Δύο μικρὰ βιβλία ἐκ χάρτου, συμπεπηγμένα καλῶς, μήκους 0,144, πλάτους 0,095. Α') Τεῦχος ἀκέφαλον τῆς ις' ἑκατ., ὅπερ ἐξ ἀρχῆς ἠρίθμει σελίδας 88· τανῦν ἐλλείπουσιν αἱ πρῶται 19 σελίδες. Ἀπὸ σελ. 20 «Τοῦ αὐτοῦ [?] λόγος περὶ ἐγκρατείας γαστρὸς γλώττης ὀφθαλμῶν χειρῶν ποδῶν καὶ λογισμῶν». Ἀρχ. «Ἀδελφέ, ἐγκράτειαν γαστρὸς ἔχει» κτλ. Σελ. 55 «Περὶ ἀδελφοῦ ὄν(τος) ἐν κοινοβίῳ πῶς χρὴ διάγειν, καὶ περὶ οἰκονόμου καὶ ἡγουμένου πῶς δεῖ ἐπιτιμᾶν». Ἀρχ. «Ὅστις ἀδελφὸς βούλεται σωθῆναι» κτλ. Σελ. 72 «Παραίνεσις πρὸς ἀρχαρίους μοναχούς». Ἀρχ «Πρόσεχε, ἀδελφέ, ὅτι ἡ γαστριμαργία» κτλ. Σελίδες ἄγραφοι 89 - 93.—Β') Τεῦχος ἕτερον ἐκ σελίδων 330, γραφὲν ἔτει 1619-ῳ διὰ τῆς χειρὸς Βενιαμίν.—α') Σελ. 1 «Ἑκατοστὸς τρίτος ψαλμὸς τοῦ Δαυὶδ πεζεμένος εἰς κοινὴν γλῶσσαν καὶ εἰς πεζὴν ὁμιλίαν».—β') Σελ. 3 «Ἐρωταπόκρισες· ποίημα κῦρ Λέοντος τοῦ σοφωτάτου». Ἀρχ. «Πρὶν οὐρανοῦ καὶ γῆς ποῦ ἐκατοίκα ὁ Θεός» κτλ.—γ') Σελ. 49 Εὐαγγέλιον ἀπόκρυφον Νικοδήμου παραπεφρασμένον εἰς κοινὴν γλῶσσαν.—δ') Σελ. 91 Ἀναστασίου Σιναΐτου «λόγος περὶ (τοῦ) μὴ μνησικακεῖν καὶ περὶ τῶν ἀχράντων μυστηρίων». Ἀρχ. «Ἀεὶ μὲν καὶ διὰ παντός» κτλ. — ε') Σελ. 141 «Προσκυνητάριον σὺν Θεῷ ἁγίῳ καὶ ἐξήγησις περὶ τοῦ ἁγίου τόπου τῆς ἁγιωτάτης πόλεως Ἱερουσαλὴμ καὶ τῶν λοιπῶν ἁγίων τόπων». Ἀρχ. «Ἐπειδὴ κατὰ τὴν ἀγαθήν σου προαίρεσιν» κτλ. Τέλος· «Πόνος Βενιαμὶν ἱερομονάχου. † ἔτους ,ζρκη' μηνὶ σεπτευρίω ιδ', ,ζρκη'» [Βενιαμὶν Ἰωαννίδου τοῦ προσκυνηταρίου τῆς ἁγίας Γῆς τεῦχος Α', ἐν Ἱεροσολύμοις 1877, σελ. παραρτ. ις' - κγ'].—ς') Σελ. 213 «Περὶ τοῦ ὄρους τοῦ ἁγίου Σινᾶ».—ζ') Σελ. 241 «Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου περὶ τῆς Ἱερουσαλὴμ καὶ εἰς τὴν ἀνάλωσιν ταύτης καὶ περὶ τῆς ἐκστάσεως Ἀβιμέλεχ». Ἀρχ. «Ἐν ταῖς ἡμέραις ἐκείναις εἶπε Κύριος πρὸς Ἱερεμίαν» κτλ. — η') Σελ. 273 διήγησις περὶ τῶν ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ. Ἀρχ. «Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ Δεκίου» κτλ.—θ') Σελ. 287 λόγος περὶ Ἰωάννου τοῦ Καλυβίτου. Ἀρχ. «Βίον καλὸν καὶ ἐνάρετον» κτλ.—ι') Σελ.

326 ἑρμηνεία τοῦ «Κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος». Ἀρχ. «Πόλιν ἐνταῦθα τὸν ἄνθρωπον ὀνομάζει» κτλ.

430. Μαξίμου τοῦ ὁμολογητοῦ περὶ ἀγάπης ἑκατοντάδες δ'. Φύλλα χάρτου 117, μήκους 0,15, πλάτους 0,095. Τεῦχος τῆς ιζ' ἑκατονταετηρίδος.

431. Φύλλα χάρτου τῆς ιζ' ἑκατ. 107, μήκους 0,152, πλάτους 0,103. α') Οἱ κδ' οἶκοι τοῦ ἀρχαγγέλου Μιχαήλ, β') Οἱ κδ' οἶκοι τῆς Παναγίας, γ') «Κανὼν παρακλητικὸς εἰς τὴν δέσποιναν πρὸς ἐξομολόγησιν ἁμαρτωλοῦ», δ') «Κανὼν χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον», ε') Κανὼν παρακλητικὸς εἰς τὸν Ἰησοῦν Χριστόν, ς') Εὐχαὶ τῆς ἐξομολογήσεως.

432. Τρία διάφορα βιβλιάρια καὶ τετράδιον ἑτέρου κώδικος ἕν, ἀποτελοῦντα φύλλα 123, μήκους 0,15, πλάτους 0,102.

α) «Ἰατροσόφιον ἐκλελεγμένον ἀπὸ (cod. ὑπὸ) πολλῶν ἰατρικῶν βιβλίων Γαληνοῦ Ἱπποκράτους καὶ Μελετίου μοναχοῦ καὶ ἄλλων πολλῶν σοφῶν ἰατρῶν». Κεφάλαια 202, ὧν τὸ πρῶτον «εἰς πόνον ὠτίου». Ἄρχεται δὲ ὧδε· «Ὅταν πονῇ τὸ ὠτίον, κοπάνισον κολοκυνθέας φύλλα καὶ τὸν ζωμὸν στάζε εἰς τὸ ὠτίον» κτλ. Τὸ βιβλίον ἐγράφη ἔτει «͵αχξβ'» [1662]. Ἐν τῇ ἀρχῇ περὶ φλεβοτομίας, εἶτα «τῆς σελήνης περὶ ἀρρώστου ἑρμηνεία» καὶ μετ' αὐτὴν ὁ πίναξ τοῦ ῥηθέντος ἰατροσοφίου. Φύλλα 43.

β') Πατερικὸν τῆς ιζ' ἑκατ. ἐκ φύλλων 84, περιέχον δὲ 1) βίον τοῦ ὁσίου Ξενοφῶντος, 2) διήγησιν Μακαρίου τοῦ Αἰγυπτίου περὶ τοῦ ἀγγέλου, 3) βίον τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου, 4) ἱστορίαν Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος, «ἀσκοῦντος ἐν τῇ σκήτῃ τῆς Λαύρας», 5) διάλεξιν Ἰουδαίου καὶ χριστιανοῦ, 6) ἑρμηνείαν τοῦ μέλανος.

γ') «Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σπυρίδωνος Τριμυθοῦντος τοῦ θαυματουργοῦ». Ἀρχ. «Μέγα τίποτας καὶ ὠφέλεια ψυχῆς ἔναι νὰ διηγᾶταί τινας» κτλ. Φύλλα 31, γραφέντα τῇ ις' ἑκατονταετηρίδι.

δ') Πεντάδιον ἑτέρου κώδικος τῆς ις' ἑκατ. περιέχον τὸ τέλος

τοῦ ἀποκρύφου εὐαγγελίου Νικοδήμου, τὴν ἐπιστολὴν Καίσαρος πρὸς Πιλάτον, ἀπόκρισιν Βασιλείου Καισαρείας εἰς Ἰουλιανὸν καὶ χρησμοὺς τέσσαρας περὶ Χριστοῦ.

433. Παπαδικὴ τῆς ἐκκλησιαστικῆς μουσικῆς, ἔχουσα ἐν τῇ ἀρχῇ πραγματείαν περὶ τῶν σημαδίων τῆς ψαλτικῆς. Φύλλα χάρτου 203, μήκους 0,133, πλάτους 0,095. Ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατ. Ἐν τῷ 131-ῳ φύλλῳ· «Ἐκ τῶν τοῦ Αὐξεντίου ἱερομονάχου καὶ ἐφημερίου τῆς μεγάλης ἐκκλησίας» ἐν Κ/πόλει. Κατόπιν ἐγένετο κτῆμα Ἰεζεκιὴλ ἱερομονάχου.

434. Θεοτοκάριον τῆς ις' ἑκατ. ἀκέφαλόν τε καὶ ἀτελές. Φύλλα χάρτου 265, μήκους 0, 147, πλάτους 0,11. Κατὰ σελίδα γραμμαὶ 16 (0,09 × 0,06).—1) Κανόνες εἰς τὴν Θεοτόκον ἀνώνυμοι καί τινες Ἰωάννου μοναχοῦ, φ. 1-114.—2) «Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ἦχος πλ. δ'. Θεοφάνους». Ἀρχ. «Ἀπὸ στενώσεως ψυχῆς», φ. 114.—3) «Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν μητέρα τοῦ φωτός, φέρων συνεχῶς τὸ τοῦ φωτὸς ὄνομα. Θεοκτίστου μοναχοῦ· οὗ ἡ ἀκροστιχίς: Φωτὸς δοχεῖον, φώτισόν με· ἀμήν». Ἦχος δ'. Ἀρχ. «Φωτί με τῶν πρεσβειῶν σου» κτλ., φ. 118β [Νικοδήμου Θεοτοκάριον, Βενετία 1883, σ. 43].—4) «Ἕτερος κανὼν παρακλητικὸς καὶ ἐξομολογητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μεθοδίου». Ἦχος πλάγιος β'. Ἀρχ. «Πῶς μου θρηνήσω τὸν βίον» κτλ. φ. 122β.—5) «Ἕτεροι κανόνες εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα κυροῦ Μητροφάνους Σμύρνης», φ. 129-148.—6) «Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα κυροῦ Ἰωάννου τοῦ Μαυρόποδος, μητροπολίτου Εὐχαΐτων». Ἦχος β'. Ἀρχ. «Μεμυκότα χείλη τῆς ψυχῆς», φ. 148β. — 7) «Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς: Παθῶν ἰλύος ἔκσπασόν με τὸν ἀμελῆ Ἰωάννην». Ἦχος πλ. δ'. Ἀρχ. «Παθῶν μου τὸν ἄστατον» κτλ., φ. 155.—8) «Παύλου στιχηρὰ προσόμοια· ἦχος πλ. δ'». Ἀρχ. «Ποίοις ὀφθαλμοῖς θεάσομαι», φ. 162β.—9) «Ἕτερος κανὼν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὗ ἡ ἀκροστιχίς: Ἐν ἑβδόμῳ μέλει σὲ μέλπω παντάναξ μοναχὸς Ἰωάννης:

Εὐχαΐτων». Ἦχος δ'. Ἀρχ. «Ἔχων τὴν εὐσπλαγχνίαν», φ. 146.— 10) «Ἕτερος κανὼν ἐξομολογητικὸς τοῦ φιλοσόφου Ἱεροθέου μοναχοῦ, εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν». Ἦχος πλ. δ'. Ἀρχ. «Ἐξαγγελίαν τῶν ἐμῶν νῦν πρόσδεξαι», φ. 171β.—11) «Ἕτερος κανὼν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔχων καὶ στιχηρὰ προσόμοια ἐν τῇ ἀρχῇ· ποίημα Θεοκτίστου μοναχοῦ τοῦ Στουδίτου. Ἦχος πλ. β'». Ἀρχ. «Ἰησοῦ γλυκύτατε», φ. 184β.— 12) «Ἕτερος κανὼν τοῦ σοφωτάτου κυροῦ Μιχαὴλ τοῦ Ψελοῦ» εἰς τὸν Χριστόν. Ἦχος πλ. δ'. Ἀρχ. «Οἴμοι! τί κλαύσω» κτλ., φ. 193.—13) «Στιχηρὰ προσόμοια εἰς τὴν ὑπεραγίαν Θεοτόκον· Μητροφάνους Σμύρνης». Ἦχος β'. Ἀρχ. «Δός μοι κατανύξεως ἁγνή», φ. 199β. — 14) Στιχηρὰ τριαδικὰ ὅμοια Θεοφάνους». Ἀρχ. «Πάντα ἅπερ ἥμαρτον εἰς σέ», φ. 203. — 15) «Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Ξανθοπούλου στιχηρὰ ψαλλόμενα εἰς τὴν ὑπεραγίαν Θεοτόκον· χαιρετισμοὶ ἐγκωμιαστικοὶ κατὰ ἀλφάβητον, πρὸς (τὸ) Τὴν τιμιωτέραν». Ἀρχ. «Χαῖρε ἀνωτέρα τῶν νοερῶν», φ. 205.—16) «Ἀκολουθία εὐχαριστήριος εἰς τὴν ὑπεραγίαν δέσποιναν Θεοτόκον τὴν μεσίτριαν τῶν χριστιανῶν. Ὁ κανὼν ἔχων πρὸς τὸ τέλος στιχηρὰ καὶ κοντάκια καὶ τοὺς κατὰ αβ κδ' οἴκους· οὗ ἡ ἀκροστιχίς: Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ' Ἰωσήφ· ἦχος δ'». Ἀρχ. «Χριστοῦ βιβλίον ἔμψυχον», φ. 208β.—17) «Εὐχαὶ κατανυκτικαὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν», φ. 226.—18) Εὐχαὶ εἰς τὴν ἁγίαν τριάδα μετὰ ὁμολογίας καὶ παρακλήσεως, φ. 228β. — 19) «Ἑτέρα εὐχὴ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφίλου τοῦ ὁμολογητοῦ». Ἀρχ. «Δέσποτα κύριε παντεπόπτα», φ. 232.—20) «Ἑτέρα εὐχὴ πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν». Ἀρχ. «Φρίττω καὶ τρέμω καὶ δέδοικα», φ. 235.—21) Τρεῖς εὐχαὶ εἰς τὴν Θεοτόκον, φ. 238.—22) «Ἑτέρα εὐχὴ κατὰ στίχον· ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ». Ἀρχ. «Δεῦτε πάντες πιστοὶ προσκυνήσωμεν», φ. 246β [Ἀνάλ. Ἱεροσολυμ. Σταχ. I, σ. 390].—23) «Εὐχὴ ἑτέρα εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ ἀλφάβητον κυροῦ Λέοντος τοῦ σοφοῦ». Ἀρχ. «Ἀναμάρτητε Κύριε δέομαι' | τὰς ἐμὰς ἁμαρτίας ἐξάλειψον»,

φ. 248β.—24) «Κανὼν εἰς ψυχορραγοῦσαν καὶ κρινομένην ψυχὴν καὶ δειλιῶσαν ἐξελθεῖν ἐκ τοῦ σώματος· ποίημα Ἀνδρέου Κρήτης». Ἦχος πλ. β'. Ἀρχ. «Δεῦτε συνάχθητε πάντες», φ. 250.—25) «Ἀρχὴ τῆς ἁγίας μεταλήψεως». Ἀρχ. «Μετὰ τὸ ἀπολῦσαι τὴν ἑωθινὴν δέησιν», φ. 255β. Λείπει τὸ τέλος.

435. Ψαλτήριον ἀκέφαλον ἐπιχαρίτως ἀντιγραφὲν τῇ ις' ἑκατ. Μήκους 0,107, πλ. 0,078. Κατὰ σελίδα γραμμαὶ 16 (0,074 × 0,048). Φύλλα χάρτου 188. Μετὰ τὸ 78-ον φύλλον ἔλλειμμα, ὅπερ εἰργάσατο Πορφύριος, ἀποκόψας ἐκεῖθεν ἓξ φύλλα. Πρὸς τῷ τέλει «κανὼν τῆς Θεοτόκου εἰς τὸν ἀκάθιστον ὕμνον», οὗ ἡ ἀρχή· «Χριστοῦ βιβλίον ἔμψυχον» κτλ.

436. Τεῦχος ἐκ χάρτου, μήκους 0,34, πλάτους 0,23. Φύλλα 146. Κείμενον κατὰ σελίδα μονόστηλον. — α') Θεοφίλου Κορυδαλλέως ἀνεπίγραφος ῥητορική, ἧς ἡ ἀρχή· «[Τ]ὴν ἔμφυτον ἐπιθυμίαν καὶ ἔφεσιν», φ. 3β.—β') «Τοῦ αὐτοῦ Κορυδαλέως περὶ στάσεων· προοίμιον εἰς τὰς στάσεις. Ἱκανῶς περὶ τῶν προγυμνασμάτων τοῦ Ἀφθονίου ἐξακριβώσασι» κτλ., φ. 27-75 «Ἔλαβε πέρας ἡ παροῦσα δέλτος, διὰ χειρὸς κἀμοῦ τοῦ εὐτελοῦς Ἱεροθέου ἱερομονάχου, ἐκ νήσου Σκοπέλου, ἐν ἔτει σωτηρίῳ ͵αψνβ' (1752), κατὰ μῆνα αὔγουστον: ἐν Ἱερουσαλήμ».—γ') Ῥητορικὴ κατ' ἐρωταπόκρισιν, ἧς ἡ ἀρχή· «Ῥητορική ἐστι τεχνικὴ δύναμις λόγων», φ. 76-146 «Ἐγράφη παρ' ἐμοῦ τοῦ ταπεινοῦ Ἱεροθέου ἱερομονάχου ἐκ νήσου Σκοπέλου: κατὰ τὸ ͵αψνγ-ον (1753) φευρουαρίου κζ'-ῃ: Ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ».

437. Μαθηματάριον ἐκ φύλλων χάρτου 238, μήκους 0,33, πλάτους 0,225. Ἐν τῇ ἀρχῇ, διὰ τῆς χειρὸς τοῦ γράψαντος τοῦτο τὸ βιβλίον· «Ἀπὸ Χριστοῦ ἔτει 1769: ἰουλίου α'». Κείμενα ψυχαγωγία καὶ σχόλια ἐν τοῖς κρασπέδοις. α') Ἰλιάδος ΑΒΓΔΕ, β') Θεοκρίτου εἰδύλλια ιε', γ') Γρηγορίου Ναζιανζηνοῦ τὰ καθ' ἑαυτὸν ἔπη, δ') Ἡσιόδου ἔργα καὶ ἡμέραι, ε') «Ἐπιτομὴ τῶν εἰς τὸν Ἡσαΐαν καταβεβλημένων διαφόρων ἐξηγήσεων Προκοπίου χριστιανοῦ σοφιστοῦ».

438. Ἀσκητικῶν ἀποσπασμάτων ἐκλογὴ καὶ «σχόλια εἰς

διάφορα κεφάλαια τῆς Κλίμακος». Φύλλα χάρτου 26, μήκους 0,312, πλ. 217. Ἐγράφη ἔτει 1792-ῳ διὰ τῆς χειρὸς Ἰωαννικίου τοῦ Σαβαΐτου.

439. Μηναῖον τοῦ Μαρτίου ἀκέφαλόν τε καὶ ἀτελές, γραφὲν περὶ τὸ τέλος τῆς ιδ' ἑκατ. Φύλλα χάρτου 107, μήκους 0,295, πλάτους 0,215. Κείμενον κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν τριάκοντα (0,203 × 0,155).

440. Τεῦχος ἐκ φύλλων χάρτου 234, μήκους 0,28, πλάτους 0,198. Κείμενον κατὰ σελίδα μονόστηλον. [Θεοφίλου Κορυδαλλέως φυσικῆς ἀκροάσεως βιβλία ἕξ]. Ἐπιγραφή· «Εἰς φιλοσοφίαν προδιοίκησις. Προοίμιον, ὁποῖον τὸ τῆς φιλοσοφίας ἀξίωμα. Τῶν ὅσα θηράσιμα πέφυκε τοῖς ἀνθρώποις» κτλ. Φ. 234 «Τέλος τοῦ ϛ-ου βιβλίου. Ἐν ἔτει τῷ κοσμοσωτηρίῳ ͵αψλζ-ῳ (1737), αὐγούστου λα'». Ἐν τοῖς κρασπέδοις τινὰ σχόλια.

441. Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου συναξάρια τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου. Φύλλα 58 βαμβακεροῦ χάρτου, γραφέντα τῇ ιδ' ἑκατ. Κείμενον κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 27 μέχρι 30 (0,278 × 0,185 = 0,193 × 0,12).

442. Ἀκολουθία τῶν ἐγκαινίων τοῦ ἐν Λύδδῃ μεγάλου ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου, ψαλλομένη τῇ 3 νοεμβρίου. Τοῦ κανόνος ἡ ἀκροστιχίς· «Θερμὸς πέφυκας μάρτυς ὄντως προστάτης». Φύλλα χάρτου 22, γραφέντα τῇ ιη' ἑκατ. Κείμενον κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 22 (0,266 × 0,188 = 0,21 × 0,115).

443. Παραφράσεις διαφόρων κειμένων, οἷον τῶν τετραστίχων μύθων Ἰγνατίου, τῶν κεφαλαίων Ἀγαπητοῦ διακόνου, κανόνων ᾀσματικῶν τοῦ μελῳδοῦ Κοσμᾶ κτλ. Φύλλα χάρτου 109, μήκους 0,25, πλάτους 0,175. Γραφὴ κακίστη τῆς ιη' ἑκατ.

444. Κανόνες ᾀσματικοὶ κατὰ τοὺς ὀκτὼ ἤχους, ψαλλόμενοι εἰς τὸν ὅσιον Σάβαν, προσόμοια καὶ στιχηρὰ ἰδιόμελα. Φύλλα χάρτου 22, γραφέντα τῇ ιη' ἑκατ. Μήκους 0,253, πλάτους 0,19. Ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει φύλλον ἓν ἐκ μεμβράνης, ἐν ᾧ τέμαχός ἐστι λόγου τινὸς περὶ τοῦ τετραημέρου Λαζάρου·

ἔστι δὲ τοῦτο μέρος ἑτέρου τινὸς κώδικος τῆς ια' ἑκατονταετηρίδος.

445. Τεῦχος τῆς ιη' ἑκατ. ἐκ φύλλων χάρτου 147, μήκους 0,252, πλάτους 0,18. — α') «Θεοφίλου τοῦ Κορυδαλλέως προοίμιον εἰς τὴν ῥητορικὴν τέχνην», οὗ ἡ ἀρχή· «Τὴν ἔμφυτον ἐπιθυμίαν» κτλ, φ. 1 κέ. Ἐν τοῖς κρασπέδοις πολλὰ σχόλια.— β') «Πρᾶξις κατὰ συντομίαν εἰς τὰς ῥητορικὰς ἑρμηνείας, πρὸς τὸν εὐλαβέστατον κύριον κύριον Παΐσιον καὶ ἡμέτερον μαθητὴν τὸν Χοραφὰ ὁ ῥήτωρ Βικέντιος». Ἀρχ. «Ἐπειδὴ τῆς ῥητορικῆς τὰ μαθήματα» κτλ., φ. 61-94 [Ἐξεδόθη τύποις ἐν Πέστῃ, ἔτει 1815-ῳ, δι' Ἐμμανουὴλ τοῦ Δημητριάδου]. — γ') «Διδασκαλία περὶ τοῦ ἀκραιφνοῦς τρόπου τοῦ διδάσκειν τὸ ἱερὸν εὐαγγέλιον, ἐκδοθεῖσα παρὰ Γερασίμου Βλάχου τοῦ Κρητός, ταπεινοῦ τῶν ἐπιστημῶν διδασκάλου, κήρυκος τοῦ ἱεροῦ εὐαγγελίου καὶ καθηγουμένου τῆς Παλαιουπόλεως, σεβασμίου μοναστηρίου», φ. 101-123 «Ἐγράφη χειρὶ ἀμαθοῦς Χριστοφῆ». — δ') «Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλλέως τοῦ ὕστερον διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος Θεοδοσίου μετονομασθέντος ἔκθεσις περὶ ἐπιστολικῶν τύπων», φ. 124 κέ.

446. «Μαθήματα τοῦ Ἰωακεὶμ» Σμυρναίου, γραφέντα διὰ τῆς χειρὸς αὐτοῦ μεσούσης τῆς ιη' ἑκατ. Φύλλα χάρτου 143, μήκους 0,25, πλάτους 0,18. Ψυχαγωγία καὶ σχόλια ἐν τοῖς κρασπέδοις. Δόγοι πέντε Γρηγορίου τοῦ Θεολόγου. Λείπει τὸ τέλος.

447. Θεματογραφία Χριστοφῆ (ὅρα ἀριθ. 445), περιέχουσα ἐν τῇ ἀρχῇ τύπον ἐπιστολῆς αὐτοῦ πρός τινα Κωνσταντῖνον· μετὰ δὲ πολλὰς ἄλλας ἐπιστολὰς ἔγραψε θέματα κατὰ τὸ πρῶτον εἶδος τῶν ἐνεργητικῶν, ἔτει 1763-ῳ. Φύλλα χάρτου 120, μήκους 0,238, πλάτους 0,169.

448. Ἔμμετρος ἀκέφαλος διήγησις περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἐν Ἱεροσολύμοις ἔτει 1808-ῳ, ἐν τῷ ναῷ τῆς Ἀναστάσεως. Φύλλα 20, ὧν τὰ πρῶτα δώδεκα μόνον ἔχει τὴν διήγησιν, ἀρχομένην ὧδε· «πέμπτην ᾠδὴν ἐψάλαμεν ἡμεῖς οἱ καϊμένοι· | τοὺς κώδωνας ἠκούσαμεν φεῦ οἱ δυστυχισμένοι» κτλ.

449. Βίος καὶ πολιτεία τοῦ ὁσίου Χαρίτωνος ἐν παραφράσει, γραφεὶς ἔτει 1797-ῳ διὰ τῆς χειρὸς Ἰωαννικίου τοῦ Σαβαΐτου. Φύλλα 12, μήκους 0,235, πλάτους 0,175. Ἀρχ. «Πολλά εἰσι τὰ παραδείγματα τῆς διδασκαλίας» κτλ.

450. Τεμάχιον ἀπογράφου τινὸς τῆς ιζ' ἑκατ. ἐκ φύλλων δέκα, περιέχον μέρος τοῦ νομοκάνονος Μαλαξοῦ. Μήκους 0,225, πλ. 0,125. Ἔνδον τῆς πρώτης πινακίδος ἔγραψεν Ἰωαννίκιος ὁ Σαβαΐτης (1787 ἰουνίου 3)· «† Ἔστω εἰς εἴδησίν σας ἀδελφοὶ ταπαρόντα τετράδια τοῦ νόμου κανόνες τὰ ἔφερεν ἕνας ἀδελφὸς ἀπὸ τὴν Ἱερουσαλήμ· εἶχε καὶ ἄλλα, καθὼς μὲ εἶπεν, ὅμως τὰ ἐχρειάσθηκεν εἰς ταῖς ὑπηρεσίαις του. Λοιπὸν αὐτὰ τὰ εὑρισκόμενα τὰ ἐστάχωσα εἰς ἕνα τέτραδον» κτλ.

451. «Θέατρον τῆς Ἁγίας Γῆς, ἡ ἱστορία καὶ περιγραφὴ ταύτης καὶ ὅλης τῆς Γῆς τῆς Ἐπαγγελίας, συγγραφεῖσα μὲν λατινιστὶ ὑπὸ Ἀδριχομίου Δέλφιο Γερμανοῦ, μεταφρασθεῖσα δὲ εἰς τὴν καθ' ἡμᾶς γλῶσσαν καὶ διαφόρων σφαλμάτων ἐκκαθαρθεῖσα, ἔτι δὲ καὶ διαφόροις προσθήκαις πλουτισθεῖσα παρὰ τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου καὶ ἁμαρτωλοῦ Νεοφύτου Ἁγιοταφίτου, τοῦ ἐκ τῆς Κύπρου, τῷ ͵αωμθ-ῳ ἔτει, κατὰ μῆνα μάρτιον. Ἀφιερώθη δὲ τὸ παρὸν πόνημα πάρ' αὐτοῦ τοῦ μεταφραστοῦ τῷ ἐξόχως ταύτην τὴν γῆν διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας ἁγιάσαντι καὶ τιμήσαντι θεοπρεπῶς θεανθρώπῳ σωτῆρι ἡμῶν καὶ κυρίῳ Ἰησοῦ Χριστῷ. Τόμος α'. Ἐν τῇ ἁγιωτάτῃ πόλει Ἱερουσαλὴμ γέγραπται αὕτη τῷ 1849». Τόμοι τρεῖς ἐκ κοινοῦ χάρτου, συναποτελοῦντες σελίδας θ' + 1233. Ἔτει δὲ 1860-ῳ ἀφιερώθησαν τῇ λαύρᾳ Σάββα τοῦ ἡγιασμένου, ἡγουμενεύοντος Ἰωάσαφ.

Ἰωάννης ὁ Καρᾶς, ἐνέτη ,ςͲλζ′ μαΐω ι′ ἡμέρα γ′» [1429]. Ἐν τῇ ἐσχάτῃ σελίδι· «τοβ(ιβ)λίω ὑπάρχ(ει) τῆς Παναγίας του Φιλοσοφου Πόλοπόνισως. † Σωφρόνιος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ».—α′) «Τῶν ἁγίων πατέρων λόγος ὠφέλιμος», οὗ ἡ ἀρχή· «Εἴ τις ὑποτάσσεται τῷ προεστῶτι», φ. 1.—β′) Ἐφραὶμ τοῦ Σύρου λόγος παραινετικός, οὗ ἡ ἀρχή· « - - πήσωμεν ἀδελφοί, ὅτι οὐδὲν ἡμᾶς ὠφελεῖ ὁ κόσμος», φ. 12β.—γ′) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ εὐχῆς καὶ νηστείας καὶ ἐλεημοσύνης καὶ ἐπιστροφῆς καὶ κατὰ ὀμνυόντων τὸ ὄνομα τοῦ Θεοῦ». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοὶ γνωρίσωμεν», φ. 15.—δ′) Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ κατανύξεως καὶ σωτηρίας». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοί, ἀκούσατε καλῆς συμβουλῆς», φ. 25.—ε′) Τοῦ αὐτοῦ «λόγος περὶ τῆς συντελείας τοῦ αἰῶνος καὶ περὶ ἐλεημοσύνης καὶ μετανοίας». Ἀρχ. «Ἀγαπητοὶ μηδὲν προτιμησώμεθα», φ. 35.—ς′) Τοῦ αὐτοῦ λόγος περὶ μετανοίας, οὗ ἡ ἀρχή· «Δεῦτε ἀγαπητοί μου, - - τὸ ἐκλεκτὸν ποίμνιον», φ. 41.—ζ′) «Τοῦ αὐτοῦ λόγος περὶ κρίσεως καὶ πόθου καὶ κατανύξεως». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοί, ἀκούσατε συμβουλῆς ἐμοῦ», φ. 53.—η′) «Ἐκ τῶν θαυμάτων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Νικολάου Μύρων Λυκίας». Ἀρχ. «Μετὰ τὴν κοίμησιν τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου, ἐπὶ χρόνους ε′ ἐγένετο ἀβροχία καὶ κράτησις τοῦ ἀέρος», φ. 61.—θ′) Ἐφραὶμ τοῦ Σύρου λόγος εἰς τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου. Ἀρχ. «Ὅσοι τὰ τοῦ βίου μάταια», φ. 69.—ι′) Κανὼν ἀνεπίγραφος εἰς τὸν ἀρχιστράτηγον Μιχαήλ, κατ' ἦχον δ′, οὗ ἡ ἀρχή· «Ταῖς θείαις λαμπρότησι καταστραπτόμενος», φ. 76.—ια′) «Ἕτερος κανὼν τοῦ Προδρόμου» κατ' ἦχον πλάγιον β′, οὗ ἡ ἀρχή· «Δεῦτε εὐφήμῳ τῇ γλώττῃ», φ. 80β. Μέχρι τοῦ πρώτου τροπαρίου πρώτης ᾠδῆς.—ιβ′) Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὴν γέννησιν τοῦ Κυρίου. Ἀρχ. «Χριστὸς γεννᾶται, δοξάσατε», φ. 81.—ιγ′) Τοῦ αὐτοῦ λόγος εἰς τὰ Φῶτα, φ. 98.—ιδ′) Ἀνδρέου Κρήτης λόγος εἰς τὸν τετραήμερον Λάζαρον, οὗ ἡ ἀρχή· «Λάζαρος τὸν παρόντα συγκεκρότηκε», φ. 119β.—ιε′) Γερμανοῦ Κ/πόλεως εἰς τὰ εἰσόδια τῆς

*

Θεοτόκου. Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἑτέρα πανήγυρις», φ. 134β.— ις') Ἐπιφανίου Κύπρου λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου, φ. 140β. — ιζ') Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τὸ ἅγιον πάσχα καὶ εἰς τὴν βραδυτῆτα, φ. 154β. — ιη') Προσθήκη τῆς ιζ' ἑκατ. ἐκ τῆς χρονογραφίας Ἱεροθέου Μονεμβασίας, φ. 157-194.

535. Ὡρολόγιον ἀτελὲς τῆς ιζ' ἑκατ. ἐκ φύλλων χάρτου 140, μήκους 0,214, πλάτους 0,152. Ἐν τῇ ἀρχῇ φύλλα πρόσθετα δύο, ἐν οἷς ὑπάρχει τεμάχιον ἁπλοελληνικοῦ νομοκάνονος.

536. Ψαλτήριον ἐκ χάρτου. Φύλλα 186, μήκους 0,215, πλάτους 0,155. Κατὰ σελίδα γραμμαὶ 28 (0,17 × 0,105). Ἐν τῇ ἀρχῇ πραγματεία περὶ τοῦ τί ἐστι ψαλτήριον, ἧς ἡ ἀρχή· «Ψαλτήριον θεῖον κύριον καὶ ἅγιον» κτλ. τὸ δὲ κείμενον τῶν ψαλμῶν ἔχει συμπαρακολουθοῦσαν ἑρμηνείαν, ἧς ἡ ἐπιγραφή· «Ἡσυχείου καὶ πρεσβύτου [sic] Ἱεροσολύμων εἰς τὴν ἑρμηνείαν τοῦ Ψαλτηρίου»· ἄρχεται δὲ ὧδε· «Ἔστι μὲν δς ὁ ἀληθὴς ὁ μακαριστὸς καὶ θεῖος ὁ πράττων τοῦ Θεοῦ τοῦ ἀληθινοῦ τὸ θέλημα, ἀσεβεῖς δέ εἰσι πάντες οἱ ἀγνοοῦντες» κτλ. Τέλος· «Τὰ ἐπίλοιπα τοῦ ψαλμοῦ καὶ οἱ ἕτεροι ψαλμοὶ ὅλου τοῦ καθίσματος οὐκεβρέθησαν» [sic]. Ἔνδον τῆς δευτέρας πινακίδος· «† Ἐγράφει εἰς τὴν Ἱερουσαλὴμ εἰς τὸν Ἀρχάγγελον ὑπό τινος Σεραφείμ, ἔτη ἀπὸ Χριστοῦ 1676:—καὶ ἀπὸ Ἀδὰμ 7184».

537. Τεῦχος τῆς ιδ' ἑκατ. ἐκ φύλλων χάρτου 71, μήκους 0,21, πλάτους 0,152. Κατὰ σελίδα γραμμαὶ 26 (0,15 × 0,095). «Ἀνδρέου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας» ἑρμηνεία τῆς Ἀποκαλύψεως Ἰωάννου τοῦ Θεολόγου, ἀτελὴς ὅμως διὰ τὸν ἐκπεσμὸν ὡς φαίνεται πολλῶν φύλλων. Πρὸ τῆς ἑρμηνείας ὑπῆρχε τεῦχος ἕτερον, ἐν ᾧ περιελαμβάνοντο συγγραφαὶ Ἰσαὰκ τοῦ Σύρου καὶ κανὼν ᾀσματικὸς εἰς τὴν Θεοτόκον· δῆλον δὲ τοῦτο νῦν ἐκ τῆς ἔξωθεν ἐπιγραφῆς τοῦ κώδικος.

538. Εὐχολόγιον τῆς ιζ' ἑκατ. ἐκ φύλλων χάρτου 125, μήκους 0,211, πλάτους 0,162. Κατὰ σελίδα γραμμαὶ 15 (0,143 × 0,093).

539. Ἐν τῇ ἀρχῇ φύλλα χάρτου ἕνδεκα (μέρος ὄντα κώδικος τῆς ιε' ἑκατ.), περιέχοντα εὐαγγέλια ἑωθινὰ καὶ εὐχὰς δύο λεγομένας εἰς γυναῖκα λεχώ. Εἶτα φύλλα χάρτου 54, μήκους 0,22, πλάτους 0,158, γραφέντα ἔτει 1501-ῳ. Κατὰ σελίδα γραμμαὶ 21 (0,152×0,095). Αἱ τρεῖς εἰθισμέναι λειτουργίαι, ὧν ἡ πρώτη ἀκέφαλος· καὶ εὐχὴ λεγομένη πρὸ τῆς μεταλήψεως, ἀραβιστὶ δὲ γεγραμμένη. Μετὰ δὲ τὸ τέλος τῆς λειτουργίας τῶν προηγιασμένων ἀναγινώσκεται τὸ σημείωμα τοῦτο· «† Χριστῷ τελειώσαντι δόξα καὶ χάρις | εἰς τοὺς ἀλήκτους πάμπαν αἰῶνας κύκλους:— † Συγχώρησον τὸν γράψαντα διὰ τὸν Κύριον, ὅτι ἀμαθεὶς καὶ ἄπειρός ἐστι: Μιχαὴλ κακομόναχος καὶ κακογράφος: — ἔτους ,ζι', ἰνδικτιῶνος ς', μὴν ὀκτωβρ. ιδ'».

540. Φύλλα χάρτου 36, μήκους 0,212, πλάτους 0,155. Λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου, ἧς τὸ τέλος ἔχει τὸ σημείωμα τοῦτο· «Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ πληρώσας. † Θεοφάνης ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ».—Φύλλα χάρτου 39 γεγραμμένα δι' ἄλλης χειρὸς τῇ ιζ' ἑκατ. Λειτουργία Βασιλείου τοῦ μεγάλου.

541. Λειτουργίαι Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου, γραφεῖσαι διὰ χειρὸς ἱερομονάχου Νικηφόρου ἔτει ,ζρα' (1592-1593). Φύλλα χάρτου 61, μήκους 0,21, πλάτους 0,152.

542. Τεῦχος ἐκ φύλλων χάρτου 46, μήκους 0,212, πλάτους 0,156. Ἐτελειώθη τῇ 4 αὐγούστου, ἔτους 1620, διὰ τῆς χειρὸς Λ(εοντίου) μ(ονα)χ(οῦ).—α') «Στιχηρὰ αὐτόμελα συνοπτικὰ κατ' ἦχον, πρὸς Τῶν οὐρανίων ταγμάτων». Ἀρχ. «Χαῖρε Θεοτόκε παρθένε, ὅτι ἔτεκες τὸν βασιλέα» κτλ.—β') «Στιχηρὰ προσόμοια θεοτοκία καὶ σταυροθεοτοκία, ψαλλόμενα (κα)θ' ἑκάστην ἡμέραν μετὰ τὸ ἰδιόμελον ἢ τὰ προσόμοια τῆς ἡμέρας, κατὰ τὸν ἦχον καὶ τὸ μέλος αὐτῶν», φ. 3. — γ') «Καθίσματα προσόμοια θεοτοκία καὶ σταυροθεοτοκία, ψαλλόμενα καθ' ἑκάστην ἡμέραν μετὰ τὸ τυχὸν κάθισμα τῆς ἡμέρας, κατὰ τὸν ἦχον καὶ τὸ μέλος αὐτῶν, ὁμοίως καὶ εἰς τὰ καθίσματα τῆς στιχολογίας τῶν ἑορτα-

ζομένων ἁγίων», φ. 24.—δ') «Ἐξαποστειλάρια διάφορα θεοτοκία καὶ σταυροθεοτοκία», φ. 41β.

543. Τεῦχος τῆς ιζ' ἑκατ. συνιστάμενον ἐκ φύλλων χάρτου 176, μήκους 0,21, πλάτους 0,153. Ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει σημείωμα δηλοῦν, ὅτι τὸ βιβλίον ἦν Ἀθανασίου τινὸς ἱερέως καὶ ὅτι ἀνέθηκεν οὗτος αὐτὸ μοναστηρίῳ τινὶ «Σωτῆρα» καλουμένῳ· ἄλλο δέ τι σημείωμα (φ. 176) πάνυ μεταγενέστερον ὁμολογεῖ ὅτι τὸ βιβλίον ἦν τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων. — α') Γεροντικὸν ἀκέφαλον, οὗ ἡ ἀρχή· « - - ἐκ τοῦ κόσμου βία ἐστὶ τοῦ σωθῆναι ἐν τῇ ἐρήμῳ» κτλ., φ. 1-144.— β') Ἰωάννου Χρυσοστόμου «λόγος εἰς τὸν μάταιον βίον καὶ εἰς κατάνυξιν καὶ ὠφέλειαν ἡμῶν». Ἀρχ. «Ὅσοι τὰ τοῦ βίου μάταια», φ. 144β. — γ') Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ μετανοίας καὶ ἀγάπης», οὗ ἡ ἀρχή· «Μηδὲν προτιμήσωμεν», φ. 151.—δ') Τοῦ αὐτοῦ «λόγος περὶ μετανοίας καὶ περὶ τοῦ τιμίου σταυροῦ». Ἀρχ. «Ἀγαπητὲ ἀδελφέ, νυκτὸς καὶ ἡμέρας» κτλ., φ. 153.—ε') Τοῦ αὐτοῦ λόγος ἀνεπίγραφος, οὗ ἡ ἀρχή· «Ἀδελφέ τί πλανᾶσαι ἐνεργούμενος», φ. 163.—ϛ') «Ἐκ τοῦ πατερικοῦ περὶ τὰ σαραντάρια ὁποῦ κάμνουν διὰ τοὺς ἀπεθαμένους, ὅτι τελείως λυτρώνουν τὴν ψυχὴν ἀπὸ τὴν κόλασιν». Ἀρχ. «Ἐξηγοῦνται εἰς τὸ πατερικόν», φ. 165.—ζ') Ἰσαὰκ τοῦ Σύρου λόγος «πρὸς μοναχοὺς ἀρχαρίους, μεταφρασθεὶς παρὰ Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου εἰς ὠφέλειαν τῶν εὑρισκομένων», φ. 169β.

544. Παύλου τοῦ Εὐεργετικοῦ συλλογῆς τῶν θεοφθόγγων ῥημάτων τῶν πατέρων κεφάλαιά τινα, ὧν ἡ ἀρχή· «Περὶ ἀρετῆς καὶ τῆς ἐργασίας τῶν θείων ἐντολῶν· τοῦ ἀββᾶ Μαξίμου. Πάντες οἱ πιστεύσαντες τῷ Χριστῷ» κτλ. Φύλλα χάρτου 197, γραφέντα διὰ τῆς χειρὸς Ἰωαννικίου τοῦ Σαβαΐτου περὶ τὸ τέλος τῆς ιη' ἑκατ. Μήκους 0,21, πλάτους 0,165.

545. Φύλλα χάρτου 9 + σϞζ', μήκους 0,201, πλάτους 0,152. Ἐν τῇ ἀρχῇ πίναξ τῶν ἐμπεριεχομένων, οὗ ἡ ἐπιγραφή· «Συναγωγὴ τῶν θεοφόρων καὶ ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων, ἤτοι ῥημάτων αὐτῶν ἀπὸ πάσης γραφῆς θεοπνεύστου

συναθροισθεῖσα καὶ οἰκείως καὶ προσφόρως ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων· ἔχει δὲ μέρος ἡ παροῦσα βίβλος Παύλου τοῦ ὁσιωτάτου μοναχοῦ καὶ κτίτορος τῆς μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος, τὰ πλεῖστα δὲ ἐκ διαφόρων βιβλίων, ὅτι ἔχει ὄνομα μέρος Παράδεισος· ἐκλογὴ παρὰ Λεοντίου ἱερέως καὶ ταπεινοῦ καὶ ἁμαρτωλοῦ, καθὼς καὶ ἔμπροσθεν ὑμεῖς πάντες οἱ ἐντυγχάνοντες τὴν παροῦσαν εὑρήσητε τὴν ἐγχρονίαν ,αφπγ'» [1583]. Ἑτέρα ἐπιγραφὴ ἐν τῇ ἀρχῇ τοῦ κειμένου· «Ἐκλογὴ ἀπὸ διαφόρων βιβλίων καὶ διδασκαλία σύντομη γενομένη περὶ τελείας ἀρετῆς· καὶ περὶ τῶν κατορθῶσαι ὀφειλόντων καὶ ἐσπουδακότων εὐαρέστως τῷ Θεῷ· ἔστιν δὲ ἡ ἐκλογὴ αὕτη ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ἐκ τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, ἐκ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραίμ, ἐκ τοῦ ἁγίου Ἰωάννου τῆς Κλίμακος, ἐκ τῶν ἀσκητικῶν κατορθωμάτων τῶν ἁγίων καὶ ὁσίων πατέρων, ἐκ τῶν ἀποστολικῶν διατάξεων, ἀπὸ τοῦ Σολομῶντος καὶ Δαβὶδ καὶ ἑτέρων προφητῶν, ἀπὸ τοῦ εὐαγγελίου καὶ ἑτέρων διαφόρων βιβλίων· ἐγράφησαν δὲ μετ' ἐπιμελείας καὶ ἀκριβείας πολλῆς παρὰ Λεοντίου ἱερέως καὶ ταπεινοῦ καὶ ἁμαρτωλοῦ· διὸ καὶ ὑμεῖς πάντες οἱ ἱερεῖς καὶ πᾶς ἕτερος αὐτὰ διδάσκεσθαι(-ε) καὶ διδάσκεται(-ε) καὶ τοὺς ἀγραμμάτους» κτλ. Ἐν φ. ρνς' «Χεὶρ Λεοντίου ἁμαρτωλοῦ ἱερέως ,αφϞδ'» [1594].

546. Ψαλτήριον τῆς ιζ' ἑκατ. ἐκ φύλλων χάρτου 190, μήκους 0,213, πλάτους 0,155. Μετὰ τὴν προσευχὴν Ζαχαρίου· «† βίβλος εἴλη(φε) πέρας ὀκτωβρίου ιγ'».

547. Φύλλα χάρτου 65, μήκους 0,219, πλάτους 0,158. Κατὰ σελίδα γραμμαὶ 26.—Ἀδήλου προλεγόμενα καὶ ὑπόμνημα εἰς πᾶσαν τὴν τῆς φυσικῆς ἀκροάσεως πραγματείαν Ἀριστοτέλους. Ἀρχ. «Περὶ τοῦ ὀνόματος τῆς φιλοσοφίας. Τὸ τῆς φιλοσοφίας ὄνομα ἀρχὴν εἰληφέναι ἀπὸ τοῦ Πυθαγόρου πιστεύεται» κτλ. Τέλος· « - - ὧν τὴν ἑρμηνείαν ἐροῦμεν ἐν τῇ εἰσαγωγῇ τοῦ βιβλίου: Τέλος τοῦ πρώτου βιβλίου τῶν φυσικῶν. 1646 νοεμβρίου 14, ἡμέρα Σάββατον, ἀπόκρεως».

548. «Νικολάου Κούρσουλα τοῦ Ζακυνθίου, ὑπομνήματα καὶ

ζητήματα εἰς τὸ τοῦ Ἀριστοτέλους περὶ γενέσεως καὶ φθορᾶς βιβλίον πρῶτον» καὶ δεύτερον. Ἐν φ. 97β· «Τέλος σὺν Θεῷ ἁγίῳ ἐν ἔτει ,αψλη': (1738) κατὰ μῆνα ἀπρίλιον. Τῷ Θεῷ δόξα, τῇ Θεοτόκῳ κλέος». Φύλλα χάρτου 156, μήκους 0,20, πλάτους 0,142. Κατὰ σελίδα γραμμαὶ 19 ἢ 20 (0,16×0,095).

549. Λυκόφρονος Ἀλεξάνδρα μετὰ τῆς ἑρμηνείας Ἰσαακίου τοῦ Τζέτζου. Φύλλα χάρτου 118, γραφέντα τῇ ιη' ἑκατ., μήκους 0,21, πλάτους 0,15. Εἶτα φύλλα τρία περιέχοντα μέρος τῆς κατὰ Λατίνων ἀντιρρήσεως Νεκταρίου πατριάρχου τῶν Ἱεροσολύμων.

550. Τεῦχος ἐκ φύλλων χάρτου ἠριθμημένων 372, μήκους 0,192, πλάτους 0,145. Κατὰ σελίδα γραμμαὶ 19 (0,13×0,08). Δύο φύλλα (257-258) κατέκοψε Πορφύριος, ἅπερ ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη (ἀριθ. 353? Отчетъ Импер. Публ. Библ. за 1783 годъ, σ. 153). — «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν κανόνων τῆς ὑπεραγίας Θεοτόκου πρὸς τοὺς ὀκτὼ ἤχους, ψαλλόμενοι ἐν τοῖς ἀποδείπνοις καὶ ἄρχονται ἀπὸ τοῦ α' ἤχου ἄχρι συμπληρώσεως τοῦ πλαγίου δ'. Ποίημα κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ». Ἀρχ. «Τῷ Σαββάτῳ ἑσπέρας, ᾠδὴ α', ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος. Πάντων καὶ ἀγγέλων καὶ βροτῶν» κτλ. Φύλλ. 372 «Τὸ θεοτοκάριον εἴληφεν ὧδε τέλος | δι' ὑπομονῆς καὶ κόπου τε καὶ πόνου | Παρθενίου τλήμονος καὶ ῥακενδίτου, | ἱερομονάχου τε καὶ Σαββαΐτου, | ἐκ τῆς νύσσου Κύπρου τε ἕλκων τὸ γένος κτλ.—Ἐν ἔτει ,ζρκδ' ἀπὸ τοῦ Ἀδάμ, τοῦ δὲ Χριστοῦ ,αχις' [1616], μὴν φευρουαρίω δ', ἡμέρα Κυριακῇ, ὥρα ε' τῆς ἡμέρας». Ἀνέθηκε δὲ τοῦτο Παρθένιος τῇ λαύρᾳ τοῦ ὁσίου Σάβα.

551. Τεῦχος ἐκ φύλλων χάρτου 164, μήκους 0,213, πλάτους 0,153. Κατὰ σελίδα γραμμαὶ 24 (0,154×0,10).—«Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγλείστου, ἑρμηνεία σὺν Θεῷ συνοπτικὴ περὶ τοῦ θείου ψαλτῆρος Δαυίδ», ἧς ἡ ἀρχή· «Ἄνωθεν ἐκ τοῦ πατρὸς τῶν φώτων πνεύματι θείῳ ἐνηχούμενος ὁ θεῖος Δαυὶδ» κτλ. Φύλλ. 161β «,ζροβ' [1663-1664]. † Θεοῦ τὸ δῶρον, καὶ Ἀντωνίου πόνος· οὗ καὶ κτῆμα πέλει. ἦτον δὲ τὸ ἀθήβολον ὅπερ ἀντιγράφ(ω) ἀπὸ ἔτους ,ςωλ', ἰνδικτιῶνος ε'» [1321-1322].

552. «Ἡ παροῦσα φυλλάδα περιέχει ἐν πρώτοις τοὺς κδ΄ οἴκους τῆς παναγίας τριάδος, εἶτα τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ἔπειτα τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, κοντάκιον ὁμοῦ μὲ τὸν οἶκον καὶ τροπάριον εἰς τὸν ὅσιον Ἰωάσαφ, ἔτι δὲ καὶ μερικὰς εὐχὰς καὶ πρὸς τούτοις νουθεσίαν θαυμάσιον πρὸς κάθε μοναχὸν ὁποῦ ποθεῖ νὰ φυλάξῃ πολιτείαν θεάρεστον.—͵αωκδ΄ [1824]. — Μέμνησθε πρὸς Κύριον κἀμοῦ τοῦ ἀναξίου Ἰωάσαφ ἱερομονάχου». Φύλλα χάρτου 42, μήκους 0,21, πλάτους 0,15.

553. Εὐχολόγιον τῆς ιη΄ ἑκατ. ἐκ φύλλων χάρτου 90, μήκους 0,21, πλάτους 0,157. Ἐν φ. 90β· «Ἀφιέρωμα τοῦ Παρθενίου ἱεροδιακόνου Ἀδριανοπολίτου εἰς τὸν ναὸν τῆς κυρίας ἡμῶν Θεοτόκου τῆς Πορταΐτησσας διὰ μνημόσυνόν του, εἰς τοὺς 1815, νοεμβρίου 21»· τῇ δὲ 7 δεκεμβρίου ἔτους 1887 ἀνετέθη τῷ Κοινῷ τοῦ Παναγίου Τάφου παρὰ Χριστοφόρου ἱερέως.—α΄) «Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ», φ. 1.—β΄) «Εὐχὴ τοῦ ἁγίου Μοδέστου πατριάρχου Ἱεροσολύμων, λεγομένη ἐν σκήψει λοιμώδους νόσου ἐν τοῖς βώες [sic] καὶ κτήνεσι». Ἀρχ. «Ὁ τοῦ φωτὸς δημιουργός», φ. 12.—γ΄) «Εὐχὴ εἰς τοὺς σκώληκας τοῦ μεταξίου», φ. 15.—δ΄) [Κωνσταντίνου Δαπόντε] «οἱ κοσμοχαρμόσυνοι κδ΄ οἶκοι πρὸς τὴν νοητὴν σκάλαν, τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν». Ἀρχ. «Ὦ τρισμακάριστε Σταυρέ» [1], φ. 16.—ε΄) «Εὐχὴ τοῦ ἁγίου Τρύφωνος, λεγομένη μετὰ τὸν ἁγιασμὸν εἰς κήπους καὶ χωράφια καὶ ἀμπελῶνας καὶ περιβόλια», φ. 23. — ϛ΄) «Κανὼν παρακλητικὸς εἰς τοὺς ἁγίους μεγαλομάρτυρας τοῦ Χριστοῦ τεσσαράκοντα, ψαλλόμενος εἰς παράκλησιν εἰς τὴν ἱερὰν αὐτῶν μονὴν καὶ εἰς κάθε τόπον καὶ χριστιανὸν ὁποῦ βλαβεῖται (-εὐλαβεῖται) τοὺς ἁγίους 40 καὶ τοὺς παρακαλέσει εἰς βοήθειαν του». Ἦχος πλ. δ΄. Ἀρχ. «Μετάρσιον λόγε τὸ ταπεινόν», φ. 26. — ζ΄) «Κανὼν παρακλητικὸς εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν·

[1] Βίβλος ἱερὰ περιέχουσα τὴν ἅπασαν ἀκολουθίαν τοῦ ἁγίου ἱερομάρτυρος Ῥηγίνου ἐπισκόπου Σκοπέλων κτλ. In Venezia 1746, σ. 37—51.

ποίημα Νικηφόρου ἱερομονάχου Ῥοδίου τοῦ Κρητός», φ. 31β.— η') Κωνσταντίνου Δαπόντε κανὼν εἰς τὸν ζωηφόρον Σταυρόν, οὗ ἡ ἀκροστιχίς· «Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῳ». Ἦχος δ'. Ἀρχ. «Χριστοῦ σκῆπτρον ἅγιον», φ. 40 [Τὸ αὐτόγραφον παρὰ Γεωργίῳ τῷ Μαυροκορδάτῳ. E. Legrand, Ephémérides Daces III, σ. LXXII]. — θ') Ἰωσὴφ τοῦ μελῳδοῦ κανὼν εἰς τὸν Σταυρόν, οὗ ἡ ἀρχή· «Ἀγάλλου οὐρανὲ καὶ ἡ γῆ εὐφραινέσθω», φ. 47.— ι') «Ἕτερος κανὼν κυρίου Θεοδώρου Στουδίτου». Ἀρχ. «Πανηγύρεως ἡμέρα», φ. 47β.—ια') «Ἀντίφωνον πρῶτον τοῦ πρώτου καθίσματος τοῦ Ψαλτηρίου» κτλ., φ. 57.—ιβ') «Ὁ πολυέλεος», φ. 57β.—ιγ') «Τοῦ σοφωτάτου Νικηφόρου τοῦ Βλεμμύδους ἐκλογὴ ἐκ τῆς προφητανακτοδιδακτικῆς βίβλου, συλλεγεῖσα καὶ τεθεῖσα ἁρμοζόντως» κτλ., φ. 60β.

554. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κῦρ Γενναδίου τοῦ Σχολαρίου καὶ πατριάρχου Κωνσταντινουπόλεως οἱ ὑπόλοιποι τῆς ἀκολουθίας τοῦ μερονυκτίου ψαλμοὶ ἐτέθησαν ἐνταῦθα, τῶν εὐχῶν μόνον ἐκλεγεισῶν». Ἀρχ. «Ἐν ταῖς ἐκκλησίαις τὸ ἔθος τῶν περὶ ταῦτα κρατείτω» κτλ. Ἐν φ. 39· «Ἔτος ἀπὸ Χριστοῦ ͵αψ' [1700]:—ἰαννουαρίου κδ'». Φύλλα χάρτου 36, μήκους 0,22, πλάτους 0,158. Κατὰ σελίδα γραμμαὶ 16 (0,173 × 0,11).

555. Τεῦχος ἐκ φύλλων χάρτου 79, μήκους 0,212, πλάτους 0,152. Κακόγραφον καὶ λίαν ἐσφαλμένον. — α') «Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· βιβλίον καλούμενον ὀνειροκριτικόν, ὅπερ συνῆξεν καὶ συνέταξεν Ἀχὶμ ὁ πρῶτος ἡμῶν ὀνειροκρίτης τοῦ πρώτου συμβούλου Μαμμοῦν» κτλ. Ἀρχ. «Πολλὰ ἐκοπίασα εἰς τὸ εὑρεῖν», φ. 1-75 «Ἐτελειώθη ἐν μηνὶ ἀπριλλίῳ 26. ͵α. χ. π. ε'» [1685]. — β') «Πίναξ τοῦ βροντολογίου Ἱερακλέως [sic] τοῦ σοφωτάτου», φ. 75.—γ') «Ἀρχὴ τοῦ βροντολογίου», φ. 76.—δ') «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ περὶ βροντολογίου ὁμοῦ καὶ σεισμολογίου καὶ ὅταν σκοτισθῇ ὁ ἥλιος ἢ ἡ σελήνη καὶ ὅταν φανῇ δόξα εἰς τὸν οὐρανόν, παρὰ Βαρλαὰμ τοῦ προφήτου», φ. 77β.

556. Τεῦχος ἐκ φύλλων χάρτου 188, μήκους 0,22, πλά-

τους 0,165· ἐγράφη δὲ μεσούσης τῆς ιη' ἑκατ. — «Συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τοῦ θεοφόρων πατέρων, ἀπὸ πάσης γραφῆς θεοπνεύστου συναθροισθεῖσα καὶ προσφόρως ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων παρὰ Διονυσίου ἱερομονάχου τοῦ ἐν τῇ τῆς Ἁγίας Ἄννης Σκήτῃ ἀσκήσαντος καὶ παρ' ἐμοῦ αὖθις Διονυσίου ἱερομονάχου τοῦ ἐν τῇ τῆς ἀτιμίας τῶν ἁμαρτιῶν ἡδονῇ ἀσελγήσαντος, τοῦ καὶ Ἁγιοταφίτου». Ἔνδον τῆς πρώτης πινακίδος· «Ἐδωρήθη μοι χάριν ψυχικῆς ὠφελείας παρὰ τοῦ ἱερολογιωτάτου ἐν διδασκάλοις ἐμοῦ τε καὶ καθηγουμένου κυρίου Μαξίμου τοῦ Σήμηθεν [sic], οὐχ ὅτι γ' ἐπὶ σοφίᾳ, ἀλλὰ μᾶλλον ἐπ' ἀρετῇ πολλῇ λόγον ἔχοντος».

557. Ἐφραὶμ τοῦ Σύρου λόγοι καὶ παραινέσεις. Φύλλα χάρτου 301, μήκους 0,215, πλάτους 0,158. Κατὰ σελίδα γραμμαὶ 17 (0,153×0,112). Ἐν τῇ ἀρχῇ «παραίνεσις τοῦ ἀνθρώπου καὶ τῆς ψυχῆς» κτλ. Μετὰ τὸ 114-ον φύλλον ὑπάρχει χάσμα 4 φύλλων, ἅπερ ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκῃ ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 411. Отчетъ за 1883 г., с. 147). Φύλλ. 301^{β} «Τὸ παρὸν πατερικὸν ἐγράφθει διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Λαυρεντίου ἱερωμονάχου, τοῦ ἐκ Παραμυθείας καὶ Παλαιᾶς Ὑπείρου τῆς Ἐμβρίας· πλοισίων τῶν Ἰωαννίνων· ἔνδον τοῦ ἀγγίου καὶ ζωοδώχου Τάφου τὸ ἔγραψα μετὰ πολλῆς ἀγάπης καὶ πόθου πλήστου κατὰ τὸ χιλιωστῷ ἑξακοσιωστῷ εὐδομηκοστῷ ὀγδόον ἔτος ἀπὸ Χριστοῦ, ἐν μινὶ μαΐω. καὶ τελιώνοντας ἰουλίω 25. πατριαρχεύοντος Δοσιθέου. καὶ ἀπόντος αὐτοῦ, ἐπιτροπεύοντος Δανιὴλ ἱερωμονάχου» κτλ.

558. Τετραευαγγέλιον εἰς τουρκικὴν γλῶσσαν, γραφὲν ἑλληνικοῖς γράμμασιν ἔτει 1749-ῳ παρὰ Κωνσταντίνου παπᾶ Ἡσαΐου τοῦ ἐκ Βεξὲ χωρίου Καισαρείας τῆς ἐν Καππαδοκίᾳ. Σελίδες 370.

559. Πράξεις καὶ ἐπιστολαὶ τῶν ἀποστόλων εἰς τουρκικὴν γλῶσσαν, μεταφρασθεῖσαι δι' ἑλληνικῶν χαρακτήρων ὑπὸ Πέτρου τοῦ ἐξ Ἀγκύρας καὶ ἀντιγραφεῖσαι παρὰ τοῦ μαθητοῦ αὐτοῦ Ἀνα-

στασίου τοῦ χατζῆ - Γεωργίου (1725). Σελίδες 572 [1] καὶ δύο φύλλα προλόγου παρὰ τοῦ μεταφραστοῦ γεγραμμένα τῇ 3 νοεμβρίου ἔτους 1724-ου. Ἐν τῇ τελευταίᾳ σελίδι διὰ τῆς χειρὸς Ἀνθίμου τοῦ ἐξ Ἀγχιάλου· «Τοῦ μακαρίτου Ἀναστασίου ἐξ Ἀγκύρας: ἀφιέρωμα: τοῦ Ἁγίου Τάφου». Καὶ πάλιν ἐν τῇ 1-ῃ σελίδι· «Ἐκ τῶν τοῦ Συνοδικοῦ τοῦ παναγίου Τάφου ͵αωκα'» [1821].

560. Τεῦχος ἐκ σελίδων 218, μήκους 0,212, πλάτους 0,152. Ἐγράφη παρὰ Παύλου ἱερομονάχου Ἁγιοταφίτου, τοῦ Σπάρταλη, ἐκ τῆς συνοικίας Ἐμρί, καταλιπόντος τὸν βίον τῇ 21 μαΐου ἔτους 1762-ου. Σημειωτέα. α') «Ἐγκώμιον τῆς ἁγίας πόλεως» ἀτελές, οὗ ἡ ἀρχή· «Πολλοὶ ἀπὸ τοὺς ἀρχαίους βασιλεῖς» κτλ.—β') Προσκυνητάριον τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης, εἰς τουρκικὴν γλῶσσαν. Ἀρχ. «Εσιτηνίζ τζούμλε μεμοὺν χριστιαννὰρ ἐρχεκλὲρ βὲ τηχεχὶν ληλὲρ» κτλ., σ. 1 - 37. — γ') Στίχοι κατ' ἀλφάβητον εἰς θάνατον ἀνθρώπου, ὧν ἡ ἀρχή· «Ἄρχοντες, ἀγροικήσατε πῶς ὁ Χάρος» κτλ., σ. 38.— δ') Στίχοι θρηνητικοὶ εἰς λείψανον, ὧν ἡ ἀρχή· «Πάτερ οἰκτῖρμον Κύριε, οὐρανὲ θεέ μου, | δημιουργὲ τῆς κτίσεως καὶ μόνε πλαστουργέ μου».—ε') Κανόνες ἰαμβικοὶ μετὰ παραφράσεως.

561. Σελίδες 271, ὧν πολλαὶ διὰ χειρὸς ἐγράφησαν Ἰωαννικίου τοῦ Σαβαΐτου ἔτει 1784-ῳ (σ. 197 - 271), αἱ δὲ λοιπαὶ παρὰ Μιχαὴλ ἱερέως ἔτει 1751-ῳ. Ἐν τῇ ἀρχῇ φύλλον ἀσελίδωτον ἐμπεριέχον σημείωσιν Διονυσίου ἱερομονάχου τοῦ Νικοπολίτου καὶ πνευματικοῦ τῆς λαύρας τοῦ ὁσίου Σάβα, δι' ἧς οὗτος ὁμολογεῖ ὅτι τὸ βιβλίον αὐτὸς ἀνέθηκε τῇ λαύρᾳ μηνὶ μαΐῳ ιϛ' ἔτους 1815-ου.—Μεταφράσεις εἰς τουρκικὴν γλῶσσαν διαφόρων λόγων καὶ ὑπομνημάτων περὶ Θεοδώρου τοῦ Τύρωνος, περὶ Νικολάου τοῦ ἐπισκόπου Μύρων, περὶ τῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, περὶ τοῦ προφήτου Ἠλιού, Θεοδώρου τοῦ στρατηλάτου,

[1] Παρέπονται σελίδες 55, περιέχουσαι τουρκιστὶ τὴν ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου, μεταφρασθεῖσαν ἐκ τοῦ ἑλληνικοῦ ἔτει 1666-ῳ. Τῷ αὐτῷ ἔτει μετεφράσθησαν ὑπὸ τοῦ Πέτρου καὶ αἱ πράξεις καὶ αἱ ἐπιστολαὶ τῶν ἀποστόλων. Ὅρα σελίδα 569 τοῦ αὐτοῦ κώδικος.

θεοτόκου Μαρίας, ἁγίας Κυριακῆς, Γεωργίου τοῦ μεγαλομάρτυρος, Αἰκατερίνης τῆς μεγαλομάρτυρος καὶ Σάβα τοῦ ἡγιασμένου.

562. Ἰωάννου τοῦ Δαμασκηνοῦ ἔκθεσις τῆς ὀρθοδόξου πίστεως καὶ λόγος περὶ τῶν ἐν πίστει κεκοιμημένων. Φύλλα χάρτου 115, τὰ μὲν τῆς ις' τὰ δὲ τῆς ιη' ἑκατ. Μήκους 0,21, πλάτους 0,16.

563. Τεῦχος τῆς ις' ἑκατ. ἐκ φύλλων χάρτου 100, μήκους 0,205, πλάτους 0,148.—Παραφράσεις βίων τοῦ ὁσίου Ξενοφῶντος, Ἰωάννου τοῦ Καλυβίτου, Ἀλεξίου, Ἰουλίου τοῦ ἐλεήμονος, Χαραλάμπους, Μαρτινιανοῦ, Προκοπίου καὶ λόγοι τινές, οἷον Χρυσοστόμου περὶ τοῦ ματαίου βίου, Μαξίμου περὶ τῆς εἰς Θεὸν ἀγάπης, Νήφωνος μερικὰ κεφάλαια κτλ.

564. Ψαλτήριον τῆς ις' ἑκατ. ἐκ φύλλων χάρτου 156, μήκους 0,205, πλάτους 0,132. Κατὰ σελίδα γραμμαὶ εἴκοσιν (0,145 × 0,092). Ἀνετέθη δὲ τῷ Παναγίῳ Τάφῳ παρὰ Δομετίου μοναχοῦ ἔτει 1616-ῳ, κατὰ σημείωμα Θεοφάνους πατριάρχου τότε τῶν Ἱεροσολύμων.

565. Ψαλτήριον ἀκέφαλον τῆς ις' ἑκατ. ἐκ φύλλων χάρτου 196, μήκους 0,20, πλάτους 0,145. Κατὰ σελίδα γραμμαὶ 19 (0,143 × 0,095).

566. Τεῦχος τῆς ιζ' ἑκατ. ἐκ φύλλων χάρτου 374, μήκους 0,206, πλάτους 0,155· ἦν δὲ πρότερον τῆς μονῆς τῶν Ἀρχαγγέλων.—α') Εὐχὴ ἐξομολογητικὴ εἰς τὸν Ἰησοῦν Χριστόν, φ. 1.—β') Ἰωάννου Δαμασκηνοῦ εὐχὴ ἐξομολογήσεως, φ. 8. — γ') Εὐχὴ καθημερινὴ πρὸς τὴν Θεοτόκον, φ. $14^{β}$. — δ') Εὐχὴ ἐξομολογητικὴ πρὸς τὸν Ἰησοῦν Χριστόν, ἧς ἡ ἀρχή· «Ὁ πολυέλεος καὶ εὐσυμπάθητος», φ. 23. — ε') Εὐχὴ εἰς τὴν Θεοτόκον, ἧς ἡ ἀρχή· «Πολλῶν καὶ μεγάλων ἀπολαύσας» κτλ., φ. 27. — ς') Περὶ ἀναγνώσεως τῶν ψαλμῶν. Ἀρχ. «Κρεῖσσον ἔφησεν ὁ χρυσοῦς Ἰωάννης σβεσθέντα τὸν ἥλιον μὴ φαίνειν ὅλως» κτλ., φ. $35^{β}$.— ζ') Ἐφραὶμ τοῦ Σύρου κεφάλαια διάφορα, φ. $42^{β}$.—η') «Λόγος περὶ τὰ ἑπτὰ βαπτίσματα καὶ περὶ μαρτυρίου καὶ περὶ μετανοίας καὶ περὶ δακρύων», φ. $49^{β}$.—θ') Ἰωάννου Χρυσοστόμου «λόγος περὶ τοῦ τί ἐστι γυνή», φ. 52.—ι') «Ἕτερα περὶ γυναικῶν παρθένων

φιλοθέων», φ. 53β.—ια') «Διήγησις περὶ τοῦ ἰσαποστόλου Κωνσταντίνου μεγάλου βασιλέως ἀπὸ τὸν Ἰωάννην τὸν Κολοβόν». φ. 68.—ιβ') «Περὶ τὰ σαραντάρια ὁποῦ κάμνουν διὰ τοὺς ἀποθαμένους, ὅτι τελείως λυτρώνουσι τὴν ψυχὴν ἀπὸ τὴν κόλασιν». φ. 76.—ιγ') Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ, φ. 84β.—ιδ') Συμεὼν τοῦ νέου Θεολόγου περὶ ἀρχῆς βίου, φ. 142.—ιε') «Λόγος περὶ πένθους καὶ θρηνῳδίας», φ. 172β.—ις') Ἐφραὶμ τοῦ Σύρου εὐχὴ καὶ πένθος τῇ Δευτέρᾳ ἑσπέρας, φ. 179. — ιζ') Τροπάρια καὶ κοντάκια πρὸς τὸν ὅσιον Σάβαν, Ἰάκωβον τὸν ἀδελφόθεον καὶ Κωνσταντῖνον τὸν μέγαν, φ. 204.—ιη') Διήγησις περὶ τοῦ ὁσίου Ἀρσενίου, φ. 210β.—ιθ') Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ, ἀναγνώσματα ἀποστολικὰ καί τινα δοξαστικὰ τροπάρια, φ. 223 κέ.

567. Αὐτόγραφον Ἀγαπίου Λάνδου [1], μήκους 0,205, πλάτους 0,152. Φύλλα χάρτου ἠριθμημένα 239, ἐξ ὧν ἐλλείπει τὰ φύλλα τάδε: 31-38, 55-62, 77-84, 103-116, 169-174, 195-204, 220-232· λείπει δὲ καὶ ἡ ἀρχὴ καὶ τὸ τέλος τοῦ κώδικος. Ἐν τῇ ὤᾳ τοῦ νῦν πρώτου φύλλου· «Μὴν μάρτιος· χειρόγραφα Ἀγαπίου». Καὶ πάλιν ἐν τῇ ἀρχῇ τοῦ πίνακος τῶν ἐμπεριεχομένων· «Καλοχαιρινή· χειρόγραφον τοῦ Ἀγαπίου». Καὶ ὡς μὲν ἔχει νῦν ὁ κῶδιξ, ἐμπεριέχει παραφράσεις ὑπομνημάτων ἁγιολογικῶν περὶ τῶν ἐφεξῆς ἁγίων ἀνδρῶν: Κλεονίκου καὶ Εὐτροπίου, Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ, 42 μαρτύρων τῶν ἐν Σεβαστείᾳ, Θεοφάνους Σιγριανῆς, Βασιλείου πρεσβυτέρου τῆς Ἀγκυρανῶν ἐκκλησίας, Θεοδούλου καὶ Ἀγαθόποδος, Θεοδώρου τοῦ ἐν Πέργῃ, Λουκιλλιανοῦ καὶ τῶν σὺν αὐτῷ μαρτύρων, Κυρίλλου Ἀλεξανδρείας, Νήφωνος Ἀθωνίτου, Μανουὴλ Σαβὲλ καὶ Ἰσμαήλ, ἀποστόλων ιβ' καὶ τῶν λοιπῶν ο', Ἀντιόχου μάρτυρος, Ὑακίνθου μάρτυρος, 45 μαρτύρων τῶν ἐν Νικομηδείᾳ, Πρόκλου καὶ Ἱλαρίου, Ἀθηνογένους ἱερομάρτυρος, Αἰμιλιανοῦ μάρτυρος, Εὐδοκίμου, Ἀνδρέου στρατηλάτου καὶ τῶν σὺν αὐτῷ, Ἀγαθονίκου καὶ

[1] Ἕτερον αὐτόγραφον εὗρον ἐν τῇ μονῇ Κοσινίτζης. Ἑλλην Φιλολογ. Συλλ. παράρτημα τοῦ ΙΖ' τόμου, σ. 44.

τῶν σὺν αὐτῷ. Καὶ ταῦτα μὲν ἔχει νῦν ὁ κῶδιξ· εἶχε δέ, καθὼς ὁ προτεταγμένος ἐκδηλοῖ πίναξ, καὶ βίους τῶν ἐφεξῆς ἀνδρῶν: Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας (φ. 31 - 38), Ἰωάννου τοῦ τῆς Κλίμακος (φ. 55 - 62), Βασιλέως Ἀμασείας (φ. 77-84) καὶ τὴν ἀρχὴν ὑπομνήματος περὶ Εὐθυμίου τοῦ νέου τοῦ τὴν μονὴν τῶν Ἰβήρων οἰκοδομήσαντος ἐν Ἄθωνι, οὗ τὴν ἀκολουθίαν ὅρα νῦν ἐν τέσσαρσι φύλλοις (85 - 88)· ἔτι δὲ Βαρνάβα τοῦ ἀποστόλου (φ. 103 - 116), Κηρύκου καὶ Ἰουλίττης (169 - 174), Λαυρεντίου καὶ τῶν σὺν αὐτῷ (φ. 195 - 204), Πέτρου τοῦ Ἀθωνίτου καὶ Ἀδριανοῦ καὶ Ναταλίας (φ. 220 - 232). Ἐντεῦθεν δῆλον, ὅτι τὸ χειρόγραφον ἀπετέλει δεύτερον τόμον τῆς ἐκδεδομένης Καλοκαιρινῆς, ἧς ἡ πρώτη τύπωσις ἐγένετο Ἑνετίῃσιν ἔτει 1657-ῳ· ταύτης δὲ τῆς σπανιωτάτης ἐκδόσεως ἀντίτυπον ὑπάρχει τῷ κώδικι συνδεδεμένον, ἔχον ἐπιγραφὴν τοιάνδε· «ΒΙΒΛΟΣ ΚΑΛΟΥΜΕΝΗ | ΚΑΛΟΚΑΙΡΙΝΗ | ΕΝ Η ΕΙΣΙ ΓΕΓΡΑΜΜΕΝΟΙ ΜΕRΙΚΟΙ | Βίοι Ἁγίων οἱ ὡραιότεροι τοῦ καλοκαιρίου. | ἀπὸ τὴν α'. τοῦ Μαρτίου, ἕως ταῖς | ὕστεραις Αὐγούστου. | ΜΕΤΑΦΡΑΣΘΕΝΤΕΣ ΕΚ ΤΗΣ ΤΩΝ ΕΛΛΗΝΩΝ | Εἰς τὴν κοινὴν ἡμετέραν διάλεκτον, παρὰ Ἀγαπίου Μονα-|χοῦ, καὶ ὑπ' αὐτοῦ διορθωθέντες μετὰ πλείστης | ἐπιμελείας· καὶ τυπωθέντες οἰκείοις | αὐτοῦ ἀναλώμασι. | [Σῆμα] | ΕΝΕΤΙΗΣΙΝ, ͵αχνζ'. | Παρὰ Ἀνδρέᾳ τῷ Ἰουλιανῷ. | Πολίεται κοντὰ εἰς τὸν Πόντε τοῦ Ἁγίου Φιλίππου. | CON LICENZA, ET PRIVILEGIO». Σελίδες 8 + τκ' Ἐν δὲ τῇ ἀρχῇ τοῦ βιβλίου τούτου κεῖται γράμμα τοῦ Ἀγαπίου πρὸς Ἐμμανουὴλ ἱερέα καὶ οἰκονόμον τῆς νήσου τοῦ ἁγίου Εὐστρατίου· εἶτα πίναξ τῶν ἐμπεριεχομένων· ἐν δὲ τῇ σελίδι τκ' τετύπωται τοῦτο· «Ἐδῶ ἐτελειώθη ἡ βίβλος αὕτη τῇ ιη'. φευρουαρίου ͵αχνς' [sic]. ἥτις εἶναι ὡραιοτέρα ἀπὸ ὅλα τὰ βιβλία τοῦ Ἀγαπίου. λοιπὸν ἂς πουλίεται ἐδῶ μὲν εἰς τὴν Βενετίαν ἕνα γρόσον, εἰς δὲ τὰ μέρη τοῦ Λεβάντε ἄσπρα ρκ'. καὶ ὅστις κλέψει κανένα βιβλίον τοῦ αὐτοῦ ἀγαπίου, ἢ τοῦ ἀνθρώπου του, νὰ εἶναι ἀσυγχώρητος καὶ ἀφορισμένος [sic] παρὰ θεοῦ διατί ἐχρεόθη [sic] ὁ πτωχὸς τ'. γρόσια νὰ τυπώσῃ καὶ χρείζουν οἱ κόποι του ἄλλα τόσα. ὅθεν πρέπει οὐ μόνον νὰ τὸν πληρώσετε, ἀλλὰ καὶ ἔλεος

νά τοῦ δώσετε. ὁποῦ ἐκοπίασε τόσον καὶ ἐβασανίσθη διὰ τὴν ὠφέλειαν τῶν ψυχῶν σας. Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφίας» [sic].

568. Εὐχολόγιον ἐκ χάρτου, ὅπερ συνηρμολογήθη διὰ λειψάνων εὐχολογίων ἐξ τῆς ιδ', τῆς ιε' καὶ τῆς ις' ἑκατονταετηρίδος. Φύλλα 222. Τὰς πινικίδας ἐσχημάτισεν ὁ δέτης ἐξ ἑκκαίδεκα μεμβρανίνων φύλλων ἀρχαίου τινὸς ἰβηρικοῦ κώδικος.

569. «Πατερικὸν καὶ ἄλλα ἀξιόλογα: ἱστορικὸν καὶ περὶ τῆς Ἁγίας Σοφίας κατ' ἀσ - - - - καὶ κατάλογος τῶν πατριαρχῶν καὶ βασιλέων: χειρόγρ: 6». Οὕτως ἔξωθεν ὀνομάζεται τὸ βιβλίον, ὅπερ ἐστὶ μήκους 0,21, πλάτους 0,155· ἐγράφη δὲ μεταξὺ τῆς ις' καὶ τῆς ιζ' ἑκατ. Καὶ φαίνεται ὅτι τὸν κώδικα τρία διάφορα βιβλία συναπετέλουν, ἑκάστου τούτων ἰδίαν ἔχοντος τῶν τετραδίων ἀρίθμησιν· ἀτυχῶς ὅμως τὸ πρῶτον ἐλλείπει νῦν· τὸ δὲ δεύτερον, ὅπερ ἀποτελεῖ τετράδια δέκα, ὅ ἐστι φύλλα 80 πλὴν δύο, περιέχει ἐν μὲν τῇ ἀρχῇ τινὰς ἀσημάντους ἐκλογάς, εἶτα δὲ τὰς παροιμίας Σολομῶντος· τὸ δὲ τρίτον βιβλιάριον ἠρίθμει τετράδια ια'· τούτων ὅμως ἑπτὰ (α' - ζ') συναπέσπασε Πορφύριος ὁ Οὐσπένσκης, ὥσπερ ἐκδηλοῖ τὸ διὰ τῆς χειρὸς αὐτοῦ γεγραμμένον ἐν τῷ κώδικι σημεῖον, καὶ νῦν ἐν τοῖς λοιποῖς ὑπάρχει μόνον γραμματικῆς ἀπόλειμμα, συναγωγή τις ἀρχαίων ἑλληνικῶν ὀνομάτων ἡρμηνευμένων εἰς τὴν ἁπλῆν διάλεκτον καί τινα κεφάλαια βιβλίου πιθανῶς τοῦ Καρτάνου. Φύλλα τοίνυν ἀριθμεῖ τὸ χειρόγραφον ἤδη 111, ὧν τὸ κείμενον ὑπάρχει κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν ἑκκαίδεκα (0,15 × 0,096).

570. «Ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου». Φύλλα χάρτου 29, μήκους 0,205, πλάτους 0,15. Κατὰ σελίδα γραμμαὶ 17 (0,15 × 0,085). Ἐν τῷ τελευταίῳ φύλλῳ δι' ἐρυθρῶν γραμμάτων ἀναγινώσκεται τοῦτο· «† Ἡ παρὸν θεῖα λειτουγία, ἐγράπτην διὰ χειρὸς καμοῦ Γαλακτίου ἱερομονάχου καὶ ἁμαρτωλοῦ διὰ ναεὑρίσκεται εἰς τὸν ἅγιον ναὸν τῶν ἁγίων τεσσαράκοντα μαρτύρων· καὶ οἱ ἱερουγοῦντες μεταὐτῆς εὔχεσθαι καὶ ὑπὲρ τοῦ γράψαντος».

571. Ἡ θεία λειτουργία Ἰωάννου τοῦ Χρυστόμου μετὰ πολλῶν ἐν τῷ κειμένῳ τυπικῶν ὁδηγιῶν, γραφεῖσα φαίνεται παρὰ

δύο καλλιγράφων τῆς ιζ' ἑκατ. Φύλλα χάρτου 42, μήκους 0,206, πλάτους 0,145. Τὸ βιβλίον ἔχει καὶ πολλὰ κεφαλαιώδη γράμματα φανταστικῶς εἰργασμένα διὰ κοκκίνου χρώματος.

572. Τετραευαγγέλιον ἀκέφαλον μετὰ κοκκίνων ἀναγνωστικῶν ὁδηγιῶν, ἀρχόμενον ἀπὸ τῶν λέξεων τούτων· « - - Ἰωάθαμ. Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ» κτλ. Λείπει τοίνυν ἐκ τῆς ἀρχῆς ἓν φύλλον, ἐν ᾧ φαίνεται ὅτι καὶ κόσμημα περιείχετο καὶ τούτου ἕνεκα τὸ λεῖμμα· ἀριθμεῖ δὲ τὸ βιβλίον τετράδια συνηριθμημένα νγ', ὅ ἐστι φύλλα χάρτου βαμβακεροῦ καὶ στιλπνοῦ 423, μήκους 0,198, πλάτους 0,14. Κατὰ σελίδα γραμμαὶ 19 ἢ 20 (0,14×0,08). Ἐγράφη τῇ ιδ' πιθανῶς ἑκατονταετηρίδι καὶ τὴν ἀρχὴν ἑκάστου τῶν εὐαγγελίων, ἔξω τοῦ Ματθαίου, κοσμεῖ κόσμημα καλὸν καὶ κεφαλαιῶδες ἀρχτικὸν γράμμα πεφαντασμένῳ τρόπῳ διακεχαραγμένον. Ἐν φ. 414β κεφάλαιον «περὶ τῶν ἑωθινῶν εὐαγγελίων πῶς δεῖ ἀναγινώσκεσθαι». Φύλλ. 415 «Συναξάριον σὺν Θεῷ τοῦ τραευαγγέλου [sic], ἀρχόμενον ἀπὸ τῆς λαμπρᾶς Κυριακῆς καὶ καταλῆγον τῷ μεγάλῳ Σαββάτῳ· περιέχει δὲ καὶ τὸ μηνολόγιον». Σημειωτέον ἔτι, ὅτι ἔνδον μὲν τῆς πρώτης πινακίδος ὑπάρχει τεμάχη δύο μεμβρανίνων φύλλων ἀπεσπασμένα τινὸς εὐαγγελίου τῆς δεκάτης ἑκατ. (ἐν οἷς εὕρηται μηνολογίου μέρος), τῆς δ' ἑτέρας πινακίδος ἔνδον ἐστὶ φύλλον ὅλον ἐκ μεμβράνης (ὅπερ ἐστὶ μηναίου τινὸς τῆς ἑνδεκάτης ἑκατ.), ἐν ᾧ περιέχεται κανόνος ᾀσματικοῦ διὰ Διονύσιον τὸν Ἀρεοπαγίτην ᾠδὴ ἐνάτη, ἔτι δὲ κάθισμα καὶ στιχηρά τινα ψαλλόμενα Θωμᾷ τῷ ἀποστόλῳ.

573. Τεῦχος ἀκέφαλον ἐκ χάρτου τῆς ιζ' ἑκατ., ὅπερ ἦν Σωφρονίου τινὸς ἱερομονάχου Ἁγιοταφίτου. Φύλλα συνηριθμημένα 418, ὧν ἐλλείπει τὰ πρῶτα 48. Μήκους 0,202, πλάτους 0,152. Τὰ ἐν αὐτῷ περιεχόμενα κείμενα ἠρίθμησε διὰ μολύβδου Πορφύριος ὁ Οὐσπένσκης, ἀφελόμενος τὰ τρία πρῶτα κείμενα καὶ τὴν ἀρχὴν τοῦ τετάρτου, τὰ περὶ σαρανταρίων ἐκδιηγουμένου· μετὰ δὲ τοῦτο κεῖται λόγος ἐν παραφράσει Γερμανοῦ Κωνσταντινουπόλεως εἰς τοὺς Νινευίτας καὶ περὶ μετανοίας· πάντα δὲ τὰ περιεχόμενα τῷ κώδικι ἦν ἐξ ἀρχῆς τριάκοντα· καὶ τὸ μὲν 8-όν ἐστι

βίος καὶ πολιτεία Παύλου τοῦ Θηβαίου, τὸ δ' 25-ον λόγος περὶ τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης, οὗ ἡ ἀρχή· «Ἔστοντας καὶ νὰ βασιλεύσουν ὁ Διοκλητιανὸς καὶ Μαξιμιανός». Ἐν φ. 380 μαρτύριον τῆς ἁγίας Φωτεινῆς. Τελευταῖον κείμενον, οὗ ἡ ἐπιγραφή· «Ἀρχὴ ὀδύνων καὶ περὶ τῆς Κωνσταντινουπόλεως, ἅπερ μέλλει γενέσθαι. Ἐπιφανίου καὶ Ἀνδρέου τοῦ σαλοῦ καὶ μερικὲς διήγησες».

574. Πατερικὸν ἐκ χάρτου, γραφὲν ἔτει 1770-ῷ. Σελίδες 449. Μήκους 0,205, πλάτους 0,152.—α') «Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου κεφάλαια ἠθικὰ ἑκατὸν σσαράκοντα, ἡ λεγομένη Μέλισσα», σ. 1-51.—β') Θεοδώρου Σαβαΐτου «κεφάλαια πρακτικὰ ἑκατόν». Ἀρχ. «Ἐπειδή περ Θεοῦ χάριτι», σ. 52-104.—γ') «Διάλεξις ἁγίων γερόντων πρὸς ἀλλήλους περὶ λογισμῶν», σ. 105-141. — δ') Μακαρίου τοῦ Αἰγυπτίου «διήγησις ὠφέλιμος περὶ μνημοσύνων καὶ ἄλλων». Ἀρχ. «Πορευόμενος ποτέ τις τῶν ὁσίων», σ. 142.—ε') «Παραίνεσις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος», σ. 161. — ς') Ἀθανασίου Ἀλεξανδρείας «πρὸς Ἀντίοχον ἄρχοντα περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων τῶν ἐν ταῖς θείαις γραφαῖς ἀπορουμένων καὶ παρὰ πᾶσι χριστιανοῖς γινώσκεσθαι ὀφειλομένων», σ. 257-366 «Ἐγράφη δὲ ἔνδον τῆς λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, ἐπὶ ἔτους ͵αψο'. 1770. μαρτίῳ ιη'». — ζ') Τεμάχη Διαδόχου, Μάρκου ἐρημίτου καὶ Νείλου τὸ «περὶ ἀρετῶν καὶ κακιῶν», σ. 367-393.—η') «Περί τινος ἀδελφοῦ, ὃν ἐπλάνησεν ὁ Διάβολος», σ. 394. — θ') Ἰωάννου Δαμασκηνοῦ κανόνες ἰαμβικοί, σ. 403. — ι') «Εὐχὴ τοῦ μεγάλου Βασιλείου μετὰ τὸ ὑπνῶσαι», σ. 444. — ια') «Εὐχὴ ὅμοιον ὅταν μέλλεις ὑπνῶσάι, σύντομον», σ. 446. — ιβ') «Εὐχὴ Ἀντιόχου μοναχοῦ καὶ πανδέκτου», σ. 447.—ιγ') «Εὐχὴ εἰς τὸ ἅγιον πνεῦμα Μάρκου μοναχοῦ καὶ θαυματουργοῦ», σ. 448.

575. Μαξίμου τοῦ Πελοποννησίου κυριακοδρόμιον ἐκ φύλλων χάρτου 138, μήκους 0,202, πλάτους 0,152. Σημείωμα τοῦ καλλιγράφου· «Θεοῦ τὸ δῶρον, καὶ Ἀθανασίου διακόνου πόνος: - κατὰ

τὸ 1674. ἀπὸ Χριστοῦ. ἐγράφει. ἔσωθεν, τοῦ Ἁγίου Τάφου. ἐν Κυπρέος.—Ἐγράφει διαχειρὸς, τοῦ ἄνωθεν. † Ἀθανασίου ἱεροδιακόνου, τοῦ ἐκ νήσου Κύπρου, τῆς δευτέρας Κωνσταντίας. — † ἐτοῦτο τὸ κυριάκωνδρόμιον, ὑπάρχει καμοῦ Ἀθανασίου ἱεροδιακόνου. καὶ τὸ ἀφιέροσα εἰς τὸν Ἀρχάγγελον» κτλ.

576. Τετράδια διαφόρων ἀπογραφέων τῆς ιζ' ἑκατ., συνριθμοῦντα φύλλα χάρτου 124, μήκους 0,208, πλάτους 0,148. Ἐν τῇ ἀρχῇ φύλλα δύο, περιέχοντα μέρος «Ἐκ τῶν ἀποκρίσεων τοῦ παναγιωτάτου καὶ θεοφιλεστάτου Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, ἃς ἐποιήσατο πρός τινας κληρικοὺς ἐρωτήσαντας περὶ τῶν ἱερῶν τελετῶν καὶ μυστηρίων τῆς ἐκκλησίας»· ἐν δὲ τῷ τέλει τούτου γέγραπται τὸ «† Εἰς χρῆσιν Νεοφύτου ἀρχιδιακόνου καὶ τέλος τοῦ Παναγίου Τάφου». Εἶτα φύλλα πρόσθετα 26, ἐν οἷς ὑπάρχει πίναξ τῶν ἐν τῷ κώδικι περιεχομένων. — α') «Θεοφίλου τοῦ Κορυδαλλέως, διαίρεσις τῆς ποιητικῆς κατὰ τὰ δύο εἴδη αὐτῆς καὶ τίσιν ἕκαστον τούτων διαφέρει». Ἀρχ. «Ἔοικε τοιγαροῦν τῶν θειοτάτων εἶναι ἡ ποίησις», φ. 29-43. Πονημάτιον ἀξιόλογον, ὃ πρῶτον ἤδη νομίζω γνωρίζεται. — β') Πυθαγόρου χρυσᾶ ἔπη, φ. 45.—γ') Φωκυλίδου ποίημα νουθετικὸν ἡρμηνευμένον, ὅπερ «ἐγράφη εἰς τὴν μονὴν τοῦ ἁγίου Σάββα. ἐπὶ ἔτους ἀπὸ Χριστοῦ 1674 ἰανουαρίου κβ'», φ. 46β. — δ') «Ἰωάννου Γεωμέτρου ἐκ τῶν τοῦ Γεροντικοῦ εἰς ποιητικὴν τάξιν, ἧς ἡ ἐπιγραφὴ Παράδεισος», φ. 51β-62. Τετράστιχα ϟθ', ὧν τὸ πρῶτον, ὅτι ἀθάνατος τοῖς ἀναγινώσκουσιν ἡ ὠφέλεια. Migne τ. 106, σ. 868.— ε') Γρηγορίου τοῦ Θεολόγου τετράστιχα, φ. 63-69.—ς') [Πεντάδιον τῆς ιη' ἑκατ]. (Ἀλεξάνδρου Μαυροκορδάτου) «περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου», φ. 70-79.— ζ') «Λέοντος τοῦ σοφωτάτου εἰς τὴν β' τοῦ Χριστοῦ παρουσίαν κατὰ ἀλφάβητον». Ἀρχ. «Ἄρα τίς γῆθεν ἀείρας», φ. 80.—η') «Τοῦ σοφωτάτου Γεωργίου τοῦ Κορεσσίου πρὸς τὸν ὁσιώτατον ἱερομόναχον κῦρ Ἄνθιμον, ὅτι ἄκτιστος ἡ θεία ἔλλαμψις καὶ ὅτι οὐκ ἔστιν οὐσία Θεοῦ». Ἀρχ. «Ὁσιώτατε ἐν ἱερομονάχοις κῦρ Ἄνθιμε, ἐστοχάστηκα τὰς θέσεις ὁποῦ ἐγένοντο εἰς τοὺς Κορυφοὺς»

κτλ., φ. 83-88.—θ') Ἐπιφανίου Κύπρου λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου, φ. 89.—ι') Θεματογραφίας λείψανον. φ. 103-106. — ια') Πρόκλου σφαῖρα ἀκέφαλος, ἀρχομένη τῶν λέξεων τούτων· «ἐλαχίστη δὲ ἡμέρα. μετὰ μέντοι τὴν χειμερινὴν τροπὴν οὐκ ἔτι» κτλ., φ. 107.—ιβ') «Εἰς τοὺς ,αχξη'· ἐξήγησις τῶν παραινετικῶν στίχων τοῦ Κάτωνος», φ. 118-124.

577. «Ἀνθολογία στιχηραρίου σύντομος, περιέχουσα τὰ δοξαστικὰ τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν ἑορταζομένων ἁγίων τοῦ ὅλου ἐνιαυτοῦ, ἥτις ἐμελουργήθη παρὰ Πέτρου λαμπαδαρίου τοῦ Πελοπο(ννησίου) κατὰ τὴν ἐθιζομένην τάξιν ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ· ἐξηγήθη δὲ ἤδη ἐσχάτως κατὰ τὸ νέον σύστημα τῆς μουσικῆς παρὰ τοῦ μουσικολογιωτάτου διδασκάλου κυρίου Γρηγορίου λαμπαδαρίου». Φύλλα χονδροῦ καὶ στιλπνοῦ χάρτου 252, μήκους 0, 235, πλάτους 0,16.

578. Μηναῖον τοῦ μηνὸς Ὀκτωβρίου μεμβράνινον ἐκ φύλλων 152, ὧν ἐννέα μόνα χάρτινά ἐστιν, εἰς ἀναπλήρωσιν ἐκπεσόντος κειμένου προστεθέντα τῇ ις' ἑκατ. λείπει δὲ νῦν τὸ τέλος Ἐγράφη δὲ τὸ μηναῖον ἀναμεταξὺ τῆς δεκάτης καὶ τῆς ἑνδεκάτης ἑκατονταετηρίδος καὶ κατὰ σελίδα περιλαμβάνει γραμμὰς 22 ($0,208 \times 0,18 = 0,142 \times 0,12$). Σημειώσεως δὲ ἄξια ταῦτ' ἐστι· α') Τῇ ε' ἡμέρᾳ τὴν μνήμην ἐπανηγύριζεν ἡ Κωνσταντινουπόλεως ἐκκλησία Πέτρου Καπιτολαίων ἐπισκόπου καὶ πρὸς τοῦτο κανὼν ἐψάλλετο τύποις ἀνέκδοτος, οὗ ἡ ἀκροστιχίς· «Αἰνῶ σε Πέτρε μάρτυς ἠγλαϊσμένε».—β') Τῇ ς' πρὸς τῇ μνήμῃ Θωμᾶ τοῦ ἀποστόλου πανήγυρις ἐτελεῖτο τακτικὴ διὰ τὰ ἐγκαίνια «τοῦ πανσέπτου αὐτοῦ ναοῦ», ὅτε καὶ κανὼν ἐψάλλετο κατ' ἦχον δ', οὗ ἡ ἀρχή· «Ὁ στύλῳ καθοδηγῶν τῷ πνεύματι» κτλ. Εἶχε δὲ ἡ πανήγυρις καὶ κονδάκιον καὶ οἶκον. — γ') Τῇ ι' κανὼν ἐψάλλετο Θεοφάνους, οὗ ἡ ἀκροστιχίς· «Τὴν αὐτάδελφον αἰνέσω ξυνωρίδα». — δ') Τῇ ιγ' κανών, οὗ ἡ ἀρχή· «Κάρπου καὶ Παπύλου τῶν στερρῶν» κτλ. — ε') Τῇ κγ' συνεψάλλετο «κανὼν τῶν ἁγίων ἑπτὰ παίδων» τῶν ἐν Ἐφέσῳ, οὗ ἡ ἀρχή· «Τῆς ἑβδομάδος ἀριθμῷ» κτλ.—ς') Τῇ λ' μνήμην ἐτέλει τῶν Κωνσταντινουπολιτῶν

ἡ ἐκκλησία Μαρκιανοῦ Συρακούσης ἐπισκόπου, ὅτε καὶ κανὼν ἐψάλλετο, οὗ ἡ ἀκροστιχίς· «Χαίρων πλέκω σου Μαρκιανὲ τοὺς κρότους· Θεοφάνους». Καὶ τοιαῦτα μὲν ᾄσματα σὺν ἄλλοις ἐμπεριέχει τὸ μηναῖον, ἅπερ ἐγὼ πρὸς ἔκδοσιν ἐπιμελῶς ἀντιγράπας ἡτοίμασα· περιέχει δ' ὅμως καὶ στιχηρὰ καὶ καθίσματα τύποις ὡσαύτως ἀνέκδοτα διὰ τοὺς λοιποὺς ἁγίους, οὓς ἡ τῶν ὀρθοδόξων ἐκκλησία πανηγυρικῶς ἑορτάζει μηνὶ ὀκτωβρίῳ.

579. Τεῦχος μεμβράνινον ἀκέφαλον, ἀρχόμενον ἤδη τοῦ πέμπτου φύλλου τετραδίου τινός, ἔχοντος ἀριθμὸν η', καὶ διῆκον ἄχρι τέλους τετραδίου φέροντος ἀριθμὸν λζ'· πάντων δὲ τῶν τετραδίων οἱ ἀριθμοὶ γεγραμμένοι εἰσὶν ἐν τῇ ἐπάνω γωνίᾳ· ὑπάρχει δὲ καὶ χάσμα μετὰ τὸ νῦν 4-ον αὐτοῦ φύλλον· ἄγραφον δὲ παντάπασίν ἐστι τὸ ἔσχατον φύλλον Τὸ τεῦχος οὖν ἀριθμεῖ νῦν φύλλα 234, γραφέντα περὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, καὶ κατὰ σελίδα κείμενον ἐμπεριέχει μονόστηλον ἐκ γραμμῶν 19 ($0{,}201 \times 0{,}165 = 0{,}141 \times 0{,}102$), ὅπερ ὡς εἰκὸς ἄναρχον ὑπάρχει· διὸ καὶ τοῦ περιεχομένου ὁ συγγραφεὺς ὑπάρχει μοι νῦν ἄγνωστος· τὸ μέντοι πόνημα τούτου διερμηνεύει τὸν Ἐκκλησιαστὴν εἰς λόγους δέκα, ὧν οἱ δύο πρῶτοι συναπώλοντο τοῖς ἐλλείπουσι φύλλοις· συναπώλετο δὲ καὶ ἡ ἀρχὴ καὶ μέρος οὐκ ὀλίγον, ὡς φαίνεται, τοῦ τρίτου λόγου· ὃς ἄρχεται νῦν ὧδε· «- - κατὰ τοσοῦτον τοῖς ἀλγήμασιν αὐτὴν περιβάλλει τῶν φροντίδων καὶ μεριμνῶν τῆς ὑψηλοτέρας καὶ μείζονος σοφίας καὶ γνώσεως· ὅρα γὰρ τὴν ἐκκλησιαστικὴν ἀπόδοσιν τοῦ Ἐκκλησιαστοῦ» κτλ., φ. 1.— Φύλ. 66^{β} «Τοῦ αὐτοῦ λόγος τέταρτος», οὗ ἡ ἀρχή· «Προσεχῶς καθυπογράψας καὶ στηλιτεύσας τὸν ἕνα μὲν ὄντα» κτλ. — Φ. 94 Λόγος ε', οὗ ἡ ἀρχή· «Ἀγαπῶν ἀργύριον οὐ πλησθήσεται κτλ. Τὸ ῥητὸν τοῦτο διττὴν ἔοικεν ἔχον προδήλως τὴν ἐκδοχὴν» κτλ.— Φ. 113^{β} Λόγος ς', οὗ ἡ ἀρχή· «Καθυπογράψας καὶ κωμῳδήσας τὸν ἀνελεήμονα καὶ φειδωλὸν πλούσιον» κτλ.—Φ. 144^{β} Λόγος ζ', οὗ ἡ ἀρχή· «Προσεχῶς ἀποφηνάμενος καὶ φήσας τὸν φοβούμενον τὸν Θεὸν ὑπερανίστασθαι» κτλ. — Φ. 166 Λόγος η', οὗ ἡ ἀρχή· «Μονονουχὶ γάρ φησι πάντων ἀπεστέρηνται τῶν ἀγαθῶν».—

Φ. 181 Λόγος θ', οὗ ἡ ἀρχή· «Μικρὸν ἀνόπιν εἰπὼν θηρεύεσθαι καὶ παγιδεύεσθαι» κτλ. — Φ. 207 Λόγος ι', οὗ ἡ ἀρχή· «Εἰκόνα παραλαβὼν αἰσθητὴν τοῦ σπείρειν εἰωθότος ἔωθεν τὸ ἴδιον σπέρμα» κτλ.

580. Λείψανα τριῶν ἐκ χάρτου βιβλίων, συναποτελοῦντα φύλλα 173. — α') Φύλλα 17 τῆς ιη' ἑκατ. περιέχοντα λόγον Ἰωάννου Δαμασκηνοῦ περὶ τῆς γεννήσεως τοῦ Κυρίου καὶ δύο ποιημάτια Γρηγορίου τοῦ Θεολόγου. — β') Λείψανον ἑτέρου τεύχους ἀρχόμενον ἀπὸ τῆς 33-ης αὐτοῦ σελίδος καὶ περιέχον Ἰωάννου τοῦ Χρυσοστόμου λόγον εἰς τὸν πεντηκοστὸν ψαλμὸν καὶ Γρηγορίου τῆς Ἀντιοχείας ἀρχιεπισκόπου λόγον εἰς τὴν ταφὴν καὶ τὴν ἀνάστασιν τοῦ Κυρίου, οὗ ἡ ἀρχή· «Ἐπαινετὸς καὶ οὗτος τῆς ἐκκλησίας» κτλ. (σ. 60-80). Μεθ' ὃν ἡ τῶν σελίδων ἀρίθμησις ἀκολουθεῖ μέχρις ἀριθμοῦ 350-οῦ· περιέχονται δ' ἐν αὐταῖς τεμάχη πρὸς χρῆσιν ἱεροκήρυκος, σχέδη λόγων, προοίμια καὶ τοιαῦτα· ταῦτα δὲ πάντα χεὶρ ἔγραψε τῆς ιζ' ἑκατονταετηρίδος.

581. Τεῦχος τῆς ις' ἑκατ. ἀριθμοῦν φύλλα χάρτου 115, μήκους 0,21, πλάτους 0,15· καὶ ἐν μὲν τῇ ἀρχῇ κεῖται φύλλον ἄγραφον, ἐν ᾧ Νεόφυτος Ἁγιοταφίτης ἱερομόναχος ἔγραψεν ὅτι τὸ βιβλίον ἀνατίθεται παρ' αὐτοῦ τῇ βιβλιοθήκῃ τοῦ Παναγίου Τάφου, καὶ τοῦτο, καθὰ φαίνεται, περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατοντ. Ὑπάρχει δὲ καὶ σημείωμα παλαιότερον, ὅπερ ἔχει ὧδε (φ. 12β-13α)· «† Ὁ καθηγούμενος τῆς ἱερᾶς μονῆς - - - - ἱερομόναχος Ἰάκωβος καὶ οἱ σὺν ἐμοὶ ἐν Χριστῷ ἀδελφοί».—α') Βασιλείου Καισαρείας «κεφάλαιον ἐκ τῶν ἐρωτήσεων», οὗ ἡ ἀρχή· «Εἰ ἔξεστι καὶ συμφέρει τινὶ ἐπιτρέπειν» κτλ., φ. 1. — β') Ἰωάννου Χρυσοστόμου τεμάχιον «ἐκ τοῦ λόγου, οὗ ἡ ἀρχή: Ἀεὶ μὲν Θεοῦ μνημονεύειν καλόν». Ἀρχ. «Οἱ τὰς θείας γραφὰς ἐξουθενοῦντες», φ. 2.— γ') «Περὶ τοῦ μὴ χειροτονεῖν ἐπὶ χρήμασι κανόνες τῶν ἁγίων ἀποστόλων καὶ τοῦ Χρυσοστόμου καὶ τοῦ μεγάλου Βασιλείου καὶ ἑτέρων ἁγίων», φ. 2β.—δ') «Ἐγκύκλιος ἐπιστολὴ Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας καὶ πρὸς τὸν πά-

παν Ῥώμης». Ἀρχ. «Ὁ δεσπότης ἡμῶν καὶ θεὸς καὶ σωτὴρ Ἰησοῦς», φ. 9.—ε') «Ἐπιστολὴ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, Ταρασίου πρὸς Ἀδριανὸν τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης, περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι τὰς χειροτονίας». Ἀρχ. «Πολυμερῶς καὶ πολυτρόπως», φ. 13β.— ς') Ἰωάννου τοῦ Χρυσοστόμου περὶ διδασκάλων ἀποσπάσματα ἐκ τῆς αὐτῷ πονηθείσης ἑρμηνείας τῶν ἐπιστολῶν Παύλου τοῦ ἀποστόλου, καὶ πρῶτον ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Τιμόθεον δευτέρας ἐπιστολῆς, φ. 16β. — ζ') Τοῦ αὐτοῦ «λόγος περὶ ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν, καὶ εἰς τὴν φρικτὴν καὶ φοβερὰν δευτέραν παρουσίαν τοῦ Κυρίου κτλ. Ἐρρέθη δὲ μέλλοντος αὐτοῦ ἐκδημεῖν ἀπὸ τοῦ σώματος». Ἀρχ. «Ὀδυνηρὸς ὁ λόγος», φ. 56β. — η') Βασιλείου Καισαρείας «ἐκ τοῦ λόγοο τοῦ λεχθέντος τῇ ἑβδομάδι τῆς διακαινησίμου κατὰ μεθυόντων». Ἀρχ. «Κινεῖ μέν με πρὸς τὸν λόγον τὰ ἑσπερινὰ» κτλ., φ. 96β.—θ') Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ τοῦ μὴ ὀμνύειν» ἐξ ἀποσπασμάτων αὐτοῦ συναρμολογηθείς. Ἀρχ. «Ὅτε γάρ φησιν ἥμαρτεν», φ. 105. — ι') Πίναξ τῶν περιεχομένων ἐν τῷ κώδικι τούτῳ, φ. 113.

582. Βιβλιάριον Ἰωαννικίου τοῦ Σαβαΐτου, φύλλα συναριθμοῦν 70, μήκους 0,207, πλάτους 0,157· περιέχει δὲ τεμάχη βίων ὁσίων ἀνδρῶν, οἷον Εὐθυμίου, τεμάχη πάλιν ἐκ συγγραφῶν Μαξίμου τοῦ ὁμολογητοῦ, Ἰσαὰκ τοῦ Σύρου, Ἡσαΐου τοῦ μεγάλου καὶ ἑτέρων ἀσκητῶν, ἔτι δὲ λόγους τρεῖς Μάρκου τοῦ ἐρημίτου.

583. Τεῦχος τῆς ιζ' ἑκατ. ἀριθμοῦν φύλλα χάρτου 239 (μήκους 0,205, πλάτους 0,152), ὧν τέσσαρα παντάπασιν ἄγραφα· ἔχει δ' ἐν τῷ τελευταίῳ φύλλῳ σημείωμα κρυπτογραφικόν, ὅπερ ἔχει ὧδε·

[illegible]

α΄) Ἀναστασίου τοῦ Σιναΐτου λόγος εἰς τὸν ϛ΄ ψαλμὸν καὶ εἰς τὴν ἀρχὴν τῶν νηστειῶν, οὗ ἡ ἀρχή· «Πρέπουσαν ἀρχὴν εἰλικρινοῦς» κτλ., φ. 1. —β΄) Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὰ Σεραφίμ, οὗ ἡ ἀρχή· «Μόλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν», φ. 36.— γ΄) Γρηγορίου τοῦ Θεολόγου ὁμιλία περὶ τῶν Θεοφανείων, ἧς ἡ ἀρχή· «Χριστὸς γεννᾶται» κτλ., φ. 74.—δ΄) Βασιλείου Καισαρείας λόγος εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν, οὗ ἡ ἀρχή· «Χριστοῦ γέννησις» κτλ., φ. 112.—ε΄) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος ἐγκωμιαστικὸς εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρὸν καὶ εἰς τοὺς ἁγίους ἀποστόλους». Ἀρχ. «Τί εἴπω ἢ τί λαλήσω», φ. 153.—ϛ΄) Παντολέοντος πρεσβυτέρου μονῆς τῶν Βυζαντίων, λόγος «εἰς τὴν παγκόσμιον ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ». Ἀρχ. «Πάλιν ὑψοῦται σταυρός», φ. 170. — ζ΄) «Εὕρεσις καὶ ἀναζήτησις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ὑπὸ τοῦ ἐν εὐσεβέσι μεγάλου Κωνσταντίνου καὶ πρώτου βασιλέως». Ἀρχ. «Ἐν ἔτει ἑβδόμῳ» κτλ., φ. 179.—η΄) Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ, οὗ ἡ ἀρχή· «Ἐπέστη σήμερον» κτλ., φ. 207.

584. Αἱ τρεῖς θεῖαι λειτουργίαι, ὧν ἡ πρώτη, ἡ τοῦ Χρυσοστόμου, ἀκέφαλος. Φύλλα χάρτου τῆς ιε΄ ἑκατ., μήκους 0,21, πλάτους 0,155. Κατὰ σελίδα γραμμαὶ 17 (0,14×0,095).

585. Λειτουργικὸν ἐκ φύλλων χάρτου 92, μήκους 0,208, πλάτους 0,15. Κατὰ σελίδα γραμμαὶ 16 (0,13×0,08). Μεγάλα τινὰ κεφαλαιώδη γράμματα τὸ χρῶμα κόκκινα, ποικίλως ἐσχεδιασμένα.—α΄) «Εὐχὴ συγχωρητικὴ λεγομένη ὑπὸ τοῦ ἀρχιερέως ἢ ἱερέως», φ. 1β. — β΄) Λειτουργίαι Χρυσοστόμου, Βασιλείου καὶ προηγιασμένων, φ. 5 κέ. — Φ. 92 «Αὗται αἱ θεῖαι τρεῖς λειτουργίαις, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τε, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, ἐγράφησαν διὰ χειρὸς ἐμοῦ τοῦ τλήμονος, καὶ ἀθλίου Ἱερεμίου τάχα καὶ ἱερομονάχου Σαββαΐτου ἐν τῇ μεγίστῃ λαύρᾳ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. ἐν κελλίῳ τὸ ποτὲ Ἰωάννου τοῦ Δαμασκηνοῦ. ὅσοι δὲ εὑρεθῆται ἐν καιρῷ ἑλληνικὴν παιδίαν καὶ εὑρῶντες ἐν ταυτὶς σφάλματα, ὡς ἀμαθεῖν

καὶ ἰδιώτην τῆς ἑλληνικῆς παιδείας, μὴ καταγνώσεσθαι παρακαλῶ, μὴ δὲ καταράσθαι, ἀλλ' οἱ ἀναγινώσκοντες εὔχεσθαί μοι διὰ τὸν Κύριον. ἀφιερῶ δὲ αὐταῖς ἐν τῇ θείᾳ καὶ περιβοήτῳ βασιλικῇ λαύρα τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα, καὶ ἀρχαγγέλου Μιχαὴλ ναῷ τοῦ ἐν τῇ ἁγία πόλει Ἱερουσαλὴμ διὰ ψυχικῆς σωτηρίας. διότις ἐποίησα δύο, ἡ μία κάτω καὶ ἡ ἑτέρα ἀπάνω κτλ. ,ζριδ', μὴν ἰουλίω κθ'» [1606].

586. Τεῦχος τῆς ις' ἑκατ. ἐκ φύλλων χάρτου 74, μήκους 0,207, πλάτους 0,145. Κατὰ σελίδα γραμμαὶ 11 (0,12 ×0,075). Ἐν τῷ κρασπέδῳ τοῦ 8-ου φύλλου· «✝ τοῦ Σίφνου Τιμοθέου» [1]. Ἐν ἄλλῳ δὲ τόπῳ σημειοῦται, ὅτι τὸ βιβλίον ἦν Γρηγορίου ἱερομονάχου Κρητός, τοῦ καὶ Λεντίτζης ἐπονομαζομένου.—α') «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου». Ἀρχ. «Προσαγόμενος τῷ ἀρχιερεῖ ὁ τοιοῦτος», φ. 1.—β') «Ἑτέρα τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου». Ἀρχ. «Τοῦ ἀρχιερέως καθεζομένου ἐπὶ τῆς ὡραίας πύλης», φ. 3β.—γ') Λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου, φ. 8. Ἐν τῷ κρασπέδῳ τοῦ 17-ου φύλλου προσετέθη «εὐχὴ πρὸ τοῦ εὐαγγελίου», ἧς ἡ ἀρχή· «Ἔλαμψον ἐν ταῖς καρδίαις ἡμῶν» κτλ.—δ') «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου». Ἀρχ. «Μετὰ δὲ τὸ πληρωθῆναι τὸν χερουβικὸν ὕμνον», φ. 29β.—ε') «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου». Ἀρχ. «Μετὰ τὸ εἰπεῖν τὸν ἀρχιερέα τὴν ἐκφώνησιν», φ. 53.—ς') Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ, προστεθεῖσα τῇ ιη' ἑκατ., φ. 71β.

587. Ψαλτήριον ἔτους 1635-ου, συνιστάμενον ἐκ φύλλων χάρτου 270, μήκους 0,20, πλάτους 0,152. Κατὰ σελίδα γραμμαὶ 16 (0,14 × 0,085). Κεφαλαιώδη τινὰ γράμματα κεχρωματισμένα καὶ ποικίλως ἐσχεδιασμένα, ἔτι δὲ κοσμήματά τινα. Ἐν τῷ τελευταίῳ φύλλῳ· «✝ Τὸ παρὸν ψαλτήριον ἐγράπτη διέμοῦ Γρηγορίου, ἱεροδιακόνου, τοῦ Μαυροθαλασσήτου ἐκ Τρουλίας, καὶ Βασιλεικοῦ. καὶ τὸ ἀφύνω εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα νὰ δια-

[1] Οὗτος καθῃρέθη τῆς ἐπισκοπῆς Σίφνου μηνὶ ἰανουαρίῳ, ἔτους 1678. Κ. Σάθα, Μεσ. Βιβλ. III, σ. 603.

βάζη ὅποιος θέλει. μόνον ἀπαυτόθεν νὰ μὴν τὸ εὐγάνει χανῆς — καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαι καὶ ὑπὲρ τὸν γράψαντα. — Καὶ

Ἐνέτη ͵αχλε. μαρτίω κ', ὁποῦ καὶ αὐτῆ τῆ ἡμέρα ψάλλεται καὶ ἡ μνήμη τῶν ἁγίων πατέρων, τῶν ἐν τῆ λαύρα τοῦ ἁγίου Σάβα ἀναιρεθέντων».

588. Φύλλα χάρτου 69, μήκους 0,195, πλάτους 0,143.— «Ἀχολουθία τῆς ἁγίας μεταλήψεως, ὡς εὕρηται ἔν τινι μεμβραΐνῳ τῆς βιβλιοθήκης τοῦ Παναγίου Τάφου [= ὅ ἐστιν ἀριθ. 521 τῆς πατριαρχ. συλλογῆς. Ἱεροσολ. Βιβλιοθ. I, σ. 465]· ἐν ᾧ διὰ τὴν παλαιότητα ἔλιπε καὶ ἡ ἀρχὴ τῆς ἐνάρξεως τῆς ἀκολουθίας ταύτης, καὶ τὸ τέλος τοῦ βιβλίου, οὐχὶ τῆς ἀκολουθίας· ὅθεν καὶ ἄγνωστος ἡμῖν ὁ χρόνος καθ' ὃν ἐκεῖνο ἐγράφη· ἔτι δὲ καὶ ὁ γράψας καὶ ὁ συνθεὶς καὶ ὅπου ἀφιέρωται. Ὅπερ ἐν ἔτει ͵αω' [1800] ἀπὸ τῆς θείας οἰκονομίας, ἐν μηνὶ σεπτεμβρίῳ, ἀντεγράφη ἀπαραλλάκτως πλὴν τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ ἡ πρώτη, ἥτις ἐλήφθη ἐκ τοῦ λόγου τοῦ "Οὐ δεῖ γελᾶν καὶ μετεωρίζεσθαι" (οὗ ἡ ἀρχή· «Ἀρχὴ καταστροφῆς μοναχοῦ» κτ': σελίδι ρος', ἐν τῇ τυπογραφίᾳ τῆς Ὀξονίας, ἐν ἔτει ͵αψθ'), διὰ τὸ ἐλλείπειν τινὰ φύλλα· καὶ πλὴν τῆς εὐχῆς τοῦ ὁσίου Ἰακώβου, ἥτις συνήφθη μετὰ καὶ ἑτέρας εὐχῆς τοῦ αὐτοῦ διὰ τὴν ὁμοιότητα ἐν πολλοῖς· εἰς δὲ τὰς ἄλλας εὐχὰς γέγονεν ἢ προσθήκη τινῶν λέξεων, ἢ μεταβολὴ ἐκ τῶν εὐχῶν τῆς μεταλήψεως τῆς ἐν τῷ Ὡρολογίῳ, διὰ τὸ ὀρθότερον. Ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ». Ἕτερον ἀντίγραφον ὅρα ἐν τ. I, σ. 404.

589. Δύο τεύχη συνδεδεμένα, φύλλα συναριθμοῦντα χάρτινα 133, μήκους 0,20, πλάτους 0,145· περιεκάλυψε δὲ ταῦτα ὁ δέτης δυσὶ μεμβρανίνοις φύλλοις, ἀπεσπασμένοις ἐκ κώδικος τῆς δεκάτης ἑκατ., οὗ τὸ κείμενον ἦν δίστηλον καὶ γραμμὰς ἠρίθμει κατὰ σελίδα 30· περιέχεται δ' ἐν αὐτοῖς ἱκανὸν ἀπόσπασμα μαρτυρίου γυναικός, ὡς ἔοικεν.

α') Τεῦχος ἐκ φύλλων ἠριθμημένων ἀπὸ τοῦ $\overline{α}$ μέχρι τοῦ ω μέγα· λείπει δὲ τὸ $\overline{α}$· καὶ περιέχει πρῶτον τὴν συνήθη διήγησιν περὶ τοῦ πατριάρχου Ἀλεξανδρείας Ἰωακείμ, ἧς τὸ ἀντίγραφον ἐνταῦθα διὰ τῆς χειρὸς ἐγένετο Νεοφύτου ἱερομονάχου, τῇ 28-η νοεμβρίου 1709· δεύτερον δὲ περιέχει βίον τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου καὶ μετὰ τοῦτον διήγησιν περὶ Ἰωάννου τοῦ Βοστρίτου.

β') Σελίδες ἠριθμημέναι 236, ἐν αἷς ὁ γράψας αὐτὰς ἱκανὰς περιέλαβε γερόντων ἀσκητικὰς διηγήσεις καί τινα τῶν κεφαλαίων Ἀναστασίου τοῦ Σιναΐτου.

590. Τεῦχος ἐκ χάρτου τῆς ις' ἑκατ. ἀριθμοῦν φύλλα 91, μήκους 0,195, πλάτους 0,145. Δῶρον ἐδόθη τῇ μονῇ Σάβα τοῦ ὁσίου, ἔτει 1718-ῳ, παρὰ τοῦ ἱερομονάχου Ἰεζεκιὴλ Κυπρίου τοῦ ἐκ Λεμεσοῦ· πρὸ δὲ τούτου τὸ βιβλίον ἦν Παρθενίου τοῦ Νεαπόλεως ἀρχιεπισκόπου.—α') Κωνσταντίνου τοῦ Κορινθίου διατριβὴ περὶ Χριστοῦ καὶ τῆς διδασκαλίας αὐτοῦ, προτεταγμένην ἔχουσα τοῦ συγγραφέως ἐπιστολήν, ἧς ἡ ἀρχή· «Ὅποιος βούλεται καὶ θέλει νὰ μάθῃ τὴν θεολογίαν ὅλην» κτλ., φ. 1-32.—β') Ἀθανασίου Ἀλεξανδρείας τὸ πρὸς Ἀντίοχον ἄρχοντα σύγγραμμα, φ. 33 κέ.—γ') «Ἐπιστολὴ Πέρσου τοῦ Σαμψατῆ Σωαγαννῆ» περὶ τῆς χριστιανικῆς πίστεως, ἧς ἐλλείπει τὸ τέλος, φ. 63-72. — δ') Ποικίλα, φ. 73 κέ.—Παρέπεται βιβλίον ἔντυπον, ἀριθμοῦν 28 φύλλα, ὧν τὸ κείμενον ὑπάρχει δίστηλον· ἐπιγράφεται δὲ ὧδε· «ΑΝΘΟΣ | ΤΩΝ ΧΑΡΙΤΩΝ. Ἐνετίῃσιν. Παρὰ Ἀντωνίῳ τῷ Πινέλῳ, ‚αχι'».

591. Τεῦχος τῆς ιη' ἑκατ. ἐξ 159 φύλλων χάρτου, μήκους 0,198, πλάτους 0,15. Κατὰ σελίδα γραμμαὶ εἴκοσι (0,135 × 0,085).—Ἰωάννου τοῦ Δαμασκηνοῦ «ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως» καὶ λόγος περὶ τῶν ἐν πίστει κεκοιμημένων.

592. Πατερικόν, ὅπερ ἔγραψε Σαμουὴλ ἱερεὺς ὁ Κύπριος, ἀρχομένης τῆς ιθ' ἑκατ. Ἐν τῇ ἀρχῇ φύλλα δύο πίνακος· εἶτα σελίδες ἠριθμημέναι 438, περιέχουσαι πολυάριθμα κείμενα, παραπεφρασμένα παρ' αὐτοῦ τοῦ Σαμουήλ· τούτων δὲ σημειώσεως ἄξια τάδε· α') «Προχώρου ἑνὸς τῶν ἑπτὰ διακόνων, μαθητοῦ

γεγονότος Ἰωάννου τοῦ Θεολόγου, περὶ τῶν αὐτοῦ θαυμάτων καὶ τοῦ κηρύγματος, συγγραφῆς τε τοῦ εὐαγγελίου καὶ τῆς αὐτοῦ μεταστάσεως» εἰς κοινὴν φράσιν, σ. 1 κέ. — β) «Διήγησις ψυχωφελὴς περὶ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τιμίας καὶ ἁγίας εἰκόνος, τὸ πῶς ἐπεκλήθη Ἀντιφωνητής, καὶ περὶ Θεοδώρου ναυκλήρου καὶ Ἀβραμίου τοῦ Ἑβραίου». Ἀρχ. «Ἀδελφοί, διήγησιν βούλομαι διηγήσασθαι», σ. 205. — γ') «Περὶ ἁγίων εἰκόνων ὁποῦ νὰ εἶναι πολλὰ χαλασμέναι τί νὰ γένῃ εἰς αὐταῖς», σ. 269.—δ') «Ἐκλογαὶ διάφοροι τῶν θείων προφητῶν περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ περὶ τοῦ πάθους αὐτοῦ καὶ ὅτι θέλει ἔλθῃ ὁ Ἀντίχριστος προτήτερα τῆς δευτέρας παρουσίας αὐτοῦ τοῦ Κυρίου ἡμῶν· τὰ ὁποῖα ἐμετεγλωττίσθησαν ἐκ τῆς ἑλληνικῆς διαλέκτου εἰς τὴν κοινὴν γλῶτταν ἐν ἔτει 1777».

593. Σαμουὴλ ἱερομονάχου τοῦ Κυπρίου πατερικὸν ἕτερον, ὅπερ αὐτὸς οὗτος ἔγραψεν ἔτει 1802-ῳ· περιέλαβε δ' ἐν αὐτῷ παραφράσεις ἰδίας καί τινα κείμενα παλαιὰ κατὰ τὴν ἐξ ἀρχῆς αὐτῶν σύνθεσιν. Τὸ βιβλίον ἀριθμεῖ σελίδας 472 (ἢ φύλλα χάρτου 236, μήκους 0,195, πλάτους 0,142) καὶ φύλλα τρισκαίδεκα, χωρὶς ἀριθμήσεως, ἅπερ ἔχει κατάλογον ἀκριβῆ τῶν ἐν τῷ κώδικι περιεχομένων ἐξ ἀρχῆς ὑπομνημάτων· τούτων ὅμως ἐλλείπει νῦν τὸ πρῶτον, ὃ περιελάμβανε τὰς πρώτας εἴκοσι καὶ δύο σελίδας· ἐπεγράφετο δὲ κατὰ τὸν πίνακα τὸν προτεταγμένον ὧδε· «Τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου περὶ τῆς ἐλεύσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πῶς μέλλει κατέρχεσθαι ἐπὶ τῆς γῆς». Ἄρχεται τοίνυν ὁ κῶδιξ ἤδη τοῦ δευτέρου κειμένου, οὗ ἡ ἐπιγραφή· «Περὶ μοναχοῦ τινος διήγησις ὡραία», ἧς ἡ ἀρχή· «Διηγήσατο ἡμῖν τις τῶν πατέρων· ἔλεγεν ἡ μακαρία Θεοδώρα» κτλ. — Ἐκ τῶν κατόπι δὲ κειμένων ἀναγράφω κατὰ προτίμησιν ἐγὼ τρία. α') «Διήγησις καὶ ὀπτασία ὠφέλιμος ὀρθοδόξου τινὸς Δημητρίου, συγγραφεῖσα παρὰ Μητροφάνους ἱερομονάχου προτροπῇ τοῦ πνευματικοῦ πατρὸς καὶ διδασκάλου αὐτοῦ κυροῦ Διονυσίου καὶ ῥήτο-

ρος, τεθεῖσα δὲ εἰς κοινὴν φράσιν παρὰ Λαυρεντίου ἱερομονάχου», σ. 214 κέ. Δημήτριος δὲ οὗτος, ὃν ἡ διήγησις ὑπόθεσιν ἔχει, ἦν ἐξ Ἰσβόρου τῆς ἐπισκοπῆς Ἱερισσοῦ· ἔζη ᾽ ἔτει 1580-ῳ.— β') Μαρτύριον τῆς ἁγίας Εἰρήνης, οὗ ἡ ἀρχή· «Κατὰ τοὺς καιροὺς ἐκείνους ὑπῆρχέν τις βασιλεὺς ὀνόματι Λικίνιος» κτλ., σ. 340.—γ') «Λόγος εἰς τὴν Ἀσινὲθ θυγατέρα Πεντεφρῆ», οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο ἐν τῷ πρώτῳ ἔτει τῆς εὐθηνίας» κτλ, σ. 414-471. Σελ. 472 «Ὧδε πέρας εἴληφεν ἡ βίβλος αὕτη | ὑπὸ χειρὸς ἐμοῦ Σαμουὴλ ἱερομονάχου | καὶ οἱ ἀναγινώσκοντες ἔρρωσθε πάντες κτλ. Ἐτελειώθη δὲ εἰς τοὺς χιλίους ὀκτακοσίους δύο σεπτεμβρίου πρώτῃ».

594. Ἀνθολόγιον ἐκ τῶν μηναίων, γραφὲν τῇ ιδ' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων χάρτου βαμβακεροῦ 476, μήκους 0,19, πλάτους 0,14.

595. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς, ὅ ἐστιν ἀναστασιματάριον Χουρμουζίου τοῦ χαρτοφύλακος καὶ Θεοδώρου τοῦ Φωκαέως, ἀντιγραφὲν ἔτει 1834-ῳ παρὰ χατζῆ-Δημητρίου Βαϊλᾶ τοῦ ἐκ Τυρράνων Ἀλβανίας. Σελίδες 362.

596. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς γραφὲν ἔτει 1698-ῳ· συνίσταται δ' ἐκ φύλλων χάρτου 55, μήκους 0,196, πλάτους 0,15.—α') «Τροπάρια ψαλλόμενα τῇ παραμονῇ τῆς Χριστοῦ γεννήσεως εἰς τὰς ὥρας· ποίημα κῦρ Σωφρονίου πατριάρχου Ἱεροσολύμων», φ. 1.— β') Ὧραι τῶν ἁγίων Θεοφανείων, φ. 9β. — γ') «Στιχηρὰ ψαλλόμενα τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ», φ. 17β.— δ') Στιχηρὰ ἰδιόμελα Σωφρονίου πατριάρχου Ἱεροσολύμων, ψαλλόμενα ταῖς ὥραις τῶν ἁγίων παθῶν, φ. 39β. — ε') Στιχηρὰ ψαλλόμενα τῇ μεγάλῃ Παρασκευῇ καὶ τῷ μεγάλῳ Σαββάτῳ φ. 48-55, ἔνθα γέγραπται τὸ «Τέλος καὶ τῷ Θεῷ ἀτελεύτητος δόξα· ἐνέτη ,αχ̄η' · ἐν μηνὴ ἰουλλίου τῆς ις' ἡμέρα Κυριακῇ· χεὶρ Δημητρίου ἀναγνώστου καὶ προσκυνῆτου τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου· ἔρρωσθε».

597. Ἐκκλησιαστικῆς μουσικῆς ἀνθολόγιον ἐκ φύλλων 256, μήκους 0,19, πλάτους 0,136. Ἐπιγραφή· «Ἀρχὴ σὺν Θεῷ

ἁγίῳ τοῦ ἀνθολογίου τοῦ ὅλου ἐνιαυτοῦ, περιέχον τὴν πρέπουσαν αὐτῷ ἀκολουθίαν κατὰ τάξιν τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν». Ἐν φ. 256· «1778 τὸ στιχεράριον ὑπάρχει κἀμοῦ Γερασίμου ἱερομονάχου. διὰ χειρὸς ἐλαχίστου πάντων καὶ ἁμαρτωλοῦ Ἰωάννου Ἱεροσολυμίτου εἰς τοὺς 1699, ἀπριλίῳ 28».

598. Παπαδικὴ περιέχουσα τεμάχη μουσικῆς ἐκκλησιαστικῆς ἐκ τῶν ἔργων Κουκουμᾶ, Λατρινοῦ, Ἠθικοῦ, Ἀγαλλιανοῦ, Ἀργυροπούλου, Γερασίμου μοναχοῦ, Νικολάου δομεστίκου Χίου, Ἰωάννου Κουκουζέλη, Μάρκου ἱερομονάχου, Μανουὴλ Γαζῆ κλπ. Ἐν τῇ ἀρχῇ τοῦ τεύχους· «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς παπαδικῆς τέχνης τῶν ἀνιόντων καὶ κατιόντων σωμάτων τε καὶ πνευμάτων καὶ πάσης χειρονομίας, συντεθέντων παρὰ τοῦ πρωτοψάλτου κυροῦ Ξένου τοῦ Κορώνη» κτλ. Τεῦχος τῆς ις′ ἑκατ. ἐκ φύλλων χάρτου 151, μήκους 0,20, πλάτους 0,142· κατὰ δέ τι σημείωμα τῆς αὐτῆς ἐποχῆς ἦν ἀπόκτημα Κυρίλλου τινὸς ἱερομονάχου Ἁγιοταφίτου, τοῦ Χίου.

599. Εἱρμολόγιον ἐκκλησιαστικῆς μουσικῆς, γραφὲν τῇ ιδ′ ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων βαμβακεροῦ χάρτου 225, μήκους 0,188, πλάτους 0,13· ἔχει δὲ καὶ φύλλα τρισκαίδεκα, ἅπερ ἐστὶ μέρος Λαυσαϊκοῦ, γράμμασιν ἀραβικοῖς γεγραμμένου.

600. Ἀνθολόγιον ἐκκλησιαστικῆς μουσικῆς, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ιθ′ ἑκατ. καὶ σελίδας ἀριθμοῦν 376· τούτων ὅμως αἱ ἓξ πρῶται λείπουσιν.

601. «Εἱρμολόγιον τὸ καλοφωνικόν», γραφὲν ὑπ' Ἀνθίμου ἱεροδιακόνου ναοῦ τοῦ ἁγίου Ἰωάννου ἐν Λάρνακι τῆς Κύπρου, τῇ 22 νοεμβρίου, ἔτους 1821-ου. Φύλλα χάρτου 138, μήκους 0,235, πλάτους 0,162.

602. Τεῦχος τῆς ιδ′ ἑκατ. συνιστάμενον ἐκ φύλλων χάρτου 301, μήκους 0,222, πλάτους 0, 15· ἔστι δὲ σφόδρα παραλελυμένον· ἐγράφη δὲ παρὰ Παναρέτου, τοῦ μουσικοῦ πιθανῶς, ὡς ἐμφαίνει τὸ σημείωμα τοῦτο (φ. 290β)· «Ὦ Χριστέ, βοήθει μοι τῷ σῷ δούλῳ Παναρέτῳ». — Παπαδικὴ περιέχουσα τεμάχη μουσικῆς ἐκκλησιαστικῆς, οἷον Δοκιανοῦ, Χαλιβούρη, Μανουὴλ

Ἀγαλλιανοῦ, Κορώνη τοῦ καλογέρου, Κορώνη τοῦ πρωτοψάλτου, Μανουὴλ ἱερέως Παναρέτου, Φαρδιβούκη ἱερέως, Γλυκέως, Ἰωάννου Δαμασκηνοῦ, Ἠθικοῦ, Ἀνδρέου δομεστίκου, Βασιάτου, Ξένου Κορώνη τοῦ λαμπαδάρη, Ἰγνατίου μοναχοῦ, Ἰωάννου Κουκουζέλη, Ἀρμά(κη) ἱερέως· ἔχει δὲ καὶ μέλος Ἁγιορειτικόν, Σωσαντρινὸν καὶ Θεσσαλονίκης. Σημειωτέον ἐν τῷ 106-ῳ φύλλῳ «στιχερὸν ψαλλόμενον εἰς τὸ γεῦμα τοῦ βασιλέως»· καὶ ἐν τῷ 120-ῷ φύλλῳ σημείωμα τοιοῦτον ἐρυθρόν· «† Ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννου, Ἰωάννης - - - -». Καὶ ἐν τῷ 290-ῷ φύλλῳ πρᾶξις ἔχουσα ὧδε· «† Ἐπεὶ κυρὰ Ἄνα διάπράσετο ἡμέτερον ἤκημα χαμαιγεον ἐν τῇ περιώχῃ τοῦ μεγάλου δρογκαρίου, ον ἦχεν ὁ γαμβρὸς αὐτόν· ἀκούσας δὲ ὁ κόπελος ὁ πονηρότατος ἐπείρεν τὴν φωνὴν τοῦ κοπέλου καὶ ἀπεκρίθην ὁ Παπαδόπουλος καὶ εἶπεν κακὸν αὐθέντη. καὶ ἀπεκρίθην τοῦ Παπαδοπούλου ἡ θυγατέρα τοῦ Παπαδοπούλου καὶ εἶπεν εἰσκοτόσι τὸν θέλω, εἴσκοτόσι με θέλῃ καὶ ἀπεκρίθην τοῦ Παπαδοπούλου τογινεκαριον του Παπαδοπούλου καὶ εἶπεν φευ(γ) ἄπετο ὀσπίτιον μου †.—† Ὁ δοῦλος του κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἰωέ. ὁ κὺρ ἀδελφός μου ο Πανάρετος μικρέος Ἀνδρέας, αὐθέντης καὶ πατήρ μου».

603. Τεῦχος μεμβράνινον τῆς ιγ′ ἑκατ., συνιστάμενον ἐκ φύλλων 74, μήκους 0,205, πλάτους 0,145. Κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 32-34. Μετὰ τὸ 51-ον φύλλον ὑπάρχει χάσμα δύο φύλλων, ἅπερ ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 338. Отчетъ за 1883 г., σ. 132) Ἐν φ. 50-ῷ σημείωσις· «† Κύριε βοήθει μοι τῷ σῷ δούλῳ Θεοδώρῳ τῷ Καπάσα». — α′) Ἰωάννου τοῦ Χρυσοστόμου λόγοι διάφοροι δέκα καὶ ἑπτά, ὧν ὁ πρῶτος «εἰς τὸν υἱὸν τῆς χήρας». Ἀρχ. «Ἐγένετο ἐν τῷ καθεξῆς» κτλ., φ. 1.—β′) Διήγησις περὶ τοῦ συγκλητικοῦ Προτερίου ἧς ἡ ἀρχή· «Ἑλλάδιος δὲ ὁ ἐν ὁσίᾳ τῇ μνήμῃ αὐτόπτης καὶ ὑπηρέτης γενόμενος», φ. $42^{β}$. — γ′) «Θαῦμα τοῦ

ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας Νικολάου τοῦ θαυματουργοῦ». Ἀρχ. «Ἐν τοῖς καιροῖς Κωνσταντίνου τοῦ μεγάλου βασιλέως ἀκαταστασία» κτλ., φ. 45β.—δ') Ἕτερον θαῦμα τοῦ αὐτοῦ «περὶ Λεοντίου τοῦ ἀπὸ Σικελίας ὁρμωμένου». Ἀρχ. «Νέος τις φησὶν καὶ ἡμέτερος ἀγχιστής», φ. 50.— ε') Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ μετανοίας καὶ ἐλεημοσύνης, ἐν ᾧ ἐμνημόνευσε καὶ ἐστηλίτευσε πάντα τὰ πάθη τῶν ἀνθρώπων». Ἀρχ. «Ἀεὶ μὲν μνημονεύειν Θεοῦ καλόν», φ. 51.— ϛ') «Θαῦμα γενόμενον ὑπὸ τοῦ ἀρχιστρατήγου Μιχαὴλ τοῦ ἐν ταῖς Χώναις». Ἀρχ. «Ἀρχὴ τῶν ἰαμάτων καὶ δωρεῶν», φ. 70.— ζ') Ἀδήλου «λόγος περὶ κανόνων καὶ διαταγῆς μοναστηρίων», οὗπερ εἴκοσι καὶ πέντε μόναι γραμμαὶ διεσώθησαν. Ἀρχ. «Μακαρίζω τὴν ὑμῶν» κτλ., φ. 73β.

604. Τεῦχος μεμβράνινον γραφὲν ἔτει 1303-ῳ ἢ 1304-ῳ, καὶ συνιστάμενον ἐκ φύλλων ἀκατεργάστων 148, μήκους 0,205, πλάτους 0,142· ἔχει δὲ καὶ φύλλα τινὰ παλίμψηστα [86 - 93], ὧν τὸ παλαιὸν κείμενον ἐγράφη τῇ δεκάτῃ ἑκατονταετηρίδι, καὶ καθὰ φαίνεται προσήκει λόγῳ τινὶ Ἐφραὶμ τοῦ Σύρου περὶ τοῦ «Πρόσεχε σεαυτῷ». Ἐν δὲ τῇ ἀρχῇ τοῦ τεύχους ὑπάρχει «πίναξ τῆς παρούσης βίβλου»· εἶτα δ' ἡ Φιλίππου τοῦ μονάζοντος ὀνομαστὴ Διόπτρα, ἧς τὸ τέλος ἔχει τὸ σημείωμα τοῦτο· «Ἔτει ͵ςωιβ'. ἰνδικτιῶνος β'», φ. 126α. Μετὰ τοῦτο «Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας κεφάλαιον η'», οὗ ἡ ἀρχή· «Τὰ προσφερόμενα εἰς λόγον θυσίας» κτλ., φ. 126α [Migne, Patrol. τ. 65, σ. 41, κανὼν ζ' τοῦ ὑπομνηστικοῦ]. Καὶ πάλιν «τοῦ αὐτοῦ περὶ τῶν ἁγίων Θεοφανείων», φ. 126β [Migne ἔνθ. ἀν. σ. 64]. Εἶτα α') Ἰωάννου τοῦ Χρυσοστόμου λόγοι τέσσαρες (φ. 126β—138), ὧν ὁ τελευταῖος «περὶ σωματικῆς καὶ βιωτικῆς εὐπραγίας, ὅτι οὐδέν ἐστιν ἄνευ τῆς κατὰ Θεὸν ἀρετῆς»· τούτου δὲ τοῦ λόγου τὰ δύο τελευταῖα φύλλα παρέλαβε κατακόψας Πορφύριος ὁ Οὐσπένσκης, γράψας ἐν τῷ κώδικι σημεῖον ἀφαιρέσεως δηλωτικόν.—β') Ἰωάννου τοῦ Χρυσοστόμου κεφάλαια τρία, φ. 139. — γ') Βασιλείου Καισαρείας «περὶ τῆς ἐπιμόχθου ζωῆς τοῦ ἀνθρώπου». Ἀρχ.

«Ὁ βίος τῶν ἀνθρώπων βραχὺς καὶ ὀλιγοχρόνιος», φ. 144. — δ') Ἀμφιλοχίου Ἰκονίου ἐκ τῶν πρὸς Σέλευκον ἰάμβων περὶ τοῦ τίνα χρὴ ἀναγινώσκειν τῆς παλαιᾶς καὶ καινῆς Γραφῆς, φ. 148.

605. Λείψανα τεσσάρων κωδίκων, ἀποτελοῦντα φύλλα μεμβράνινα 66.—α') Τέμαχος χαρτίνου Ψαλτηρίου τῆς ιε' ἑκατ. ἐκ φύλλων 28, μήκους 0,20, πλάτους 0,155. Κατὰ σελίδα γραμμαὶ 23 (0,145 × 0,09). — β') Τέμαχος ἐκ 14 μεμβρανίνων φύλλων (29-36 καὶ 53-58) τῆς ιδ' ἑκατ. περιέχον μέρη τῶν λειτουργιῶν Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου. — γ') Λείψανον κώδικος τῆς ἐνάτης ἑκατονταετηρίδος (φ. 37-52), μήκους 0,203, πλάτους 0,135. Κείμενον κατὰ σελίδα μονόστηλον καὶ ἐκ γραμμῶν 20 ἢ 21 (0,142 × 0,085). Περιλαμβάνει δὲ τινὸς ἀγνώστου μοι κώδικος τετράδια δύο (κϛ'-κζ'), ὧν οἱ ἀριθμοὶ κεῖνται ἐν τῇ ἐπάνω γωνίᾳ τοῦ πρώτου φύλλου τούτων· καὶ ἐν μὲν τῇ ἀρχῇ κεῖται λόγος ἀκέφαλος Ἐφραὶμ τοῦ Σύρου, ἀρχόμενος ἤδη τῶν λέξεων τούτων· «καρδιογνώστης γάρ ἐστιν ὁ Κύριος καὶ ἐπίσταται οὐχ ἡμῶν, ἀλλὰ τῶν ἐχθρῶν ἡμῶν» κτλ. Μετὰ δὲ τοῦτον ἕτερος ὑπάρχει λόγος τοῦ αὐτοῦ, ὁ κδ', περὶ πρᾳότητος καὶ ἀκακίας καὶ πονηρίας, οὗ ἡ ἀρχή· «Προτρέχει μὲν τοῦ ἡλίου τὸ πρωϊνὸν φῶς» κτλ. Καὶ πάλιν τοῦ αὐτοῦ λόγος κε' περὶ τῆς τῶν παθῶν ἀπωλείας, οὗ ἡ ἀρχή· «Ὁ ἀγάπης Κυρίου κυρίως» κτλ. — δ') Λείψανον εὐαγγελίου μεμβρανίνου τῆς δεκάτης ἑκατ. (φ. 59-66), οὗ τὸ κείμενον ὑπάρχει δίστηλον καὶ ἐκ γραμμῶν 26· τούτων δὲ τὸ ἐμβαδὸν μήκους μὲν ἔστι 0,172, πλάτους δὲ 0,12.

606. Τετραευαγγέλιον μεμβράνινον τῆς δεκάτης ἢ τῆς ἐνδεκάτης ἑκατονταετηρίδος, ἀριθμοῦν ἤδη φύλλα 169, μήκους 0,194, πλάτους 0,138. Κατὰ σελίδα κείμενον μονόστηλον ἐκ γραμμῶν 28 ἢ 29 (0,16 × 0,094). Δύο φύλλα (τὸ 133-ον καὶ τὸ 134-ον) ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη, μέρος ἐμπεριλαμβάνοντα τοῦ κατ' Ἰωάννην εὐαγγελίου (ἀριθ. 285. Отчетъ за 1883 г., с. 123).

607. Τεῦχος μεμβράνινον ἀκέφαλον, γραφὲν περὶ τὴν ἀρχὴν

τῆς ιδ' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 76, μήκους 0,20, πλάτους 0,136· περιέχει δὲ ταῦτα.

1. «[Ἄ]λλη τάξις γινομένη ἐπὶ σαλευθείσῃ τραπέζῃ». Ἀρχ. «[Π]ρὸ τῆς ἀρχῆς τῆς θείας λειτουργίας ἀποστέλλεται εἴτε λιθοξόος, εἴτε χρυσοχόος» κτλ., φ. 1. Goar, Εὐχολόγιον, σ. 493.

2. Εὐχαὶ τῆς γονυκλισίας ἀναγινωσκόμεναι τῇ Πεντηκοστῇ, φ. 1β.

3. «Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης». Ἀρχ. «Πρὸ μιᾶς ἡμέρας καταλαμβάνει τὸν τοιοῦτον ναὸν ὁ ἐπὶ τῶν χειροτονιῶν» κτλ., φ. 8. Goar σ. 655.

4. «Τάξις γινομένη ἐπὶ σαλευθεῖσαν ἁγίαν τράπεζαν». Ἀρχ. «Ὁπόταν μέλλῃ ἡ σαλευθεῖσα τῆς τοῦ Θεοῦ ἐκκλησίας ἁγία τράπεζα καθιδρυθῆναι», φ. 27β. Goar σ. 490. Haberti, Ἀρχιερατικόν, liber pontificalis ecclesiae graecae. Parisiis 1676, σ. 649.

5. «Εὐχὴ τοῦ ἁγίου Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως ἐπὶ λύσεως ναοῦ ὑπὸ αἱρέσεως μιανθέντος, λεγομένη ἔξω τοῦ πυλῶνος τῆς ἐκκλησίας». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ», φ. 30. Goar σ. 494.

6. «Εὐχὴ ἑτέρα λεγομένη ἔμπροσθεν τῆς ἁγίας τραπέζης». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμεν τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, εἴ τι ἐξαιρετικῶς» κτλ., φ. 31.

7. «Εὐχὴ ἐπὶ ἀνοίξει ναοῦ βεβηλωθέντος ὑπὸ ἐθνικῶν ἢ ὑπὸ αἱρετικῶν καθυβρισθέντος». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὸν ναὸν τοῦτον ἀναδείξας», φ. 31. Goar σ. 495.

8. «Εὐχὴ λεγομένη ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον ἢ ζῷον ἄλογον κατὰ τὸν πάλαι νόμον ἀκάθαρτον καὶ ἄθυτον, ἢ ἔθανεν, ἢ ἐγέννησεν». Ἀρχ. «Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλὴν καὶ ἄφατον ἀγαθότητα» κτλ., φ. 32.

9. «Εὐχὴ ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον», ἧς ἡ ἀρχή· «Δέχου τοίνυν, πανευμενεστάτη, τίμια δῶρα καὶ σοὶ μόνῃ ἁρμόζοντα, παναγία παρθενομῆτορ» κτλ., φ. 33β.

10. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου». Ἀρχ. «Προσαγόμενος τῷ ἀρχιερεῖ ὁ τοιοῦτος», φ. 34. Goar σ. 194. Haberti ἀρχιερατικὸν σ. 305.

11. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου». Ἀρχ. «Προσάγεται τῷ ἀρχιερεῖ ὁ μέλλων χειροτονεῖσθαι ὑποδιάκονος», φ. 35β.

12. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου». Ἀρχ. «Μετὰ τὸ ἐκφωνῆσαι τὸν ἀρχιερέα» κτλ., φ. 36β. Πρβλ. Haberti ἀρχιερατικὸν σ. 308. Goar σ. 208.

13. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου· ὀφείλει εἶναι χρόνων λ'». Ἀρχ. «Μετὰ τὸ πληρωθῆναι τὸ χερουβικὸν ἵσταται ἐν τῇ σωλίᾳ ὁ μέλλων χειροτονηθῆναι πρεσβύτερος», φ. 40β. Goar σ. 242. Haberti σ. 312.

14. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου». Ἀρχ. «Πρὸ τοῦ φθάσαι τὸν καιρὸν τῆς λειτουργίας οἱ ὑπηρέται εὐτρεπίζουσι τὴν ἀναβάθραν τοῦ ἀρχιερέως» κτλ., φ. 44β.

15. «Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ». Ἀρχ. «Ὁ πατριάρχης μέλλων τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν κατέρχεται ἐκ τοῦ στασιδίου αὐτοῦ» κτλ., φ. 50β. Τὸ κείμενον τοῦτο φαίνεται ὂν τὸ πρωτότυπον ὁμοίας διατάξεως, ἣν ἀνέπτυξε καὶ συνεπλήρωσε Δημήτριος ὁ Γεμιστός, ὃς ἔτει μὲν 1368-ῳ νοτάριος ἦν [Acta et dipl. I, σ. 497], εἶτα δὲ πρωτονοτάριος, ὡς ἀποδείκνυσιν ἡ ἐπιγραφὴ τῆς αὐτοῦ συγγραφῆς, ὅ ἐστι «Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ· ἐν ᾗ καὶ ἡ τάξις τῶν χειροτονιῶν πότε καὶ πῶς γίνεται ἑκάστη, συνταχθεῖσα παρὰ τοῦ πρωτονοταρίου τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας κυροῦ Δημητρίου τοῦ Γεμιστοῦ». Καὶ ταύτην μὲν τὴν ἀνεπτυγμένην διάταξιν, ἧς ἀντίγραφα πολλὰ σῴζεται [Fabrici-Harles, Bibl. Graeca XI, σ. 606. Σακκελίωνος, Πατμ. Βιβλιοθήκη σ. 39 καὶ 171. А. Димитріевскаго путешествіе. Кіевъ, 1890, σ. 29], τύποις ἀνώνυμον ἐξέδωκεν Ἰσαὰκ ὁ Habert [Ἀρχιερατικόν. Liber pontificalis ecclesiae graecae. Parisiis 1676]· τὴν δ' ἐν τῷ Σαβαϊτικῷ χειρογράφῳ διάταξιν ἐτύπωσεν ἡ τῆς «Ἀναπλάσεως» ἐπιτροπὴ διὰ τοὺς Ἕλληνας ἱερεῖς, ἀντίγραφον ἐκπορισαμένη διὰ τετραδίου, ὅπερ ἐγὼ τῷ παναγιωτάτῳ πρώην οἰκουμενικῷ πατρι-

*

ἀρχῇ Ἰωακεὶμ τῷ γ' δῶρον ἔδωκα, περιγραφὴν ἐν αὐτῷ τούτῳ τοῦ κώδικος ἁπλουστάτην ἐξ ἀνάγκης ἐνθεὶς χάριν τοῦ παναγιωτάτου μοι πατρός· ἐπέγραψε δὲ τὴν ἔκδοσιν ἡ τῆς «Ἀναπλάσεως» ἐπιτροπὴ ὧδε:—Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ. Ἐν Ἀθήναις 1890, σελίδες 31 σχήματος 16-ου.

16. «Τάξις γινομένη τῇ μεγάλῃ Πέμπτῃ ἐν τῇ ἐκπλύσει τῆς ἁγίας τραπέζης». Ἀρχ. «Μετὰ τὸ ψάλλειν τὴν τριτοέκτην κατέρχεται ὁ ἁγιώτατος πατριάρχης ἐν τῷ μιτατωρίῳ ἢ ἐν τῷ διακονικῷ» κτλ., φ. 61β. Εἶτα «περὶ τῆς ἁγίας τραπέζης, ἧς τὰ ἄμφια παλαιωθέντα διεφθάρῃ», φ. 65. Haberti ἀρχιερατικὸν σελ. 652—656.

17. «Εὐχὴ πρὸ τῆς θείας μυσταγωγίας», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν ὁ τοῖς Χερουβὶμ ἀθεώρητος» κτλ., φύλ. 65β.

18. «Ἑτέρα εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον». Ἀρχ. «Ὑπέραγνε μῆτερ τοῦ ὑπερευλογημένου Θεοῦ», φ. 66β.

19. «Τάξις ἐπὶ χειροτονίᾳ σταυροφόρου». Ἀρχ. «Κατερχομένου τοῦ πατριάρχου ἀπὸ τοῦ στασιδίου αὐτοῦ καὶ ἱσταμένου ἐν ταῖς ὑπ' αὐτὸ βαθμῖσι» κτλ., φ. 67.

20. [Προσθήκη Σωφρονίου Ἱεροσολύμων]. Τύπος ἀποκρίσεως εἰς μήνυμα χειροτονίας ἀρχιερέως ἐν τῷ πατριαρχείῳ τῶν Ἱεροσολύμων, φ. 68.

21. [Προσθήκη ἑτέρα]. Τύπος ἀποκρίσεως εἰς μήνυμα χειροτονίας ἀρχιερέως ἐν τῷ πατριαρχείῳ Κ/πόλεως, φ. 68β.

22. [Προσθήκη τῆς ιε' ἑκατ.]. Ἀποστολοευαγγέλια καὶ τρεῖς εὐχαί, φ- 69-75. Σημειωτέον ἔτι, ὅτι ἐν τῇ ἀρχῇ τοῦ κώδικος ὑπάρχει προσθήκη δύο φύλλων, ὧν τὸ πρῶτον ἔχει τὸ σημείωμα τοῦτο· «† Μνήσθητι, Κύριε, Σωφρονίου πατριἄρχι Ἱερουσαλὴμ· πρωσιλομένο ηστον ἅγιον Κωνσταντίνο καὶ ἁγίας Ἑλένης»· τὸ δ' ἕτερον φύλλον ἐστὶ τεμάχιον δίστηλον κώδικος τῆς ια' ἑκατ., ἀπεσπογγισμένον, ὅπερ ἔχει στιχηρά τινα τροπάρια. Καὶ ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου τοῦ κώδικος ὑπάρχει τὸ σωμείωμα

τοῦτο· «✝ Σωφρόνιος ἐλέῳ Θεοῦ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. ‚ζρζ'» [1598-1599].

608. Ψαλτήριον μεμβράνινον, γραφὲν τῇ ιγ' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 272, μήκους 0,198, πλάτους 0,152. Κατὰ σελίδα γραμμαὶ 17 (0,135×0,10). Φύλλ. 264β «✝ Τέλος σὺν Θεῷ ἁγίω ἀμήν: -✝ | ✝ Ἀθανασίου μοναχοῦ:. | ✝ Δόξα σοι ὁ Θεός, δόξα σοι:—✝».—Φ. 265 Πέντε εὐχαὶ τοῦ ἁγίου μάρτυρος Εὐστρατίου.—Φ. 270 «Στιχηρὰ κατανυκτικά· ἦχος πλ. δ'». Ἀρχ. «Πάθη χειμάζει με σώματος» κτλ.—Φ. 271 «Εὐχὴ εἰς τὴν Θεοτόκον», ἧς ἡ ἀρχή· «Πανάχραντε δέσποινά μου Θεοτόκε τοῦ κόσμου ἡ κυρία» κτλ.—Φ. 272 Στιχηρὸν παρακλητικὸν εἰς τὴν Θεοτόκον, οὗ ἡ ἀρχή· «Πᾶσαν ἁμαρτίαν ἀφειδῶς» κτλ.—Φ. 272β «✝ Τὸ βιβλίου τέλος πολλήν μοι παύλαν ἄγει».

609. Ψαλτήριον τῆς ιβ' ἑκατ., συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 305, μήκους 0,192, πλάτους 0,142. Κατὰ σελίδα γραμμαὶ 19 (0,122×0,075). Κοσμήματα δύο (φ. 132 καὶ 263). Μετὰ τὸ 234-ον φύλλον ὑπάρχει χάσμα. Ἔξω δὲ τῶν ψαλμῶν καὶ τῶν 9 ᾠδῶν ἔχει τὸ τεῦχος τοῦτο καὶ τάδε τὰ κείμενα. α') «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπέραγνον τοῦ Κυρίου μητέρα τὴν Θεοτόκον· ἦχος πλάγιος δ'. Πολλοῖς συνεχόμενος πειρασμοῖς» κτλ., φ. 283β.—β') «Κοντάκια τῆς ὑπεραγίας Θεοτόκου, ἤτοι τῆς ἀκαθίστου, καὶ οἱ οἶκοι», φ. 288. — γ') Περὶ τῶν ιβ' μηνῶν ὑγιεινὰ παραγγέλματα. Ἀρχ. «Τῷ σεπτεμβρίῳ μηνὶ βρωτῶν ποτῶν τε γλυκέων» κτλ., φ. 301. Τέλος· «Τῷ αὐγούστῳ μηνὶ συχνῶν λουτρῶν ἀπέχου καὶ δριμέων· ἤσθιε θερμὰ καὶ γλυκαίνονται πλέον· μὴ λούσῃ ὅλον τὸν μῆνα· φλέγμα τὸ ψυχρὸν κυριεύει γὰρ τότε», φ. 302. — δ') «Εὐχὴ ἑωθινή», φ. 302β — ε') «Εὐχὴ ἐπὶ λογισμῶν αἰσχρῶν», φ. 302β. — ς') «Εὐχὴ ἱκετήριος εἰς τὴν ὑπεραγίαν δέσποιναν Θεοτόκον», φ. 303β.

610. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς, ὅ ἐστι στιχηράριον ἐνιαύσιον, γραφὲν τῇ ἑνδεκάτῃ ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 258, μήκους 0,198, πλάτους 0,15· πολλῶν δὲ φύλλων ἡ γραφὴ δυσανάγνωστος ὑπάρχει διὰ βλάβην τοῦ κώδι-

χος ὑφ' ὕδατος. Ἐν τῷ χρασπέδῳ τοῦ 154-ου φύλλου σημείωμα τοιοῦτον· «† Ἐχημήθη ω δουλλ(ος) τοῦ θεοῦ Ἀβραὰμ μηνὶ φευ(ρουαρίω) ηστ(ὴν) ι' υμερα β' του αγιου Χαραλαμπίου επι ετους ,ςψϞς'» [1288]. Καὶ ἔνδον τῆς δευτέρας πινακίδος, ἔνθα κεῖται πρόσθετον ἐκ χάρτου φύλλον, ὑπάρχει τοῦτο· «† Ἦλθα ἐν τι ἁγία πόλει Ιερουσαλημ ἐγὸ Νεόφυτος ἱερομόναχος καὶ ἠχμαλοτίστικα καὶ εγό εν τη αθλήα πόλ(ει), ςϠξγ' ἰνδ. γ' μαρτίο α'» [1455]. Καὶ πάλιν αὐτόθι· «† Μνήσθητι Κύριε καὶ σινχορι τὴν ψυχὴν του δου(λου) σου Αντόνι άπο τῆν Τραπεζῶν δια την βασιλια σου» [ις' ἑκατ]. Καὶ ἐν τῇ ἀρχῇ τοῦ κώδικος ἕτερον ὑπάρχει φύλλον ἐκ χάρτου, ἐν ᾧ γέγραπται σημείωμα τῆς ιε' ἑκατ. δίγλωσσον, ἑλληνικὸν ἅμα καὶ ἀραβικόν, ὅπερ εἶναι τὸ βιβλίον ὁμολογεῖ μονῆς ἐν Ἱεροσολύμοις τοῦ ἀρχαγγέλου Μιχαήλ.

611. Τεῦχος μεμβράνινον ἀκέφαλον, γραφὲν τῇ ιβ' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 151, μήκους 0,185, πλάτους 0,15· ἄρχεται δὲ τῶν λέξεων τούτων· «- - - ἕως τῶν καταχθονίων τῆς κολάσεως· οἴμοι, ἐλεεινὴ ψυχή· τί ποιήσωμεν τότε τῶν τοιούτων πόνων» κτλ. — Φύλ. 4^{β} «Περὶ κατανύξεως καὶ σωτηρίας ψυχῆς». — Φ. 25^{β} «Λόγος πρὸς νουθεσίαν ἐκ τῶν θείων πατέρων». — Φ. 28^{β} «Περὶ μετανοίας καὶ μελέτης τῶν ἀγαθῶν». — Φ. 29 Διηγήσεις ἁγίων πατέρων. — Φ. 45 Περὶ ἐξομολογήσεως καὶ εἶτα περὶ τοῦ συνεχῶς κοινωνεῖν τῶν ἁγίων μυστηρίων. — Φ. 55^{β} «Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Ἐφεσίους» ἀπόσπασμα. — Φ. 56^{β} «Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους». — Φ. 58 Τοῦ αὐτοῦ «ἐκ τῆς εἰς τὸν ς' ψαλμόν». — Φ. 61 «Τοῦ ἁγίου Ἀθανασίου περὶ ἀσκήσεως καὶ πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν». — Φ. 66 «Περὶ τῆς ἀγγελικῆς κινήσεως τῆς πρὸς προκοπὴν τῆς ψυχῆς ἐν τοῖς πνευματικοῖς διὰ προνοίας τοῦ Θεοῦ ἐξυπνιζομένης ἐν ἡμῖν». — Φ. 70 «Περὶ ἀλλοιώσεως τῆς ἐν τῇ ψυχῇ γινομένης ἐν παντὶ καιρῷ φωτὸς καὶ τοῦ σκότους» κτλ. — Φ. 73 «Περὶ τῆς μοναχικῆς πολιτείας καὶ ποίῳ τρόπῳ τίκτονται αἱ ἀρεταὶ ἐξ ἀλλήλων». — Φ. 75^{β} «Περὶ διαφόρων τρόπων τοῦ πολέμου πρὸς τοὺς ἐν τῇ στενῇ ὁδῷ πορευομένους». — Φ. 83 Ἰσαὰκ τοῦ Σύρου

λόγος, οὗ ἡ ἀρχή· «Ὅταν θέλῃς βαλεῖν ἀρχὴν εἰς ἔργον» κτλ.— Φ. 85^β «Περὶ ἑστιάσεως». — Φ. 88 «Περὶ γαστριμαργίας». — Φ. 90^β «Περὶ μέθης». — Φ. 93 «Περὶ ἐγκρατείας». — Φ. 95^β «Περὶ νηστείας».—Φ. 99 «Περὶ τοῦ μὴ ἀγαπᾶν τὸν κόσμον».— Φ. 103 «Περὶ ἀκηδείας».—Φ. 107 «Περὶ ἀργολογίας».—Φ. 108 «Περὶ τοῦ μὴ κατακρίνειν». — Φ. 110 «Περὶ τοῦ μὴ μνησικακεῖν». — Φ. 112 «Περὶ ἀκτημοσύνης» — Φ. 114 «Περὶ πένθους». — Φ. 116 «Περὶ τοῦ παραιτεῖσθαι τὰς ἀκαίρους συντυχίας». — Φ. 119 «Περὶ ἀγρυπνίας, κατανύξεως, ψαλμῳδίας».— Φ. 128 Ἀναστασίου τοῦ Σιναΐτου «περὶ τῆς ἁγίας συνάξεως καὶ περὶ τοῦ μὴ μνησικακεῖν».—Φ. 147^β «Περὶ τοῦ ἐξαγορεύσαντος εἰς γέροντα ἅγιον ἐν τῷ ὄρει τοῦ Ὀλύμπου». — Φ. 149 «Περὶ παιδείας παρὰ Θεοῦ καὶ τῶν μετ' εὐχαριστίας ταύτην ὑπομενόντων». Προσθήκη μεταγενεστέρα.

612. Τεῦχος τῆς ιβ' ἑκατ. ἐκ φύλλων μεμβρανίνων 176, μήκους 0,19, πλάτους 0,158. Ἐν τῇ ἀρχῇ προσέθηκεν ὁ δέτης πέντε μεμβράνινα φύλλα τῆς ιγ' ἑκατ., ἐν οἷς ὑπάρχει περικοπὴ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου καὶ περικοπὴ ἐπιστολῆς τινος Παύλου τοῦ ἀποστόλου· ἦν δὲ τὸ τεῦχος μονῆς «τοῦ ἁγίου Δημητρίου εἰς τὴν Ἱερουσαλήμ». — «Ἐκλογάδιον τοῦ ἁγίου εὐαγγελίου» μετὰ μηνολογίου καὶ πραξαπόστολος· ἔχει δὲ τὸ τέλος αὐτοῦ σημείωμα τοιοῦτον· «✝ Ὁ τὰ πάντα πληρῶν Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. — Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς, ἀμήν. ✝✝✝ — Ἐγράφη ἡ παροῦσα βήβλος διὰ χειρὸς Ἀντωνίου ἐν τῇ ἐπονύμῳ λαῦρα τοῦ ἡγιασμένου πατρὸς ἡμῶν Σάβα».

613. Ψαλτήριον τῆς ις' ἑκατ. ἐκ φύλλων χάρτου 176, μήκους 0,188, πλάτους 0,145. Σημειώματα ἀραβικὰ ἐν τοῖς ἐσχάτοις φύλλοις.

614. Πηγὴ γνώσεως ἀκέφαλος Ἰωάννου τοῦ Δαμασκηνοῦ, γραφεῖσα τῇ ιε' ἑκατ. Φύλλα χάρτου 114, μήκους 0,192, πλάτους 0,141. Τὸ τεῦχος ἦν τῆς ἐν Ἱεροσολύμοις μονῆς «τῆς Παναγίας». Τὸ κείμενον ἄρχεται νῦν ὧδε· «- - - ρετικὴν αὐτοκίνητον ἐνεργόν, πάντοτε τὸ ἀγαθὸν θέλουσαν» κτλ.

615. «Ἀποφθέγματα πράξεις λογία καὶ διηγήματα ἐκ τῶν ἁγίων πατέρων καὶ τῆς ἐρήμου ἀσκητῶν». Τεῦχος ἀτελὲς τῆς ιη' ἑκατ., ἀριθμοῦν ἤδη φύλλα χάρτου 42, μήκους 0,19, πλάτους 0,145. Ἀπὸ τοῦ 32 φύλλου καὶ ἑξῆς ἔμμετρα διηγήματα «περὶ τῆς τυφλωθείσης καλογραίας», «περὶ τῆς φευγούσης καλογραίας», «περὶ τοῦ ἀργιλῃστοῦ» καὶ «περὶ τοῦ μεταμορφωμένου δαίμονος εἰς τὸ μοναστῆρι τοῦ ἀποστόλου Ἀνδρέα».

616. Μαλαξοῦ νομοκάνων ἐκ κεφαλαίων χπη', ἐν οἷς καὶ τὸ «νομοκάνονον πλουσιώτατον» τὸ διὰ τοὺς πνευματικοὺς πατέρας ὡρισμένον· ἐγράφη δὲ ἔτει 1667-ῳ. Φύλλα χάρτου 278, μήκους 0,186, πλάτους 0,145. Κατὰ σελίδα γραμμαὶ 20 (0,145×0,10). Μετὰ τὸ 275-ον φύλλον ὑπῆρχε κείμενον, οὗ ἡ ἐπιγραφή· «Φωτίου τοῦ παναγιωτάτου πατριάρχου Κ/πόλεως, περὶ τῆς τῶν Φραγκῶν αἱρέσεως ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς»· τοῦτο δ' ὅμως ὑπάρχει νῦν ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 472. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 156). Τὸ τέλος τοῦ κώδικος ἔχει τὸ σημείωμα τοῦτο· «Ἐτελειώθη τὸ παρὸν, ἐν μηνὶ ἀπριλλίῳ. ια', ἡμέρα Παρασκευῇ, κατὰ τὸ ,ζροε': — Θεοῦ τὸ δῶρον καὶ Γερασίμου πόνος. οἱ ἀναγινώσκοντες εὔχεσθαι ὑπὲρ τῶν πολλῶν μου σφαλμάτων. εὔχεσθαι δέομαι, καὶ μὴ καταρᾶσθαι».

617. Λείψανα τριῶν κωδίκων. — α') Εὐχολογίου μεμβρανίνου τῆς ιδ' ἑκατ. ὀκτὼ φύλλα σχήματος ὀγδόου, ἐν οἷς ὑπάρχει μέρος ἀκολουθίας ἢ τάξεως εἰς ἐγκαίνια ναοῦ καὶ «τάξις γινομένη ἐπὶ σαλευθείσῃ ἁγίᾳ τραπέζῃ» καὶ τὸ ἥμισυ «ἀκολουθίας εἰς χειροτονίαν ἐπισκόπου». — β') Λείψανον Ψαλτηρίου τῆς ιδ' ἑκατ. ἐκ φύλλων 111 βαμβακεροῦ χάρτου, μήκους 0,19, πλάτους 0,14. — γ') Εἱρμολογίου τῆς ιδ' ἑκατ. λείψανον ἐκ φύλλων 124 βαμβακεροῦ χάρτου. — Πλὴν δὲ τούτων ἔχει τὸ τεῦχος καὶ πινακίδας, ἃς ὁ δέτης κατεσκεύασε διὰ φύλλων ἑκκαίδεκα βαμβακεροῦ Πραξαποστόλου τῆς ιδ' ἑκατ.

618. Τεῦχος ἐκ χάρτου τῆς ις' ἑκατ., ἐμπεριέχον τὰς ἱερὰς λειτουργίας Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου καὶ τὴν θείαν λειτουργίαν τῶν προηγιασμένων. Φύλλα 66,

μήκους 0,198, πλάτους 0,155. Κατὰ σελίδα γραμμαὶ 18 (0,15×0,088).—Φ. 66α «† Θεοῦ τῷ δῴρων καὶ Μαχαρίου ἁμαρτωλοῦ ἱερομονάχου πόνος· τοῦ Κρητικοῦ. ἐτελϊώθη ἐν τῇ ἁγίᾳ πόλι Ἰ(ερουσα)λήμ». — Φ. 23β Σημείωσις ἀραβικὴ δηλοῦσα, ὅτι τὸ βιβλίον ἀφιέρωσεν Ἠλίας ἱερεὺς (υἱὸς Μανσοὺρ ἱερέως, ὁ ἐκ τῆς κώμης Ῥαφίδια τῆς παρὰ τὴν Νεάπολιν) εἰς τὸν ἐν Τζίφνᾳ ναὸν ἁγίου Γεωργίου τοῦ μεγαλομάρτυρος.

619. Τεῦχος ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ μέσον τῆς ιζ′ ἑκατ. καὶ φύλλα συναριθμοῦν 140, μήκους 0,196, πλάτους 0,136.

1. Ἀδήλου περὶ ἐπιστολογραφίας ἀκέφαλον ὑπόμνημα, οὗ ἡ ἀρχή· « - - - καταχαριτοῦται καὶ ἀλλόκοτον ἔχει τὸ τῶν λέξεων σημαινόμενον», φ. 1. Κεφάλαιον δεύτερον «περὶ τοῦ πῶς δεῖ εἶναι τὴν ἐπιστολήν». Ἀρχ. «Φησὶν ὁ τῆς ἐκκλησίας στύλος Γρηγόριος», φ. 2 κἑ.

2. Ἀδήλου «μέθοδος περὶ ἐπιγραμμάτων», ἧς ἡ ἀρχή· «Τί δηλοῖ τὸ τοῦ ἐπιγράμματος ὄνομα; Κεφάλαιον πρῶτον. Ἐπίγραμμα τὸ καὶ ἀπὸ τοῦ ἐπιγράφω» κτλ., φ. 32-39. Εἶτα τύποι γραμμάτων ἐπιστολιμαίων καὶ «περὶ ἐνιαυτοῦ» διατριβή τις, ἐξ ἧς δῆλον ὅτι καὶ τὸ περὶ ἐπιστολογραφίας ὑπόμνημα καὶ τὸ περὶ ἐπιγραμμάτων ἔτει 1642-ῳ συνετάχθη· πιθανῶς δὲ ταῦτα πονήματά ἐστιν Ἰωάννου τοῦ Καρυοφύλλη, οἷς ἕπεται σημείωμα «περὶ ἀριθμῶν ἑλληνικῶν» καὶ «περὶ ἰνδικτιῶνος» ἕτερον, ἔτι δὲ κεφάλαιά τινα περὶ μηνῶν [φ. 40-49].

3. (Ἰωάννου Καρυοφύλλη πιθανῶς) «εἰς τὴν μετάστασιν τῆς Παρθένου ποίημα», οὗ ἡ ἀρχή· «Ὦ χάρις, ὦ τί μέλος θυμ//// μένον, ὦ λιγὺς ἦχος», φ. 50.—«Ἄλλο», οὗ ἡ ἀρχή· «Μοίρης μὲν βελέεσσι τριπάρθενος», φ. 52β. — Ἕτερον «εἰς τὴν γέννησιν τοῦ Κυρίου ἡμῶν», οὗ ἡ ἀρχή· «Θυμὲ κόρην γενέτειραν», φ. 54β.

4. «Εἰς ἔπαινον τοῦ χωρίου καὶ τῶν ἐπιγραμμάτων τοῦ σοφοῦ Καριοφίλου» [sic]. Ἀρχ. «Μουσῶν ἐραστὸν χῶρον ἄξιον θέας», φ. 56.

5. (Ἰωάννου Καρυοφύλλη πιθανῶς ἔμμετρα). α′) «Εἰς τὴν

ἀνάστασιν τοῦ Χριστοῦ». Ἀρχ. «Χριστὸς ἄναξ γοεροῦ ῥοδόχρους» κτλ., φ. 56β.—β') Ἀπόλλωνι τρεῖς ᾠδαί, ὧν αἱ ἀρχαί· «Ἄπολλον ἀβροχέτα καλλιπλόκου χορείας», «Θέλω κόρην αὐάζειν», «Πάλιν βάρβιτον τινάσσει», φ. 57.—γ') Ὕμνος Ἀπόλλωνι, οὗ ἡ ἀρχή· «Μέλπωμεν ματρὸς πότμον», φ. 57β.—δ') Τῇ μεταστάσει τῆς Θεοτόκου τετράστιχα δύο, ὧν αἱ ἀρχαί· «Γῆθεν ἀναΐξασα δι' αἰθέρος», «Πολλοὶ πολλὰ λέγουσι», φ. 58.—ε') Τῇ μεταστάσει τῆς Θεοτόκου ἐπίγραμμα, οὗ ἡ ἀρχή· «Σῶμα τεὸν χαριπληθές», φ. 58.—ς') Τῇ γεννήσει τῆς Θεοτόκου ἐπιγράμματα δύο. Ἀρχ. «Πάμμεγας ὡς ἐλέφας τίκτει», «Οὐ τόσον ἀστερόπεπλος», φ. 58.—ζ') Εἰς τὸν τάφον Γρηγορίου τοῦ Θεολόγου. Ἀρχ. «Τύμβον Γρηγορίοιο θεόφρονος», «Γρηγόρι' ἐνεργοὺς λάχες», «Ὡς τὸ πάρος συχέεσκε κακὰς» κτλ., φ. 58β.—η') Δεκάστιχον εἰς τὸν Χριστόν, οὗ ἡ ἀρχή· «Ἐνδαίει θυμὸς πότερον Χριστοῖο», φ. 59.—θ') Χριστῷ σταυροφόρῳ. Ἀρχ. «Αἱμαλέον τὸν ἄνακτα», φ. 59.—ι') Εἰς τὸν τάφον τοῦ Χριστοῦ. Ἀρχ. «Εἰ καὶ μικρὸν ἄγαν καὶ ἀνεύθετον», φ. 59.—ια') Δίστιχον εἰς τὸν αὐτὸν ἔχον ὧδε· «Νεκρὸς ἀείζωος καὶ ἀεὶ μέγας ἐνθάδε κεῖται | εὐθὺς ἀναστήσων νεκρὸς ἀποιχομένους», φ. 59.—ιβ') Ἕτερον ὀκτάστιχον, οὗ ἡ ἀρχή· «Οὐ μόνον ἐν βιότῳ σκεδάσας», φ. 59β.—ιγ') Ἀνεπίγραφα δίστιχα δύο καὶ ἑξάστιχον ἓν εἰς τὴν ἀνάστασιν τοῦ Χριστοῦ, οὗ ἡ ἀρχή· «Θυμὲ σὺν οὐρανίδαις ἐπινίκιον ὕμνον ἄεισον», φ. 59β. — ιδ') «Ἄλλο» ἑξάστιχον, οὗ ἡ ἀρχή· «Παρθένος οὐδὲν ἄπιστον ἐγείνατο» κτλ., φ. 59β.

6. Ἐπιστολαὶ ἀνώνυμοι ἐννέα, πιθανῶς Κυρίλλου τοῦ Λουκάρεως, φ. 60-67.

7. Γαβριὴλ ἱερομονάχου γράμμα πρὸς πατριάρχην, ἴσως Κύριλλον τὸν Λούκαριν. Ἀρχ. «Ἑνδέκατος ἤδη μήν», φ. 67β.

8. «Τοῦ σοφωτάτου καὶ θεολογωτάτου Γεωργίου τοῦ Κορεσίου πόνος περὶ τῆς λογικῆς πραγματείας» Ἀριστοτέλους. Ἀρχ. «Ἀρχομένοις ἡμῖν τῆς λογικῆς πραγματείας», φ. 68.

9. «Εἰς τὴν λιτὴν τοῦ Χρυσοστόμου στιχηρόν· ἦχος α'». Ἀρχ. «Φωστὴρ Ἰωάννη, στόμα χρυσεμφανές», φ. 118.

16. «Κανὼν τοῦ αὐτοῦ Χρυσοστόμου· ἦχος πλάγιος δ'». Ἀρχ. «Τῆς μετανοίας γεγονὼς θερμότατος», φ. 118.

11. Ἀδήλου «συνταγμάτιον, ἤτοι ἐπιτομαὶ εἰς τὸ τοῦ Ἀριστοτέλους ὄργανον, ἤγουν εἰς τὴν διαλεκτικὴν τὴν οὖσαν, κατὰ τὸν θεῖον Πλάτωνα ἐν τῷ ζ' τῶν πολιτειῶν, κορυφήν τε καὶ ἀκρώρειαν ἁπασῶν τῶν τεχνῶν καὶ κατὰ τὸν φιλόσοφον ἐν τῷ τρίτῳ τῶν μετὰ τὰ φυσικὰ πειραστικὴν τῷ ὄντι ὑπάρχουσαν, περὶ ὧν ἡ φιλοσοφία γνωστικὴ διατελοῦσα ἐγγίνεται». Ἀρχ. «Εἰς τρία μέντοι τὴν τῶν ἐπιτομῶν τῆς λογικῆς ἐπιστήμης», φ. 123-140. Διήρηται δὲ τὸ συνταγμάτιον εἰς κεφάλαια ιβ'.

620. Τεῦχος ἐκ χάρτου γραφὲν ὑπὸ Σαμουὴλ τοῦ Κυπρίου, μήκους 0,193, πλάτους 0,142. Ἐν τῇ ἀρχῇ πίναξ τῶν ἐμπεριεχομένων. Νομοκάνων ἐκ κεφαλαίων σλζ', ὧν πρώτιστον ὑπάρχει τὸ «περὶ πνευματικῆς διαγωγῆς καὶ ἐξομολογήσεως», οὗ ἡ ἀρχή· «Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων» κτλ. Μετὰ δὲ τὸν νομοκάνονα α') «Ἐκ τῶν τοῦ Βριγενίου [= Βρυεννίου] βιβλίων περὶ τῶν κατὰ Λατίνων αἱρέσεων λε' κεφάλαια», β') «Στηλίτευσις τῶν λατινικῶν αἱρέσεων καὶ παιδαγωγία τῶν ὑποστηριζόντων αὐτάς». Ἀρχ. «Πολλοὶ ἀπὸ τοὺς ἐδικούς μας νομιζομένους χριστιανοὺς» κτλ.

621. Λειτουργικὸν ἐκ φύλλων χάρτου 63, μήκους 0,20, πλάτους 0,132. Κατὰ σελίδα γραμμαὶ 16 (0,135×0,073). Κεφαλαιώδη γράμματα κόκκινα καὶ περικεκοσμημένα καὶ τρία ταινιοειδῆ κοσμήματα.—Λειτουργία Βασιλείου τοῦ μεγάλου, ἧς τὸ πρώτιστον γράμμα κεχρυσωμένον· μετὰ δὲ τὸ τέλος αὐτῆς ὁ καλλιγράφος ἔγραψε τὸ «✝ Θεοῦ τὸ δῶρον καὶ πόνος Ἀρσενίου μοναχοῦ. ͵ζοε' ἰνδ. ι'» [1566-1567].—β') Λειτουργία τῶν προηγιασμένων, ἧς τὸ τέλος ἐλλείπει, ὅ ἐστι φύλλα δύο· τοῦτο δὲ κεῖται νῦν ἐν τῇ Πετρουπόλεως αὐτοκρατορικῇ βιβλιοθήκῃ, ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 420. Отчетъ за 1883 г., σ. 148).—Φύλλ. $63^{β}$ τυπικὰ λειτουργικά, ὧν ἡ ἀκολουθία λείπει.

622. Ψαλτήριον ἐκ φύλλων χάρτου 154, μήκους 0,191, πλάτους 139· ἐγράφη δὲ ἔτει 1571-ῳ καὶ κατὰ σελίδα γραμμὰς

ἀριθμεῖ 21 (0,14×0,085). Δύο φύλλα τοῦ αὐτοῦ κώδικος, ἅπερ ἦν μετὰ τὸ 51-ον φύλλον, ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη ἐν τῇ συλλογῇ Πορφυρίου τοῦ Οὐσπένσκη (ἀριθ. 314. Отчетъ за 1883 г., σ. 144). Ἐν τῷ τελευταίῳ φύλλῳ τοῦ κώδικος ὑπάρχει τὸ σημείωμα τοῦτο· «Ἐτελειώθη τὸ παρὸν Ψαλτήριον διὰ χειρὸς κἀμοῦ τοῦ ἁμαρτωλοῦ ἱεροδιακόνου τάχα καὶ ῥακενδίτου, Γενναδίου· καὶ διὰ ἐξόδου καὶ κόπου τοῦ εὐγενεστάτου ἄρχοντος κυροῦ Γεωργίου τοῦ Σέρβου, οὗ τὸ ἐπίκλιν [sic]· καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαι μοι, καὶ μὴν καταρᾶσθαι διὰ τὸν Κύριον· διότι πᾶς γὰρ ὁ γράφων καὶ παραγράφων· τὸ δὲ τέρμα τῆς δέλτος ταύτης εἴληφεν ἐπὶ ἔτους ,ζοθῳ ἔτος. ἀπὸ δὲ Χριστοῦ συγκαταβάσεως χιλιοστῷ πεντακοσιοστῷ ἑβδομικοστῷ πρώτῳ· κύκλος ἡλίου κγ', σελήνης κύκλος ια'. θεμέλιον σελίνης δ'. εἰνδικτιῶνος ιγ'. μὴν σεπτεμβρίου ιε'. (Δ)όξα τῷ Θεῷ, τῷ δόντι ἀρχή(ν) καὶ τέλος». Εἶτα· «† ἀφιερωμένον τῆς ἐκκλησίας τῶν ἁγίων βασιλέων Κωνσταντίνου καὶ Ἐλένης, εἰς τὸ πατριάρχείων τῆς Ἱερουσαλήμ, πλησίον τοῦ Ἁγίου Τάφου, ἀπὸ τὸν Θεοφάνην πατριάρχην Ἱεροσολύμων. ,αχμγ', μαρτίῳ ι'» (1644).

623. Ψαλτήριον τῆς ιε' ἑκατ. ἐκ φύλλων χάρτου 112, μήκους 0,195, πλάτους 0,132. Κατὰ σελίδα γραμμαὶ 22 (0,145×0,09). Λείπει τὸ τέλος.

624. Εὐθυμίου τοῦ Ζυγαβηνοῦ δογματικὴ πανοπλία, ἧς λείπει τὸ τέλος καὶ ἡ ἀρχή. Τεῦχος ἐκ χάρτου τῆς ιδ' ἑκατ. φύλλα συναριθμοῦν 278, μήκους 0,19, πλάτους 0,133. Τὸ κείμενον ἄρχεται νῦν ὧδε· «- - - γνωσία οὔτε ἀλήθεια οὔτε ψεῦδος, καὶ συντόμως εἰπεῖν οὔτε θέσις αὐτοῦ ἐστιν, οὔτε ἀφαίρεσις» κτλ. Τέλος· «οὐκ οὖν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τῷ σώματι - - - -».

625. Τεῦχος τῆς ιδ' ἑκατ. συνιστάμενον ἐκ φύλλων χάρτου 98, μήκους 0,192, πλάτους 0,132. — α') Λόγος ἀκέφαλος περὶ τοῦ πάθους Ἰησοῦ Χριστοῦ, οὗ αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· «- - - ἀγάπῃ τιτρώσκομαι· ἀλλὰ γὰρ οὐχ οἷα τέ ἐστι τῇ πρὸς ἡμᾶς ἀντιπαρατεθῆναί σου φιλίᾳ» κτλ., φ. 1.—β') «Τοῦ Ξανθο-

πούλου Καλλίστου Νικηφόρου συναξάριον εἰς τὸ Τριῴδιον, ἀρχόμενον ἀπὸ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου. ἕως τῆς Κυριακῆς τῶν ἁγίων πάντων», φ. 22. Ἐν τοῖς κρασπέδοις ἀραβικὰ καὶ συριακὰ σημειώματα.

626. Τεῦχος ἐκ χάρτου τῆς ιη' ἑκατ. μήκους 0,184, πλάτους 0,142. Ἐν τῇ ἀρχῇ φύλλα τρία περιέχοντα συνήθεις εὐχάς· εἶτα σελίδες ἠριθμημέναι 224, περιλαμβάνουσαι διδαχὰς εἰς τουρκικὴν γλῶσαν ἑλληνικοῖς γράμμασι. Παρέπονται φύλλα 27, ἐν οἷς ὑπάρχει προσκυνητάριον τῆς Ἁγίας Γῆς εἰς τουρκικὴν γλῶσσαν, ἔχον ἐν τῷ κειμένῳ πολλὰ σχέδια καὶ εἰκόνας· καὶ πάλιν ἕτερα πέντε φύλλα, περιλαμβάνοντα φήμην ἑλληνικὴν καὶ πολυέλεον εἰς Παρθένιον τὸν πατριάρχην Ἱεροσολύμων.

627. Μουσικῆς ἐκκλησιαστικῆς ἀνθολόγιον, ὅπερ ἔχει σημείωμα τοιοῦτον· «Αὕτη ἡ βίβλος τῆς μουσικῆς εἶναι τοῦ χατζῆ-Ἀμβροσίου ἱερομονάχου καὶ χατζῆ-Βοῖλα ἐκ πόλεως Τύρρανα· καὶ ἂν τύχ - - - νει χάνεις, ἂς μὴν τὸ βαστάζει, ὅτι - - - ,αωλ////» (183 -). Φύλλα χάρτου 136, μήκους 0,188, πλάτους 0,13.

628. Τεῦχος τῆς ιγ' ἑκατ. ἐκ φύλλων μεμβρανίνων 184, μήκους 0,185, πλάτους 0,26. Κατὰ σελίδα γραμμαὶ 21 (0,13 × 0,075). «Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα· αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις λαύραις». Ἡ διαίρεσις ἔχει ὧδε· α') Περὶ τῆς ἀγρυπνίας διάταξις, φ. $1^β$. — β') «Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ», φ. 8.—γ') «Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων», φ. 9. — γ') «Ἀκολουθία τῆς ἐκκλησιαστικῆς συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς σεπτεμβρίου μέχρι μηνὸς αὐγούστου», φ. 21.— δ') «Ἀκολουθία τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς», φ. $115^β$.— ε') «Τὰ ἀναστάσιμα προκείμενα τῶν η' ἤχων, ἤτοι τὰ ἄμνημα» καὶ τὰ «ἀναστάσιμα ἀλληλουάρια τῶν η' ἤχων, τὰ λεγόμενα ἄμνημα», φ. $176^β$.—ϛ') «Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα ἀλληλουάρια προκείμενα καὶ κοινωνικά, ὅτε οὐκ ἔστιν ἑορτάσιμος ἅγιος»,

φ. 177.—ζ') «Προκείμενα ἀναστάσιμα τῶν η' ἤχων, ἃ λέγονται ἐν τῷ εὐαγγελίῳ τοῦ ὄρθρου», φ. $177^β$. —η') «Τὰ φωταγωγικὰ τῶν η' ἤχων», φ. $178^β$.—θ') «Περὶ τῆς τῶν Ἀρμενίων νηστείας», φ. 179.—ι') «Διάταξις τοῦ ὅλου ἐνιαυτοῦ», φ. $179^β$.—ια') «Τὰ ἀντίφωνα τῶν δεσποτικῶν ἑορτῶν», φ. 181. Καὶ αὗται μὲν αἱ τοῦ τυπικοῦ διαιρέσεις· ἔχει δὲ τοῦτο ἐν ταῖς ᾤαις καὶ πολλὰ σχόλια, ὧν ἓν ἐπ' ὀνόματι φέρεται «χυροῦ Μακαρίου τοῦ Γαράρη», τὸ περὶ τῆς ἀκολουθίας Ἰωάννου τοῦ Χρυσοστόμου (ὅρα φ. $28^β$). Σημειωτέον ἔτι, ὅτι ἔνδον τῶν πινακίδων ὑπάρχει μέρος εὐαγγελίου τῆς ια' ἑκατ. ἐκ δύο φύλλων μεμβρανίνων, ὧν τὸ κείμενόν ἐστι δίστηλον.

629. Τεῦχος ἐκ χάρτου συνιστάμενον ἐκ φύλλων 159, μήκους 0,175, πλάτους 0,17.—α') Ἐκλογὴ τοῦ Ψαλτηρίου παντὸς ὑπὸ Νεοφύτου τοῦ Πελοποννησίου· «μετεγράφη δὲ χειρὶ τοῦ ἐλαχίστου Χρυσάνθου ἱερομονάχου Πελοποννησίου τῷ ,αψϟη' ἔτει καὶ μηνὶ νοεμβρίου» [1798], φ. 1-39.—β') «Εὐχαὶ θεολογικαὶ καὶ κατανυκτικαὶ συναχθεῖσαι παρὰ Θηκαρᾶ μοναχοῦ, τοῦ ποιήσαντος τοὺς θείους ὕμνους τοῖς κατ' ἰδίαν βουλομένοις ἀσκῆσαι· ἐγὼ δὲ μετέγραψα ταύτας μόνον, ὡς ἐδυνήθην, τὰς πλείους ἀπολιπών», φ. 42-112.

630. Ὡρολόγιον καὶ εὐχολόγιον ἐκ χάρτου βαμβακεροῦ, γραφὲν ἔτει 1402-ῳ καὶ συνιστάμενον ἐκ φύλλων 339, βεβλαμμένον δὲ σφοδρῶς ὑφ' ὕδατος.—α') Ψαλμοί τινες, φ. 1-15.—β') Κόσμημα κόκκινον, ὅπερ ἔχει κάτωθεν ἐπιγραφὴν τοιαύτην· «Ὁρολόγιον σὺν Θεῷ ἁγίῳ περιέχων τὴν ἅπασαν ἀκολουθείαν τοῦ νυχτἶμέρου. τῇ δἶατάξει ἑπομένη τοῦ ἱεροσολῦμἶτικοῦ τῦπἶκοῦ», φ. 16-339 «[Ἐγράφ]θιν τὸ παρὸν βιβλίον [διὰ χε]ιρὸς κάμοῦ τοῦ ἐλαχί[στου] καὶ ἁμαρτωλοῦ Βαρνά[βα] μοναχοῦ τοῦ ἀπὸ τῆς - - - - ς: — - - - - [Μηνὶ μ]αΐω κη', ἔτους ,ςϠ [ι', ἰνδ] ι'» κτλ.

631. Θηκαρᾶς ἐκ χάρτου γραφεὶς ἔτει 1572-ῳ καὶ φύλλα συναριθμῶν ἤδη 250, μήκους 0,17, πλάτους 0,12. Κατὰ σελίδα γραμμαὶ 20 (0,138×0,095). Ἐν τῇ ἀρχῇ φύλλα συνυπῆρχεν ἐξ ἀρχῆς πέντε, ἃ νῦν ἐλλείπει· ταῦτα δ' ἀνεπλήρωσεν Ἰωαννίκιος

ὁ Σαβαΐτης (14 ἰουνίου 1756) αὐξήσας εἰς ἑπτά· ἀνεπλήρωσε δὲ καὶ τρία ἕτερα φύλλα (194-196). Πορφύριος δὲ ὁ Οὐσπένσκης ἔλαβεν ἐκ τούτου τοῦ κώδικος φύλλα δύο, ἅπερ ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη (ἀριθ. 464. Отчетъ за 1883 г., σ. 154)· ἐν δὲ τῷ τελευταίῳ φύλλῳ τοῦ κώδικος ὁ καλλιγράφος ἔγραψε τὸ σημείωμα τοῦτο· «Τέλος, ἡμέρα Σαββάτω, ὥρα γ', ἐν μηνὶ ὀκτωβρίω, εἰς τὰς ιη' [τ]οῦ ἁγίου ἀποστόλου, καὶ εὐαγγελιστοῦ, Λουκᾶ. Ἐπὶ ἔτους, ͵ζπα', ἰνδ. α'».

632. Ἐκλογὴ τοῦ Ψαλτηρίου παντὸς ὑπὸ Νεοφύτου τοῦ Πελοποννησίου. Ἀντίγραφον ἐντύπου βιβλιαρίου τύποις ἐκδοθέντος ἐν Βουκουρεστίῳ ἔτει 1769-ῳ, συνιστάμενον δ' ἐκ φύλλων 24, μήκους 0,18, πλάτους 0,12.

633. Τεῦχος ἀκέφαλον καὶ ἀτελὲς ἐκ χάρτου βαμβακεροῦ, γραφὲν τῇ ιδ' ἑκατονταετηρίδι· φύλλα δὲ περικλείει 243, μήκους 0,175, πλάτους 0,25. Κατὰ σελίδα γραμμαὶ 19 (0,122×0,08).— Πατερικὸν εἰς τρία μέρη διῃρημένον. Ἡ τοῦ προλόγου ἀρχὴ λείπει· ἄρχεται δὲ τὸ κείμενον αὐτοῦ νῦν ὧδε· « - - - τε αὐτῆς τῆς σωτηριώδους θυσίας καὶ περὶ τῶν ταύτην τελούντων ἱερέων, καίτοι καὶ τῶν μεταλαμβανόντων αὐτῆς· πλὴν πολλαὶ καὶ ἄλλαι διδασκαλίαι τῶν ἀναγκαιοτάτων ἀναμεμιγμέναι εἰσὶν ταῖς τρισὶ ταύταις ὑποθέσεσι δι' ὅλων σχεδὸν τῶν κεφαλαίων· ὁ οὖν ἐπιμελῶς ταῦτα ἀναγνοὺς πολλὰ σὺν Θεῷ ὠφεληθήσεται». Φύλ. 1 «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν κεφαλαίων· ὁ ἀναγινώσκων νοείτω. Πάντες προφητῶν καὶ ἀποστόλων διδάσκουσιν ἡμᾶς» κτλ.—Φ. 6 «Περὶ μνήμης θανάτου». —Φ. 104 «Τέλος τῶν περὶ θανάτου κεφαλαίων καὶ ἀρχὴ τὰ περὶ εὐχῆς διαλαμβάνοντα κεφάλαια», ὧν τὸ τέλος ἐν φύλλῳ 167-ῳ «Τέλος τῶν περὶ εὐχῆς κεφαλαίων: Ἐφραίμ: † Αἱ παρακλήσεις σου εὔφρανον τὴν ψυχήν μου». — Φ. 168 «Ἀρχὴ τῶν κεφαλαίων τῶν διαλαμβανόντων περὶ τῶν ἁγίων καὶ φρικτῶν μυστηρίων». Καὶ οὕτω μὲν ἐπιγράφεται τὰ μέρη τῆς βίβλου· ταῦτα δὲ συνηρμόσθη διὰ τεμαχίων διαφόρων ἀρχαίων συγγραφῶν, οἷον τοῦ λεγομένου Γεροντικοῦ καὶ τοῦ Λειμωναρίου, Νείλου ἀββᾶ, Μαξίμου τοῦ ὁμολογητοῦ, Κυρίλλου Ἱε-

ροσολύμων, Διαδόχου, Ἰωάννου Χρυσοστόμου, Γρηγορίου τοῦ Θεολόγου, ἀββᾶ Ἡσαΐου, ἀββᾶ Ἀμμωνᾶ, Ἐφραὶμ τοῦ Σύρου, Ἀθανασίου Ἀλεξανδρείας, Βασιλείου Καισαρείας, ἀββᾶ Μωυσέως, ἀββᾶ Δωροθέου, Ἀνδρέου Καισαρείας, Μακαρίου Αἰγυπτίου, Βαρσανουφίου, Γεωργίου Πισίδου, Ἰσιδώρου Πηλουσιώτου, Γεωργίου Ἁμαρτωλοῦ (μοναχοῦ), Γρηγορίου Διαλόγου, Θεοδώρου Στουδίτου, Ἰωάννου Καρπαθίου, Ἰουστίνου φιλοσόφου, Ἰωάννου τοῦ τῆς Κλίμακος, Ἀναστασίου Ἀντιοχείας, ἀββᾶ Κασσιανοῦ, Μαγνεντίου (ἐκ τῶν πρὸς Ἕλληνας ἀποκρίσεων αὐτοῦ), Διονυσίου Ἀρεοπαγίτου, Διονυσίου Ἀλεξανδρείας καὶ Εὐαγρίου· ἔστι δ' εὑρεῖν ἐνιαχοῦ καὶ τεμάχη βίων ὁσίων τινῶν ἀνδρῶν, οἷον Παχωμίου καὶ Λουκᾶ τοῦ νέου.

634. Ψαλτήριον ἀκέφαλον, ἀριθμοῦν ἤδη φύλλα στιλπνοῦ χάρτου 393, μήκους 0,18, πλάτους 0,122· ἐγράφη δὲ φιλοκάλως ἀμφὶ τὴν ἀρχὴν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ κατὰ σελίδα γραμμὰς ἀριθμεῖ τρισκαίδεκα (0,095 × 0,06)· ἄρχεται δὲ τὸ κείμενον αὐτοῦ νῦν ὧδε· « - - - ὅτι ἔκλιναν εἰς σὲ κακά· διελογίσαντο βουλάς» κτλ. Τὸ τέλος ἐλλείπει, τοῦ κειμένου λήγοντος εἰς τὰς ἐφεξῆς λέξεις ἕκτης ᾠδῆς· «Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας».

635. Τεῦχος ἐκ χάρτου στιλπνοῦ, φύλλα συναριθμοῦν 271, μήκους 0,18, πλάτους 0,115. Κατὰ σελίδα γραμμαὶ 21 (0,12 × 0,065). Λεπτοτάτη γραφὴ τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, χαριεστάτη δὲ τὴν ὄψιν, ἀναδεικνύουσα τὸν αὐτῆς γραφέα μεγάλης ὑπομονῆς ἔμπλεων καὶ τεχνίτην οὐχ ἧττον ἐπιτηδειότατον ἐν τῇ τέχνῃ τοῦ συντετμημένῳ τρόπῳ γράφειν ἁπάσας τὰς λέξεις· διὸ καὶ τὸν κώδικα τοῦτον ἐγὼ λόγου πολλοῦ νομίζω ἄξιον εἶναι καὶ μελέτης οὐχ ἥκιστα παλαιογραφικῆς ὅλως ἰδίας· ἕνεκα δὲ παραδείγματος ἐθέμην ἐνταῦθα πίνακα φωτοτυπικόν, ἐν ᾧ σελίδες ἀπεικάζονται δύο (φ. $81^{β}$—$92^{α}$)· πλὴν ἀλλὰ καὶ τούτου τοῦ κώδικος ἔκοψε φύλλα δύο ἢ τέσσαρα Πορφύριος ὁ Οὐσπένσκης, ἅπερ ἔχει νῦν ἴσως ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη· ἣν δὲ

[illegible] Νο[illegible] [illegible] Ἑρμηνεία [illegible] Καισαρείας [illegible] Ματθαίου [illegible] Παύλου [illegible] Πηλουσιώτου [illegible] Δωρόθεου [illegible] φιλοσόφου [illegible] Καισαρείας [illegible] Πατριαρχῶν [illegible] Παχωμίου [illegible]

[illegible] χάρτου βομβυκίνου [illegible] ὕψος 0.18. πλάτος 0.122 [illegible] τῆς [illegible] ἑκατονταετηρίδος [illegible] (0.095) [illegible] ὅτι ἐλλείπει [illegible]

[illegible] Τὸ τέλος ἐλλείπει [illegible] Εὐλογεῖτε [illegible] τοῦ Κυρίου ὑμνεῖτε καὶ [illegible]

635. [illegible] χάρτου στιλπνοῦ, φύλλα [illegible] ὕψος 0.18. πλάτος 0.115. Κατὰ [illegible]

[illegible] Λεπτοτάτη γραφὴ τῆς πεντεκαιδεκάτης [illegible] χαριεστάτη δὲ τὴν ὄψιν, ἀναλαμβάνουσα [illegible] ἐρυθρῶν ἀρχικῶν γραμμάτων, ἐπιγραφῶν καὶ τεχνικῶν [illegible] ἐν τῇ [illegible] τοῦ [illegible] γράφειν [illegible] διὸ καὶ [illegible] κώδικα τοῦτον ἔργῳ [illegible] καὶ [illegible] πολυτελείας [illegible] ἐπεξηγηματικῶν [illegible] (φ. 81—92) [illegible] δύο ἢ τέσσαρα [illegible] ἔχει νῦν ἴσως ἡ [illegible]

Σελ. 624.

Κώδ. Σαβαϊτικὸς τῆς ιε' ἑκατ., ἀριθ. 635, φ. 81β-82α.

Дозволено цензурою 15 Января 1892 г.

Фототипія Н. Индутнаго. Сергіевская ул., №20.

ταῦτα πρότερον ὀπίσω τοῦ 241-ου φύλλου καὶ τὴν ἀρχὴν ἐμπεριεῖχε κεφαλαίου (ρλη') περὶ τοῦ πῶς δεῖ τὴν θείαν ἐπιτελεῖν λειτουργίαν. Καὶ οὕτω μὲν οὖν περὶ τοῦ χάσματος· αὐτὸ δὲ τὸ τεῦχος ἦν ἐκ παλαιοῦ τῆς μονῆς τοῦ ὁσίου Σάβα, καθάπερ ἐμφαίνει σημείωμα τῆς ις' ἑκατονταετηρίδος, ὅπερ ἔχει ὧδε (φ. 271)· «† Τὸ παρὸν τυπικὸν ὑπάρχει τῆς θείας καὶ ἱερᾶς καὶ βασιλεικῆς μεγάλης λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου, σὺν τῶν ἀρχαγγέλων Μιχαὴλ καὶ Γαυριὴλ ἐν τῷ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, καὶ μηδεὶς τολμήσει κτλ. (διὰ μονοκονδυλίας) † Ὁ καθηγούμενος τῆς μεγάλης λαύρας τοῦ ἁγίου Σάββα Ἀθανάσιος ἱερομόναχος καὶ οἱ ἀδελφοὶ ἐν Χριστῷ». Ἡ δὲ τοῦ κώδικος ἐπιγραφὴ τοιαύτη τις ἐστίν (φ. 6)· «Τυπικὸν τῆς ἐκκλησιαστικῆς διατάξεως τῆς ἐν Ἱεροσολύμοις ἁγίας ἐκκλησίας λαύρας τοῦ ἁγίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα· αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν τοῖς λοιποῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίοις μοναστηρίοις». Ἡ τοίνυν ἐπιγραφὴ τοῦ κώδικος ταὐτὸν εἶναι τυπικοῖς ἄλλοις ἐμφαίνει τὸ τυπικὸν τοῦτο· ὅπερ οὐκ ἀληθές· διήρηται γὰρ εἰς κεφάλαια ρνε', ὧν ἡ ὕλη διάφορός ἐστι πολλαχοῦ τυπικῶν οὐκ ὀλίγων· καὶ τὰ μὲν κεφάλαια—τούτων δ' ἓν ἔχει τὸ ὄνομα Μάρκου μοναχοῦ—οὔτε κατ' ἴδιόν ἐστι τόπον ἠθροισμένα, καθάπερ ἐν τοῖς εἰθιμένοις τυπικοῖς τἀπορούμενα Μάρκου Ἱδροῦντος, οὔτε πάλιν ὕλην ἐν πᾶσιν οἵαν αὐτὰ ταῦτα τἀπορούμενα περιέχει· ἀλλὰ ταῦτα πάντα τὰ κεφάλαια κετέμιξεν ὁ τοῦ τυπικοῦ συντάκτης, ὡς ἔοικε, τῇ καθ' αὑτὸ παλαιᾷ ὕλῃ τοῦ σαβαϊτικοῦ καλουμένου τυπικοῦ, παρενείρας αὐτῇ παλαιστινιακῶν τε καὶ βυζαντιακῶν τυπικῶν ὕλας, ὥστε τὸ βιβλίον ἐν συνόλῳ φαίνεσθαι μὲν εἶναι τυπικὸν ἰδιάζον, ἐποχῆς δὲ πάνυ μεταγενεστέρας· δυσαπόδεικτον δὲ τὸ βεβαιώσειν, εἰ τὸ τυπικὸν τοῦτο κοινῆς ἕνεκα χρήσεως ἐγένετο, ἢ διὰ μονήν τινα καθωρισμένην· ἐν γὰρ τόπῳ τινὶ (φ. 86β), λόγου γιγνομένου περὶ τῆς ᾀσματικῆς ἀκολουθίας, ἣ ψάλλεται τῇ θ' τοῦ δεκεμβρίου μηνὸς ὁ τοῦ τυπικοῦ συντάκτης τοῦτο προστίθησι· «Δεῖ εἰδέναι ὅτι ἠπόρηταί μοι τίνος χάριν ἐνταῦθα ἡ τῶν ἐγκαινίων ἀκολουθία ἔγκειται. Μήποτε οὖν

ἔτυχε γενέσθαι εἰς τοῦτο κατ' ἐνιαυτόν, τοῦ ναοῦ ἐκείνου τῆς μονῆς δηλαδὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ ἰνδρυθέντος [sic] κατὰ τὸ ὄρος τοῦ Κουτζουβάδ(ου), ἐν ἔτει ,ςφϟθ' (1090 - 1091), καὶ ἐκ τούτου ἐτυπώθη ψάλλεσθαι κατ' ἐνιαυτὸν ἡ τοιαύτη ἀκολουθία; καὶ εἰ τοῦτο, οὐκ ἐπάναγκες τελεῖσθαι ταύτην παρ' ἡμῶν». Καὶ ἀλλαχοῦ (φ. 163)· «κδ' [μαΐου]· τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θεοφόρου Συμεὼν τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ Θαυμαστῷ ὄρει, καὶ τῶν ἁγίων μαρτύρων Μελετίου τοῦ στρατηλάτου καὶ Ἰωάννου καὶ Στεφάνου ἀκοιμήτ(ων)· ἣν περέλαβεν ἑορτάζειν ἐν τῇ ἁγίᾳ τοῦ Χρυσοστόμου μονῇ καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις, διὰ τὸ κεκτῆσθαι αὐτὸν προστάτην». Τὸ αὐτὸ μέντοι τυπικὸν ἔχει καὶ τοῦτο (φ. 237β)· «Ἰστέον ὅτι κατὰ τὴν παροῦσαν ἑβδομάδα (τὴν πρὸ τῆς Ἀναλήψεως) ἐν τῷ τοιούτῳ ναῷ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος μετὰ τὸν ἑσπερινὸν καὶ τὸν ὄρθρον λιτανεύοντες ἀπολύομεν· ὀφείλομεν δὲ ψάλλειν μετὰ τοῦ ἑσπερινοῦ λιτανείαν καθ' ἑκάστην ἑσπέραν δι' ὅλης τῆς τοιαύτης ἑβδομάδος, κανόνα τριαδικὸν κατ' ἦχον Θεοφυλάκτου μητροπολίτου Σμύρνης». Καὶ ἀλλαχοῦ (φ. 240α)· «Δεῖ γινώσκειν ὅτι - - - ἐν τῷ μεγάλῳ ναῷ λειτουργία οὐ γίνεται, ἀλλ' ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος, εἴτε ἐν τοῖς εὐκτηρίοις, καθὰ ἐν ἑτέροις περὶ τούτων διεταξάμεθα». Δύο τοίνυν εἰδήσεις ἐναντιοφανεῖς εἰσιν ἐνταῦθα περὶ τῆς ἀρχῆς τοῦ τυπικοῦ τούτου, ἡ μὲν ὅτι μονῆς τινος ἐν Κύπρῳ, ἡ δ' ὅτι ναοῦ τινος ἦν ἐπ' ὀνόματι τετιμημένου τῆς ἁγίας Τριάδος· ὅθεν οὐδὲν ἕτερον ἴσως εἰκάζειν ἔξεστιν, ἢ ὅτι τὸ τυπικὸν ἔχει κυπριακὴν ἁπλῶς ἀρχήν, ἢ ὅτι κοινόν ἐστι καὶ τυπικῶν ἑτεροίων ἐν αὐτῷ κείμενα κατέμιξεν ὁ συντάκτης εἰκῇ. Ἔστι δὲ λόγου ἄξιος ὁ κῶδιξ καὶ κατὰ τοῦτο, ὅτι περικλείει ᾄσματα πολυάριθμα τύποις ἀνέκδοτα, ὅ ἐστι τροπάρια κοντάκια καὶ οἴκους, ὧν ἐγὼ τὰ χαριέστερα μελέτης ἰδίας ἕνεκεν ἀντέγραψα· ἔστι δ' οὐχ ἧττον ἀξιοσημείωτος, ὅτι καὶ τὸ συναξάριον αὐτοῦ μνήμας ἐμπεριέχει πολλῶν ἁγίων ἀνδρῶν, ἀσυνήθεις ἡμῖν ἤδη· οἷον τῇ β' τοῦ σεπτεμβρίου μηνὸς ἐτελεῖτο μνήμη Παύλου τοῦ νέου· τῇ κε' Λαζάρου τοῦ θαυματουργοῦ· τῇ ιβ' μαρτίου Θεοφάνους

τοῦ ποιητοῦ. Μελετίου Ἀντιοχείας καὶ Ἀντωνίου Κωνσταντινουπόλεως· τῇ ιγ' τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ὁσίων Νικηφόρου καὶ Μαρτινιανοῦ· τῇ κγ' Κυρίλλου ἐπισκόπου Κατάνης· τῇ κη' Στεφάνου τοῦ θαυματουργοῦ· τῇ λα' μνήμη τῶν μαρτύρων Σαβίνου, Θεοφίλου καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων· τῇ ιη' ἀπριλίου μνήμη τοῦ ἱερομάρτυρος Ἰακώβου πρεσβυτέρου· τῇ ιζ' μηνὸς ἰουλίου μνήμη τῆς ἀνακομιδῆς τοῦ λειψάνου Λαζάρου θαυματουργοῦ τοῦ ἐν τῷ Γαλησίῳ· τῇ κε' μηνὸς αὐγούστου μνήμη Γενναδίου καὶ Ἰωάννου (Κωνσταντινουπόλεως) ἀρχιεπισκόπων.—Τὸ τυπικὸν ἔχει προσέτι καὶ βιβλιογραφικὰς εἰδήσεις· οἷον τῇ κβ' μηνὸς ἰουλίου, τελουμένης ἑορτῆς εἰς ἀνάμνησιν Μαρίας τῆς Μαγδαληνῆς, «ἀναγινώσκεται καὶ τὸ ὑπόμνημα τῆς ἁγίας παρθένου, συγγραφὲν παρὰ τοῦ Ξανθοπούλου κυροῦ Νικηφόρου» [Migne τ. 147, σ. 540]· ἑτέρας δὲ παρεμφερεῖς εἰδήσεις ἔχει τὸ τυπικὸν ἐν τῇ διατάξει τῆς τριακοστῆς ἰανουαρίου, ἔνθα γράφεται ὅτι συντάκτης τῆς ᾀσματικῆς ἀκολουθίας τῶν τριῶν ἱεραρχῶν ἐστιν Ἰωάννης ὁ Εὐχαΐτων καὶ ἕτεροί τινες· τὸ δὲ δοξαστικόν, οὗ ἡ ἀρχὴ «Σαλπίσωμεν ἐν σάλπιγγι», ὀνομάζει «μεταφραστικόν· ποίημα Νικηφόρου τοῦ Ξανθοπούλου»· μέμνηται δὲ καὶ τοῦ ἐγκωμίου Ἰωάννου τοῦ Εὐχαΐτων, ὅπερ ἐν ταῖς ἐκκλησίαις ἀνεγίνωσκον «εἰς δόσεις δύο· τὰς δὲ λοιπὰς ἀναγνώσεις ποιοῦμεν εἰς τὴν σύναψιν τῶν βίων τῶν ἁγίων, οὓς συνεγράψατο ὁ κυρὸς Νικηφόρος ὁ Ξανθόπουλος, ποιοῦντες καὶ αὐτὰς δόσεις δύο· ἀντὶ δὲ πολυελέου ψάλλομεν τὸν Ἄμωμον μετὰ τῶν μακαρισμῶν τοῦ αὐτοῦ Ξανθοπούλου, μεθ' ὃν κάθισμα εἰς τὴν αὐτὴν ἀνάγνωσιν». Καὶ τοιοῦτος μὲν ὁ καθόλου τοῦ τυπικοῦ χαρακτήρ· ἐξαιρέτως δὲ κεφάλαιά τινα σημειοῦμαι. Φύλλ. 247 κεφάλαιον ρλθ' περὶ τοῦ «πῶς δεῖ μνημονεύειν εἰς τὰ μοναστήρια ἑσπέρας καὶ πρωΐ». Φύλλ. $247^β$ κεφάλαιον ρμ', οὗ ἡ ἐπιγραφή· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἐπισκόπου Ἱεροσολύμων ἱστορία ἐκκλησιαστικὴ καὶ μυσταγωγία περὶ ἐκκλησίας»· κείμενον πληρέστερον τοῦ ἐν τῇ ἐκδόσει Thomas Milles S. Cyrilli Hieros. opera. Oxoniae 1703, σ. 325-331). Φύλλ. $253^β$ κεφ. ρμα' «Ἐκ τῶν ἐπιστολῶν Νικήτα μοναχοῦ τοῦ Στη-

*

θάτου πρὸς Φιλόθεον καὶ ἡγούμενον, διὰ ποῖα ἐγκλήματα ὁ ἱερεὺς ἀφορίζεται καὶ διὰ ποῖα καθαίρεται». Φ. 264α κεφ. ρν' περὶ κατασκευῆς θυμιάματος. Φ. 264β κεφ. ρνβ' «Αἱ ἐναντίαι ἡμέραι τοῦ ὅλου ἐνιαυτοῦ, ἃς ἐφανέρωσεν ὁ Θεὸς Σεδρὰχ τῷ ἀρχιερεῖ αὐτοῦ, ἵνα ταύτας δήλας ποιήσῃ τοῖς υἱοῖς αὐτοῦ». Φ. 264β κεφ. ρνγ' «Ἡ ἑρμηνεία τῶν Κυριακῶν τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένων ἀπὸ τῆς Κυριακῆς τῇ α' τῶν ἁγίων νηστειῶν». Φ. 269 «Ὅπως γίνεται ἡ τοῦ μεγάλου μύρου κατασκευὴ ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως, ἐντὸς τῆς μεγάλης τεσσαρακοστῆς». Ἀρχ. «Συνάγοντες τὰ εἴδη καὶ ἀπὸ τὴν Δευτέραν τῶν Βαΐων κοπανίζονται» κτλ. Πάντων δὲ τῶν κεφαλαίων ἀναγραφὴ πληρεστάτη κεῖται ἐν τῇ ἀρχῇ τοῦ κώδικος, ἐπιγραφὴν ἔχουσα τὸ «Πίναξ ἄριστος τῆς παρούσης πυκτίδος» (φ. 1-5).

636. Ψαλτήριον τῆς ιε' ἑκατ., σονιστάμενον ἐκ φύλλων χάρτου 237, μήκους 0,171, πλάτους 0,121· καὶ ἐν μὲν τῇ ἀρχῇ ὑπάρχουσιν ἐπιγράμματα τρία καὶ τὸ σύμβολον τῆς πίστεως ἀραβικοῖς γράμμασι· ἐν δὲ τῷ τελευταίῳ φύλλῳ τινὰ πρόσθετα σημειώματα Γαλακτίονος Ἱεροσολυμίτου, ἅπερ ἔχει ὧδε· «Ἔτους ‚ζξα'—† ἐν μηνὶ ἰουνίῳ ις' (1552) ἐδιάβηκεν ὁ βασιλέας Ἰωβάνης πάσης Ῥωσσίας καὶ ἐκτυπήθη μὲ τὸν Κρίμη. — Τὸ αὐτὸν ἔτος τοῦ ὀκτωβρίου εἰς τὰς κς' τοῦ μεγάλου Δημητρίου ἐγέννησεν υἱὸν ὀνόματι Δημήτριον». Καὶ πάλιν ὀπίσω τοῦ αὐτοῦ φύλλου· «† ψλκθⳁλντθο | ψβⳁϟλν, χκθⳁ | υεϟ ψλχ ζθοθπ | ψελν, λω· ἐπκλ | οελω, |θοθωλνλω| | ϟεⳁλχωθοβξ» = «Τὸ παρὸν Ψαλτήριον ὑπάρχει τοῦ Γαλακτέονος ἐκ πόλεος Ἱερουσαλήμ». Ἔνδον δὲ τῆς πρώτης πινακίδος ὑπάρχει τοῦτο· «ΪѠ͂Η CΗΑ͂ ΙΜЄФΗ ΑΒΟΗΒΔΑ | Ѡ͂ ΒΟΛΟCЄCΗ ΗЅΜΗ͂ΗC Η͂ | ΜΟCCC͂D».

· **637.** Φιλίππου μοναχοῦ Διόπτρα ἀκέφαλος, ἧς ἡ ἀρχή· «καὶ ἄκουσον κυρία μου καὶ πρόσχες μου τοῖς λόγοις· | πολλῶν γὰρ ἤκουσα ποτὲ λεγόντων πρὸς ἀλλήλους» κτλ. Σχόλια παλαιὰ καὶ μεταγενέστερα ἐξ ἀποσπασμάτων Ἰωάννου Δαμασκηνοῦ, Γρηγορίου Νύσσης, Θεοδωρίτου κτλ. Φ. 180 «Ἐκ τῆς βίβλου τοῦ μακαρίου Πέτρου ἀσκητοῦ καὶ ἡσυχαστοῦ τοῦ Δαμασκηνοῦ λόγος περὶ

ἡσυχίας καὶ τίνα δεῖ μετέρχεσθαι τὸν κατὰ Θεὸν ἡσυχάζοντα ἐν τῷ ἡσυχαστηρίῳ αὐτοῦ». Ἀρχ. «Ἡ ἡσυχία ὡς ἀρχὴ καθάρσεως ψυχῆς» κτλ. — Φ. 216 - 224 ἀποσπάσματα βίων τῶν ὁσίων Ἀρσενίου, Ἰωάννου τοῦ ἐλεήμονος καὶ Εὐθυμίου. — Φ. 225 «Ὅτι δεῖ τὸν ὑπὸ ἐπιτίμιον ὄντα μὴ μεταλαμβάνειν ἐν τῇ θείᾳ συνάξει». Φ. 226 τεμάχη Γρηγορίου τοῦ Διαλόγου καὶ βίων Ἐφραὶμ τοῦ Σύρου καὶ Ἰωάννου τοῦ Καλυβίτου. Τεῦχος τῆς ιγ' ἢ τῆς ιδ' ἑκατ. ἐκ φύλλων βαμβακεροῦ χάρτου 231, μήκους 0,155, πλάτους 0,13.

638. Τεῦχος τῆς ις' ἑκατ. ἐκ φύλλων χάρτου 390, μήκους 0,162, πλάτους 0,112.—«Ἀρχὴ σὺν Θεῷ ὡρολόγιον περιέχον τὴν πᾶσαν ἀκολουθίαν τῶν Ἱεροσολύμων»· περιέχει δὲ καὶ βίον τοῦ ὁσίου Ἀλεξίου καὶ λόγον Ἰωάννου τοῦ Χρυσοστόμου «περὶ ἡσυχίας καὶ νηστείας καὶ κατὰ ὀμνυόντων καὶ περὶ ἐλεημοσύνης καὶ ἐπιστροφῆς»· πρὸς δὲ τῷ τέλει τοῦ βιβλίου κεῖται «εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον μεσιτεύουσαν».

639. Ψαλτήριον ἀκέφαλον τῆς ιδ' ἑκατ. συνιστάμενον ἐκ φύλλων χάρτου 189, μήκους 0,17, πλάτους 0,125· ἄρχεται δὲ ὧδε· «κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ (ψαλμ. β', 2). Ἐν τῷ τελευταίῳ φύλλῳ σημείωμα λατινιστὶ γεγραμμένον· τὰ δὲ ἀρκτικὰ κεφαλαιώδη γράμματα πολλῶν ψαλμῶν ἔγραψε ζωγράφος, ὡς φαίνεται, Λατῖνος, ὃς καὶ τὴν ἀρχὴν ἑκάστου ψαλμοῦ λατινικοῖς γράμμασιν ἀντιπαρέθετο, τὰ κεφαλαιώδη γράμματα χρωματίζων· ἐξ ὧν μνήμης ἰδίας ἄξιόν ἐστι τὸ Τ τοῦ κγ' ψαλμοῦ τὸ παριστῶν νεανίαν ξύλινον ἐπ' ὤμων ἔχοντα σήμαντρον, ἐν δὲ τῇ δεξιᾷ χειρὶ κρουστῆρα τοῦ σημάντρου· λόγου δὲ ἄξιόν ἐστι καὶ τὸ Π τοῦ κζ' ψαλμοῦ, τὸ παριστῶν Λατῖνον μοναχόν, καὶ τὸ Υ τοῦ κθ' ψαλμοῦ, ὅπερ ἀπεικάζει Φράγκον ἱππότην ἐπὶ κεφαλῆς ἔχοντα λεκάνην ἁγιασμοῦ καὶ σταυρὸν ἐν αὐτῇ.

640. Ξενοφῶντος Κύρου παιδεία μετὰ βίου τοῦ συγγραφέως ἐκ τῆς βίβλου Διογένους τοῦ Λαερτίου. Ἐπιμελὲς ἀντίγραφον τῆς ιη' ἑκατ. συνιστάμενον ἐκ φύλλων χάρτου 487, μήκους 0,168, πλάτους 0,119.

641. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1725-ῳ ὑπὸ Ἀνθίμου ἱερομονάχου τοῦ Μωραΐτου· σύγκειται δ' ἐκ φύλλων 286, μήκους 0,17, πλάτους 0,112.—α') Νομοκάνων ἐκ κεφαλαίων ρν', φ. 1-121.—β') Στίχοι, ὧν ἡ ἀρχή· «Ἄνθρωπε, πῶς ἀποκοτᾷς τὸν κόσμον καὶ ἁμαρτάνεις. | ὅπου στὸν φοβερὸν κριτὴ μέλλει καὶ σὺ νὰ πάγῃς», φ. 122.—γ') «Τροπάρια κατανυκτικὰ καὶ εὐχαί», φ. 135β. — δ') Ἐπιστολὴ Ἀνθίμου ἱερομονάχου τοῦ Μωραΐτου κρυπτογραφικὴ πρὸς Χρύσανθον μοναχὸν ἐκ Μωρέως καὶ καμαράσην τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων, φ. 143β - 144β.—ε') Εὐχαὶ διάφοροι, φ. 145 κέ.

642. Ἀνθολόγιον τῶν δώδεκα μηναίων ἐκ φύλλων χάρτου 574, μήκους 0,162, πλάτους 0,11· ἐγράφη δὲ (διὰ χειρὸς Ἰωὴλ) μεταξὺ τῶν ἐτῶν 1565 καὶ 1583, καθάπερ ὁμολογεῖ τὰ σημειώματα ταῦτα: Φύλλ. 53α «† Τέλος ὧδε κατὰ αὔγουστον κθ' ἡμ(έρᾳ) γ' τοῦ ,ζπθ' ἔτους». Φ. 139β «† Τέλος ὧδε κατὰ μῆνα ὀκτώβριον, ἡμ(έρᾳ) ζ' τοῦ ,ζϟ' ἔτους ὀκτωβ. ιδ'». Φ. 177-178 «† Τέλος ὧδε κατὰ μῆνα σεπτεβρ. κη' τοῦ ,ζϟα' ἔτους, ἡμ(έρᾳ) ς'». Φ. 218β «Τέλος ὧδε νοεμβρίῳ θ' ἡμ(έρᾳ) ς'. ,ζϟα' ἰνδ. ια'». Φ. 425β μετὰ τὴν ᾀσματικὴν ἀκολουθίαν Μάρκου τοῦ ἀποστόλου· «Ἐτελειώθη ἡ παροῦσα δέλτος τοῦ ἀποστόλου Μάρκου τοῦ εὐαγγελιστοῦ κατὰ μῆνα ἀπρίλλ(ιον) ια' τῇ δ' τῶν Βαΐων καὶ τοῦ Λαζάρου, τοῦ ,ζογ' ἔτους, ἰνδι(κτιῶν)ος η', ἐντὸς τοῦ Σταυροῦ τῶν Ἰβήρων, ἤτοι τῶν Ἱεροσολύμων, ὥρα γ' τῆς ἡμέρας». Φ. 463-464 «† Ἔλαβε τέλος ἡ ἀκολουθία τῶν Ἀποστόλων, κατὰ μῆνα ἰούνιον κη', ἡμ(έρᾳ) δ' τοῦ ,ζοη' ἔτους, ἰνδ. ιγ', ἐντὸς τοῦ Πατριαρχ(είου) τῶν Ἱεροσολύμων, ὥρα θ' τῆς ἡμέρας».—Φ. 533β «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ μακαριστάρια εἰς τὴν ἁγίαν καὶ πάνσοφον παρθένον μεγαλομάρτυρα Αἰκατερίναν, ποιηθέντα ὑπὸ τοῦ αὐτοῦ πρωτοπαπᾶ (Νικολάου) τοῦ Μαλαξοῦ, ὧν ἡ ἀκροστιχίς ἐστιν αὕτη διὰ στίχων ἰαμβικῶν: Μαρτυροπανσόφῳ τε Αἰκατερίνᾳ» κτλ.—Φ. 568β «Ἀρχὴ σὺν Θεῷ διάταξις τοῦ Διακονικοῦ, ἤγουν πῶς ὑπηρετεῖ ὁ διάκονος μετὰ τοῦ ἱερέως ἔν τε τῷ μεγάλῳ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ, συντε-

θεῖσα καὶ τυπωθεῖσα παρὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου». Ἀρχ. «Κεφάλαιον α'. Ἰστέον ὅτι ὁ διάκονος οὐδέποτε ἄλλοτε ἐνδύεται» κτλ. Τέλος· «καὶ λεγομένου παρὰ τῶν ἀδελφῶν τοῦ Εὐλογήσω τὸν Κύριον, εἰσέρχεται ὁ ἱερεὺς ἅμα τῷ διακόνῳ - - - - ».

643. Ψαλτήριον ἀκέφαλον καὶ ἐλλιπέστατον, γραφὲν μεταξὺ τῆς ιβ' καὶ τῆς ιγ' ἑκατ. σύγκειται δ' ἐκ φύλλων μεμβρανίνων 210, μήκους 0,165, πλάτους 0,126. Κατὰ σελίδα γραμμαὶ 19 ἢ 20 (0,12×0,08). Ἄρχεται δὲ ὧδε· «δικαίων, ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται» (ψαλμ. α', 6). Λείπουσιν ἔτι στίχοι πολλοὶ τῶν ψαλμῶν ϟγ' καὶ ρμγ'· λείπουσι δὲ καὶ ψαλμοὶ ὁλόκληροι (ρμδ' - ανα') καὶ ᾠδαὶ δύο (α' καὶ β') καὶ οἱ πρῶτοι δεκατέσσαρες στίχοι τῆς προσευχῆς Ἐζεκίου· πρὸς δὲ τῷ τέλει τοῦ κώδικος ὑπάρχει «ἀκολουθία τῆς Ἀκαθίστου».

644. Τετραευαγγέλιον τῆς δεκάτης ἑκατ. ἀριθμοῦν φύλλα μεμβράνινα 290, μήκους 0,16, πλάτους 0,112. Κατὰ σελίδα γραμμαὶ 21 (0,10×0,062). Φύλλα τινὰ μεταγενέστερα (1, 8 καὶ 73 - 79). Χεὶρ τῆς ιγ' ἑκατ. ἐπέγραψεν ἐν ταῖς ᾤαις ἀναγνωστικάς τινας ὁδηγίας.

702. Θήκη περιέχουσα δέκα καὶ τέσσαρα βιβλιάρια χάρτινα, γραφέντα τῇ ιη' καὶ τῇ ιθ' ἑκατ.—α') Βιβλιάριον ἀκέφαλον ἐκ 14 φύλλων, ἐμπεριέχον εὐχὴν παρακλητικὴν εἰς ὅλους τοὺς ἁγίους ὑπὲρ ἀσθενούντων καὶ ἑτέραν εἰς τὴν Θεοτόκον.—β') Εὐχαὶ τοῦ λυχνικοῦ καὶ τοῦ ὄρθρου· φύλλα δώδεκα.—γ') «Λογίδριον ἐκφωνούμενον εἰς τοὺς ἐνταῦθα [=Ἱερουσαλὴμ] παραγινομένους προσκυνητάς, συγχαρητικὸν καὶ συμβουλευτικὸν καὶ εὐχετικὸν ἐν τῷ τέλει». Ἀρχ. «Σιών, Θεοῦ ὄρους ἅγιον» κτλ. — δ') «Περὶ διατί γίνονται τὰ μνημόσυνα διὰ τοὺς ἀποθαμένους». Ἀρχ. «Ὁ ἄνθρωπος ὅταν ἀποθάνῃ, ἔχει ἡ ψυχή του ἄδειαν ἡμέρας δύο» κτλ. Φύλλα δύο.—ε') Βιβλιάριον Ἰωαννικίου τοῦ Σαβαΐτου ἐκ φύλλων ἑπτά, φέρον ἔξωθεν ἀριθμὸν τῆς Σαβαϊτικῆς βιβλιοθήκης (248), κατὰ τὸν κατάλογον Ἀντωνίνου τοῦ ἀρχιμανδρίτου· περιέχει δὲ εὐχὴν Ἰωάννου τοῦ Χρυσοστόμου, «λόγον Ἐφραὶμ τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων περὶ μοναχικῆς πολιτείας», καὶ λόγον Ἰωάννου τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· «Ἐπιμνήσκου τὰ ἔσχατά σου καὶ τὸν θάνατον». — ς') Εὐχαί τινες ἀνώνυμοι. Φύλλα 17.—ζ') Φύλλα ἑπτά. Ἰωάσαφ ἡγουμένου τῆς λαύρας Σάβα τοῦ ὁσίου λόγος ἐγκωμιαστικὸς αὐτόγραφος εἰς Μισαὴλ τὸν μητροπολίτην Πέτρας Ἀραβίας καὶ τὸν μοναχὸν Ἄνθιμον τὸν ἐξ Ἀγχιάλου, καί τις ἔκθεσις αὐτοῦ περὶ τῶν ὑπὸ τούτων ἐν τῇ λαύρᾳ πεπραγμένων. Ἀρχ. «Χρέος ἔχει, ἀδελφοί, ὁ κάθε χριστιανὸς ἐρχόμενος εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ». Τέλος «ἐν ἔτει 1836 δεκεμβρίου 13. Δέξασθε, ἀδελφοί, τὸ παρὸν συνταγμάτιον καὶ εὔχεσθε πρὸς Κύριον ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ Ἰωάσαφ ἱερομονάχου καὶ πνευματικοῦ πατρὸς ἐν τῇ ἱερᾷ μονῇ τοῦ

οσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου· ἀμήν». Εἶτα τροπάριον ψαλλόμενον εἰς Μισαὴλ καὶ Ἄνθιμον τὸν ἐξ Ἀγχιάλου, καὶ στίχοι δεκατέσσαρες Ἀνθίμου ἱερομονάχου Χίου τοῦ Ἁγιοταφίτου πρὸς τὸν γραμματικὸν τοῦ Παναγίου Τάφου Ἄνθιμον τὸν ἐξ Ἀγχιάλου. — η') Φύλλα 17 κώδικος ἀπολεσθέντος, ὧν ἡ ἐπιγραφή· «Στοιχεῖα ἀριθμητικῆς καὶ ἀλγέβρας ὑπὸ νεωτέρων συνερανισθέντα καὶ εὐτάκτως συντεθέντα καὶ ἐπαυξηθέντα πλουσίως παρὰ τοῦ πανιεροσοφολογιωτάτου Φιλαδελφείας Δωροθέου Πρωΐου Χίου. Ἐν Κωνσταντινουπόλει 1806».—θ') Φύλλα πεντεκαίδεκα, περιέχοντα ᾀσματικὴν ἀκολουθίαν εἰς τὸν ἅγιον ἀπόστολον Κλεόπαν καὶ κανόνα παρακλητικὸν εἰς τὴν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς· «Τῇ ὑπεράγνῳ προστρέχω καὶ παρθένῳ».—ι') Φύλλα δύο περιέχοντα «ἐκ τῶν τοῦ Καλλίστου Καταφυγιώτου σωζόμενά» τινα, ὅ ἐστι τὸ λς' κεφάλαιον, οὗ ἡ ἀρχή· «Τρία ἡ ψυχὴ ἔσωθεν ἔχει δεόμενα πράξεως» κτλ.—ια') Τετράδιον πρῶτον ἑτέρου τεύχους, οὗ ἡ ἐπιγραφή· «Περιέχον μελῳδικοὺς καὶ θείους ὕμνους εἰς δόξαν τῶν ἐν τῇ Γῇ τῆς Ἐπαγγελίας θεοβαδίστων τόπων, ἐν οἷς τὴν σωτηρίαν ἡμῶν φιλανθρώπως ὁ θεάνθρωπος κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰργάσατο· ἔτι δὲ καὶ οἱ πρὸς τὸν πανάγιον καὶ ζωηφόρον τοῦ Κυρίου Τάφον εἰκοσιτέσσαρες πενθοχαρμόσυνοι οἶκοι, οἷς προσετέθη καὶ παραινετικὸς λόγος πρὸς τοὺς εὐλαβεῖς προσκυνητὰς αὐτῶν τῶν θεοβαδίστων τόπων διὰ στίχων [δεκαπεντασυλλάβων], τὰ πάντα ἐκ παλαιῶν βιβλίων ἐρανισθέντα καὶ ἐν τάξει τεθέντα παρὰ Νεοφύτου ἱερομονάχου Ἁγιοταφίτου τοῦ Κυπρίου».—ιβ') Βιβλιάριον Ἰωαννικίου τοῦ Σαβαΐτου, φέρον ἔξωθεν ἀριθμὸν 293 β'. «Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Χαρίτωνος ὁμολογητοῦ, μεταφρασθεὶς ἐκ τῆς τῶν Ἑλλήνων εἰς τὴν κοινὴν διάλεκτον παρὰ Γρηγορίου ἱερομοναχοῦ Ψαριανοῦ». Ἀρχ. «Πολλά εἰσι τὰ παραδείγματα τῆς διδασκαλίας».—ιγ') Φύλλα ἕξ, περιέχοντα ἔγγραφά τινα, καὶ πρῶτον περὶ τῆς ἐν Ἀθήναις Φιλομούσου Ἑταιρίας «εἰδοποίησιν», εἴτουν κανονισμόν, γεγραμμένην τῇ 1-ῃ σεπτεμβρίου ἔτους 1813-ου καὶ συνυπογεγραμμένην ὑπὸ

Πέτρου τοῦ Βεβελάκη καὶ Γεωργίου τοῦ Σοφιανοῦ· εἶτα γράμμα Ἰωάννου Καποδιστρίου πρὸς Ἀλέξανδρον Βασιλείου, κανονισμὸν τῆς ἐν Βιέννῃ συστάσης ἑταιρείας ὑπὸ τὸν μητροπολίτην Ἰγνάτιον εἰς συντήρησιν τοῦ ἐν Ἀθήναις σχολείου, προκήρυξιν εἰς τοὺς Ἕλληνας περὶ τῶν ἀποφασισθέντων ὑπὸ τῆς Βαυαρικῆς Ἀκαδημείας ὑπὲρ ἐκπαιδεύσεως τῶν Ἑλλήνων (17 ἀπριλίου 1815). γεγραμμένην ὑπὸ Εἰρηναίου Θηρσίου, σημειώσεις καὶ ἄλλα τινὰ περὶ τῶν εἰρημένων ἐγγράφων.—ιδ') «Δοκίμιον πατριωτισμοῦ πρὸς τοὺς κατοίκους τῶν Ἰωνικῶν Ἑπτανήσων, ἀφιερωθὲν ὑπὸ Φ. Ἐν Φιλαδελφίᾳ 1817, ἐκ τοῦ ἑλληνικοῦ τυπογραφείου». Σελίδες 27. Ἀντίγραφον ἐντύπου βιβλιαρίου. Καὶ πάλιν (σ. 28 - 42) Ῥήγα τοῦ Βελεστενλῆ ὕμνοι καὶ ᾠδαί.

703. Θήκη περιέχουσα τὰ ἑπόμενα χάρτινα φύλλα. — α') Φύλλα δέκα μεγάλου σχήματος, ἐκ τεύχους ἀπεσπασμένα τῆς ιδ' ἑκατ., οὗ τὸ κείμενον κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν 35· περιέχονται δ' ἐν αὐτοῖς ὁμιλίαι τρεῖς Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.—β') Φύλλα τέσσαρα τετάρτου σχήματος, γραφέντα περὶ τὸ τέλος τῆς ιη' ἑκατ. καὶ περιέχοντα δοξαστικά, ἀπόστιχα, ἀπολυτίκια, ἐξαποστειλάρια καὶ καθίσματα ψαλλόμενα πρὸς τὸν μάρτυρα Καλλίνικον, οὗ ἡ μνήμη τελεῖται τῇ κθ' τοῦ μηνὸς ἰουλίου. — γ') Φύλλα δύο σχήματος ὀγδόου, περιέχοντα αὐτόμελά τινα καὶ ἓν δοξαστικὸν εἰς τὸν αὐτὸν μάρτυρα Καλλίνικον. — δ') Φύλλον μακρὸν ἕν, ἐνέχον τρία τροπάρια διὰ τὴν ἁγίαν μάρτυρα Θέκλαν.—ε') Φύλλα πέντε μεγάλου σχήματος, ἐμπεριλαμβάνοντα τὴν ᾀσματικὴν ἀκολουθίαν τοῦ ἁγίου μάρτυρος Καλλινίκου. — ϛ') Φύλλα τέσσαρα μεγάλου σχήματος ἐνέχοντα τὴν αὐτὴν ᾀσματικὴν ἀκολουθίαν.

704. Θήκη περικλείουσα τὰ ἑπόμενα λείψανα τευχῶν ἑτεροίων.

1. Λείψανον μεμβρανίνου κώδικος τῆς δεκάτης ἑκατονταετηρίδος ἐξ ἑνὸς φύλλου καὶ ἡμίσεος, ὅπερ ἐστὶ μέρος διηγήσεως περὶ τοῦ γενομένου θαύματος, ἡνίκα Πέρσαι καὶ Βάρβαροι τὴν Κωνσταντίνου πόλιν ἐκύκλωσαν πολέμῳ· ἔστι δὲ τὸ κείμενον ἐν

μιᾷ ἑκάστῃ τῶν σελίδων δίστηλον καὶ ἐκ γραμμῶν 36 (0,355 × 0,262 = 0,252 × 0,165).

2. Μεμβράνινον φύλλον ἕν, ὃ περιεκάλυπτε τετυπωμένον τι βιβλίον: ἔχει δὲ τοῦτο πρᾶξιν ἔγγραφον ἐξάρχου τινὸς ἀνωνύμου πατριαρχικοῦ πρὸς ἐγκατάστασιν ἐπιτρόπων εἰς τὸν ἐν Βενετίᾳ ναὸν τῶν ὀρθοδόξων Ἑλλήνων, ὅπερ ἐγράφη «ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τοῦ Γραικῶν γένους» (ς′ μαΐου ἔτους 1549, ἰνδ. ζ′)· καὶ ὕψους μὲν ἔστι 0,39, πλάτους δὲ 0,28.

3. Δύο φύλλα μεμβράνινα λατινικοῦ τεύχους, ὕψους 0,33, πλάτους 0,228. Τὸ κείμενον αὐτῶν κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν πεντήκοντα (0,225 × 0,155).

4. Δύο φύλλα μεμβράνινα διστήλου κώδικος τῆς δεκάτης ἑκατ., ὃς ἐμπεριεῖχε λόγων ἐκλογὰς Ἰωάννου τοῦ Χρυσοστόμου· καὶ ὕψους μὲν ἔστι 0,315, πλάτους δὲ 0,245· πᾶσα δὲ στήλη γραμμὰς ἀριθμεῖ 33 (0,22 × 0,16). Ἀρχ. «- - - τὸν πολέμιον κατὰ τῆς αὐτοῦ σωτηρίας ὁπλιζόμενον καὶ πάντα διὰ τοῦτο κινοῦντα, οὐ μόνον οὐκ ἠγρίανεν, ἀλλὰ καὶ εἰς πλείονα ἦλθε συμπάθειαν» κτλ.

5. Φύλλον μεμβράνινον ἕν, ὅπερ ἐστὶν ἀγνώστου μοι κώδικος τῆς δεκάτης ἑκατ., μήκους 0,305, πλάτους 0,235. Κείμενον κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν τεσσαράκοντα (0,278 × 0,185)· περιέχει δὲ μέρος λόγου περὶ τῆς ἁγίας Ἄννης, ὃν ἔγραψεν Ἰωάννης ὁ Χρυσόστομος. Ἀρχ. «- - - τὴν γαστέρα γέμουσαν· οὐ γὰρ χρυσίον οὐδὲ ἀργύριον ἔφερεν, ἀλλὰ προφήτην καὶ ἱερέα». Ἐκδ. Gaume fratres, τ. IV, σ. 826.

6. Δύο μεμβράνινα φύλλα μικροῦ μονοστήλου κώδικος ἐκκλησιαστικῆς μουσικῆς, γραφέντος ἀμφὶ τὴν ιβ′ ἑκατονταετηρίδα.

7. Δύο μεμβράνινα φύλλα διστήλου κώδικος τῆς ια′ ἑκατ., περιέχοντα μέρος ὁμιλίας εἴς τινα ψαλμὸν ἡρμηνευμένον ἴσως ὑπὸ Βασιλείου τοῦ μεγάλου· τούτων δὲ σελὶς ἑκάστη γραμμὰς ἀριθμεῖ 35. Ἀρχ. «- - - καὶ τὸ μηδέποτε μνημονεύειν τῆς ἐξόδου τῆς ἐκ τοῦ βίου· ταῦτά εἰσι τὰ βαδίσματα τῆς χαλεπῆς ἐκείνης ὁδοῦ, ἣν πολλοί εἰσιν οἱ ὁδεύοντες· διὸ καὶ τὸ κατάλυμα ἐπιτήδειον εὑρήσουσιν» κτλ.

*

8. Τέσσαρα μεμβράνινα φύλλα διστήλου κώδικος τῆς ια' ἑκατ., ἀριθμοῦντα κατὰ σελίδα πᾶσαν γραμμὰς εἴκοσι καὶ τέσσαρας· τὸ πρῶτον φύλλον ἐν τῷ κρασπέδῳ τοιοῦτον ἔχει σημείωμα τῆς ιη' ἑκατ. «Τοῦ ἁγίου Σάβα τὸ βιβλίο. Ἰαννουάριος»· ὅθεν εἰκάζειν ἔξεστιν, ὅτι τὸ τεῦχος ἐσῴζετο τότε τέλειον καὶ ὅτι περιεῖχε πανηγυρικὰς ὁμιλίας ἀναγινωσκομένας ἰανουαρίῳ μηνί. Τὰ δὲ σῳζόμενα νῦν τέσσαρα τούτου φύλλα μέρος ἐμπεριέχει λόγου τινὸς περὶ θεότητος, οὗ ἡ ἀρχή· «- - - αν καὶ χρόνου καὶ φύσεως, νῷ μόνῳ σκιαγραφόμενος, καὶ τοῦτο λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν» κτλ.

9. Δύο μεμβράνινα φύλλα μεγάλου μονοστήλου κώδικος τῆς ἐνάτης ἑκατ., γράμμασι γεγραμμένα κεφαλαιώδεσι, μέρος δ' ἐμπεριέχοντα μαρτυρίου τινὸς τοῦ ἱερομάρτυρος Ἀστείου, ἐπισκόπου πόλεως Δυρραχίου. Δύο πλευρῶν ἡ γραφὴ τετριμμένη σφόδρα. Τὰ φύλλα ταῦτα περιεκάλυπτε πρότερον ἔντυπόν τι βιβλίον· τύποις δ' ἐξέδωκεν αὐτὰ J. Rendel-Harris (Studies published by the Faculty of Haverford College. № 1, 1889).

10. Φύλλον ἓν μεμβράνινον εὐαγγελίου, ὃ περιεκάλυπτεν ὡσαύτως ἔντυπόν τι βιβλίον· ἦν δὲ τοῦτο κώδικος μονοστήλου τῆς ια' ἑκατ., οὗ τὸ κείμενον ἠρίθμει κατὰ σελίδα γραμμὰς εἴκοσι καὶ τρεῖς (0,20 × 0,152).

11. Δύο μεμβράνινα φύλλα λειτουργικοῦ τῆς ιβ' ἑκατ. εὐαγγελίου, οὗ τὸ κείμενον ἦν κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν 28 (0,195 × 0,14)· καὶ τὰ φύλλα ταῦτα, ἃ μέρος ἐμπεριέχει συναξαρίου, περιεκάλυπτε πρότερον ἔντυπόν τι βιβλίον.

12. Προφητολογίου μεμβρανίνου τῆς ια' ἑκατ. τεμάχιον φύλλου, περιέχον ἀναγνώσματα δύο μετὰ κοκκίνων μουσικῶν σημαδίων, ἀναγινωσκόμενα τῷ μεγάλῳ Σαββάτῳ ἑσπέρας· φαίνεται δὲ προσῆκον τῷ προφητολογίῳ, οὗ λείψανα μεγάλα περιέχουσι κώδικες δύο προπεριγραφέντες (ὅρα τοὺς κώδικας 143 καὶ 147).

13. Ἓξ μεμβράνινα φύλλα σχήματος ὀγδόου, προσήκοντα Ψαλτηρίῳ τινὶ τῆς ιγ' ἢ τῆς ιδ' ἑκατ., οὗ τὸ κείμενον ἦν κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ γραμμῶν 16 μέχρι 17 (0,19 ×

0,135 = 0,118 × 0,08). Ἀρχ. «- - - τὸν ζυγὸν αὐτῶν. ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς» κτλ. (ψαλμ. β', 3, 4). Τέλος· «καὶ συναγωγὴ λαῶν κυκλώσει σε» (ζ', 8).

14. Φύλλον ἓν μεμβράνινον, λείψανον ὂν κώδικος τῆς ια'. ἑκατ., οὗ τὸ κείμενόν ἐστι κατὰ σελίδα δίστηλον καὶ ἐκ γραμμῶν εἴκοσι καὶ ὀκτώ, ὃ ἐστι χῶρον ἐν τῇ σελίδι περιέλαβε μήκους 0,158, πλάτους 0,105. Περιέχει δὲ τοῦτο τὸ φύλλον μέρος ἀνθολογίου γνωμῶν ἢ ἀποφθεγμάτων, οἷον Κάτωνος, Μενάνδρου, Ὠριγένους, Δημόνακτος, Σωκράτους, Κριτίου, Κυψέλου, Σέξτου, Πιττακοῦ καὶ ἑτέρων.

15. Δύο μεμβράνινα φύλλα μονοστήλου κώδικος τῆς ια' ἢ τῆς ιβ' ἑκατ., ὧν ἑκάστη σελὶς ἀριθμεῖ γραμμὰς τριάκοντα καὶ πέντε, χῶρον ἔχοντας ὡς 0,21 × 0,16· περιέχει δὲ ταῦτα κεφάλαιά τινα (κδ'-λα') συγγραφῆς μνήμης ἀξίας, εἴτουν βίου τινὸς ὁσίου ἀνδρὸς μονὴν ἔν τινι τόπῳ, πιθανῶς ἐν τῇ Κωνσταντίνου πόλει δειμαμένου· μνεία δ' ἐν αὐτοῖς ἐστιν αὐτοκράτορος Ἀλεξάνδρου, καὶ πιθανὸν ἐντεῦθέν ἐστιν, ὅτι μέρος ἔχει τὰ φύλλα ταῦτα βίου τοῦ πατριάρχου Κωνσταντινουπόλεως Εὐθυμίου, ὅν, ὡς εὗρεν ἀκέφαλόν τε καὶ ἀτελῆ Κάρολος ὁ de Boor, ἐξέδωκε τύποις ἐν Βερολίνῳ, ἔτει 1888-ῳ. Καὶ τοῦτο μὲν ἐξ ὑπονοίας εἴρηταί μοι νῦν, ὁ δὲ τὰ Σαβαϊτικὰ ταῦτα φύλλα τυπώσων ἐλέγξει πάντως τὴν περὶ τοῦ κειμένου τούτων ὑπόνοιαν.

705. Τεῦχος μεμβράνινον τῆς ια' ἑκατ. ἀκέφαλόν τε καὶ πεπηρωμένον, οὗ ἡ πρώτη σελὶς ἐφθαρμένη· σῴζει δὲ φύλλα 64 (μήκους 0,155, πλάτους 0,13), ὧν ἑκάστη σελὶς ἀριθμεῖ γραμμὰς τριάκοντα καὶ τέσσαρας (0,115 × 0,085). Καὶ ἐν μὲν τῇ ἀρχῇ κεῖται τοῦ ψαλλομένου κανόνος εἰς τὴν μεταμόρφωσιν τοῦ Σωτῆρος ἀκέφαλος ἑρμηνεία· εἶτα δ' ἑρμηνεία πάλιν ὑπάρχει κανόνων ἑτέρων, τῶν ἐφεξῆς [1]. Φύλλ. $11^{β}$ «Ἕτερος κανὼν εἰς τὴν μεταμόρ-

[1] Νικόδημος ὁ Ἁγιορείτης ἔγραψεν, ὅτι μητροπολίτης ἀνώνυμος τῆς Θεσσαλονίκης πρὸ τοῦ Πτωχοπροδρόμου βιώσας ἀσματικοὺς ἡρμήνευσε κανόνας, αὐτοὺς δὴ τοὺς φερομένους ἐν τούτῳ τῷ Σαβαϊτικῷ κώδικι, καὶ ὅτι μεμβράνινον ἀντίγραφον τῆς συγγραφῆς ἐκείνου ὑπάρχει ἔν τινι βιβλιοθήκῃ τοῦ Ἄθω. (Ἑορτοδρόμιον, ἤτοι ἑρμηνεία εἰς τοὺς ᾀσματικοὺς κανόνας τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν, συνερανισθὲν ὑπὸ Νικοδήμου κτλ. Ἐν Βενετίᾳ 1836, σ. ιζ').

φωσιν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ποίημα Ἰωάννου μοναχοῦ φέρον ἀκροστιχίδα ἰαμβικήν: Μωσῆς Θεοῦ πρόσωπον ἐν Θαβὼρ εἶδε». Κείμενον καὶ ἑρμηνεία τούτου, ἧς ἡ ἀρχή· «Καινοτομίαν ὑπέστη κατὰ τὴν ἕκτην χώραν ὁ παρὼν οὗτος ἴαμβος» κτλ.—Φύλ. 27 «Κανὼν εἰς τὴν πάνσεπτον κοίμησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ποίημα Κοσμᾶ μοναχοῦ, φέρον ἀκροστιχίδα τήνδε στίχοις ἰαμβείοις: Πανηγυριζέτωσαν οἱ θεόφρονες». Κείμενον καὶ ἑρμηνεία, ἧς ἡ ἀρχή· «Ἧς οὐδὲ ὁ νοῦς δύσληπτός ἐστιν» κτλ.—Φύλ. 45 «Ἕτερος κανὼν εἰς τὴν πάνσεπτον κοίμησιν τῆς Θεοτόκου· ἦχος δ'». Ἀρχ. «Ἀνοίξω τὸ στόμα μου». Ἀρχὴ τῆς ἑρμηνείας· «Ὁ παρὼν τῆς Θεοτόκου κανὼν οὐδεμίαν ὅλως ἔχει δυσχέρειαν».—Φύλ. 59 «Κανὼν εἰς τὴν παγκόσμιον καὶ θείαν ἑορτὴν τῆς ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· ποίημα Κοσμᾶ μοναχοῦ, φέρον ἀκροστιχίδα στίχον ἰαμβικὸν τόνδε: Σταυρῷ πεποιθὼς ὕμνον ἐξερεύγομαι». Ἀρχὴ τῆς ἑρμηνείας· «Ἧς ἡ ἑρμηνεία καὶ ὁ σκοπὸς εὐσύνοπτος» κτλ.

706. Βιβλιάριον ἐκ φύλλων ἑπτὰ χάρτου (μήκους 0,20, πλάτους 0,14), οὗ ἡ ἐπιγραφή· «Βραβεῖον [γρ. βρεβεῖον] τῶν πατέρων τῆς λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, ὁποῦ μνημονεύονται ὁσημέρας (εἰς) λειτουργίας τοῦ ἁγίου μοναστηρίου, διηνεκῶς καὶ ἀδιαλείπτως». Τὸ βρεβεῖον τοῦτο τὴν ἀρχὴν ἀπὸ τῆς διοικήσεως ἔχει Μελετίου πατριάρχου τῶν Ἱεροσολύμων· ἡγουμένων δὲ τῆς λαύρας ὀνόματα, ἃ τὸ βρεβεῖον ὀνομάζει, ταῦτ' ἐστιν: Ἱερεμίας ὁ Κρὴς ἔτει 1753-ῳ, Νικηφόρος ὁ ἐξ Ἰωαννίνων ἔτει 1754-ῳ καὶ Ῥαφαὴλ ἔτει 1762-ῳ.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ.

ΠΑΡΑΡΤΗΜΑ Α'.

ΓΕΡΜΑΝΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΤΑΛΟΓΟΣ ΑΥΤΟΓΡΑΦΟΣ

ΤΩΝ ΥΠ' ΑΥΤΟΥ ΚΟΜΙΣΘΕΝΤΩΝ ΒΙΒΛΙΩΝ

καὶ ἄλλων τινῶν πραγμάτων εἰς τὴν λαύραν Σάβα τοῦ ἡγιασμένου, περὶ τὴν τετάρτην δεκάδα τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος [1].

Ἀρχὴ τῶν μηναίων. — Βιβλίον α' Σεπτέμβριος καὶ Ὀκτώβριος τῆς στάμπας, εἰς πρῶτον μῆκος. — Βιβλίον β' Νοέμβριος καὶ Δικέβριος τῆς στάμπας, πρῶτον μῆκος. — Βιβλίον γ' Ἰαννουάριος καὶ Φευρουάριος τῆς στάμπας, πρῶτον μῆκος. — Βιβλίον δ' Μάρτιος καὶ Ἀπρίλλιος, πρῶτον μῆκος· καὶ αὐτὸ τῆς στάμπας. — Βιβλίον ε' Μάιος καὶ Ἰούνιος τῆς στάμπας, πρῶτον μῆκος. — Βιβλίον ς' Ἰούλιος καὶ Αὔγουστος τῆς στάμπας, πρῶτον μῆκος. — Βιβλίον ζ' ἕτερος Ἰούλιος καὶ Αὔγουστος τῆς στάμπας, πρῶτον μῆκος. — Βιβλίον η'· ἕτερον μηναῖον Σεπτεύρι καὶ Ὀκτώβριν τῆς στάμπας, πρῶτον μῆκος. — Βιβλίον θ'· στηχηράριν δεμβρέεινον τοῦ ὅλου ἐνιαυτοῦ, ψαλτικόν, εἰς πρῶτον μῆκος [2]. — Βιβλίον ι'· πανηγυρικὸν βεβράηνον· ἄρχεται δὲ ἐκ τὸν Ἰούλλι(ον) μῆνα· ἔχει δὲ διάφορους λόγους· ὑπάρχει δὲ εἰς πρῶτον μῆκος· με μάβρο τομάρι. — Βιβλίον ια' τὸ λεγόμενον Διόπτρα, βεβράηνον, εἰς μῆκος Ψαλτηρίου. — Βιβλίον ιβ', ὃ λέγεται Κλήμακας, εἰς πρῶτον μῆκος· ἔχει δὲ καὶ ἑτέρους διαφόρους λόγ(ους) ἑρμηνεμένους ὑπὸ κῦρ Συμεῶν τοῦ μεταφραστοῦ [3]. — Βιβλίον ιγ'· μηναίον Ἀθολόγιον τοῦ ὅλου ἐνιαυτοῦ, τῆς στάμπας· πρῶτον μῆκος· ὁ λεγόμενος Παντέκτης. — Βιβλίον ιδ'· παλαιᾶ καὶ νέα Διαθήκη τῆς στάμπας, πρῶτον μῆ-

[1] Ὅρα σελ. 166. [2] Πιθανῶς ὁ 528-ος κῶδιξ τῆς πατριαρχικῆς συλλογῆς· ὅρα τ. I, σ. 469. [3] Λέγει δὲ τὸν 177-ον κώδικα τῆς Ἁγιοσαβιτικῆς συλλογῆς.

κος. — Βιβλίον ιε'· Ἀναστασίου Σιναΐτου περὶ τῶν ἁγίων τριῶν τεσσαρακοστῶν καὶ ἄλλα διάφορα συνάγματα· ὑπάρχει δὲ εἰς μικρὸν μῆκος.—Βιβλίον ις', ἤγουν βεμπρέϊνα τετράδια εἰς πρῶτον μῆκος· κέκτιτε δὲ πλήστους καὶ διάφορους λόγους ἐν αὐτῷ. — Βιβλίον ιζ'· καὶ αὐτὸ κέκτητε συνάγματα τϊνά· καὶ κανώνες διάφοροι.—Βιβλίον ιη'· καὶ αὐτὸ πλουτὶ διάφορους λόγους· καὶ συνάγματα· ὅπερ ἐστὶ καὶ παχίτατον. — † Καὶ τέσσαρες λειτουργίες ἤγουν τῆς στάμπας κοντάκια· τηλιγάδια καὶ μία φυλάδα τῆς στάμπας, κανόνες τῶν ἁγίων ἀποστόλων.—Βιβλίον ιθ'· τοῦ Καρτάνου ποίημα, εἰς Ψαλτηρίου μῆκος τῆς στάμπας: †

† Ἐνταῦθα ἠσὺν τὰ ἐμά, ἰδιόχειρά μου βηβλία· ἐμπρώτις τούτο τὸ βηβλίον (κῶδ. 106)· ἣν ὀνομάζετε Θηκαρὰ α: πλουσιοπάροχον. Ὑπάρχουν ἐναυτῆ τῆ βήβλο, συνάγματα διάφορα, ἕως κεφάλαια σιδ'.—Β-ον βηβλίον, εἰς Πεντηκοσταρίου μήκος: ἔχη δὲ εἰς τὴν ἀρχὴν, τὰ συλειτουργήματα τὰ καθημερινά· τῆς θείας λειτουργίας. καὶ μετέπιτα, εὐχὴ ἐξομολογιτϊκῆ εἰς τὸν χν ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ καθεξῆς, συνάγματα ἕως κεφάλεα, μδ'.— Τὸ γ-ον βηβλίον: καὶ αὐτὸ εἰς μήκος Πεντηκοσταρίου· ἔχει δὲ εἰς τὴν ἀρχὴν, τὰ τῆς μεγάλης παρακλήσεως ἀδόμενα· οἱ εἱρμοὶ τῶν μεγάλων ἑορτῶν· καὶ εὐχαὶ πλῆστε· καὶ κανόνες διάφοροι· καὶ ἄλλα πολλὰ συνάγματα, ἕως κεφάλεα ιη'.—Τὸ δ-ον βηβλίον, Ψαλτήριον τοῦ κονδιλίου· εἰς πᾶσαν δόξαν, τρία τροπάρια, καὶ εὐχή· καὶ ἄλλα συνάγματα πλήστα.—Τὸ ε-ον· καὶ αὐτὸ Ψαλτήριον τῆς στάμπας εἰς Ρολογίου μήκος.—Τὸ ς-ον βιβλίον· νόμημον, ἰδηόχειρον γράμμα ὑπάρχη τοῦ ἁγιωτάτου π(α)τριάρχου κυροῦ Γεναδίου τοῦ Σκουλαρίου· ὑπάρχουσιν δὲ καὶ ἄλλα συνάγματα διάφορα ἐναυτό: καὶ ἤτις στερίσει ἓν ἐξ αὐτῶν τῶν βιβλίων ἀπὸ τὴν ἁγίαν λαύραν, νὰ ἔχει τὰς ἀρὰς τῶν τιη' θεοφόρων π(ατέ)ρον· καὶ τὸν ἅγιον Σάββαν ἀντίδικον ἐν ἡμέρα κρίσεως: ∻ (Καὶ ἐν τῷ κρασπέδῳ) καὶ ἐξεμοῦ τοῦ ἁμαρτωλοῦ νὰ ἶνε ἀσυγχώριτος καὶ ἀφωρισμένος.

† Καὶ ἑπτὰ ταυλομάνδιλα· τὸ ἕνα πλατεῖ, καὶ τὸ ἕτερον πλατὶ καὶ μεγάλο· τὸ δὲ τρίτον μακρὶ διὰ τὰ χέρια, καὶ τὰ ἄλλα

τέσσερα, μικρότερα τῶν ἄλλων.·. καὶ τρία σενδούκια, τοῦ μειζοτέρου, ἔχει ἡ κλιδονία του, φλωρ(ίον) α'· χωρὶς τὸ σενδούκη: ἔτι δὲ καὶ βουτζία τρανὰ, δύο, γεμάτα ψάριά· καὶ ἕτερα βαρελόπουλα τρία· καὶ αὐτὰ γεμάτα ψάρια· καὶ πάλιν ἕτερα δύο βαρελόπουλα· τὸ μὲν ἕνα γεμάτο κρασί, τριῶν χρονῶν: τὰ δὲ ἕτερον· γεμάτο ξίδι παλαιόν: καὶ πέντε μαστραπάδες με τὰ σκεπάσματά τους: καὶ τρία ἀλατερᾶ σκεπαστᾶ, στάνηνα: καὶ ἄλην τινὰν κατούναν πλεῖστιν· χρυζομένην εἰς τὸ μοναστήριν.

† Ταῦτα δὲ πάντα· ἤφερα κἀγὼ Γερμανὸς εὐτελῆς· καὶ τῇ κς' τοῦ σεπτευρίου μηνός· τὰ ἐπαρέδωκα εἰ(ς) τὴν λαύραν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου· κατέμπροσθεν τοῦ τϊμϊωτάτου ἐν ἱερομονάχοις κυροῦ Ἰωάσαφ ἱερομονάχου καὶ δικαίου τῆς αὐτῆς ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου π(ατ)ρ(ὸ)ς ἡμῶν Σάββα τοῦ ἡγιασμένου· καὶ τοῦ τϊμϊωτάτου ἐν μοναχοῖς κῦρ Θεοδούλου τοῦ πρωτογέροντος· καὶ τοῦ τϊμϊωτάτου ἐν μονᾶχοῖς κῦρ Ἰωάσαφ τοῦ γέροντος, καὶ τοῦ τϊμϊωτάτου ἐν μοναχοῖς κῦρ Συμεὼν οἰκονόμου καὶ γέροντος τῶν μοναστηρίων· καὶ κῦρ Σάβα τοῦ γέροντος· καὶ κατέ(μ)προσθεν πάντων τῶν τϊμϊωτάτων γερόντων τῆς συνάξεως· ἤτι ἄρα καὶ ἤφερα· ἀπό τε φλουρία καὶ βιβλία· καὶ ἑτέραν κατούναν, σεντούκια· σκεύη ἱερὰ· καὶ ἄλλην πλήστην ἥλην, χρυζομένην εἰς τὸ μοναστήρι.

ΠΑΡΑΡΤΗΜΑ Β'.

ΤΩΝ ΦΩΤΟΤΥΠΙΚΩΝ ΠΙΝΑΚΩΝ

ΑΝΑΓΝΩΣΕΙΣ ΑΜΕΤΑΛΛΑΚΤΟΙ.

Σελὶς 228 καὶ 229. Πίναξ φωτοτυπικὸς ἀπεικάζων δύο σελίδας τοῦ 144-ου κώδικος. Τὸ πρὸ τοῦ σημειώματος τοῦ καλλιγράφου κείμενον ἀναγινώσκεται ὧδε· «ἐνετείλατο τὰς | τοιαύτας λιθά|ζειν + σὺ οὖν· τί λέ|γεις + τοῦτο δὲ εἶ|πον ἐκπειρά | ζοντες αὐτὸν + ἵ|να σχῶσι· κατη|γορίαν αὐτοῦ + ὁ | δὲ Ἰ(ησοῦ)ς κάτω κύψας· | τῷ δακτύλῳ ἔ|γραφεν εἰς τὴν | γῆν + ὡς δὲ ἐπέ|μενον ἐρωτῶν|τες αὐτὸν· ἀνέ|κυψε καὶ λέγει αὐ|τοῖς + ὁ ἀναμάρ|τητος ὑμῶν· | πρῶτος βαλέ|τω λίθον επ' αὐ|τὴν + καὶ πά|λιν κάτω κύψας· | ἔγραφεν εἰς τὴν γῆν· + | οἱ δὲ ἀκούσαντες· | καὶ ὑπὸ τῆς (in marg. ἰδίας) συνει|δήσεως καὶ ἐλεγ|χόμενοι· ἐξήρχον|το εἰσκαθεὶς [= εἷς καθ' εἷς] ἀρ|ξάμενοι ἀπὸ τῶν | πρεσβυτέρων + καὶ | κατελείφθη ὁ Ἰ(ησοῦ)ς· | καὶ ἡ γυνὴ ἐν μέ|σῳ οὖσα + ἀνακύ|ψας δὲ ὁ Ἰ(ησοῦ)ς· εἶπεν | αὐτῇ + γύναι· ποῦ | εἰσὶν· οἱ κατηγο|ροί σου + οὐδείς σε | κατέκρινεν + ἡ | δὲ εἶπεν + οὐδεὶς Κ(ύρι)ε· + | εἶπεν δὲ ὁ Ἰ(ησοῦ)ς + οὐδὲ | ἐγώ σε κατὰ κρί|νω· + πορεύου· καὶ | ἀπὸ τοῦ νῦν· μη|κέτι ἁμάρτανε». Ἰωάν. εὐαγγ. η', 5 - 11.

Σελ. 238. Πίναξ ἀπεικονίζων μίαν σελίδα τοῦ 153-ου κώδικος, ἥτις ἀναγινώσκεται ὧδε· «σου τὸ γράμμα καὶ | γράψον ὀγδοήκοντα· | καὶ ἐπείνεσεν ὁ κύ|ριος τὸν οἰκονό|μον τῆς ἀδικίας, ὅ|τι φρονίμως ἐποί|ησεν + ὅτι οἱ υἱοὶ | τοῦ αἰῶνος τούτου |

φρονημώτεροι ὑπὲρ | τοὺς υἱοὺς τοῦ φω |τὸς, εἰς τὴν γενεὰν | τὴν ἑαυτῶν εἰσίν+ | καγὼ ὑμῖν λέγω+ποι |ἤσατε ἑαυτοῖς φί| λους ἐκ τοῦ Μαμωνᾶ | τῆς ἀδικίας + ἵνα ὅ| τᾶν ἐκλείπειται, δέ |ξοντε ὑμᾶς εἰς τὰς | αἰωνίους σκηνάς:. | —Εὐα(γγέλιον) ἐπιάνομβρίας. Ἐκ τ(οῦ) κατ(ὰ) Μάρκον. | Εἶπεν ὁ Κ(ύριο)ς + ἔχετε πίστην | Θ(εο)ῦ + ἀμὴν γὰρ λέγω ὑμῖν | ὅτι ὃς ἂν εἴπει τῶ ὄρει | τοῦτω: ἄρθητι καὶ | βλήθητι εἰς τὴν θά |λασσαν: καὶ μὴ διακρι| θῆ ἐν τῇ καρδίᾳ αὐ |τοῦ, ἀλλὰ πιστεύσει ὅτι ἃ | λέγει γίνεται, ἔσται αὐτῶ ὃ ἐὰν εἴπει + διὰ τοῦ |το λέγω ὑμῖν + πάντα | ὅσα ἂν προσευχό| μενοι αἰτῆσθε, πι |στεύετε ὅτι λαμβάνετε | καὶ ἔσται ὑμῖν + καὶ ὅτᾶν | στήκετε προσευχόμεν|οι, ἀφίετε ὅτι |ἔχετε | κατά τινος + ἵνα καὶ | ὁ π(ατ)ὴρ ὑμῶν ὁ ἐν τοῖς | οὐ(ρα)νοῖς, ἀφίει ὑμῖν τὰ | παραπτώματα ὑμῶν + | αἰτῆτε, καὶ δωθή| σεται ὑμῖν + ζητεῖτε, | καὶ εὑρήσειτε + κρού |ετε, καὶ ἀνοιγήσεται ὑ |μῖν + πᾶς γὰρ ὁ αἰτὸν | λαμβάνει + καὶ ὁ ζητὼν | εὑρίσκει + καὶ τῶ κρούοντι | ἀνοιγήσεται:—». Λουκᾶ ιϛ′, 7-9. Μάρκ. ια′, 22-25. Ματθ. ζ′, 7, 8.

Σελ. 286. Πίναξ ἀπεικάζων τὴν ἐσχάτην σελίδα τοῦ 172-ου κώδικος, γραφέντος ἔτει 987-ῳ· περιέχει δὲ τὸ τέλος ἑρμηνείας Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὴν πρώτην πρὸς Κορινθίους ἐπιστολὴν Παύλου τοῦ ἀποστόλου. «λήψετε δόξαν καὶ τὸν Θ(εὸ)ν μειζόνως καθ᾿ ἑαυτοῦ παροξυνεῖτε. | διὸ παρακαλῶ πᾶν δυσῶδες, ἐκβαλόντες ῥῆμα, εἴ τι ἀγαθὸν | πρὸς οἰκοδομὴν τοῦτο λέγομεν· ἀλλ᾿ ἀμύνασθε ἐκεῖνον ἐπι |θυμεῖς; τί οὖν ἀντέκείνου σαυτὸν ἀμύνει· ὁ γὰρ τοὺς λελυπηκό |τας ἀμύνασθαι σπουδάζων, οὕτως ὡς ὁ Παῦλος ἀμύνασθαι | ἐκέλευσεν· ἐὰν πεινᾶ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν· ἐὰν διψᾶ, πό|τιζε αὐτόν· ἐὰν δὲ τοῦτο μὲν μὴ ποιεῖς· ἐπιβουλεύῃς δὲ μόνον, | κατασεαυτοῦ τὸ ξίφος ὠθεῖς· διόπερ ἂν κακῶς ἐκεῖνος λέγῃ, | ἐγκωμίοις αὐτὸν ἀμείβου καὶ ἐπαίνοις· οὕτως γὰρ κἀκεῖνον ἀ |μύνασθαι δυνήσῃ, καὶ σαυτὸν ἀπαλλάξῃς πονηρᾶς ὑποψίας· | ὁ μὲν γὰρ ἐπι τὸ κακῶς ἀκούειν ἀλγῶν, ἀπο συνειδότος δοκεῖ· | τοῦτο πάσχειν πονηροῦ· ὁ δὲ καταγελῶν τῶν λεγομένων,

μέγι|στον ἐκφέρει τεκμήριον, τῷ μηδὲν ἑαυτῷ συνειδέναι πονη|ρόν· ἐπεὶ οὖν οὔτε τὸν ἀκούοντα· οὔτε αὐτὸν· οὔτε τὸν διαβαλλό|μενον ὠφελεῖς· καὶ κατα σαυτοῦ τὸ ξίφος ὠθεῖς, κἀν ἐντεῦ|θεν γενοῦ σωφρονέστερος· ἐχρῆν μὲν γὰρ ἀπὸ τῆς βασιλείας τῶν | ου(ρα)νῶν, καὶ τῶν τῷ Θ(ε)ῷ δοκούντων πείθεσθαι· ἐπειδὴ δὲ παχύ|τερον διάκεισαι· καὶ ὥσπερ θηρίον δάκνεις· κἀν ἐντεῦθεν πα(ι)|δεύθητε· ἵνα τοῖς λόγοις τούτοις σωφρονισθεὶς· δυνηθεὶς ἀπο | τῶν τῷ Θ(ε)ῷ δοκούντων μόνων ῥυθμίζεσθαι· καὶ γενόμενος | παντὸς πάθους ἀνώτερος, ἐπιτύχης τῶν ου(ρα)νίων ἀγαθῶν· | ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· χάριτι καὶ φιλαν(θρωπ)ία τοῦ | κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· μεθ οὗ τῷ π(ατ)ρὶ συν τῷ ἁγίῳ πν(εύματ)ι· δόξα· κράτος τιμὴ | νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν +».

Σελ. 356. Πίναξ μηναίου τοῦ μηνὸς Ἰανουαρίου, γραφέντος ἔτει 1395-ῳ· ἐν τούτῳ δὲ τῷ πίνακι, πρὸ τῶν ὑπὸ τοῦ καλλιγράφου γεγραμμένων, ὑπάρχει τόδε· «ἀλλη(λούια) ἦχος β′: ἰδοὺ δὴ τι καλὸν ἢ τι τερπνὸν: Εὐα(γγέλιον) | ἐκ τοῦ κατα Ματθαῖον ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα: +|Τῷ καιρῷ ἐκείνῳ· πρὸς καλεσάμενος ὁ Ἰ(ησοῦ)ς τοῖς δώδεκα | μαθητάς: Κοινωνικόν: Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κ(υρί)ῳ ἀλληλούια: | ἕτερον· Ποτήριον σ(ωτή)ριον λήψωμαι καὶ τὸ ὄνομα | Κ(υρίο)υ ἐπϊκαλέσωμαι: + εἶτα τὸ ἐπίλοιπον τῆς λειτουργ(ίας) | καὶ τὸ ἀπολ(υ)τ(ίκιον) κοντ(ά)κ(ιον) καὶ ἀπόλυσις: καὶ τὸν Θ(εὸ)ν δόξα σοι: +».

Σελ. 366. Πίναξ ἀπεικάζων τὴν ἐσχάτην σελίδα κώδικος εὐαγγελίου γραφέντος ἔτει 1184-ῳ· καὶ ἐν μὲν τῇ ἀρχῇ τῆς πρώτης στήλης ἀναγινώσκεται τοῦτο· «Ἕτερον [= εὐαγγέλιον] ζήτ(ει) τῇ δ′ τῆς γ′ | ἑυδ(ομάδος) τοῦ πάσχα:— | Ἕτερον ζήτ(ει) τῇ ε′ τῆς γ′ | ἑυδ(ομάδος) τοῦ πάσχα:— | + τέλο(ς) σὺν Θ(ε)ῷ ἀμήν». Εἶτα δ' ὑπάρχει τὸ σημείωμα τοῦ καλλιγράφου· ἐν δὲ τῇ ἀρχῇ τῆς δευτέρας στήλης ἀναγινώσκονται στίχοι τινές, ὧν τὸ ἀπόγραφον ἐπιδιωρθωμένον, ὡς οἶμαι, μετέγραψα εἰς τὴν 367-ην σελίδα· καὶ μετὰ

τοὺς στίχους ὑπάρχει τοῦ κατὰ Μᾶρκον εὐαγγελίου περικοπὴ προστεθεῖσα τῇ ιγ' ἑκατ. Ἀναγινώσκεται δὲ αὕτη ὧδε· «Εὐ(α)γ(γέ)λιον γ' (= ἑωθινὸν) ἐκ τ(οῦ) κατ(ὰ) Μάρκον:— | Ἀναστὰς ὁ Ἰ(ησοῦ)ς· πρωϊ πρω τ(ης) | σαμβάτων· ἐφάνη | πρῶτον Μαρία τῇ Μα|γδαληνὴ· αφεῖς ἐκβε|βλήκει· ἑπτὰ δεμώ|νϊα· ἐκεινη δὲ πορευ|θείσα: ἀπΐγγηλεν | τοὶς μεταυτοῦ γενω|μένοις, πενθοῦσιν | και κλέουσιν· κακήνοι | ἀκοῦσανταις ὅτϊ ζῆ | καὶ ἐθεάθη ὑπ αυ|τῆς ἠπΐστησαν: μετα | δὲ ταῦτα· δυσὶν ἐξαυ|τῶν περιπατοῦ — — —».

Σελ. 367. Πίναξ ἀπεικάζων δύο σελίδας τοῦ 237-ου κώδικος, ἔτει γραφέντος 1389-ῳ ὑπὸ Δωροθέου πατριάρχου τῶν Ἱεροσολύμων· ἔχουσι δὲ αὗται μέρος ἀνεκδότου κανόνος ᾀσματικοῦ, ψαλλομένου τῇ λα' τοῦ μαΐου μηνὸς εἰς τὸν ἀπόστολον Ἑρμείαν. « - - - οντα· πίστει καὶ πόθω αὐτῶ ἀνα|βοῶσιν· σὲ ὑπερυψοῦμεν εἰς πάντας (τοὺς αἰῶνας): + | —Σὺ τῆς πλάνης· μάρτυς τοῦ Χ(ριστο)ῦ· | τὰ θήρατρα συγκόψας· ἐν στάσει | καὶ καρτερία· ἐκ παγίδων νοητῶν· | ἐρύσθης ἀλώβητος· τοῦ γὰρ κτί|στου· εἶχες τὴν θείαν νευροῦσαν· καὶ ἐν|δυναμοῦσαν· ἐν ἄθλοις σε Ἑρμία ἀπόστολε Χ(ριστο)ῦ: + | Θ(εοτοκίον). Ὁ τὰ πάντα νεύματι ποιῶν· υἱὸς Θ(εο)ῦ καὶ λό|γος· βουλήση ἀγαθότητα· καὶ πλή|θος οἰκτιρμῶν· σαρκοῦται καὶ πλά|ττεται· Θ(εοτό)κε θείων αἱμάτων· ἐκ σοῦ καὶ πανα|γίων· καὶ ἀνακαινίζει· ἡμᾶς τοὺς σὲ ὑμνοῦντας:+ | —Ὠδ(ὴ) θ'. Τύπον τῆς ἁγνῆς λογχίας | σου· πυρπολουμένην βάτον ἔδει|ξεν ἄφλεκτον· καὶ νῦν καθ' ἡμῶν | τὸν πειρασμὸν ἀγριαΐνουσαν· κα|τασβέσαι αἰτοῦμεν τὴν κάμινον· ἵ|να σε Θ(εοτό)κε· ἀκατάπαύστως μεγαλύνομεν: + | —Ἔχων· θησαυρὸν ἀσύλητον· ἐν τῇ ψυ|χῇ Ἑρμία ἐναποκείμενον· τῶν τα|μιευθέντα δωρεῶν τῶν τοῦ πν(εύματο)ς· ταῖς | ἀφθόνοις αὐτοῦ μετὰδόσεσιν· πλουτί | ζεις τοὺς ἐν πίστει· ἀνευφημοῦντας σου τὴν ἄθλησιν: + | —Βάσιν· ἀσφαλῆ προθέμενος· | τῆς τοῦ δεσπότου μάρτυς· ἀπερι|δόνητον· πίστιν ἐναυτῇ ὥσπερ χρυσὸν | ὠκοδόμησας· καὶ ὡς λίθους τιμίων τῶν | ἄθλων σου· τοὺς πόνους καὶ

ἰδρώτας· | δι ὧν τὸ ἔργον ἐτελείωσας:+ | —Ὥσπερ εὐκλεῶς διή-νυσας· τῆς εὐσεβείας | μάρτυς δρόμον τὸν ἔνθεον· οὕτως σε | τοῖς θαύμασιν Χ(ριστὸ)ς ἐχαρίσατω· καὶ | προστάτην Ἑρμία παρέσχετο· ἡμῖν τοῖ|ς σὲ τῖμῶσιν· καὶ τοῦτον πόθω μεγα|λύνοντας: + —Θ(εοτοκίον).— | Ὕλης ἐμπαθοὺς ἀμέτοχος· | τὸ τῆς ψυχῆς μου διάυγὲς θεονύμφευ | τε· τήρησον ἀεί με κυβερνῶσα καὶ | σκέπουσα· τοῦ δοξάζειν τὸν κτίστην | καὶ Κ(ύριο)ν· ἀγνῶς καὶ μεγαλύνειν τὰ σὰ | μυστήρια πανύμνητε: + Ἐξαποστει | λάρ(ιον): Ὁ οὐ(ρα)νὸν τοῖς ἄστροις· κατακοσμίσας: - ».

Σελ. 385. Πίναξ ἀπεικάζων τὴν ἐσχάτην σελίδα τοῦ 259-ου κώδικος (ἔτους 1089 ἢ 1090), ἔχουσαν τὸ πέρας ὁμιλίας Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τῆς Σωσάννης· ἀναγινώσκεται δὲ ὧδε· « - - σεται ἐπι τῶ Θ(ε)ῶ· ὁ ἀ|νὴρ τῆς Σωσάννης· | ἐπαινέθήσεται πᾶς | ὁ ὀμνύων ἐναυτω· | τοῦτέστιν ὁ πιστεύων | ἐν αὐτῶ· ὅτι ἐνεφρά|γει στόμα λαλούντων | ἄδικα· τὰ τῶν παρα|νόμων πρεσβυτέρων | ἄδικον στόματα· τότε | μετεστρέφετο τὸ πένθος | τῶν γονέων αὐτῆς εἰς | χαράν· ὁ ἀνὴρ ἠγαλλι|άτω δοξαζων τὸν Θ(εὸ)ν· | οἱ συγγενεῖς, ἔχαιρον· | οἱ γείτονες. εὐθύμουν· | καὶ πᾶς ὁ οἶκος αὐτῆς, | ηὔφραίνετο· καὶ ἅπαξ | ἁπλῶς, πάνδιμος | ἦν ἑορτή· Θ(εο)ῦ· ἀγγέλων· | αν(θρώπ)ων· εἶδες ἐν γυναικί ω σχήματι ἀνδρία(ν) ψυ|χήν, · εἶδες γυναικὸς | σωφροσύνην· ἧς ἡ μνή|μη μένη ἀθάνατος με|τα νίκης· αὔτη παρὰ | ἀν(θρώπ)οις ἐδοξάσθη, παρ(ὰ) | ἀγγελοις ἐμεγαλύνθη· | παρα Θ(εο)ῦ ἐστεφανώ|θη· ταύτην ζηλώ|σατε αἱ γυναῖκες | ἵνα τῆς αὐτῆς τιμῆς | καὶ ὑμεῖς κατάξιω|θητε παρα Θ(ε)ῶ· ἐν | Χ(ριστ)ῶ Ἰ(ησο)ῦ τῶ κ(υρί)ω ἡμῶν· | ὧ ἡ δόξα εἰς τοὺς αἰῶ|νας τῶν αἰῶνων | ἀμήν». Μετὰ δὲ τὸ σημείωμα τοῦ καλλιγράφου, οὗ τὸν ἕβδομον, ὡς εἴρηται, στίχον ἀπέξεσέ τις, ὑπάρχει γράμμασιν ἀραβικοῖς ἕτερον σημείωμα, λέγον ὅτι τὸ βιβλίον Ἠσαΐας ἱερεὺς ἀφιέρωσε τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἀναστάσει, ὅ ἐστι τῷ Παναγίῳ Τάφῳ, ἔτει 1616-ῳ.

Σελ. 442. Πίναξ κώδικος ἔτους 1201-ου· τὰς τρεῖς πρώτας αὐτοῦ γραμμὰς ἀνάγνωθι ὧδε· «πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θ(εοτό)κου | τοῦ ἁγ(ίου) καὶ ἐνδόξου πανευφήμ(ου) ἀποστόλ(ου) καὶ εὐαγγελιστοῦ | Ἰω(άννου) τοῦ θεολόγου· καὶ πάντων τῶν ἁγίων ἀμήν». Κατόπιν ὑπάρχει τὸ σημείωμα τοῦ καλλιγράφου.

Σελ. 457. Πίναξ ἀπεικάζων δύο σελίδας τοῦ 332-ου κώδικος, ἔτει 1427-ῳ γραφέντος· καὶ ἐν μὲν τῇ πρώτῃ σελίδι τὸ πέρας ὑπάρχει λόγου τινὸς Βασιλείου τοῦ μεγάλου, ὅπερ ἀναγινώσκεται ὧδε· «ἢ εἰς αὐτόν. φέρων οὖν ἐν τῇ χειρὶ τὸν λίθον ὁ | Κ(ύριο)ς, ἔμπρακτον ἡμᾶς διδάσκει τὴν εἰς αὐτὸν | πίστιν ἔχειν. τοῖς ἑπτὰ τοῦ Κ(υρίο)υ κοσμουμένην | ὀφθαλμοῖς· τουτέστι, ταῖς ἑπτὰ τοῦ ἁγίου | πν(εύματο)ς ἐνεργείαις: Κασσιτήρϊνος δὲ ὁ λίθος | καὶ διὰ τόνδε τὸν λόγον· ὅτι ὥσπερ ὁ κασ|σίτηρος μελαινόμενος λαμπρύνεται πάλιν, | οὕτω καὶ οἱ πιστεύοντες· εἰ καὶ μελαίνονται | ἁμαρτάνοντες, ἀλλ' αὖθις λαμπρῦνον|ται μετανοοῦτες:✝». Εἶτα τὸ σημείωμα τοῦ καλλιγράφου· ἐν δὲ τῇ δευτέρᾳ σελίδι ἡ ἀρχὴ κεῖται διηγήσεως ἀποκρύφου «περὶ τῆς τοῦ Ναοῦ οἰκοδομῆς», ἥτις ἔχει ὧδε· «Ἐγένετο μετὰ τὸ ἀποθανεῖν Δα(υί)δ τὸν | μέγαν βασϊλέα, ἐβασίλευσεν | ἀντ' αὐτοῦ, Σολομὼν ὁ υἱὸς | αὐτοῦ· καὶ ἦν οἰκοδομῶν τὴν Ἰ(ερουσα)λὴμ | καὶ τὰ Ἅγια τῶν Ἁγίων· καὶ ἦν τὶς παῖς ἄλκιμος σφόδρα· καὶ ἀρχι|τεχνΐτης· ὃν καὶ ἠγάπα ὁ βασιλεύς, διὰ τὸ εἶναι αὐτὸν φρόνϊμον | καὶ ἐπϊεικῆ· καὶ ἀπέστελεν | αὐτὸν βρώματα καθ' ἑκάστην ἡμέραν, | ἐκ τῆς τραπέζης αὐτοῦ· καὶ ἐν | τῷ δείπνω, ἐδίδου αὐτώματα, | εἰς τὸ δϊπλάσϊον· καὶ ἰδοὺ περὶ | ἡλίου δῦσμάς, ἤρχετο Ὀρνίας | τὸ χαλεπὸν δαιμόνϊον, καὶ ἐλάμ|βανε τὸ ἥμϊσυ μέρος τοῦ μϊσ|θοῦ αὐτοῦ· καὶ οὐ μόνον τοῦτο ἐποίει, | ἀλλ' ἐτϊ καὶ τὸν δάκτυλον αὐτοῦ | τὸν ἀντίχειρα τῆς δεξιᾶς χειρὸς, | ἐθήλαζεν· ὥστε τὸν παῖδα λύπο - - -». Καὶ τοῦτο μὲν ἡ σελὶς ἔχει· τὸ δὲ λοιπὸν ἀντέγραψα μέχρι τέλους ἐξ αὐτοῦ τοῦ κώδικος, ἵνα τὸ διήγημα πλῆρες, διάφορον ὂν τοῦ παρὰ τῷ Migne (τ. 122, σ. 1316), τύποις ἐκδοθῇ.

Σελ. 474. Πίναξ ἀπεικάζων δύο σελίδας τοῦ 362-ου κώδικος· καὶ τῆς μὲν πρώτης σελίδος ἡ ἀνάγνωσις ἐδηλώθη· νῦν δὲ παρατίθεται μέρος ὧδε τῆς δευτέρας σελίδος, ἀπὸ τῆς ἐνάτης γραμμῆς ἄχρι τέλους. «Ἕτερος κα(νὼν) παρακλητικὸς εἰς τὸν ἀρχ(ι)στράτ(η)γ(ον) Μιχ(αήλ), φέρ(ων) ἀκροστιχίδα τήνδ(ε) | Ἄκος νέμοις μοι· τῶν παθῶν τε καὶ νόσων: ἐν δὲ τοῖς. θ(εοτοκίοις) Εὐθυμίου | —Ὠδ(ὴ) α΄ ἦχος πλ(άγιος) β΄. Κύματι θαλά(σσης):- | —Ἄνωθ(εν) ὡς ἔχων· πολλὴν παρρησίαν· πανυπερθαύμαστε· πρὸς τὸν τῶν ὅλων Θ(εὸ)ν· | τοὺς ἐν τῶι θείωι ναῶι σου· καταφεύγοντας ἑκάστοτε· ἐποπτεύεις ἵλεως· Μιχαὴλ ἀρχιστράτηγε:- | Κοίμησον τὰ πάθη· νοὸς καὶ ψυχῆς· καὶ τὰς τοῦ σώματος· νόσους θεράπευσον καὶ πρὸς | ἐνθέους αἰνέσεις· διανάστησον πρεσβείαις σου. πρὸς σὲ γὰρ κατέφυγ(ον)· Μιχαὴλ ἀρχιστράτηγε:— | Ὅλος ἐπὶ κλίνης· δεινῆς ἀρρωστίας· ψυχῇ καὶ σώματι· νῦν κατακείμενος· ἐν τ(ῷ) σεπτ(ῷ) ἰατρείῳ· | ταῖς πρεσβείαις σου προσέδραμον· μὴ οὖν ὑπερίδῃς μ(ε)· Μιχαὴλ ἀρχιστράτηγ(ε):— | Σοῦ τῇ ἀντιλήψει· καὶ σκέπ(η) τῇ θεία· περιφρουρούμενος· καθυπερβήσομαι· τεῖχο(ς) | ἐχθρῶν ἀοράτων· καὶ πρὸς θείας· καταπαύσω σκηνάς· ὁ πιστὸς οἰκέτ(ης) σου· Μιχαὴλ ἀρχιστράτηγ(ε):- | [in marg. Θ(εοτοκίον)]— Ἐπὶ τὴν ἀρχαίαν· ἀνάγαγε πάλιν· ζωήν μ(ε) πάναγ(ε) τῇ μεσιτεία σου· καὶ τῆς διαι|ωνιζούσης κατακρίσεως ἐκλύτρωσαι· καὶ δικαίοις σύνταξον· ὅσα γὰρ θέλεις δύνασαι:- | Ὠδ(ὴ) β΄ πρ(ὸς τὸ) Ὅτι ἐγώ εἰμι Θ(εὸ)ς· ὁ μάννα:—+ Νοῦν κατερρύπωσα ταῖς | ἀκαθάρτοις ἡδοναῖς· διό σου τῷ τεμένει· προστρέχων ἀνακράζω· καθάρισόν μ(ε) | πάσης ἁμαρτίας· καὶ κηλίδος ταῖς θείαις σου λιταῖς· προστάτα πάντων Μιχαήλ:— | Ἑυρωσαν (o) θλίψεις με καὶ ἀρρωστίαι χαλεπαί· τὰ τῶν ἁμαρτιῶν μου· κυήμ(α)τα· ἐξ ὧν | πάτερ· τῆι πρὸς Θ(εό)ν σου παρρησία λύτρωσαί μ(ε)· ὡς φύλαξ τῶν πιστῶν· καὶ τῶν ἀ|γγέλων ὁδηγός:—Μή με ἀπ(ο)στρέψεις· καταισχυμμένον δυσωπ(ῶ)· λειτουργ(ὲ) θείας | δόξης· Μιχαὴλ καὶ τῶν ἄνω· θείων δυνάμεων· φωσφόρε ταξιάρχα· ἀλλὰ ἀντ(ι)|λαβοῦ· καὶ ἐξελοῦ μ(ε) τῶν δεινῶν:— | [in marg. Θ(εοτοκίον) —Ὕμνον χειλέων μου· μὴ ἀπ(ο)πέμψεις ἀγαθή· ἡ | Θ(εὸ)ν συλλαβοῦσα·

καὶ τέξασα ἀφράστως· τὸν τῶν ἀγγέλων ποιητήν τε καὶ δεσπότην· | ἀλλὰ προ(σ)δέχ(ου) εὐμενῶς· καὶ περιφρούρει συμπαθῶς:— Ὠδ(ὴ) γ'. Σὲ τὸν ἐπὶ ὑδάτ(ων). — | Ὁ τῆς εἰρήνης ἄρχων· σὲ ἄγγελον· εἰρήνης ἐμπαρέσχε· καὶ φύλακα ψυχῶν τε· καὶ τῶν σωμ(ά)των | ἀοίδιμ(ε)· Μιχαὴλ ἀρχιστράτ(η)γ(ε)· διὸ θεράπευσον· καὶ τῆς νόσου μ' ἐξέγειρον: — | Ἴασαι τῆς ψυχῆς μ(ου) τὰ τραύματα καὶ σώμ(α)τ(ος) τὰς νόσους· τῆι σῆι ἐπιστασία· Μιχα|ὴλ σύμπαθέστ(α)τ(ε)· καὶ τῶν ἀγγέλων ἔξαρχ(ε)· ἵνα δοξάζω σε· διὰ βίου στερεούμενος: — | Σὲ τὸν ἐπὶ ὑδάτων· ἐρχόμενον· τοῦ Σιλοὰμ τὸ πάλαι· καὶ τούτοις ἀοράτως· | χάριν ἰάσεως νέμοντα· ἐπικαλοῦμαι πρόφθασον· καὶ ἐλευθέρωσον· τῶν κακῶν τῶν συνεχόντων μ(ε):—[Θ(εοτοκίον)].— | Θάλασσαν τὴν τοῦ βίου· κατεύθυνον, ἀβρόχως διαπλεῦσαι· καὶ φθάσαι μ(ε) πρὸς ὅρμον· | τῆς βασιλείας τὸν εὔδιον· τοῦ σοῦ υἱοῦ πανάμ(ω)μ(ε)· ἵνα δοξάζω σε· σὺν ἀγγέλοις | ἀγαλλόμενος: — Ὠδ(ὴ) δ'. Τὴν ἐν στ(αυ)ρῷ σου θείαν κένω(σιν):—+ | Μή με παρόψη χειμαζόμενον· ἀλγηδόσι δειναῖς· ἀλλὲπαλλήλων νόσων· Μιχ(αὴλ) | ἀρχιστράτηγ(ε)· ἀλλὰ συμπαθῶς· ἐλεήσας εἰς ὕμνους· θείους ἐξέγειρον:— | Οἱ ἀπ(ὸ) ὕψους πολεμοῦντες με· φθονεροὶ δυσμενεῖς· ἐπληθύνθησαν οἷς περ· | Μιχαὴλ ἐπιτίμησον· θεῖε στρατηγ(ὲ)· ὡς ἐπὶ τοῦ Μωσέως· ἵνα γεραίρω σε:— | Ἱκετηρίαν σοι προσάγ(ο)μ(αι)· ὅπως ῥύσηι ἡμᾶς· ἐκ πειρασμῶν τοῦ βίου· καὶ πονηρῶν | ἀν(θρώπ)ων τε· θείαις σου λιταῖς· ἀρχ(η)γὲ τῶν ἀγγέλων· Μιχ(αὴλ) μέγιστε:—».

Σελ. 525. Πίναξ ἀπεικάζων δύο σελίδας παλαιτάτου κώδικος, ἐν αἷς ἀναγινώσκεται μέρος ἐπιστολῆς Φίλωνος ἐπισκόπου Καρπαθίου πρὸς Εὐκάρπιον, ὅπερ ὅρα ἐν τῷ πρώτῳ τόμῳ τῶν Ἀναλέκτων Ἱεροσολυμιτικῆς Σταχυολογίας, σελ. 396,18—397,15. Καὶ πάλιν ἕτερος πίναξ τοῦ αὐτοῦ κώδικος, ἔχων μέρος μικρᾶς τινος συγγραφῆς περὶ βλασφημίας Ἀναστασίου τοῦ Σιναΐτου· ὅρα δὲ καὶ τοῦτο ἐν τοῖς αὐτοῖς ἀναλέκτοις, σελ. 403,19—404.

Σελ. 624. Πίναξ άπεικάζων δύο σελίδας έκκλησιαστικοῦ τυπικοῦ (ἀριθ. 635), γραφέντος ὡς ἔοικε τῇ πεντεκαιδεκάτῃ ἑκατονταετηρίδι· ἀναγινώσκεται δὲ τὸ ἐν αὐταῖς κείμενον ὧδε· «--δίδοται καὶ ἅγ(ιον) ἔλαιον τοῖς ἀδελφοῖς· εἰς τὴν λει(τουργίαν) τυπικὰ καὶ ἐκ τῶν κανόνων τῆς ἑορτῆς | ᾠδὴ γ' καὶ ϛ'· εἰς τὴν εἴσοδ(ον) τροπάρ(ιον) ἦχ(ος) δ': Σήμερον τῆς εὐδοκίας· Δόξα.. καὶ νῦν· τὸ κοντάκιον· | προκ(είμενον) ἦχ(ος) γ'. Ὠδ(ὴ) τῆς Θ(εοτό)κου: Μεγαλύνη ἡ ψυχή μου τὸν Κύριον· Στίχ(ος). Ὅτι ἐπέβλεψεν|. Ὁ ἀπόστολος· πρὸς Ἑβραίους· Ἀδελφοί· εἶχεν ἡ πρώτη σκηνή. Ζήτ(ει) σεπτεβρ(ίῳ) θη. | Ἀλληλούια ἦχ(ος) πλ(άγιος) δ'. Ἄκουσον θύγατερ. Εὐα(γγέλι)ον κ(α)τ(ὰ) Λουκᾶν. Τῷ καιρ(ῷ ἐκείνῳ) εἰσῆλθ(εν) ὁ Ἰ(ησοῦ)ς εἰς κώμ(ην) | τινά. Ζήτ(ει) σεπτεβρί(ῳ) η'. Κοινωνικόν. Ποτήριον σωτηρίου. Δεῖ εἰδέναι ὅτι ἑορτάζεται ἡ παροῦσα ἑορτὴ μέχρι τῆς κε' τοῦ αὐτοῦ μηνὸς ἡμέρα ε'. | Ἐν τοῖς μεθεόρτοις, εἰ τύχ(οι) ἐν Κυ(ριακῇ) ζήτ(ει) ὄπισθεν εἰς τὴν ἑρμηνείαν:—| Κε(φάλαι)ον ξα'. — Περὶ τῆς ἀποδώσεως τῆς ἑορτῆς τῆς εἰσόδ(ου) εἰ τύχ(οι) ἐν Κυρ(ιακῇ) πῶς λέγεται.— | Δεῖ εἰδέναι ὅτι ἐὰν τύχ(ῃ) ἡ ἀπόδ(οσις) τῆς ἑορτῆς τῆς εἰσόδ(ου) ἐν Κυρ(ιακῇ), ἐν τῷ | μικρῷ ἑσπερ(ινῷ) ἱστῶμεν στίχ(ους) δ'. καὶ ψάλλομεν στιχ(η)ρ(ὰ) ἀναστάσιμα γ'· Ἀνατολικὸν ἕν. Τῆς ἑορτῆς προκείμενα γ' ἦχ(ος) α'. Ὢ τοῦ παραδόξου. Καὶ τοῦ ἁγ(ίου) Κλήμ(εν)τ(ος) προκείμενα γ' Δόξα τῆς ἑορτῆς ἦχ(ος) πλ(άγιος) δ'. Μετὰ τὸ τεχθῆναί μ(ε). Καὶ νῦν. Θεοτοκίον τοῦ ἤχ(ου). Εἰς τὴν λιτ(ὴν) στιχηρὰ τῆς μονῆς, καὶ τῆς ἑορτῆς στιχηρὰ τῆς λιτῆς. Εἰς τ(ὸν) στίχ(ον) τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχ(ου)· καὶ | τὸν ἀλφά(βη)τ(ον). Δόξα . . . Καὶ νῦν τῆς ἑορτῆς ἦχ(ος) πλ(άγιος) β'. Σήμερον τὰ στίφ(η) Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων | Θ(εοτό)κε παρθένε ἦχ(ος) γ'. Ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς· εἰ δὲ ἑτέρα ἀνάγνωσις ἐκ τοῦ ἁγ(ίου) Κλήμ(εν)τ(ος)· | καὶ τοῦ ἁγ(ίου) Πέτρου. Εἰς τὸ Θ(εὸ)ς κ(ύριο)ς τροπάριον τὸ ἀναστ(άσιμον) δίς. Δόξα τοῦ ἁγ(ίου) Κλήμ(εν)τ(ος) ἦχ(ος) δ'. | καὶ Τρόπ(ῳ) μέτοχος. Ζήτ(ει) σεπτεβρ(ίῳ) γ'. Δόξα . . Καὶ νῦν τῆς ἑορτῆς ἦχ(ος) δ'. | Ναοῦ τὰ προπύλαια καὶ τῶν ἁγίων

σαφῶς· τὰ ἅγια σημερον· | τῷ Ζαχαρία φαιδρῶς κοσμήσας εὐτρέπισον· μένει γὰρ ἡ | παρθένος· ἔνδον τοῦτον εἰσδύναι· ἥτις προσ κατοικίαν, | τοῦ Θ(εο)ῦ ἡτοιμάσθη· ἧς νῦν ἑορτάζομεν τὴν θείαν εἴσοδον:— | Καὶ θ(εοτο)κίον τὸ ἀναστά(σιμον). Εἰς τὸ κάθισμα τῆς στιχ(ο)λογίας καθίσματα ἀναστά(σιμα) μετὰ τῶν θ(εοτο)κίων αὐτῶν· | Ἄμωμ(ος). Ἡ ὑπακοή. Οἱ ἀναβαθμοὶ τοῦ ἤχ(ου). Προκ(είμενον)· Πᾶσα πνοή· καὶ εὐαγγέλιον ἀναστάσιμον. | Εἰς δ' ὁ κανὼν ὁ ἀναστά(σιμ)ος τῆς Θ(εοτό)κου β^{ος}, τῆς ἑορτῆς ὁ δ^{ος} εἰς δ', καὶ τοῦ ἁγ(ίου) | Κλήμεντος εἰς δ'· ἀπὸ γ' ᾠδ(ῆς) κοντά(κιον) τοῦ ἁγ(ίου), εἰ ἔστιν. καὶ κάθ(ισμα) τοῦ ἁγ(ίου). Δόξα | Καὶ νῦν τῆς ἑορτῆς. Ἀφ' ϛ' κοντάκιον τῆς ἑορτῆς· καὶ τὸν οἶκον. Ἐν τῇ ἐννάτ(η) στιχ(ο)λογ(εῖ)τ(αι) ἡ Τιμιωτέρα. | Ἐξαπ(οστειλά)ρ(ιον) τὸ ἀναστά(σιμον) τοῦ ἁγ(ίου), εἰ ἔχει· καὶ τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστά(σιμα) καὶ | τῆς ἑορτῆς προκείμ(ενα) γ'. ἦχ(ος) α'. Τῶν οὐρανίων ταγμάτων. Καὶ ἕτερον ἰδίομελον ἦχ(ος) β'. «Σήμερον | τῷ ναῷ προσάγεται» μετὰ τῶν στίχων τῆς ἑορτῆς. Δόξα τὸ ἑωθ(ινόν). Καὶ νῦν. Ὑπερευλογημένη. | Δοξολ(ο)γ(ία) μεγ(ά)λ(η) καὶ ἀπ(όλυσις). Εἰς τὴν λει(τουργίαν' οἱ μακαρισμ(οὶ) τοῦ ἤχ(ου), εἰς ϛ'· καὶ τῆς ἑορτῆς ἡ ἐννάτ(η) ᾠδ(ὴ) | τοῦ δ' ἤχ(ου) εἰς δ'. Τροπάρ(ιον) ἀναστά(σιμ)ον καὶ τῆς ἑορτῆς Δόξα... Καὶ νῦν. Τὸ κοντάκιον τῆς ἑορτῆς. | Προκ(είμενον). Ἀπόστολ(ος). Ἀλληλούϊα καὶ κοινωνικὸν τῆς ἡμέρας· καὶ τῆς ἑορτῆς· ἡ δὲ τοῦ ἁγ(ίου) | Πέτρου ἀκολουθία ψάλλεται ὅτε θέλ(ει) ὁ ἐκκλησιάρχ(ης).— | κβ' [= νοεμβρίου]—Τοῦ ἁγ(ίου) ἀπο(στό)λ(ου) Φιλήμονος· καὶ τῶν σὺν αὐτῷ. Ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ τοῦ ἁγ(ίου). | Εἰς τὸν ὄρθρον· ἀναγινώσκομ(εν) ἐκ τοῦ βίου τοῦ ἁγ(ίου) Γρηγ(ο)ρ(ίου) Ἀκραγαντίνων. Εἰς τὴν λει(τουργίαν) ζήτ(ει) | εἰς Ἀπό(στολον) κγ'. Τοῦ ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀμφιλοχίου· ἐπισκόπου Ἰκονίου καὶ τοῦ | ἐν ἁγ(ίοις) π(ατ)ρ(ὸ)ς ἡμῶν Γρηγ(ο)ρ(ίου) Ἀκραγαντίνων. Ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ τῶν ἁγ(ίων). Τροπ(ά)ρι(ον) ἦχ(ος) γ'. | Στύλος γέγονας ὀρθοδοξίας· θείοις δόγμασιν ὑποστηρίζων τὴν | ἐκκλησίαν ἱεράρχα Ἀμφιλόχιε· τῷ γὰρ π(ατ)ρὶ τὸν υἱὸν ὁμοούσιον· | ἀνακηρύττων κατήσχυνας Ἄρειον· π(άτ)ερ ὅσιε·

Χ(ριστὸ)ν τὸν Θ(εὸ)ν ἱκέ|τευε· δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος: — Καὶ τοῦ ἁγ(ίου) Γρηγ(ο)ρ(ίου) ἦχ(ος) ὁ αὐτός.

Σελ. 366, κῶδ. 235. Τὸ ἐν τῇ δευτέρᾳ στήλῃ τοῦ πίνακος ἐπίγραμμα κατὰ λέξιν ἔχει ὧδε· «✝ Ὦ, τίσ ἂν καὶ ἀξίως ἐκπληρίοι τῶν τῆδε | ἄκρος ἀρετῆς ἐληλακὼς τὸν τρόπον: - | Ταπεινός τὲ καὶ σῶφρον πτωχεύοντι τῶ πνα: - | μακαρισμοῦ τεύξεται τοῦ λόγου τοῦ σρς': - | Εἰ δὲ καὶ πρόσληφθεῖ μιὰ καιρέα τῆσδε: - | Μικροῦ νυχος ἔοικε, ἀετῶ βροχομένω: - »

ΠΑΡΑΡΤΗΜΑ Γ΄.

ΚΑΤΑΛΟΓΟΣ

τῶν ὑπὸ Coxe, ὑποβιβλιοθηκαρίου τῆς Βοδλεϊανῆς βιβλιοθήκης, παρατηρηθέντων (ἔτει 1857-ῳ) κωδίκων ἐν ταῖς δυσὶ βιβλιοθήκαις τῆς λαύρας τοῦ ἁγίου Σάβα [1].

(H. O. Coxe, Report to Her Majesty's Government, on the greek manuscripts yet remaining in Libraries of the Levant. London 1858, σ. 11-15, 54-61. Греческія книгохранилища Востока и ихъ рукописи, осмотрѣнныя однимъ англійскимъ путешественникомъ въ 1858 году. Москва 1871, σ. 14-19).

1. Chrysostomi, Amphilochii et Andreæ Cretensis homiliæ de diversis; membr. in fol. minori; sec. XI ineunte.—2. Chrysostomi homiliæ super Genesin; membr. in fol.; sec. XI exeunt.—3. Ejusdem homiliæ in S. Pauli epistolam ad Romanos; membr. in fol., sec. XI (! ἀριθ. 20).—4. Symeonis Metaphrastis vitae Sanctorum; membr. in fol.; sec. XII.—5. Vita SS. per annum; membr. in fol.; sec. XI.—6. Menologion; membr. in fol. sec. XI (ἀριθ. 156).—7. Symeonis vitae SS. quorum festa in Novembri; membr. in fol; sec. XI.—8. Ejusdem exemplar aliud; membr. in fol.; sec. XII.—9. Ejusdem vitae SS. quorum festa in Decembri; membr. in fol; sec. XI.—

[1] Πολλοὶ τῶν κωδίκων, ὡς περιγράφονται, δυσδιάκριτοι· ἄλλοι δέ τινες ἐπιγράφονται κακῶς ὑπὸ τοῦ Coxe· ἀλλὰ καὶ ὁ χρόνος, ὃν αὐτὸς ὥρισεν, ἐστι πολλαχοῦ ἡμαρτημένος πάνυ· εἶδε μέντοι κώδικας, ὧν τινες οὐχ ὑπάρχουσιν ἴσως ἤδη· οἷον α΄) Michaelis Pselli nonnula et stichera cum notis, β΄) Chrysostomi orationes in Matthaei et Johannis evangeliis, γ΄) Niphonis et aliorum ascetica, δ΄) Asceticorum in sectiones CCCL distinctae, ε΄) Interpretationes super SS Marci et Lucae evangelia.

10. Gerondicon, seu vitae SS.; chart. in 4-to maj.; sec. XV (ἀριθ. 151).—11. Vitae Patrum; chart. in 4-to maj.; sec. XIV.—12. Andreæ Cretensis et aliorum sermones; membr. in 4-to; sec. XI (ἀριθ. 79). — 13. Ejusdem ascetica; chart. in 4-to; sec. XIV. — 14. Niphonis et aliorum ascetica; membr. in 4-to; sec. XIV. — 15. Collectio canonum ecclesiasticorum; membr in fol.; sec. XI (ἀριθ. Σταυροῦ 2).— 16. Symeonis Metaphrastis vitae Sanctorum, quatuor voluminibus comprehensae; membr. in 4-to; sec. XI. — 17. Evangeliarium; membr. in 4-to majori; sec. XII.—18. Menologion; membr. in fol.; sec. XI (ἀριθ. Σταυροῦ 40). — 19. SS. Patrum sermones; membr. in fol.; sec. XII (ἀριθ. 180?). — 20. SS. Apostolorum acta; epistolae Paulinae et canonicae, necnon apocalypsis S. Johannis; memb. in 4-to minori; sec. XI ineunt.—21. Lectionum fragmenta ex Prophetis; membr. in 4-to; sec. XII.—22. Commentarius super Prophetas Majores; membr. in 4-to; sec. XII. Codex palimpsestus et rescriptus trium scripturam librariorum exhibens; quorum prior et antiquior sec. forsitan VII literis uncialibus usus est, hodie tamen vix enucleandis; secundus Euripidis Orestem et Phoenissam [sic] tragaedias, necnon Gregorii Theologi poëmata aliquot, sec. XI ineunte exaravit; tertius ut supra diximus, commentarium super Prophetas (Κῶδ. πατριαρχ. 36). — 23. Evangelistarium; membr. in. fol.; sec. XII.—24. Idem, membr. in fol.; sec. XI. — 25. Id. membr. in fol. sec. XI.—25. Id. membr. in. fol.; sec. XI.—27. Evangelia quatuor membr. in fol; sec. XII. — 28. Maximi Confessoris centuriae theologicæ, cum scholiis marginalibus; membr. in 4⁰; sec. XI (ἀριθ. Σταυροῦ 50). — 29. Chrysostomi in S. Matthaei evangelium homiliae; membr. in fol., sec. XI.—30. Ejusdem operis exemplar aliud, ejusdem seculi.—31. Ejusdem homiliae in Genesin; membr. in fol.; sec. XI.—32. a) Johannis Zinae [Sinaitae?] sermo asceticus.—b) Johannis Climaci Scala Paradisi; membr. in 4⁰ sec. XI (ἀριθ. 100).— 33. Vita Barlaami et Ioasaphat picturis ornata; membr. in 4⁰ sec. XI (ἀριθ. Σταυροῦ 42).—34. Ephrem Syri sermones ascetici; membr. in fol.; sec. XI (ἀριθ. Σταυροῦ 13). — 35. Acta Apostolorum et epistolæ Paulinæ catholicæque; membr. in 4⁰ sec. XI (ἀριθ. 107).— 36. Gregorii Theologi orationes; membr. in fol.; sec. XI.—37. Ejusdem operis exemplaria tria alia; membr. in fol.; sec. XI.—38. Basilii in Psalterium homiliæ; membr. in fol.; sec. XI (ἀριθ. Σταυροῦ 24).—39. Alexii Macrembolitæ allegoriae; chart. in 4⁰; sec. XIV

(ἀριθ. 417).—40. Evangelistarium graece et arabice membr. in fol.; sec. XII (ἀριθ. Σταυροῦ 26).—41. Menologium pro mense Septembri; membr. in fol.; sec. XV.—42. Luciani dialogi; Euripidis; Aristophanis Plutus; chart. in 4⁰ sec. XVI.—43. Typicon τῆς ἁγίας ἐκκλησίας ἐν Ἱεροσολύμοις λαύρας τοῦ ἁγίου Σάββα (ἀριθ. 628).—44. Evangeliarium; membr. in 4⁰ majori; sec. XII.—45. Chrysostomi in S. Matthæi evangelium homiliae; membr. in fol. sec. XI.—46. Ejusdem in Genesim homiliae, pars prior; membr. in fol. sec. XI.—47. Ejusdem operis exemplar aliud; ejusdem seculi.—48. Psalterium; membr. in 4⁰ minori; sec. X exeuntis. — 49. Id. membr. in 4⁰ min. sec. XI.—50. Id. ejusdem seculi et formae.—51. Id. membr. in 4⁰ sec. XII.—52. Evangelia IV, nec non epistolae Paulinae canonicæque cum synaxariis; membr. in 4⁰ minori sec. XI. — 53. Id. membr. in 4o sec. XI. — 54. Id. membr. in 4⁰ sec. XII. — 55. Evangeliarium; membr. in 4⁰ majori; sec. XII. — 56. Evangelia quatuor; membranac. in 4o minori, sec. X. — 57. Exemplar aliud; membr. in 4o minori; sec. X exeuntis.—58. Id. ejusdem formae et seculi.—59. Id. ejusdem formae et seculi.—60. Idem.—61. Id. Exemplaria quinque; membr. in 4o; sec. XI.—62. Id. Exemplaria quinque; in 4o; sec. XII. — 63. Synopsis historica a fundatione mund usque ad Constantinum Palæologum imperatorem, anno 1580 compilata. Inc. Θέλων ὁ σοφὸς δημιουργός. Ex charta laevigata; in fol. ff. 360; sec. XVI (ἀριθ. Σταυροῦ 28). Pauca de Venetiis versus finem occurunt.

Mss. in the Tower Library of the monastery of St. Saba.

число ихъ дошло до 15-ти книгъ, изъ которыхъ двѣ печатныя; къ нимъ я прибавилъ 9 рукописей греческихъ. Древность ихъ была для меня несомнѣнна; послѣдствіе оправдало мой выборъ. Увѣрясь въ безполезности этихъ книгъ для монастыря, я наконецъ пріобрѣлъ ихъ, съ благословенія митрополита Іерусалимскаго, и впослѣдствіи любители отечественныхъ древностей сдѣлали описаніе этихъ пріобрѣтеній [1]. Небольшая библіотека, хранящаяся въ церкви, заключаетъ въ себѣ нѣсколько драгоцѣнныхъ рукописей, онѣ всѣ греческія и письмо многихъ изъ нихъ, принадлежитъ VIII, IX и X вѣкамъ, а можетъ быть и древнѣйшимъ. Изъ моихъ рукописей, въ числѣ греческихъ древнѣйшія двѣ IX-го вѣка, а изъ словенскихъ XIII-го и XIV-го вѣковъ. ([2] Εἶπον ἤδη, ὅτι ἐν αὐτῇ τῇ ἐκκλησίᾳ φυλάττονται πολλοὶ κώδικες. Εὑρίσκονται μὲν οὖν ἐκεῖ μόνον οἱ περιλαμβάνοντες ἔργα τῶν ἁγίων πατέρων γνωστότατα, ἢ κείμενα λειτουργικά, ἐκεῖνα μὲν ἐν τάξει, ταῦτα δὲ παρερριμμένα καὶ πρὸς καταστροφὴν ὡρισμένα, ἃ τὸν οἶκτόν μου διήγειρε καὶ παραυτὰ τῆς ἐξετάσεως αὐτῶν ἠρξάμην· εἰς χαρὰν δὲ ἡ ἐμὴ κατάπληξις ἐστράφη, ὅτ' ἀνὰ μέσον αὐτῶν ἐγὼ τεύχη τινὰ χειρόγραφα σλαβονικὰ μεμβράνινά τε καὶ βαμβακερὰ καὶ χάρτινα διανεκάλυψα· καὶ δή, ὅ τι τούτων εὕρισκον ἀξιολογώτερον, ἠρξάμην αὐτὸ παραμερίζειν. Πάντα μὲν οὖν τὰ σλαβονικά, ὅσα ἦν ἐκεῖ, συνήθροισα· ἦν δὲ πεντεκαίδεκα, ὧν δύο τύποις ἐκτετυπωμένα [3]· τούτοις δὲ προσέθηκα κώδικας ἑλληνικοὺς ἐννέα, ὧν ἡ παλαιότης ἀναμφισβήτητος ὅλως ἐφάνη μοι, καὶ τοῦτο τῳόντι κατόπιν οὕτως ἔχον ἀπεδείχθη [4]. Ἐπεὶ δὲ περὶ τῆς ἀχρηστίας αὐτῶν ἐν τῷ μοναστηρίῳ κατεβεβαιώθην, ἐκτησάμην αὐτὰ τὸ τελευταῖον εὐλογίᾳ τοῦ μητροπολίτου τῆς Ἱερουσαλὴμ [5], οἱ δὲ φίλοι τῶν πατρολογικῶν ἀρχαιοτήτων ἤδη τὰ ῥηθέντα περιέγραψαν ἀποκτήματα. Εἰ καὶ μικρὰ βιβλιοθήκη ἡ ἐν τῇ ἐκκλησίᾳ φυλαττομένη, περισῴζει μέντοι πολλὰ πολύτιμα χειρόγραφα τεύχη, ἑλληνικὰ μὲν ἅπαντα, πολλὰ δὲ γεγραμμένα τῇ ὀγδόῃ τῇ ἐνάτῃ καὶ τῇ δεκάτῃ ἑκατονταετηρίδι, ἴσως δὲ καὶ παλαιότερα. Τῶν ἐμῶν ἑλληνικῶν ἤδη χειρογράφων ἐστὶ δύο τῆς ἐνάτης ἑκατονταετηρίδος, τῶν δὲ σλαβονικῶν τῆς ιγ' καὶ τῆς ιδ' ἑκατονταετηρίδος) [6].

---

[1] Ὅρα τὸ **Журналъ Министерства Народн. Просвѣщ.** 1836, ἀριθ. IX καὶ XI.

[2] Μεθερμήνευσις ἑλληνικὴ τῶν ῥωσσιστὶ λεγομένων ὑπὸ Ἀβραὰμ τοῦ Νόρωφ.

[3] Καὶ ταῦτα τὰ τετυπωμένα παρέλαβεν ὁ Νόρωφ. Πρβλ. τὸ **Журналъ** 1836, IX, σ. 548 - 541.

[4] Τοὺς κώδικας, οὓς ὁ Νόρωφ ἔλαβε, περιέγραψεν ἐκτενῶς ὁ Α. Βοστοκώβ. **Журналъ** 1836, IX, σ. 529 - 547. XI, σ. 409 - 422.

[5] Ἐννοεῖ τὸν μητροπολίτην Πέτρας Μισαήλ, ὃς ἀντεπροσώπευε τότε τὸν πατριάρχην Ἱεροσολύμων Ἀθανάσιον τὸν ἐν Κωνσταντινουπόλει τὴν ἱεροσολυμιτικὴν αὐτοῦ πατριαρχίαν ἀποτελέσαντα μέχρις ἐκπνοῆς.

[6] Ἀβραὰμ ὁ Νόρωφ εἶδε τὴν λαύραν τὸ δεύτερον ἔτει 1861-ῳ καὶ παρέλαβε τότε μεμονωμένα τινὰ φύλλα καὶ κώδικα τέλειον ἕνα, ὃν ἔδωκεν αὐτῷ δῶρον Ἰωάσαφ ὁ τῆς λαύρας ἡγούμενος· ἀλλ' ὁ πατριάρχης Κύριλλος ὁ β', εἰ καὶ τὸν εὐγενῆ Νόρωφ ἠγάπα σφόδρα, τὴν δωρεὰν ἠκύρωσε· καὶ τὰ μὲν φύλλα κατέθηκεν ἐν τῇ πατριαρχικῇ βιβλιοθήκῃ (ἀριθ. 510), τὸν δὲ κώδικα πρὸς τὴν λαύραν ἀπέδωκεν· ἔστι δ' οὗτος ὁ ἀριθμὸς 150-ός. Το πρᾶγμα διηγεῖται μετὰ χάριτος αὐτὸς ὁ Νόρωφ: **Іерусалимъ и Синай. Записки втораго путешествія на Востокъ А. С. Норова. Подъ редакціею** В. Н. Хитрово. Ἐν Πετρουπόλει 1878, σ. 51 - 52.

(1844. C. Tischendorf, Reise in den Orient. Leipzig 1846, τ. II, σ. 123).

Hier nahm ich jedes Manuscript in die Hand, und meine beiden Mönche daneben bagriffen bald, dass ich mich darauf besser als sie selber verstehen möchte. Der Inhalt war im Ganzen dem der Bibliothek auf dem Sinai nahe verwandt. Unter den vielen patristischen, kirchlichen, biblischen Manuscripten, worunter nicht wenige dem zehnten und elften Jahrhunderte angehörten, und mehrere sehr nett ausgestattet waren, stand durch wieder der alte Hippokrates da [1]. Ausser den griechischen Manuscripten sah ich noch mehrere russische und walachische, arabische und syrische, sowie zehn schöne abyssinische Pergamenthandschriften. In der Zahn der letzten entdeckt ich einen griechischen Unzialcodex, ein Evangelistarium des achten oder neunten Jahrhunderts. Meine Begleiter glanten aber nicht eher dass die Schrift griechisch war, bis ich ihnen einige Zeilen daraus vorlas. So weit reicht die Wissenschaft in einem berühmten griechischen Kloster. Meine Untersuchungeu hatten kein gutes Ende. Jch traf einen Haufen von manuscriptlichen Resten, als werthlos in die Ecke geworfen. Ich fragte, ob ich mir davon einige Erinnerungen anleses dürfe, die Mönche gestatteten mir's. Als ich aber meine Wahl getroffen, mit ihren Billigung sogar ein altes schönes Uncialblatt aus einer neueren Haudschrift zerissen hatte, so hielten sie mir das Verbot jeder Entfernung von Manuscripten vor, streuten sich aber sichtlich meiner so kundig getroffenen Auswahl. Uebrigens erzählten sie mir, dass unlängst ein russischer Archimandrit ein Verzeichniss von allen Manuscripten gefertigt habe [2]. Jch meines Theils begnügte mich mit den Notizen einer flüchtigen Durchsicht.

---

[1] Πρβλ. τοὺς κώδικας 432 καὶ 498.
[2] Πορφύριος οὗτος ἦν ὁ Οὐσπένσκης.

ΚΩΔΙΚΕΣ ΑΠΟ ΤΗΣ ΛΑΥΡΑΣ ΤΟΥ ΟΣΙΟΥ ΣΑΒΑ
ληφθέντες ἐκ παλαιοῦ [1].

1. Κῶδιξ Πετρουπόλεως CCXIX, ὁ λεγόμενος codex Porphyrii Uspensky. Ὅρα Отчетъ Императорской Публичной Библіотеки за 1883 годъ. Ἐν Πετρουπόλει 1885, σ. 82. — Τετραευαγγέλιον ὀγδόου σχήματος ἐκ φύλλων μεμβρανίνων 344, γραφὲν ἔτει 835-ῳ. Οὗτος ὁ κῶδιξ, ὃν εἶχε πρότερον ἡ λαύρα, σπουδαιότατός ἐστι διὰ τὸν χρόνον ἐν ᾧ κατεσκευάσθη· οὐ γὰρ ἄλλος τις ἄχρι τοῦδε κῶδιξ οὕτω παλαιὸς εὑρέθη γεγραμμένος τῇ συνήθει μικρᾷ γραφῇ, ἣν οἱ παλαιογράφοι γερμανιστὶ alt Minuskel Schrift λέγουσι. Πρῶτος ὁ Scholz, ὅτε τὸν κώδικα τοῦτον εἶδεν ἐν τῇ λαύρᾳ (1821), κατωνόμασεν αὐτὸν εὐφυῶς «eine seltene Erscheinung, vielleicht ein ἅπαξ λεγόμενον in jener Zeit». Ἔλαβε δὲ τοῦτον ἐκεῖθεν ὁ Πορφύριος ἔτει 1844-ῳ· δείγματα δὲ γραφῆς αὐτοῦ τοῦ κώδικος ὅρα ἐν τοῖς ἐφεξῆς βιβλίοις: Ἀμφιλοχίου ἀρχιμανδρίτου, Палеографическое описаніе I, ἐν Μόσχᾳ 1879, σ. 7-8 καὶ πίνακα 1. V. Gardthausen, Beiträge zur griechischen Palaeogrephie (Sitzungsb. d. k. Sächsischen Gesellschaft d. Wiss. 1877, taf. 2. Wattenbach et de Velsen, Exempla cod. graec. Heidelberg 1878, π. I. Περὶ τῆς ἀξίας τοῦ κώδικος ὅρα πάλιν V. Gardthausen, Griechishe Palaeographie. Leipzig 1879, σ. 184. C. Gregory, Prolegomena II, Leipzig. 1890, σ. 541.—Τὸν κώδικα Νικόλαος ἔγραψε μοναχὸς ἴσως Ἁγιοσαβίτης, ὡς εἴκασεν ὁ Gardthausen· ἔχει δὲ τὸ σημείωμα τοῦ γραφέως ὧδε· «Ἐτελειώθη Θεοῦ χάριτι ἡ ἱερὰ | αὕτη καὶ θεοχάρακτος βίβλος | μηνὶ μαΐῳ ζ΄ ἰνδικτιῶνος | ιγ΄ ἔτους κόσμου, ςτμγ΄ δυ|σωπῶ δὲ πάντας τοὺς | ἐντυγχάνοντας μνείαν|μου ποιεῖσθαι τοῦ γρά|ψαντος | Νικολάου ἁμαρτωλοῦ | μοναχοῦ ὅπως εὕροιμι ἔλε|ος ἐν ἡμέρα κρίσεως. | Γένοιτο, Κύριε· ἀμήν».

[1] Κατάλογον αὐτῶν ἔγραψε πρῶτος ἐπιμελῶς ὁ Albert Ehrhard, κώδικας ἐν αὐτῷ συναριθμήσας 21 (Röm. Quartalschrift 1893, σ. 63-65)· ὃν ἐγὼ νῦν ἀνεπλήρωσα, προσθεὶς κώδικας ἔτι 36· δύο μέντοι κώδικες, οὓς ὁ Ehrhard ἀνέγραψεν, ὠβελίσθησαν ὑπ' ἐμοῦ· οὐ γὰρ ἦσαν οὗτοι Σαβαϊτικοί.

2. Κῶδιξ Πετρουπόλεως CCVI: Psalterium Uspenskyanum a. 862. — Ὅρα Отчетъ σ. 80. — Ψαλτήριον ἐκ φύλλων μεμβρανίνων 349, γραφὲν κεφαλαιώδεσι γράμμασι μεταξὺ τῶν ἐτῶν 861 καὶ 862· ἔστι δὲ σχήματος ὀγδόου καὶ τὸ τέλος αὐτοῦ λέγει τάδε· «Ἐν ὀνόματι τῆς ἁγίας ἀ|χράντου καὶ ζωαρχικῆς | τριάδος, πατρὸς καὶ υἱοῦ καὶ | ἁγίου πνεύματος, ἐγράφη καὶ | ἐτελειώθη τὸ παρὸν Ψαλ|τήριον κελεύσει τοῦ ἁ|γίου καὶ μακαρίου πατρὸς | ἡμῶν Νῶε προέδρου | τῆς φιλοχρίστου μεγα|λοπόλεως Τιβεριάδος, | ἔτους κόσμου ,ςτο΄ | ἰνδ(ικτιῶνος) ια΄. Χεὶρ Θεοδώ|ρου ἐλαχ(ίστου) διακό(νου) τῆς ἁγίας | Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστ(άσεως). Ὅσοι οὖν ἐντυγχάνετε | εὔξασθε ὑπὲρ τῶν κα|τεργασαμένων καὶ ἐργα|σαμένων εἰς δόξαν Θεοῦ».—Τὸν κώδικα τοῦτον ἐμελέτησεν ὁ ἀρχιμανδρίτης Ἀμφιλόχιος, ἐκδοὺς ἐκτενῆ περιγραφὴν αὐτοῦ καὶ δείγματα γραφῆς ἱκανά. Палеографическое описанiе I, σ. 9-11 καὶ πίν. 2 καὶ 3. Πρβλ. W. Wattenbach, Schrifttafeln zur Geschichte der griechischen Schrift. Berlin 1876-77, πίν. 24. Paleographical Sociely πίν. 14. Gardthausen, Beiträge πίν. 1. Ἔστι δὲ καὶ ὁ κῶδιξ οὗτος ἐπίσης ἀξιολογώτατος διά τε τὴν παλαιογραφικὴν αὐτοῦ σημαντικότητα καὶ διὰ τὰ δύο πρόσθετα φύλλα, ὧν τὸ κείμενον ἐπιμελῶς ἀνέγνωσε σχολιάσας ὁ Jernstedt, Порфирiевскiе отрывки изъ аттической комедiи. Ἐν Πετρουπόλει 1891, σ. 253-268.

3. Κῶδιξ Πετρουπόλεως CCXVII, ἐν τῇ συλλογῇ Πορφυρίου. Отчетъ σ. 81. — Προφητολόγιον ἐκ φύλλων μεμβρανίνων 156, σχήματος τετάρτου, γραφὲν ἔτει 1054-ῳ, καθὰ δηλοῖ τὸ σημείωμα τοῦ καλλιγράφου, λέγον οὕτως· «Ἐγράφη σὺν Θεῷ | αὕτη ἡ προφητεία· | εἰς τὴν μονὴν τῆς | Θεοτόκου τοῦ Καλαμό(νος)· | διὰ χειρὸς Σεργίου μοναχοῦ | ἁμαρτωλοῦ τῆς σεβασμίας τοῦ | Ἀνεμᾶ λαύρας τῆς | εἰς τὸν Ὄλυμπον Βη|θυνίας ἐπαρχίας· | μηνὶ ἰουλίῳ ἰνδικ. ζ΄· | ἔτους ,ςφξβ΄· | οἱ ἐν αὐτῇ ἐντυγχά|νοντες, εὔχεσθέ|με διὰ τὸν Κύριον». В. Ернштедтъ, Списокъ датированныхъ греческихъ рукописей Порфирiевскаго собранiя, σ. 4. Τὸν κώδικα τοῦτον εἶδεν ὁ Scholz ἐν τῇ λαύρᾳ. Biblisch-kritische Reise, σ. 146.

4. Κῶδιξ Π/πόλεως VI ἐν τῇ συλλογῇ Tischendorf. Φύλλα τρία μεμβράνινα παλίμψηστα, ὧν τὸ ἀρχαῖον κείμενον ἑλληνικὸν ὑπάρχει μέρος ἔχον ἐκ τῆς Καινῆς Διαθήκης, τὸ δὲ νεώτερον ἰβηρικόν· ταῦτα δὲ πινακίδος ἔνδον ἦν κώδικός τινος ἀγνώστου μοι τῆς λαύρας. Πρβλ. C. Tischendorf, Monumenta sacra inedita I, σ. 29-34 καὶ πίν. I, 1. Τοῦ αὐτοῦ Anecdota sacra et profana σ. 2 cod. II. Casp.

Gregory, Prolegomena I, σ. 378. E. Muralt, Catalogue des MSS grecs de la bibliotheque impér. publique. St. Petersbourg, 1864, σ. 4-5.

5. Κῶδιξ Π/όλεως XIX ἐν τῇ συλλογῇ Tischendorf. Φύλλα δύο μεμβρ. τῆς ἑβδόμης ἑκατ., ὡσαύτως παλίμψηστα, ὧν τὸ μὲν ἀρχαῖον κείμενον ἑλληνικόν ἐστιν (ἐκ τῶν πράξεων τῶν ἀποστόλων), γράμμασι κεφαλαιώδεσι γεγραμμένον, τὸ δὲ νεώτερον ἰβηρικόν. Tischendorf, Monumenta sacra I, σ. 37, 38, 41, 42. Τοῦ αὐτοῦ Anecdota, σ. 2. Casp. Gregory, Prolegomena I, σ. 415. Muralt, Catalogue σ. 12.

6. Κῶδιξ Noroff. Ψαλτήριον ἐκ φύλλων μεμβρανίνων 318, σχήματος ὀγδόου, γραφὲν τῇ ι′ ἢ τῇ ια′ ἑκατ. Ἄρχεται τῶν λέξεων· «Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται» (α′ ψαλμοῦ). Ἕκαστος ψαλμὸς ἄρχεται γράμματος κεφαλαιώδους ἐπιχρύσου· ἐν δὲ φύλλῳ τινὶ διὰ χειρὸς μεταγενεστέρας ἀναγινώσκεται τὸ «Δωρόθεος (μον)αχ(ὸς) ἔγραφον». Журналъ Министерства Народнаго Просвѣщенія, 1836, № XI, σ. 409-410.

7. Κῶδιξ Noroff. «Σιμπλικίου ἐξήγησις εἰς τὸ πρῶτον τῆς φυσικῆς ἀκροάσεως». Τὴν ἐπιγραφὴν ταύτην ὁ κῶδιξ ἔχει κατὰ τὸ τελευταῖον αὐτοῦ φύλλον διὰ χειρὸς μεταγενεστέρας· ἡ αὐτὴ δὲ χεὶρ ἔγραψεν αὐτόθι λατινιστὶ τὸ Simplitii [sic] expositio im primo fisici [sic] auditum. Ἐπὶ δὲ τῆς ῥάχεως τοῦ βιβλίου· «Σιμπλικίου ὑπόμνημα εἰς τὸ πρῶτον τῆς φυσικῆς ἀκροάσεως Ἀριστοτέλους». Ὁ κῶδιξ ἐστὶ μεμβράνινος καὶ νῦν ἄρχεται τοῦ ζ′ τετραδίου· τὸ τελευταῖον τετράδιον ἀριθμεῖται κζ′· ἔχει δὲ τὸ βιβλίον ἐλλείψεις πολλὰς διὰ τὸν ἐκπεσμὸν ἱκανῶν φύλλων. Ὅρα λεπτομερεστέραν περιγραφὴν ἐν τῷ Журналъ 1836, № XI, σ. 412-413. Τοῦ κώδικος τούτου φύλλα τέσσαρα, ἅπερ ἤθελε παραλαβεῖν ὁ Noroff ἔτει 1861-φ, νῦν ἔχει ἡ πατριαρχικὴ βιβλιοθήκη τῶν Ἱεροσολύμων. Ὅρα τ. I, σ. 460, κῶδ. 510 α′. ΙΒ′ ἑκατ.

8. Κῶδιξ Noroff. «Ἐρωτ(ήσεις καὶ) ἀποκρίσεις ἤτοι τῶν ἁγίων πατέρων χειρόγραφον δεβραΐνον οδ′». Οὕτως ἐπιγράφεται τὸ βιβλίον ἐπὶ τῆς ῥάχεως, ἔνθα πάλιν ἀνωτέρω παλαιοτέρα κεῖται ἐπιγραφή· «Ἐκλογή» ἢ «ἐκλογαί». Φύλλα μεμβράνινα ἠριθμημένα 130, ὧν τὰ πρῶτα πέντε λείπει. Ἀναστασίου τοῦ Σιναΐτου ὁδηγός. Κατὰ τὴν ἐκτίμησιν τοῦ περιγραφέως (Журналъ 1836, № XI, σ. 419-420) ἐγράφη τῇ ιβ′ ἢ τῇ ιγ′ ἑκατ. Bibliothèque de M-r Abraham de Noroff, τ. I, ἐν Πετρουπόλει 1868, σ. 162.

9. Κῶδιξ Noroff. «Χρονογράφος» ἢ «Σύνοψις ἱστοριῶν ἀρχομένων ἀπὸ κτίσεως κόσμου [μέχρι] τῆς βασιλείας Κωνσταντίνου τοῦ Παλαιολόγου, τοῦ ἐσχάτου βασιλέως τῶν Ῥωμαίων· ἔτι περιέχουσα καὶ τὰς βασιλείας τῶν Τουρκῶν» κτλ. Κῶδιξ ἐκ φύλλων χάρτου 264 πρώτου μήκους, γραφεὶς ἔτει 1605-φ διὰ χειρὸς Ἱερεμίου ἱερομονάχου, ἐπὶ τῆς ἡγεμονίας Ἱερεμίου βοεβόδα τῆς Μολδοβλαχίας. Журналъ 1836, № XI, σ. 431 - 432.

10. Κῶδιξ Noroff. «Γρηγορίου Θεολόγου λόγοι πανηγυρικοὶ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν (ἐν τῷ) εἰς τὰ ἅγια Θεοφάνεια (λόγῳ) καὶ εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου. Δεβράϊνον κη'»· τῆς ῥάχεως ἐπιγραφή. Φύλλα μεμβάνινα πρώτου μήκους 216. Τὸ κείμενον δίστηλον. Ἔνδον τῆς πρώτης πινακίδος πρόσθετα φύλλα τέσσαρα κώδικος ἑτέρου τῆς ὀγδόης ἑκατοντ. μέρος ὄντα Ψαλτηρίου τριγλώσσου, ἑλληνικοῦ καὶ συριακοῦ καὶ ἀραβικοῦ. Журналъ 1836, № XI, σ. 410 - 412. Bibliothèque de M-r Abraham de Noroff, τ. I, σ. 153.

11. Κῶδιξ Noroff. «Γρηγορίου τοῦ Θεολόγου λόγοι. Δεβράϊνον ξβ'»· τῆς ῥάχεως ἐπιγραφή. Τετράδια μεμβράνινα κγ' δευτέρου σχήματος (4-ον), ὧν τοὺς ἀριθμοὺς ὁ καλλιγράφος ἐνέγραψεν ἐπάνω παντὸς πρώτου φύλλου. Δύο γραφικοὶ χαρακτῆρες τῆς δεκάτης ἑκατ. Οἱ τρεῖς πρῶτοι λόγοι λείπουσι. Κῶδιξ μετὰ κοσμημάτων. Φύλλα 174. Ἔνδον τῶν πινακίδων πρόσθετα τετράδια χάρτινα. Журналъ 1836, № XI, σ. 416 - 418. Bibliothèque de M-r Abraham de Noroff, I, σ. 164 - 155.

12. Κῶδιξ Noroff. «Γρηγορίου Θεολόγου ἔπη. Χειρόγραφον κδ'»· τῆς ῥάχεως ἐπιγραφή· ἡ δὲ τοῦ κώδικος οὕτως ἔχει· «Γρηγορίου τοῦ Θεολόγου ἐπισκόπου Ναζιανζοῦ περὶ τῶν καθ' ἑαυτὸν ἔπη, δι' ὧν παροξύνει λεληθότως ἡμᾶς πρὸς τὸν ἐν Χριστῷ βίον». Κῶδιξ ἐκ χάρτου τῆς ις' ἑκατ. Φύλλα 209. Журналъ 1836, № XI, σ. 421. Bibliothèque de M-r Noroft I, σ. 155.

13. Κῶδιξ Noroff. Πανηγυρικοῦ μεμβρανίνου βιβλίου λείψανον, ἀρχόμενον ἀπὸ τοῦ φ. σκζ' καὶ λῆγον εἰς ἀριθμὸν φύλλου τιβ'. Κῶδιξ τῆς ια' ἑκατ. Τὸ κείμενον δίστηλον. α') Ἰωάννου τοῦ Χρυσοστόμου ἐγκώμιον Πέτρου καὶ Παύλου τῶν ἀποστόλων. β') Ἰωάννου τοῦ Δαμασκηνοῦ λόγος εἰς τὴν Μεταμόρφωσιν. γ') Χριστοφόρου Ἀλεξανδρείας λόγος περὶ τοῦ τίνι ὁμοιοῦται ὁ ἀνθρώπινος βίος. δ') Ἰωάννου τοῦ Δαμασκηνοῦ λόγος εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. ε') Τοῦ αὐτοῦ λόγος ἕτερος εἰς τὴν αὐτήν. ϛ') Τοῦ αὐτοῦ «λόγος εἰς τὴν ζωο-

πάροχον καὶ παναχραντοπαρθενοβρεφοτρόφον δέσποιναν» κτλ. ζ') Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὴν Ἡρωδιάδα. η') Τοῦ αὐτοῦ λόγος εἰς τὸ μὴ πλησιάζειν θεάτροις καὶ εἰς τὸν Ἀβραάμ. θ') Βασιλείου Καισαρείας ὁμιλία εἰς ῥητὸν τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. ι') Τοῦ αὐτοῦ λόγος εἰς τὴν Χριστοῦ γέννησιν καὶ περὶ αἱρετικῶν. Журналъ 1836, № IX, σ. 413-416. Bibliothèque de M-r Abraham de Noroff, I, σ. 156-158.

14. Κῶδιξ Noroff. «Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας... καὶ θεοφόρων πατέρων» (?). Ἐπιγραφὴ τοῦ κώδικος διὰ κινναβάρεως, δυσανάγνωστος. Ἐπὶ τῆς ῥάχεως· «Τυπικόν· σεβράϊνον ξϛ'». Κῶδιξ τῆς ιγ' ἢ τῆς ιδ' ἑκατ. εἰς 4-ον. Τετράδια ιϛ' ἢ φύλλα μεμβράνινα 126. Ἔνδον τῆς δευτέρας πινακίδος φύλλα δύο πρόσθετα μεμβράνινα καὶ παλαιότερα, ἅπερ ἐστὶ μέρος λειτουργικοῦ τινος εὐαγγελίου. Журналъ 1836, № XI, σ. 421. Bibliothèque de M-r Abraham de Noroff I, σ. 170-180.

15. Κῶδιξ Coislin. CCXV. Τυπικὸν ἐκ φύλλων βαμβακεροῦ χάρτου 217. Τὸ 177-ον φ. ἔχει τὸ σημείωμα τοῦτο· «Ἐτελιώθη τὸ παρὸν τυπικὸν διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Ἰωάννου ἱερέως τοῦ Ἀλήκη διὰ ἐξόδου συνδρομεῖς κυροῦ παπᾶ Δητζάρδου. ἔνε δὲ καὶ τὸ παρὸν τυπικὸν τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα. ἐν ἔτη ,ϛωξη', ἰνδ. ιγ'. ἰουνίῳ ιε'» [1360]. ὁ εὐτελὴς ἱερεὺς Ἰωάννης ὁ Ἀλήκης μαρτυρῶν». B. de Montfaucon, Bibl. Coisliniana, σ. 273. H. Omont, Fac-similés des MSS grecs datés de la Bibl. Nationale du IX-e au XIV-e siècle. Paris 1890-1891, σ. 17, πίναξ 86.

16. Κῶδιξ Παρισίου (ancien fonds 1598). Παραδείσου ἢ Γεροντικοῦ μέρος δεύτερον. Φύλλα μεμβράνινα 303 πρώτου μήκους, ἔτει 1071-ῳ ἢ 1072-ῳ γραφέντα. Σημείωμα τοῦ καλλιγράφου: «† Διὰ τὸ παλαιωθῆναι πολὺ τὸ πατερικὸν τῆς ἡμετέρας λαύρας τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα ἐλάλησαν τῇ ἀσθενείᾳ μου οἱ ἅγιοί μου πατέρες περὶ αὐτοῦ· καταβαλλόμενος δὲ καὶ τὴν τούτου ἔξοδον ὁ τιμιώτατος δεσπότης ἡμῶν κύριος Ἰωαννίκιος ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας, ἀνελαβόμην τὸν τοιοῦτον κόπον, καὶ τῶν λοιπῶν μοναστηρίων τὰ πατερικὰ ἐπισωρεύσας, καὶ κατὰ τὸ δυνατόν μοι ἔρευναν ποιησάμενος, καὶ συντάξας [αὐτ]ὰ κατὰ ἀλφάβητον, δύο βίβλους ἐποίησα, τὰ μὲν δώδεκα γράμ-

[1] Παράβαλε τὸν 78-ον κώδικα τοῦ καταλόγου τούτου, σ. 141—144.

ματα εἰς τὸ ἕν, καὶ τὰ δώδεκα εἰς τὸ ἕτερον [1]. Οἱ ἐντυγχάνοντες εὔχεσθε ὑπὲρ τοῦ ἁγίου ἡμῶν δεσπότου καὶ εὐλαβεστάτου μοναχοῦ κυροῦ Ἰωαννικίου, σπουδῇ γὰρ αὐτοῦ καὶ προθυμίᾳ ἐγίνοντο ἔτους ,ϛφπ', ἰνδ. ι':—Εὔχεσθε ὑπὲρ ἐμοῦ τοῦ γράψαντος μοναχοῦ Ἰωάννου καὶ γέροντος. † Δόξα τῷ Θεῷ. Ἀμήν». H. Omont, Fac-similés des manuscrits grecs datés de la Bibliothèque Nationale, σ. καὶ πίναξ 37.

17. Κῶδιξ Βιενναῖος (philos. 54), ἀγορασθεὶς ἐν Κ/πόλει ὑπὸ Busbecke περὶ τὸ μέσον τῆς ιϛ' ἑκατ. Ἀριστοτέλους περὶ ζώων μορίων μετὰ τῆς παραφράσεως καὶ τῶν σχολίων Μιχαὴλ Ἐφεσίου· τοῦ αὐτοῦ περὶ ζώων πορείας καὶ περὶ ζώων γενέσεως. Τὸ τέλος τοῦ κώδικος ἔχει τὸ σημείωμα τοῦ καλλιγράφου· «Κόπος καὶ οὗτος Μαγεῖρος, τοῦ καὶ Μαθουσάλα ἐγράφη δὲ ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα εἰς τὸ σπήλαιον, καὶ ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ, ἰνδικτιῶνος ζ' τοῦ ,ζνη' ἔτους, καὶ ἐλήφθη τὸ ὅλον ἀπὸ παλαιοῦ πάνυ βιβλίου» [1549-1550]. Lambecii comment. de bibl. caes. Vindobonensi liber septimus, 1675, σ. 99.

18. Κῶδιξ Πατμιακὸς 136. Φύλλα μεμβρ. 327. Ἰωάννου τοῦ Χρυσοστόμου μέρος δεύτερον τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ὁμιλιῶν. Τὸ τελευταῖον φύλλον ἔχει σημείωμα διεφθαρμένον, ὅπερ ἐγὼ συμπληρῶ ὧδέ πως· «Ἐγράφη ἡ βίβλος αὕτη Παύλῳ τῷ εὐλαβεστάτῳ μοναχῷ καὶ ἡγουμένῳ λαύρας τοῦ [ἁγίου Σάβα διὰ χειρὸς] Ἱλ[αρί]ωνος μοναχοῦ καὶ ἡγουμένου λαύρας τοῦ Κα[λαμῶνος] μηνὶ ἀπριλίῳ ιη', ἰνδικτιῶνος ε', ἔτους ,ϛυο'» [962]. Ἰωάννου Σακκελίωνος Πατμιακὴ Βιβλιοθήκη. Ἐν Ἀθήναις 1890, σ. 78.

19. Κῶδιξ Σιναϊτικὸς 743. Τριῴδιον μεμβρ. δευτέρου σχήματος, ἐνέχον σημείωμα τοῦ καλλιγράφου τοιοῦτον· «Ἐγράφη ἡ ἱερὰ αὕτη βίβλος τῶν τριῳδίων καὶ κανόνων καὶ λοιπῆς πάσης ἀκολουθίας τῆς ἁγίας τεσσαρακοστῆς καὶ τῆς ἁγίας καὶ μεγάλης ἑβδομάδος τῶν ζωοποιῶν παθῶν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ Θεοῦ ἐν τῇ σεβασμίᾳ λαύρᾳ τοῦ ἁγίου Σάβα τῆς ἐν Ἱεροσολύμοις, χειρὶ τοῦ εὐτελοῦς καὶ ἁμαρτωλοῦ Γερασίμου τοῦ Ἀντιοχ(ί)τ(ου) καὶ τῇ ζεούσῃ σπουδῇ τοῦ τιμιωτάτου μοναχοῦ καὶ δευτερεύοντος τῶν πρεσβυτέρων τῆς ἐν Ἀσκά(λωνι) καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας κυροῦ Ἰωάννου λόγῳ τοῦ σεβασμίου ναοῦ τοῦ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου ἐν αὐτῇ τῇ Ἀσκά(λωνι), τὸ λεγόμενον κατὰ τὴν ἐγχώριον γλῶσσαν τὸ Χάδρα, ἀρχιεραρχοῦντος τῆς αὐτῆς πόλεως τοῦ ὁσιωτάτου καὶ παναγίου γέροντος κυροῦ Ἀντωνίου, μηνὶ ἰαννουα-

ρίῳ κε', ἰνδ. ζ' ἐν ἔτει ,ςχζ' [1099]. Οἱ ἐν αὐτῇ τῇ ἁγίᾳ βίβλῳ μελετῶντες καὶ εὐχόμενοι εὔχεσθε διὰ τὸν Θεὸν καὶ τὴν αὐτοῦ ἐντολὴν τοῦ γράψαντος εὑρεῖν αὐτὸν ἔλεος ἐν ἡμέρᾳ κρίσεως. Ὁ Θεὸς συγχώρησον τῷ γράψαντι ταῦτα ὅσα σοι ἥμαρτεν. ἀμήν». Νικοδήμου Κοντακώφ, Путешествіе на Синай въ 1881 году. Ἐν Ὀδησσῷ 1882, σ. 111 - 114. Τοῦ αὐτοῦ πίναξ φωτογραφικὸς 92. Gardthausen, Catalogus cod. graec. Sinaiticorum, σ. 161 - 162.

20. Κῶδιξ Σιναϊτικὸς 712. Ἀκολουθίαι καὶ εὐχαί. Τεῦχος ἐκ χάρτου γραφὲν ὑπὸ Διονυσίου ἱερομονάχου τοῦ «Ἁγηωλαβροσαβαήτου» ἔτει 1482. Gadthausen, Catal. σ. 157.

21. Κῶδιξ Σιναϊτικὸς 883. Ὡρολόγιον ἐκ χάρτου, οὗ τὸ τέλος ἔχει τὸ σημείωμα τοῦτο· «Ἐτελειώθη τὸ παρὸν Ὡρολόγιον διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Ἰακώβου τοῦ Ἁγιοσαβίτου - - Ἐγράφει δὲ ἐν ἔτει ,ςϡ' ἰνδ. ιδ'» [1392]. Gardthausen, σ. 190.

22. Κῶδιξ Σιναϊτικὸς 432. Δαυσαϊκὸν ἐκ χάρτου βαμβακεροῦ, περιέχον καὶ Νείλου κεφάλαια νγ' καὶ βίον Ἰωάννου τοῦ Δαμασκηνοῦ. Σημείωμα τοῦ καλλιγράφου· «Ἐγράφη ὑπ' ἐμοῦ Γαβριὴλ τάχα καὶ μοναχοῦ τοῦ Ἁγιοσαβίτου ἐ[ν] τῇ Κυπρίων νύσσῳ βασιλεύοντος τοῦ [κυροῦ] Ἀνδρονίκου τοῦ νέου καὶ Ἄννης [τῆς Παλαιολογίνης], ἐν ἔτει ,ςωμβ', μηνὶ φεβρ. ις' ἡμέρᾳ δ'» [1334]. Πρβλ. Gardth. Catal. σ. 104. Ἡ λαύρα τοῦ ἁγίου Σάβα εἶχεν ἐν Κύπρῳ μετόχιον ἴδιον, τὴν μονὴν Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ πάντα τὰ βιβλία ταύτης ἦν αὐτῆς τῆς ἐν Παλαιστίνῃ λαύρας.

23. Κῶδιξ Σιναϊτικὸς 1099. Τυπικὸν ἐκ χάρτου 'βαμβακεροῦ. Σημείωμα τοῦ καλλιγράφου· «Τὸ παρὸν τυπικὸν ἐγράφη εἰς τὴν μονὴν τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἥτις διάκειται πλησίον τοῦ ἐν ποταμοῖς ἁγιωτάτου Ἰορδάνου διὰ χειρὸς ἐμοῦ Διονυσίου ἁμαρτωλοῦ τάχα καὶ ἱερομονάχου» κτλ. Gardthausen, Catal. σ. 223: non addito libri anno. XIV saec.

24. Κῶδιξ εὑρισκόμενος ἴσως ἐν τῷ ἐπισκοπείῳ τῆς Ὀδησσοῦ· εἶχε δὲ τοῦτον Νικηφόρος ὁ Θεοτόκης, ἀρχιεπίσκοπος Χερσῶνος, ἐκ δωρεᾶς ἴσως Ἐφραὶμ τοῦ πατριάρχου τῶν Ἱεροσολύμων, ἑταίρου τοῦ Θεοτόκη φιλτάτου. Τετραευαγγέλιον τῆς ι' ἢ τῆς ια' ἑκατ. ἐκ φύλλων μεμβρανίνων 248 πρώτου μήκους· ὅπερ ὁ Matthaei τῷ γράμματι f γνωστὸν ἐποιήσατο (D. Pauli epistolae ad Thessalonicenses et ad Timotheum graece et latine. Rigae 1785, σ. 234 - 236. Gregory, Prolegomena II, σ. 516, ἀριθ. 253). Ἐν τῷ 120-ῷ φύλλῳ σημείωμα μεταγενέστερον τοῦ κώδικος (ἴσως τῆς ις' ἑκατ.)

«Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἔγω Μουσὲ ὅαμαρτολος υἱὸς τοῦ Ἤλιας σεὶ ἀρχιστράτιγε Μηχαὴλ ἐν τῇ ἁγία πόλη Ἱεροσόλημ προσφέρο σὲ τὸ εὐαγγέλιον τοῦτο εἰς τὴν ἥαγια σοῦ μονιν τὸν Σέρβον [- μονὴν τῶν Σέρβων] εἰς ἄφεσιν ἁμαρτιον». Τὸν Μουσὲ τοῦτον ὁ Gardthausen ἐσφαλμένως ὠνόμασε καλλιγράφον τῆς ια' ἑκατ. (Griech. Palaeographie σ. 332), ἁπλῶς ὄντα δωρητὴν τοῦ κώδικος· ἦν δὲ ἡ μονὴ τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐξάρτημα τῆς λαύρας τοῦ ἁγίου Σάβα, καὶ ἀπὸ τῆς ιδ' ἄχρι τῆς ις' ἑκατ. κατῴκουν αὐτήν, ὥσπερ καὶ τὴν λαύραν, ὀρθόδοξοι μοναχοὶ Σέρβοι καὶ Βούλγαροι.

25. Κῶδιξ Λειψίας, Tischend. II, m. in fol. saec. VIII, ff. 22. Τεμάχια Παλαιᾶς Διαθήκης παλίμψηστα. Τὸν κώδικα τοῦτον περιέγραψεν ὁ Tischendorf ἐν τῷ Serapeum τ. VII, σ. 54 καὶ ἐν τοῖς Monum. sacra ined. τ. I, σ. XXII. Τὸ νεώτερον κείμενον ἀραβικόν, ἐμπεριέχον δὲ μεταφράσεις βίων τινῶν ὁσίων ἀνδρῶν ὑπὸ Κυρίλλου τοῦ Σκυθοπολίτου συγγεγραμμένων, οἷον Εὐθυμίου τοῦ μεγάλου καὶ Σάβα τοῦ ἡγιασμένου, καθὼς ἐφανέρωσεν ὁ Fleischer (Zeitschrift der Deutsch. Morgenländ. Gesellschaft τ. I, σ. 150 κέ). Πρβλ. A. Ehrhard, Das griechische Kloster Mar - Saba (Röm. Qualtalschrift VII, σ. 63).

26. Κῶδιξ Oxonii aedis Christi, Wakii 38. Πράξεις καὶ ἐπιστολαὶ τῶν ἀποστόλων. Φύλλα μεμβράνινα 299 ἢ 306 δευτέρου μήκους. (0,177X0,14), γραφέντα τῇ ια' ἢ τῇ ιβ' ἑκατ. Ἐν τῷ 12-ῳ φύλλῳ γέγραπται τοῦτο· «Ὁ παρὼν πραξαπόστολος ὑπάρχει τῆς μεγάλης λαύρας τοῦ ἁγίου Σάβα τῶν Ἱεροσολύμων» (G. W. Kitchin, Catalogus cod. MSS qui in bihliotheca aedis Christi apud Oxonienses adservantur. Oxonii 1867, σ. 21). Ὁ κῶδιξ οὗτος ἐκ Κωνσταντινουπόλεως ἔτει 1731-ῳ μετηνέχθη εἰς τὴν Ἀγγλίαν. Caspar Gregory, Prolegomena τ. II, σ. 638 ἀριθ. 191.

27. Κῶδιξ Ὀξονιακός: cod. Laudiani 37. Φύλλα μεμβρ. 301 πρώτου μήκους. Γρηγορίου τοῦ Θεολόγου λόγοι ιε' καὶ «συναγωγὴ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις Γρηγόριος ἐν τῷ εἰς τὰ Φῶτα λόγῳ». Μετὰ τὸν ιε' λόγον· «Ἐν σοὶ πεποιθώς, ὦ τριὰς σεβασμία, | ἔτευξε ταύτην μοναστὴς Σάβας βίβλον, | κλεινὸς μεδόντων ἱερεὺς πολλῷ πόθῳ, | ὃν ἀντάμειψαι δωρεαῖς σου πλουσίαις, | τῆς τῶν δικαίων ἀξιῶν κληρουχίας, | τοῦ ἱεράρχου ταῖς λιταῖς Γρηγορίου». H. Coxe, Catal. cod. MSS bibl. Bodleianae, I, σ. 518 - 519.

28. Κῶδιξ ἐν τῷ Βρεττανικῷ Μουσείῳ: cod. Curzon 1, σχήματος δευτέ-

ρου μεμβράνινος. Ὀκτάτευχος τῆς Παλαιᾶς διαθήκης, ἣν ὁ Curzon περιέγραψε πρῶτον ἐν τῷ Visits to monasteries of the Levant; sixth edition. London 1881, σ. 188 (ὅρα ἀνωτ. σ. 707). Ἑτέρα περιγραφὴ ἐν τῷ Catalogue of materials of writing... and oriental manuscripts books in the Library of the hon. Robert Curzon at Parham. London 1849. «The first leaf is wanting. On the binding is an ancient picture on wood, of various saints of the Old Testament, nearly as early as the mss: it is in a silver frame, in which are set four stones of the granit of mount Sinai and twelve fromes the bed of the river Jordan. This MSS is written in a fine small hand in double columns. This is the one MSS of the Octoteuch that J have met with in the East».

29. Αὐτόθι, cod. Curzon 3. Ψαλτήριον τῆς ιβ' ἑκατ. Catalogue σ. 21.

30. Αὐτόθι, cod. Curzon 4. Cantica Veteris et Novi Testamenti (?). Catalogue σ. 21.

31. Αὐτόθι, cod. Curzon 7. Τετραευαγγέλιον τῆς ι' ἑκατ. Φύλλα μεμβρ. 167, μήκους 0,158, πλ. 0,117. Κατὰ σελίδα κείμενον μονόστηλον ἐξ 26 γραμμῶν. Gregory II, σ. 554, ἀριθ. 548.

32. Αὐτόθι, cod. Curzon 76, 11. Τετραευαγγέλιον τῆς ιβ' ἑκατ. Φύλλα μεμβρ. 252, μήκους 0,209, πλ. 0,154. Κατὰ σελίδα κείμενον μονόστηλον ἐξ 27 γραμμῶν. Catalogue κτλ. σ. 21. Gregory II, σ. 555, ἀριθ. 552.

33. Αὐτόθι, cod. Curzon 77, 12. Τετραευαγγέλιον τῆς ιγ' ἑκατ. ἐκ φύλλων μεμβρανίνων 304, μήκους 0,218, πλ. 0, 158. Κατὰ σελίδα κείμενον μονόστηλον ἐκ γραμμῶν 21. Catal. σ. 21: beautiful written with arabesques in red inke and the heads of the Gospels. Gregory, Prolegomena II, σ. 555, ἀριθ. 553.

34. Αὐτόθι, cod. Curzon 79, 14. Τεῦχος μεμβράνινον (0,262×0,205) γραφὲν ἔτει 1009-φ καὶ περιέχον τὰς πράξεις καὶ τὰς ἐπιστολὰς τῶν ἀποστόλων, ἔτι δὲ τὸ περὶ τῶν ἀποστόλων ὑπόμνημα τοῦ ψευδο-Δωροθέου καὶ περὶ πατριαρχῶν τινά· σελὶς ἑκάστη κείμενον ἔχει μονόστηλον ἐκ γραμμῶν 18 μέχρις 21· πρὸς δὲ τῷ τέλει φύλλα δύο κεῖται μεμβρ. τῆς ια' ἑκατ. (0,255 × 0,189), ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον ἐκ γραμμῶν 26· περιέχει δὲ ταῦτα μέρος βίου τοῦ ἁγίου Σάβα, συγγεγραμμένον ὑπὸ Κυρίλλου τοῦ Σκυθοπολίτου. Gregory, Prolegomena II, σ. 641, ἀριθ. 226.

35. Αὐτόθι, cod. Curzon 78. 13. Τετραευαγγέλιον ἐκ φύλλων μεμβρανί-

νων 230 σχήματος ὀγδόου, γραφὲν ἔτει 1272. Catalogue, σ. 40, ἔνθα καὶ πίναξ ὑπάρχει, δεῖγμα τῆς γραφῆς ὑποδεικνύων. Caspar Gregory, Prolegomena II, σ. 555, ἀριθ. 554.

36. Αὐτόθι, cod. Curzon 20. Εὐαγγέλιον πρώτου μήκους (0,341×0,25), γραφὲν τῇ ιβ' ἑκατ. Κατὰ σελίδα κείμενον δίστηλον ἐξ 22 γραμμῶν. Catalogue σ. 21. Part of it is of a more modern hand; the titles and initial letters are illuminated in gold and colours. Gregory, Prolegomena II, σ. 734, ἀριθ. 344.

37. Κῶδ. Monachensis CCCXLV. Διακονικὸν ἐκ φύλλων χάρτου 57, ὅπερ ἦν τῆς μονῆς τοῦ ἀρχαγγέλου Μιχαήλ. Τὸ τέλος ἔχει τὸ σημείωμα τοῦτο· «Ταῦτα τὰ διακονικὰ ἐγράφησαν ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ διὰ χειρὸς τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου Μητροφάνους ἐν ἔτει ζ. ρ. ϛ'. ἀπριλλίῳ θ'» [1598]. Jgnat. Hardt, Catal. cod. MSS graec. bibl. reg. Bavaricae, III, σ. 345-347.

38. Κῶδ. τῆς μονῆς Ξενοφῶντος, ἀριθ. 99. Νομοκάνων ἐκ σελίδων 352, γραφεὶς «διὰ χειρὸς τοῦ πνευματικοῦ ἡμῶν πατρὸς κυροῦ Ἰωαννικίου ἐν τῇ ἁγίᾳ λαύρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου ἐν τῇ Παλεστίνῃ 1788 αὐγούστου 17». Σπυρ. Λάμπρου Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἑλλ. κωδίκων, τ. I, ἐν Ἀθήναις 1888, σ. 190-191.

39. Κῶδ. ἐν τῷ Βρεττανικῷ Μουσείῳ (addit. 26, 113), πωληθεὶς ὑπὸ Tischendorf. Φύλλα μεμβρ. 22, ὧν τὸ κείμενον ὑπάρχει μονόστηλον καὶ ἐκ γραμμῶν 28 κατὰ σελίδα. Γραφὴ κεφαλαιώδης τῆς ὀγδόης ἑκατ. Τροπάρια διάφορα (Catalogue of ancient Manuscripts in the British Museum, Part I, Greec, σ.). Τῶν φύλλων τούτων ἕτερα λείψανα περιέχει ὁ νῦν 180-ὸς κῶδιξ τῆς Ἁγιοσαβιτικῆς συλλογῆς, καὶ κατὰ τὴν ἐμὴν ἐκτίμησιν αὐτά τε κἀκεῖνα μᾶλλον ἐγράφη τῇ ἐνάτῃ ἑκατονταετηρίδι. Ὅρα σελ. 295.

40. Κῶδιξ Noroff. Συναξαριστὴς ἐν σερβικῇ γλώσσῃ γεγραμμένος τῇ ιγ' ἑκατ. καὶ συνιστάμενος ἐκ φύλλων βαμβακεροῦ χάρτου 251. Журналъ 1836, IX, σ. 538 - 541.

41. Κῶδιξ Noroff. Πραξαπόστολος βουλγαρικὸς ἐκ φύλλων βαμβακεροῦ χάρτου 280, γραφεὶς περὶ τὴν ιε' ἑκατ. Журналъ 1836, IX, σ. 541.

42. Κῶδ. Noroff. Σερβικὸν τετραευαγγέλιον ἐκ χάρτου, γραφὲν περὶ τὸ τέλος τῆς ιε' ἢ περὶ τὴν ἀρχὴν τῆς ιϛ' ἑκατ. Ἔν τισι τόποις τοῦ βιβλίου τούτου προσκυνηταὶ Σλάβοι γράφουσι ταῦτα· Смерени емонах поенiе ѿ бо̆данiе ѿ монатѝ сучеви еремиа воевде

вїто ҂ꙁрла. (1623) мца авг.—Млтїю бжїею Михаил Мїтрополить Кюсаїйскы и кратовскы, щипьскы, и радомискы, придо въ сти гра іерлм поколийсе живоносному гробу хву и сти места, иде хь пльтїю чюдеса сътвориль, придо азь съ братанца своего їеромона дамаскина, и дїкона никома ѿ русийскїе земли, въ лет ҂з. р. з. е. (1656-1657).—лѣтъ ҂зрч. (1682) месеца априлїе днъ кѕ. прїде ту домна илинъка влакога бега маика у гра ерусалим съ сино свои михаил спата. и съ схъверїе своею станъкою. и шнима доиде іанко вулюбаша съ десе сеимени. и ко домне вїаше м. люди. и съ сеимени і съ сви чино.—и писа іа гаврилъ хмелницкий іазацица сеименъский ѿ лешке земли. ѿ илъвова гра. Ὅρα τὸ Журналъ 1836, IX, σ. 542-543.

43. Κῶδ. Noroff. Μηναῖα σερβοβουλγαρικὰ ἐκ χάρτου, γραφέντα μεταξὺ τῶν ἐτῶν 1550 καὶ 1552. Журналъ 1836, IX, σ. 543-544.

44. Κῶδ. Noroff. Βουλγαρικὴ ὀκτάηχος ἐκ χάρτου, γραφεῖσα τῇ ιζ' ἑκατ., ἔχουσα δ' ἐν τῷ τέλει σημείωμα τοιοῦτον· сиѣ книга глми шкшихх купие блажени попь кшию у селш леденик и поставие у храмъ светаго великомученика и поведуносца хва гешрие и сега е у сина му у хаци попъ петра у градъ трнштъ. въ лето ѿрождество хва ҂а.х.п.а. (1681) мца шктоврие днь ка. (21) Тази година си додохъ шт божи грwбъ. а ѿ адама беше ҂ѕ тисущо рпѳ ·:· 7189. азъ грешникъ хаці поп петръ поп конювъ синъ. у трновъ велики. Ὅρα τὸ Журналъ 1836, IX, σ. 544.

45. Κῶδ. Noroff. Σερβικὸν Ψαλτήριον ἐκ χάρτου, γραφὲν τῇ ιζ' ἑκατ. Τούτου δὲ φύλλα δύο λευκὰ προσκυνητῶν Βουλγάρων ὑπογραφὰς ἔχει καὶ Σέρβων (1665-1732). Журналъ 1836, IX, σ. 545.

46. Κῶδ. Noroff. Σερβικὸν Ψαλτήριον ἐκ μεμβρ. φύλλων 267 δευτέρου μήκους, γραφὲν τῇ ιγ' ἑκατ. Журналъ 1836, IX, σ. 530-533.

47. Κώδ. Noroff. Φύλλα μεμβρ. 16 βουλγαρικοῦ εὐαγγελίου, γραφέντος τῇ ιγ' ἑκατ. Журналъ 1836, IX, σ. 533.

48. Κώδ. Noroff. Βουλγαρικὸν τετραευαγγέλιον πρώτου μήκους ἐκ φύλλων μεμβρ. 237, γραφὲν περὶ τὸ τέλος τῆς ιγ' ἢ περὶ τὴν ἀρχὴν τῆς ιδ' ἑκατ. Ἀπὸ τοῦ 218-ου φύλλου καὶ ἑξῆς ὑπάρχει συναξάριον. Журналъ 1836, IX, σ. 534-536.

49. Κώδ. Noroff. Παρακλητικὴ σερβικὴ πρώτου μήκους ἐκ μεμβράνης, γραφεῖσα περὶ τὸ τέλος τῆς ιγ' ἢ περὶ τὴν ἀρχὴν τῆς ιδ' ἑκατ. Εἰκάζει δὲ ὁ περιγράψας αὐτὴν Ἀ. Βοστοκώφ, ὅτι τὸ βιβλίον ἐγράφη διὰ τὴν Λαύραν ἐκ προστάγματος τοῦ σέρβου βασιλέως Στεφάνου Οὔρός, οὗ τὸ ὄνομα διὰ κινναβάρεως οὕτως ἁπλῶς ὑπάρχει γεγραμμένον ὑπὸ τὸ τέλος τοῦ κειμένου: стфань кра Ушь.

50. Κώδ. Noroff. Σερβικὸν Τριώδιον εἰς πρῶτον μῆκος ἐκ φύλλων βαμβακεροῦ χάρτου 389, γραφὲν (ἔτει 1373 - φ ἢ 1374 - φ) ἐν τῇ ἱερᾷ μονῇ τοῦ Σινᾶ ὑπὸ Ἰακώβου ἱερομονάχου διὰ τὴν ἐν Ἱεροσολύμοις σερβικὴν μονὴν τοῦ ἀρχιστρατήγου Μιχαήλ, ὡς δηλοῖ τὸ σημείωμα τοῦτο: Сии трио. полоуть. послѣни кома. исписасе оустои Синаи. роукою рабь бжий иеромона иакова. и грѣшни. иниие стмоу архистратигоу цркве срьбскые оу иерлмѣ. извода стогорского правога. все на редоу. и сь тиником и сь штаикомь. ниша да не липса извода новога. иа истинь. воулгарскога иезыка. терь бь вѣсть. велма ни е било оусимо. прѣставлѣти га на срьбскы иезы. И молимо ви оци и братие. аке и гдѣ погрѣшено. а ви исправлѣюще чтѣте. а не кльнѣте. шбаче. блгсвлѣите. а ва бь. иерь не пише дхь сть. нь роука грѣшнича. и како смо вь изводѣ нашьдими. тако исмо писали. ни шдлагали. ни прилагали. И кто дрьзне да шнесе сиюзі книгоу ш архистратига иерлмского. да моу ие мьстин бь и стаиа бца синаиска. на соудѣ: И кто ке швои лисіь изьрѣзати. или штрьгноути. да моу соуди бь. ви днь соудны амнь ·:· —† И оуписасе сиа книга вь лѣт ѕ҃ѡп҃в. И простѣте мене грѣшнога пишавши шваи слова, а вась бь: амнь. амнь. амнь.

51. Κώδ. Noroff. Σερβικὴ λειτουργία τοῦ μεγάλου Βασιλείου καὶ τοῦ

ἁγίου Ἐπιφανίου. Τεῦχος ἐκ χάρτου γραφὲν τῇ ιϛ' ἢ τῇ ιζ' ἑκατ. **Журналъ** 1836, IX, σ. 546.

52. Κῶδιξ Noroff. Συλλογὴ σερβικῶν κειμένων ἐκ φύλλων χάρτου 296, σχήματος δωδεκάτου, γραφεῖσα ὑπὸ Μιχαὴλ μητροπολίτου Μπάσκης κλπ. ἔτει 1653-ῳ. Ἐν τῷ 23-ῳ φύλλῳ σημείωμα· вꙁ лѣ҃т ҂зр҃ѯа (1653) мц҃а ма кз҃ мати́ю бж҃їю ми҃аиль митрѡ҃ли ба́нскы краоскы и щи҃скы. бы҃ въ цр҃твꙋюще҃ гра҃е москве при бл҃говѣрнѡ҃ цр҃и и велико҃ внѣѕа алеѯїа ми҃аиловина. бы҃ го҃ и по҃. а за дрꙋ҃го невѣ҃ аще хоще҃ г҃ь и жи҃ви бꙋде҃, своєю рꙋ҃ю по҃писа. крꙋ сл҃цꙋ кѕ҃. лꙋ҃. зі҃. їндіктїѡ, ѕ҃. єпхта. є҃. Ὅρα τὸ **Журналъ**, 1836, IX, σ. 546-547.

53. Κῶδιξ τοῦ πρίγκιπος **Viazemsky**, εὑρισκόμενος ἐν Πετρουπόλει, ἐν τῇ βιβλιοθήκῃ τοῦ αὐτοκρατορικοῦ συλλόγου τῶν ἐραστῶν ἀρχαίων ἐγγράπτων σλαβικῶν μνημείων.·Τεῦχος τῆς ιγ' ἑκατ. συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 133, περιέχον δ' εἰς ἀρχαίαν ῥωσσικὴν μετάφρασιν βίον τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου, συγγραφέντα ὑπὸ Κυρίλλου τοῦ Σκυθοπολίτου. Τὸν κώδικα τοῦτον εἶχεν ἡ λαύρα καὶ συνεχῶς οἱ ταύτης ἡγούμενοι τοῖς Σλαύοις αὐτὸν προσκυνηταῖς ἐδίδουν εἰς ἀνάγνωσιν, ὡς ἐκ τῶν ἐν τῷ κώδικι σημειωμάτων ἀποδείκνυται, ὧν τὸ παλαιότερον ἐγράφη ἔτει 1536 διὰ χειρὸς Νικολάου προσκυνητοῦ (χατζῆ-Νικόλα)· ἀλλ' ὁ πρὸ τοῦ 1884-ου ἔτους ἡγούμενος ἐδωρήσατο τὸν κώδικα τῷ πρίγκιπι Πέτρῳ τῷ Βιαζέμσκῃ. Ἔστι δὲ γεγραμμένος κεφαλαιώδεσι γράμμασι· φιλόλογος δὲ ὀνομαστός, ὁ καθηγητὴς Ἰωάννης ὁ Πομιαλόβσκης, ἐξέδωκε τὸ κείμενον αὐτοῦ κριτικώτατα, προσθεὶς τὸ πρωτότυπον ἑλληνικόν, ἐκτενῆ φιλολογικὸν πρόλογον καὶ πίνακας ἐννέα λιθογραφικοὺς ἀπεικάζοντας ἔνια τοῦ κώδικος αὐτοῦ μέρη: **Житіе Св. Савы Освященнаго, составленное Св. Кирилломъ Скиѳопольскимъ въ древнерусскомъ переводѣ; по рукописи Императорскаго Общества Любителей Древней Письменности, съ присоединеніемъ греческаго подлинника и введеніемъ издалъ И. Помяловскій членъ-корреспондентъ Общества.** Ἐν Πετρουπόλει 1890, μέγα 8-ον, σελίδες CXLVI+588.

54. Κῶδιξ Πορφυρίου ἐν τῇ Πετρουπόλεως αὐτοκρατορικῇ βιβλιοθήκῃ (ἀριθ. Q. I. N. № 903). Φύλλα τέσσαρα χάρτινα, προσήκοντα σερ-

βιχῷ τινι χώδικι γεγραμμένῳ ἔτει 1389-ῳ ἐν τῇ κατὰ τὸν Ἄθω μονῇ τοῦ Ἀθανασίου· τὸν ὅλον χώδικα εἶχεν ἡ λαύρα τοῦ ὁσίου Σάβα· νῦν ὅμως ἐλλείπει· περιέχει δὲ τὰ ῥηθέντα τέσσαρα φύλλα λόγου τινὸς Ἰσαὰκ τοῦ Σύρου μέρος ἱκανόν. Ὅρα τὸ **Отчетъ Импер. Публ. Библ. за 1883 г.**, σ. 74.

55. Κῶδιξ ἀραβικὸς ἐν τῷ Βατικανῷ, ἀριθ. 71. Φύλλα μεμβράνινα 236, περιέχοντα βίους ὁσίων ἀνδρῶν καί τινας ἀσκητικοὺς λόγους. Ἐγράφη ἔτει 885-ῳ ἐν τῇ λαύρᾳ τοῦ ὁσίου Σάβα διὰ τὴν ἐν τῷ Σινὰ μονήν, ἀναλώμασιν Ἰσαὰκ μοναχοῦ. A. Mai, Scriptorum veterum nova collectio, τ. IV, σ. 143. The Palaeographical Society; oriental series. London, 1875 - 1883, πίναξ XX.

ΕΤΕΡΟΙ ΚΩΔΙΚΕΣ ΕΚ ΠΑΛΑΙΣΤΙΝΗΣ.

1. Στιχηράριον ἐκ χάρτου, ὅπερ ἀγνοῶ ποῦ κεῖται νῦν· ὁ Πορφύριος Οὐσπένσκης ἐδωρήσατο τοῦ βιβλίου τούτου φύλλα δύο τῇ αὐτοκρ. βιβλιοθήκῃ τῆς Πετρουπόλεως (ἀριθ. 439. **Отчетъ за 1883 г., В. Ернштедтъ**, σ. 12)· ἔν τινι δὲ βιβλίῳ τοῦ αὐτοῦ Πορφυρίου λέγεται ὅτι ὁ κῶδιξ ἔχει τὸ σημείωμα τοῦτο· «Ἐγράφη τὸ παρὸν στιχηράριον ὅλου (τοῦ) χρόνου διὰ χειρὸς Νεοφύτου ἱερομονάχου καὶ δομεστίκου τῆς σεβασμίας μονῆς τῶν Κελλιαρίων [1] ἄτι [sic] τοῦ Λάτρου, δι' ἐξόδου τοῦ μεγαλοδωροτάτου ἀρχιιατροῦ Μηνᾶ· ἐγράφη δὲ ἐν ταῖς ἡμέραις τοῦ ἁγιωτάτου Ἱεροσολύμων κῦρ Ἀθανασίου, ἔτους ,ςψμδ' [1235 - 1236], ἰνδικτιόνος θ'». Οὗτος ὁ πατριάρχης ὑπάρχει συγγραφεὺς ἐκκλησιαστικῶν λόγων εἰς ἀραβικὴν γλῶσσαν, ἐκτυπωθέντων εἰς τεῦχος ἓν ἐν τῇ πόλει Χαλεπίῳ (ἔτει 1711-ῳ) «δι' ἐξόδων τοῦ Παναγίου Τάφου», πατριαρχοῦντος ἐν Ἱεροσολύμοις Χρυσάνθου τοῦ Νοταρᾶ. Ὅρα Πορφυρίου Οὐσπένσκη **Первое путешествое въ Аѳонскіе монастыри и скиты. Часть II. Приложеніе къ второму отдѣленію сей части.** Ἐν Μόσχᾳ 1881, σ. 218.
2. Κῶδ. Π/πόλεως, ἀριθ. CCXXI. Τετραευαγγέλιον εἰς 16-ον, ἐκ φύλλων μεμβρ. 139, γραφὲν τῇ ι' ἑκατ. Τὸν κώδικα τοῦτον εἶχε Διονύσιος ὁ μητροπολίτης Βηθλεέμ· ἐπώλησεν αὐτὸν ἔτει 1844-ῳ τῷ τότ' ἀρχιμανδρίτῃ Πορφυρίῳ τῷ Οὐσπένσκῃ. **Отчетъ Импер. Публ. Библ. за 1883 г.**, σ. 82 - 83.

[1] Γράφε «Κελλιβάρων».

3. Κῶδ. Παρισίου Suppl. 911. Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ἑλληνιστὶ καὶ ἀραβιστί, ὅπερ εἶχε μέχρις ἔτους 1881 ἡ τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου βιβλιοθήκη (ὅρα Ἱεροσ. Βιβλιοθ. τ. I, σ. 500). Φύλλα μεμβρ. 315, μήκους 0,175, πλ. 0,130. Κείμενον κατὰ σελίδα δίστηλον. Τὸ τελευταῖον φύλλον ἐμπεριέχει μικροῖς κεφαλαιώδεσι γράμμασι τὸ σημείωμα τοῦτο· «Ἐγράφη διὰ χειρὸς Εὐφημίου ἐλαχίστου κληρικοῦ καὶ ἀναγνώστου, καὶ ἐπληρώθη μηνὶ ἰωνίου α', ἡμέρᾳ τετάρτῃ, ἐνέτει ἀπὸ κτίσεως κόσμου ἔτους ,ϛφνα' [1043]. Εὐφήμιος γέγραφα τοῦ Ἰωάννου. Μνήσθητι, Κύριε, τῷ γράψαντι καὶ τῷ κτισαμένῳ. Ἀμήν». Τὸ αὐτὸ σημείωμα καὶ δι' ἀραβικῶν αὐτόθι γραμμάτων. H. Omont, Fac-similés des manuscrits grecs datés de la Bibliothèque Nationale du IX-e au XIV-e siècle, σ. 4, πίναξ 18.

4. Κῶδ. Παρισίου Suppl. 913. Τεῦχος τῆς ιβ' ἑκατ. ἐκ μεμβράνης, ἐμπεριέχον πεντεκαίδεκα λόγους ἐκλεκτοὺς Γρηγορίου τοῦ Θεολόγου· εἶχε δὲ τοῦτο πρότερον (μέχρις ἔτους 1881) ἡ τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου βιβλιοθήκη. Ὅρα τοῦ καταλόγου τοῦδε τ. I, σ. 500. H. Omont, Inventaire sommaire des manuscrits du Supplement Grec de la Bibliothèque Nationale. Paris 1883, σ. 96. Gregory, Prolegomena II, σ. 541 ἀριθ. 450 καὶ σ. 561, ἀριθ. 609.

5. Κῶδ. Παρισίου (ancien fonds 83). Τετραευαγγέλιον μετὰ συναξαρίου. Φύλλα μεμβρ. 298 (0,235 × 0,168). Τὸ τελεταῖον φύλλον ἔχει τὸ σημείωμα τοῦτο· «Τέλος ἔλαβε τὸ παρὸν ἅγιον τετραευαγγέλιον ὑπὸ χειρὸς ἐμοῦ τοῦ πολυτλήμονος καὶ εὐτελοὺς νοταρίου Σολομὼν ὁ ἀπὸ νοταρίων καὶ διὰ τὸν Κύριον πάντες ἀδελφοὶ καὶ πατέρες οἱ ἐντυχόντες ἐν αὐτῇ καὶ ἀναγινόσκοντες, οἱ καὶ μεταγράφοντες μὴ διὰ χωρικίας ἐμῆς ἢ σαλείας τὴν κατάραν ἀναπέμψασθαι· ἠκούσατε γὰρ καὶ πολλάκις ἐρρέθη ὅτι καὶ ὁ γράφων παραγράφει [ed. περιγράφει]. ἡ μὲν χεὶρ ἡ γράψασα σύπεται [sic] τάφῳ, γραφὴ δὲ φαίνει εἰς χρόνους πληρεστάτους εἰς τοὺς σύνπαντας αἰῶνας τῶν αἰώνων. Ἀμίν. Ἐτελειώθη δὲ ἐνέτη τῷ ἀπὸ κτίσεως ,ϛχοϛ' [1167], ἰνδ. α', ἡλίου κύκλῳ ιβ', σελήνης ζ', εἰς τὰς ιδ' τοῦ δεκεμβρίου μηνός, ἡμέρᾳ ε', ἡ ἐπακτὴ κη', ὥρᾳ γ' τῆς ἡμέρας, πολεύοντος κύκλου ἡλίου δι' ἔπων (?), βασιλεύοντος ἐν Κωνσταντινουπόλει Μανουὴλ τοῦ πορφυρογεννήτου καὶ ἐνδοξοτάτου βασιλέως, καὶ ἐν τοῖς Ἱεροσολύμοις Ἀμαρρὴ τοῦ κραταιοῦ ῥίξ, ἐν δὲ τῇ νήσῳ Σικελίας Γουλλιέλμου τοῦ δευτέρου ῥιγός, ἐφ' ἡμᾶς δὲ Ἰησοῦς Χριστός, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμίν». H. Omont, Fac-similés

des MSS grecs datés de la Bibl. Nationale du IX-e au XIV-e siècle, σ. 10, πίναξ 18.

6. Κωδ. Laurentianus, append. 8. Ψαλτήριον ἐκ φύλλων χάρτου 216· ἐν τῷ 214-ῳ φύλλῳ σημείωμα τοῦ γραφέως· «Χεὶρ Δανιὴλ ἐν ἔτι ,αχπη' [1688] ἰουλίου κϛ'»· ἐν δὲ τῷ τελευταίῳ φύλλῳ σημείωμα πάλιν ἕτερον, ἔχον ὧδε· «ετους αψμδ' [1744] απρύλείου /////λ Γερουσυλήμ στον Γιάφα αγοράζι τω παρών ψάλτιρίων ηπώ εμού του Ζαμυτίου [?] ιερέος καὶ οἰκονώμου απο το Λεοντερι δια γρωσια δέκα» κτλ. E. Rostagno e N. Festa, Indice dei codici greci Laurenziani non compressi nel catalogo del Bandini (ἐν τῷ περιοδικῶς ἐκδιδομένῳ βιβλίῳ Studi Italiani di filologia classica, τ. I, in Firenze 1893, σ. 220).

7. Κωδ. Σιναϊτικὸς 220. Εὐαγγέλιον ἐκ μεμβράνης, ἔχον σημείωμα τοῦ καλλιγράφου τοιοῦτον· «Ἐπληρώθη τὸ παρὸν ἅγιον εὐαγγέλιον διὰ χειρὸς Βασιλείου ἁμαρτωλοῦ νοταρίου τοῦ Σχηνού(ρη) καὶ ἤ τις τῶ ἀναγινώσκη εὔχεσθαί μου ψυχικῶς σῶσαί μοι τῶ ἁμαρτωλῶ, ἵνα εὕρω ἔλαιος ἐν τῇ ἡμέρα τῆς κρίσεως, ὁμοίως καὶ οἱ ἀναγινώσκοντες αὐτῶ σὺν τῷ αὐθέντι τοῦτο (?) τημιωτάτω καθηγουμένω τῆς ἐν τῇ ἁγίᾳ Βιθλεὲμ ἐν τῇ σεβασμίᾳ μονῇ τῶν ἁγίων Κελλίων (?) μηνὶ φευρουαρίῳ ἰνδ. ιε' τοῦ ,ϛχοε' ἔτους» [1167]. Κονταχώφ, Путешествіе на Синай σ. 104 - 105. Gardthausen, Catal. σ. 44.

8. Κωδ. Σιναϊτικὸς 232. Εὐαγγέλιον ἐκ μεμβράνης ὑπὸ τοῦ αὐτοῦ Βασιλείου γραφέν· «Τέλος εἴληφεν τοῦ ἁγίου εὐαγγελ(ίου) ἐκ προστάξεως τοῦ τιμιωτάτου ἱερομονάχου κυρίου Παύλου καὶ κτήτορος τοῦ ἁγίου μεγάλου μάρτυρος Γε(ωργίου):—διὰ χειρὸς αἰμοῦ Βασιλείου νοταρίου τοῦ Σχηνούρι — — Ἐτελειώθη μηνὶ μαρτίῳ, ἰνδ. η' τοῦ ,ϛχπβ' ἔτους» [1174]. Gardthausen, Catal. σ. 48. Ἡ μονὴ τοῦ μεγαλομάρτυρος Γεωργίου κεῖται παρὰ τὴν Βηθλεέμ, ἐν τῇ κώμῃ Μπετζάλᾳ. Πρβλ. A. Ehrhard, Quartalschrift V, σ. 257-260.

9. Κωδ. Σιναϊτικὸς 756. Τριῴδιον καὶ Πεντηκοστάριον μεμβράνινον. Σημείωμα τοῦ καλλιγράφου· «Εὔχοιο τ[ῷ]δε τῷ γραφεῖ - - | ταπεινῷ Μιχαὴλ Ἱεροσολυμήτῃ (= Ἁγιοταφίτῃ)· | ἔτος δ' ὑπῆρχεν ἡνίκα τοῦτ' ἐγράφει ,ϛψιγ' [1204 - 1205]· Ἕτεροι στίχοι ὅμοιοι. - - ἄλλοι. | Ἔλθῃς βοηθὸς Χριστὲ τῷ γεγραφότι | Μιχαὴλ ὄντα ἐκ γένους Συροπώλων». Κονταχώφ, Путешествіе на Синай σ. 115. Gardthausen Catal., σ. 165.

10. Κωδ. Σιναϊτικὸς 837. Ἐξαποστειλάριον (?) ἐκ χάρτου, γραφὲν ὑπὸ τοῦ πατριάρχου τῶν Ἱεροσολύμων Δωροθέου α'· ἔχει δὲ τὸ τέλος

αὐτοῦ τὸ σημείωμα τοῦτο· «Ἔτους ,ϛωϟα' [1382 - 1383] ἰνδ. ϛ', τὸ βιβλιδάριον τοῦτο ἐγένετο διὰ τὸν Ἅγιον Τάφον τοῦ Κυρίου» κτλ. Gardthausen, Catal. σ. 181.

11. Κῶδ. Barberin. III. 38 (ἀρχ. 13). Φύλλα μεμβράνινα 214, περιέχοντα τὸ τετραευαγγέλιον· τὸ κείμενον κατὰ σελίδα μονόστηλον. Μήκους 0,128, πλάτους 0,095 (Gregory, Prolegomena II. σ. 502 ἀριθ. 164). Κατὰ τὸν Scholz (Biblisch-kritische Reise, σ. 108-110) μετὰ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ὑπάρχει τὸ σημείωμα τοῦτο· «Ἐγραφη χειρι Λεοντος πρεσβυτερου και εμου καλλιγραφου ...... αυτα δε μηνι οκτωβριῳ ινδικτιω: Η ετους ,ϛφμη [1039]. οἱ αναγινωσκοντες εὔχεσθε αυτον ἅμα τῳ κεκτημενῳ τι ταυτην τὴν ἱεραν βιβλον των προσταγματων του θεου και νομον των .... πρωτων αιωνων. ζηλω θειω φερωμενων Λεων ο ευκλεεστατος και θεοφιλοτατος και θεῳ εὐαρεστος επισκοπος Αντιδων εξονισατο εκ κε δηναραιων λ'». Καὶ μετὰ τοῦτο· «+ καγω δὲ ὁ εὐτελὴς μοναχὸς Βαρθολομαιος ὁ του Πολυχρονιου ωνισαμην ταυτην την ἱεραν βιβλον των δ ἁγιον του Χριστου εὐαγγελιων, ἐν Ἱεροσολυμα εἰς νομισματα τρεια εν τῷ ,ϛχο [1162, Gregory 1168] ετει μηνι μαρτιῳ και δια το μη εχειν μηνολογιον ηγουν πινακαν εγραψα αυτο ... τον καὶ αποστολικω αναγκαιω. οἱ αναγινωσκοντες εὔχεσθε μου δια τον Κυριον, ἱνα επιτυχω την ανω βασιλειαν. αμην». Καὶ ἐν τῷ πρώτῳ φύλλῳ· «Ηγορα(σα) το ἱεροτετραευαγγελιον δια χειρος μον(αχοῦ?) Ιακωβου εκ του μκ (= μοναστηρίου?) εκ των αδελφων Ρωμανων ταρια γ».

12. Κῶδ. Vaticanus 648. L. Allatii de Symeonum scriptis diatriba. Parisiis 1674, σ. 181. Gregory, Prolegomena II, σ. 672, ἀριθ. 401. — Θεοφυλάκτου Βουλγαρίας ἑρμηνεία τῶν ἐπιστολῶν Παύλου· «Ἐγράφη ἡ παροῦσα ἱερὰ βίβλος, εἴτουν αἱ τοῦ ἁγίου Παύλου ἐπιστολαὶ χειρὶ ἐμοῦ τοῦ ταπεινοῦ Συμεὼν ἢ Ζάβα — λεγέσθω γὰρ καὶ ἀμφότερα — τάχα καὶ μοναχοῦ τοῦ ἀπὸ τῆς νήσου Ῥόδου, τοῦ τὸ ἐπίκλην τοῦ Κόρακος, μηνὶ μαρτίῳ ἰνδικτιῶνι ε', ἔτους ,ϛψμ [1238]· ἐγράφη δὲ ἐν Ἱεροσολύμοις καιρῷ χειμῶνος καὶ κατὰ σπουδήν, ἐπεὶ καὶ τὰ γραμματά πως ὡς ἐπιτοπλεῖστον ἀσύντακτα φαίνονται κεῖσθαι». Καὶ πάλιν ἐν τῇ ἀρχῇ τοῦ κώδικος· «Συμεὼν ταπεινὸς μοναχὸς ὁ Κόραξ, ὁ γράψας τήνδε τὴν βίβλον ἐξ οἰκείων ἀναλωμάτων, καιρῷ χειμῶνος· καὶ διὰ τοῦτο τὰ γράμματα μικρὰ καὶ μεγάλα, καὶ οἷον εἰπεῖν τὸ καθόλου ἄποια».

13. Κῶδ. Κ/πόλεως CCXLI, ἐν τῇ συλλογῇ Πορφυρίου. Отчетъ за 1883 г., σ. 94.—Διαταγαὶ τῶν ἁγίων ἀποστόλων ἐκ τῆς ἐνετικῆς

